COMMENTARIA
IN ARISTOTELEM
GRAECA

EDITA CONSILIO ET AUCTORITATE

ACADEMIAE LITTERARUM REGIAE BORUSSICAE

VOLUMINIS XIX

PARS I ASPASIUS IN ETHICA NICOMACHEA.

BEROLINI
TYPIS ET IMPENSIS GEORGII REIMERI
MDCCCLXXXIX

ASPASII
IN ETHICA NICOMACHEA
QUAE SUPERSUNT
COMMENTARIA

CONSILIO ET AUCTORITATE

ACADEMIAE LITTERARUM REGIAE BORUSSICAE

EDIDIT

GUSTAVUS HEYLBUT

BEROLINI
TYPIS ET IMPENSIS GEORGII REIMERI
MDCCCLXXXIX


THE INSTITUTE OF MEDIAEVAL STUDIES

PRAEFATIO

Postquam et Schleiermacher (Oper. p. III vol. 2) de commentariis Ethicorum in universum egit et Hase (Classical Journal vol. 28. 29) specimina non pauca ex libris manuscriptis, quibus Aspasii commentaria continentur, publico usui prodidit, Valentinus Rose (Hermae vol. V) codicibus Parisinis et Florentinis adhibitis, unde nonnulla et ipse edidit, ita de re universa egit et varia collectionum genera distinxit, ut certum et solidum fundamentum posuerit, quo nisi ad edendas Aspasii reliquias accessimus. qui cum dubitari nequeat quin decem Ethicorum libros cunctos explicaverit, quae in libros V VI IX X conscripsit, perierunt, libri VII pars prior deest neque reliqua integra ad nos venerunt.

Eius vero collectionis quae unius Aspasii commentaria complectitur nos adhibuimus codicem Parisinum 1903 chart. fol. saeculo XVI con- Z scriptum. singulis libris haec inscribuntur: fol. 1^{a} Ἀσπασίου σχόλια εἰς τὰ ἠθικὰ τοῦ ἀριστοτέλους, f. 27^{a} εἰς τὸ βῆτα τῶν ἠθικῶν ἀριστοτέλους, f. 42^{a} εἰς τὸ γάμμα τῶν ἠθικῶν ἀριστοτέλους, f. 73^{a} Ἀσπασίου φιλοσόφου ὑπόμνημα εἰς τὸ τέταρτον τῶν ἠθικῶν ἀριστοτέλους, f. 100^{a} Ἀσπάσιος εἰς τὸ ἦτα τῶν ἀριστοτέλους ἠθικῶν νικομάχῳ: οὐ κατ' ἀρχὰς κτλ. (cf. huius editionis p. 127), f. 124^{v} Ἀσπασίου εἰς τὸ θῆτα τῶν ἀριστοτέλους ἠθικῶν. lacunas, quas scriba reliquit, altera manus eaque paullo inferioris aetatis supplevit, modo pleniore exemplo modo suo usa ingenio. extrema libri verba sunt ἢ δι' ἀρετὴν fol. 140 = p. 178,5, quibus adiciuntur ζητητέον εἴ τι λείπει.

Eiusdem fere aetatis est alter codex Parisinus numero 1902 insignis, '*qui fuit Joann. Huralti*'. librorum inscriptiones eae sunt quae codicis 1903, lacunae suppletae non sunt. decurrit liber octavus usque ad ἐν τῷ φιλεῖν ἢ . . . . φιλεῖσθαι fol. 165 = p. 180,7; ubi additur λείπει οὐκ οἶδα δὲ πόσον.

R LAURENTIANUS pl. 81 no. 14 ita cum Parisino 1902 conspirat, ut ex eodem exemplari utrumque esse descriptum probabilis sit Rosei coniectura. lacunae vero ex Laurentiano 85,1 suppletae sunt, indidem quae post verba ἐν τῷ φιλεῖν ἢ * * * * φιλεῖσθαι (p. 180,7) usque ad finem libri adduntur.

REGINENSES graeci 122 et 178, unius libri volumina duo, Aspasii commentaria continent in libros I II III IV VII; scripti esse videntur exeunte saeculo XVII. quorum prior inscriptionem habet Ἀσπασίου εἰς ἠθικὰ ἀριστοτέλους πάντα τὰ εὑρισκόμενα; sequuntur commentaria librorum I—IV usque ad τῷ γὰρ ὄντι οὐδενὸς ἀναθήματος ἔλαττον (p. 107,7) quae excipiuntur a Reg. 178 verbis στὶ δῶρον καλῶς διδόμενον. libro quarto perducto usque ad σκῶμμα μέσον τι fol. 30v (p. 126,9) commentarium in librum VII incipit, ubi cum principio inscriptio desideratur. liber octavus deest.

Praeter hanc collectionem, quae Aspasii commentaria complectitur, in ea quoque volumina, quibus variorum explicationes colligebantur, haec Aspasiana recipiebantur. atque hic primo loco nominandus est ea collectio, cuius celeberrimum exemplum extat codex

N LAURENTIANUS 85,1 saeculi XIV, Oceani nomine antiquitus insignis. Eustratii commentarium in librum primum sequuntur (fol. 360) in eundem Aspasii ὑπομνήματα, nulla inscriptione addita, inde a verbis τὴν διαλεκτικὴν ἔνιοι ἔφασαν (p. 3,10), in librum II III IV, fol. 395v bis in librum VII, fol. 399v in librum octavum.

Eadem continent VATICANUS gr. 1622 et MUTINENSIS gr. 197 (II G 4) saeculo XVI uterque ex N ut videtur descriptus. BARBERINUS gr. II 44, LEIDENSIS VOSSIANUS fol. no. 12 saeculi XVII eiusdem collectionis exemplaria supersunt, licet Aspasii explicationes librorum VII et VIII desint, cum ille ultra librum V a Michaele Ephesio explicatum non progrediatur, hic ne istum quidem librum ad finem perducat, sed desinat verbis τὰ καθέκαστα τὰ κατ' αὐτά Aldin. fol. 72,35. — PARISINUS gr. 1927 saec. XVI Aspasii commentaria continet in Ethicorum libros I—IV et VIII, principium huic quoque a verbis τὴν διαλεκτικὴν ἔνιοι ἔφασαν.

Unus liber octavus ab Aspasio expositus in omnes commentariorum Ethicorum collectiones recipiebatur, de quibus in praefatione ad Eustratium agendum erit. hic codices enumerasse sat erit:

B COISLINIANUS gr. 161 saec. XIV, bombyc. f. 123v,

VATICANUS gr. 269 II saec. XV fol. 265,

AMBROSIANUS B 95 sup. saec. XIV fol. 123v;

Oxoniensis Collegii Corporis Christi 106 membr. et

Oxoniensis Collegii Novi 241 vol. II chart., nonnullis insertis foliis membranaceis; uterque scriptus ab Johanne Serbopulo Constantinopolitano in monasterio Anglico Reading, ille anno MCCCCXCV, hic MCCCCXCVII.

Plane negligendus est Parisinus gr. 2060 s. XV (et qui inde descriptus est Parisinus 1926 saec. XVI), quem ex latina versione rursus in graecum translatum esse Roseus intellexit.

Aldina continet commentaria in librum octavum quae supersunt a typis edita. titulus est *ΕΥΣΤΡΑΤΙΟΥ ΚΑΙ ΑΛΛΩΝ ΤΙΝΩΝ ΕΠΙΣΗΜΩΝ ΥΠΟΜΝΗΜΑΤΑ ΕΙΣ ΤΑ ΔΕΚΑ ΤΩΝ ΤΟΥ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΗΘΙΚΩΝ ΝΙΚΟΜΑΧΕΙΩΝ ΒΙΒΛΙΑ ΜΕΤΑ ΤΟΥ ΥΠΟΚΕΙΜΕΝΟΥ* . . . (in fine:) *Venetiis, in aedibus haeredum Aldi Manutii, et Andreae Asulani soceri, mense Julio. M. D. XXXVI* fol. 135^{v} sqq.

Cum vero et in editione Aldina et in codicibus libri octavi ordo turbatus sit, paucis hac de re exponendum esse videtur. atque B quidem fol. 128^{v} infima pagina terminatur verbis ἀρετὴ ἂν εἴη φίλων τὸ φιλεῖν ἑκάστω γάρ: ζῆ (p. 180,8), reliquo huius versiculi spatio vacuo; tunc

εἰπὼν ἐν ἀρχῇ — οὕτω καὶ τὸ δίκαιον (p. 180,11—182,18)
ἑκάστω γὰρ — ἐν ταύταις ἔνεστιν (p. 182,22—183,7)
ἐν οἷς γὰρ μηδὲν — φιλία τις καὶ δίκαιον (p. 183,13—28)
ἐν κοινωνίᾳ μὲν οὖν — οὐδ' οἱ ἑταῖροι (p. 183,29—184,7)
εἰπὼν ὁμοίαν — οὕτω καὶ οἱ ἑταῖροι (p. 182,19—22)
ἐν μέρει δ' ἄρχουσιν — χρῆσθαι πρὸς κακίαν (p. 183,7—13)
ἐν κοινωνίᾳ μὲν οὖν usque ad finem (p. 184,7 sqq.)

perierunt igitur quibus explicabantur Aristotelia p. 1159^{a}35—^{b}19, 1160^{a}9—34, 1160^{b}21—1161^{a}10. non eadem prorsus libri octavi condicio est in codice N (quocum consentiunt Vat. 1622 et Mutin. 197). recte enim procedit commentarius usque ad verba ἑκάστω γὰρ (p. 180,8), sequuntur

καὶ ἡ φιλία πρὸς τὰ τέκνα — ἐν ταύταις ἔνεστιν (p. 182,22—183,7)
ἐν οἷς γὰρ μηδέν — φιλία τις καὶ δίκαιον (p. 183,13—28)
ἐν κοινωνίᾳ μὲν οὖν — οὐδ' οἱ ἑταῖροι (p. 183,27—184,7)
εἰπὼν ἐν ἀρχῇ — οὕτω καὶ οἱ ἑταῖροι (p. 180,11—182,22)
ἐν μέρει δ' ἄρχουσιν — χρῆσθαι πρὸς κακίαν (p. 183,7—13)
ἐν κοινωνίᾳ μὲν οὖν (p. 184,7) usque ad finem.

Editio denique Aldina quem ordinem teneat ex numeris editionis nostrae paginis adscriptis facile perspicitur.

Latinae autem versiones librum octavum nullis lacunis ad finem usque perducunt. et harum quidem cum ingens sit numerus codicum ego inspexi Parisinos lat. bibliothecae nat. 16582,[1]) bibl. Arsenal. 698, Vaticanum lat. 2171, Urbinatem lat. 222 saeculo XIV exaratos, inter quos Parisinus 16582 primum facile tenet locum. et versio ista latina pleniorem sane praebet librum octavum quam libri Graeci, ita tamen interpolatum, ut nil bonae frugis inde ad Aspasiana recuperanda lucremur. veluti Parisini 16582 fol. 244 col. 2 haec sunt ad Aristotelis verba p. 1159^{b}10: '*summe mansiua uidetur ea bonorum amicicia quae est equalium secundum omnia ut magni Basilii et Gregorii theologi*' et fol. 249 col. 2 ad Arist. p. 1161^{a}11: '*rex autem in quantum rex est racionem solam sequitur et ea sola in omnibus agendis ad populum utitur. plebs uero magis sequitur motus animales et sensuales. vnde rex sic se habet ad populum sicut in uno homine racio recte ordinata ad ipsius animale et sensitiuum vnde primo hominum non datum est dominium super alios homines sed super bestias terre et pisces maris et uolatilia celi.*'

Neque ex Jo. Bernardi Feliciani interpretatione latina commentariorum in Ethica quae prodiit Venetiis 1541, Basileae s. a [1542], Parisiis 1543, Venetiis 1589, Helmstadii cura Sam. Rachelii 1662 Aspasii reliquiae suppleri possunt. is enim Aldinae editionis ratione non habita e libris manuscriptis graecis variorum in Ethica commentaria et composuit et vertit, quod ipse in epistola nuncupatoria ad Alexandrum Farnesium aperte indicat: '*cum duplicia quaedam commentaria quae partim eadem, partim diversa esse videbantur, in secundum, tertium, quartum huius operis libros, mutila illa quidem ac divolsa reperissem: mihi opus fuit non tam eorum uertendorum quam componendorum librorum suscipere.*' multa praeterea de suo addidit.

Restat ut componam fragmenta nonnulla quae feruntur Aspasii. servata a Bartholomeo de Brugis in codice ms. membr. Parisino 16089 (olim Sorbon. 841) saec. XIV[2]):

fol. 131^r col. 2 *dicit Aspitius in suo commento supra 8 ethicorum. sicut vir se habet ad mulierem sicut forma ad materiam, sed una forma copulatur seu coniungitur pluribus materiis.*

[1]) de Paris. lat. 17832 (olim Navarr. 51) et 6458 cf. V. Rose Hermae V 67.

[2]) vide V. Rose Hermae Vol. V 74. eadem continet cod. Paris. lat. 14704 (olim S. Victor. 848) f. 37 sqq.

f. 131v col. 1 *quod raro aut numquam fit superconceptio ut habetur 9. de historiis animalium et idem dicit aspitius in commento supra 8 ethicorum.*

f. 131v col. 2 *opposicionem videtur velle philosophus 8. ethicorum vbi videtur innuere quod solus cum sola debet copulari. idem uult ibi aspitius qui eum commentatur.*

f. 132r col. 2 *si enim vir habeat plures vxores ille contendent adinuicem. cum enim sint equalis gradus in domo, nulla uolet alteri obedire in aliquo et sic. q. semper contendent et per consequens causabunt diuisionem in domus et accidet ex hoc malum domui, vnde dicit theofrastus ut recitat aspitius supra 8. ethicorum quod plures uxores faciunt ad diuisionem domus.*

f. 132 col. 2 *dicit aspitius supra 8. ethicorum si una mulier copuletur pluribus uiris ex nimio motu existente in coitu matrix eius exsiccabitur et efficietur sterilis. etiam ex nimio venereorum usu matrix eius subsiccabitur et non retinebit sed eiciet semen iniectum.*

f. 132v col. 1 *quod perfecta amicitia est inter duos et non potest vnus esse perfectus amicus plurium, ut uult philosophus 9. ethicorum et idem uult aspitius supra 8. ethicorum, ubi dicit quod non facit ad indiuidualitatem vite quod vnus habeat plures uxores uel e conuerso.*

f. 132v col. 2 *dicit aspitius supra 8. ethicorum quod antiqui hoc fecerant propter paucitatem populacionis regnorum tunc temporis.*

f. 133 col. 1 "*sciendum autem est quod Aspitius in suo commento super 8. phisicorum dicit de questione quantum ad primum membrum distinguendo, scilicet quod vir potest considerari dupliciter, vel quantum ad potestatem generativam, vel secundum quod animal domesticum, primo modo enim est contra ejus naturam quod copuletur pluribus mulieribus, potest enim implere plures licet non plurimas, ut dicit, secundo autem modo est contra ejus naturam quod copuletur pluribus mulieribus quia plures faciunt ad divisionem domus, ut dicit theofrastus et patet ex dictis; et hoc modo videtur solvere questionem quantum ad illud membrum Albertus supra 8. ethicorum in suo commentario. de secundo autem membro dicit Aspasius ut prius diximus*".

Albertus quoque Magnus haud raro Aspasii nomen affert in Ethica; et est quidem ubi quae Albertus tribuit Aspasio conspirent quodammodo

cum iis quae in codicibus Aspasii legimus,[1]) tamen ea est in hoc scriptore rerum nominumque confusio, ut eius auctoritas minima sit habenda. iudicium igitur de eo quoque cohibendum esse videtur, utrum uere an falso tribuerit Aspasio 'libellum *de naturalibus passionibus*' in comment. Polit. II, 1 p. 62, quod significasse sat habeo.

Ad historiam librorum Aristotelicorum cognoscendam haud prorsus inutilem fore hanc Aspasii editionem equidem censeo: Arist. I 1 p. 1094^{b}15 recte legisse Aspasium p. 7,12 πολλὴν ἔχει διαφορὰν καὶ πλάνην quod prima codicis K^b manus exhibeat, idque Aristoteli esse restituendum vere indicavit H. Diels (*Archiv f. Gesch. d. Philos.* I 495) addo III 11 p. 1117^{a}13, ubi διὰ τὸ οἴεσθαι κρείττους εἶναι καὶ μηδὲν ἂν παθεῖν quod praebet Aspasius p. 86,2 praestare videtur iis quae in Aristotelis codicibus extant καὶ μηδὲν ἀντιπαθεῖν.

Id quidem singulare est quod cum dubitari nequeat quin ipse Aspasius p. 11,2 Aristotelia I 3 p. 1096^{a}5 legerit (falso nimirum) ὁ δὲ χρηματιστὴς βαιός τίς ἐστιν, codices Aspasiani correcti ex Aristotele vulgato praebent τὸν δὲ χρηματιστὴν βίαιον λέγουσι, τουτέστι μικρόν.

In explicando Aristotele medium fere tenet locum Aspasius inter duo genera interpretum praecipua; neque enim ab eorum parte stat qui αὐτὸν ὑποδύντες Ἀριστοτέλην novis argumentis et disputationibus spretis sententias philosophi suis verbis reddunt neque inter eos reperitur οἳ πολυστίχους συντάξεις πολλῶν γεμούσας καλῶν εἰς τὰς διαφόρους τῶν Ἀριστοτέλους κατέλιπον πραγματείας[2]).

Quod si reliquias Aspasii, quo antiquior non extat commentator Aristotelis, hic illic minus corruptas edere licuit quam in libris manuscriptis tradebantur, id Hermannus Diels maxime praestitit, quem longe ultra ea quae in adnotatione significavimus nos adiuvasse grato animo fatemur.

[1]) ut Albert. Opp. IV Eth. p. 32^b Jammy (cf. p. 134^a): '*sicut dicit Aspasius, passio est irrationalis animae motus*' cum Aspasi nostri p. 44,22; ibid. p. 35^a (cf. p. 145^a): '*dicit autem Aspasius quod voluptas nihil aliud est nisi naturae diffusio et effusio super actum et operationem ex proprio et connaturali habitu*' cum huius libri p. 43, 18 sqq.

[2]) cf. Sophoniae in de An. prooem. Aspasii exemplar haud scio an fuerit Andronicus cf. Simpl. in categ. p. 41^{b}25. 42^{a}10. 40^{b}16 (Schol. Brandis.).

Hamburgi. Gustavus Heylbut.

PRAEFATIONIS SUPPLEMENTUM

CODICUM IN ADNOTATIONE NON ADHIBITORUM SPECIMINA COMPLECTENS.

Leidensis Vossianus fol. n. 12.

p. 3, 10 Aspasii in l. I commentarius incipit: τὴν διαλεκτικὴν || 11 τὴν τῶν ὡς ἐπὶ πολύ || 15 ἐπαγωγή τε καὶ || 16 πᾶσιν || δύναμις] ὁδὸς γάρ, ἐστί, τις || 17 ὡς ἀλλαχοῦ εἴρηται om. || 18 ἀπέδοσαν] ἀπέδειξαν || 19 ἐνέργεια—πρᾶξις (20) om. || 21 ὀρχιστική corr. ex ὀρχηστική || 23 πράξεις τὰς—ἐνεργείας || 26 ἐπακολουθήσει || 27 τὸ τοῦτόν ἐστιν || 28 κακῶν || **p. 4,** 3 ἀγαθὸν || 5 τούτου] αὐτῶ || 7 τοῦ τελειοτάτου] τούτου τελειότητα || 10 λαμβάνοι

Reginensis 122.

p. 15, 1 ἕως τοῦ] ἂν in textu, del. a man 2, quae in mg.: τοῦ ἡ βιβλ. || 4 ἔτι suppl. man. 2 || 5 τοῦ καθόλου suppl. m. 2 || ἔτι] ἔστι || πασῶν] πασᾶ m. 2 corr. ex πλασῶν || ἔχουσα τέλος ὑπὲρ οὗ τὰ m. 2 || 7 πέφυκεν m. 2 || 10 ἀνθρωπείων m. 2 corr. ex ἀνθρώπων || 13 εἰ om. || τίνα om. || 15 ἐν m. 2 || 20 πλάττεται || ἔνθεν m. 2 corr. ex ἔνθα || 21 ἀλλὰ m. 2 || 22 πρὸς τὸ τέλος m. 2 pro πρὸ τέλος || 24 αὐλοποιητικοῦ ἡ βιβ. ἡ δὲ ἄλλη βίβλος αὐλοποιητικῆς ἕνεκεν. τῆς αὐλητικῆς γὰρ καὶ τοῦ τέλους αὐτῆς ὅ τε πλοῦτος καὶ τὸ χρηματιστικῆς τέλος αἱρετός ἐστι διὰ τὴν ἐλευθεριότητος χρῆσιν m. 2 in mg.

Ambrosianus B 95 sup. (= A) Mutinensis 212 (III G 8) (= M) Vatican. 269 (= V) Vatican. 1622 (= W).

p. 158, 2 λανθάνοντος V || 4 ἐστιν om. AVW || ἢ om. V || 7 καὶ (post πάθη) om. V || 8 ὥσπερ] ὡς AV || 10 ἀγριότητι MW || πεφυκότως W || 12 μέσος V || 13 δεῖ om. AVW || γενόμενος M, γενόμενος corr. ex γινόμενος W || 15 οἷον W || 16 πρὸς] ὡς A || ὃς καὶ οὐδὲ MW || εἵλατο A || 19 τις] τι A || 20 εἶναι] μέγα A || ὑπάρχει A 21 δὲ καὶ μία V, δὲ καὶ διὰ A || προσμεῖναι A || τῇ δίκη V || 22 ἥ τε γὰρ δικαιοσύνη om. A || ἐστιν om. AVW || **p. 159,** 1 ἴσως A || γε om. AMV || 3 ἀγαθῶν] ἀναγκαίων V ἐστιν om. AV || ἀναγκαῖα] ἀγαθὰ V || 5 τε om. AV || λαμβάνει ἀναγκαῖον om. AV 7 οὐδεὶς γὰρ ἄνευ αὐτῆς ζῆν ἂν ἕλοιτο AV || 8 δυναστείαν μεγάλην AV || 10 μηδὲ AV || 11 πλούτου om. M || τῆς om. AV || 13 δόξη M || 14 εἰ καλοῦ MVW, εἰ καὶ καλοῦ A || 15 ἐστιν om. AV || δεῖ] δὴ M || 17 εἰ] ἢ AV || 18 ὁ] ὡς A || 20 παρὰ] περὶ A

Oxon. Coll. Corp. Chr. 106 (= O) Parisin. 1927 (= P).

p. 186, 3 ἀνταποδώσεως P || ἡ τοῦ] ἢ τοῦ P || 4 ὠφέλειαν P || νομίσματα] ὑπέρπηρα O (idem Oxon. Coll. Nov. 241) || κομιουμένου] κομίσασθαι P || 6 ἑκατὸν] ρ̈ O | 7 ἡμίση O || 8 μέτρον om. OP || 9 δ' αἰτεῖ] δι' αἰτίαν O || 10 ἐγκαλεῖται O || 13 πλέον OP || ὠφελιμώτερον P || 17 δὲ ἐν τῷ P || 18 πλούτου P || 19 εὐεργετοῦντες] ἐνεργοῦντες OP || 23 γὰρ ἐν seq. lacuna O || 24 γὰρ] καὶ O || 26 ἐξουσίαν P || 27 ἀντιστήσεται P 28 τὸ] τῷ P || ἐπεὶ φευκτέον P ||

ASPASII
IN ETHICA NICOMACHEA
COMMENTARIA

ΑΣΠΑΣΙΟΥ ΣΧΟΛΙΑ ΕΙΣ ΤΑ ΗΘΙΚΑ ΤΟΥ ΑΡΙΣΤΟΤΕΛΟΥΣ.

Ἡ περὶ τὰ ἤθη πραγματεία καὶ μάλιστα ἡ πολιτικὴ [ἠθικὴ] κατὰ μὲν τὸ ἀναγκαῖον προτέρα ἐστὶ τῆς θεωρητικῆς φιλοσοφίας, κατὰ δὲ τὸ τίμιον ὑστέρα· ᾗ μὲν γὰρ ἀδύνατον καλῶς ζῆν μὴ σώφρονας ὄντας καὶ δικαίους καὶ ὅλως τὸ ἦθος κεκοσμημένους καὶ εἰς συμμετρίαν τινὰ τὰ τῆς ψυχῆς πάθη καταστήσαντας, ταύτῃ δόξειεν εἶναι ἀναγκαία ἡ πολιτικὴ καὶ ἠθικὴ καὶ διὰ τοῦτο προτέρα (οὐδὲν γὰρ πλέον ἀνύει οὐδ' εἴ τις πᾶσαν γνῶσιν καὶ θεωρίαν κτήσαιτο μὴ πεπαιδευμένος τὸ ἦθος), ᾗ δὲ περὶ τῶν τιμιωτάτων καὶ θειοτάτων ἡ σοφία πραγματεύεται καὶ θεωρεῖ τὰ τῆς φύσεως ἔργα καὶ ἔτι ἄλλα πολὺ ἀμείνω καὶ κρείττω τῶν ἐκ φύσεως συνεστώτων, ὧν ἐστιν ἡ πρώτη φιλοσοφία θεωρητική, ταύτῃ προτέρα καὶ τιμιωτέρα λέγοιτ' ἂν ἡ θεωρητική. ὡς γὰρ τὰ ὑποκείμενα ἔχει πρὸς ἄλληλα, οὕτως καὶ αἱ περὶ αὐτὰ ἐπιστῆμαι. ἔστι δὲ τιμιώτερα καὶ κρείττω περὶ ἃ ἡ σοφία τῶν ὑπὸ τὴν πολιτικὴν καὶ ἠθικήν, ὥστε πολλῷ ἂν εἴη τιμιωτέρα τούτων ἡ σοφία. καὶ γὰρ εἰ μὲν ἄνευ σώματος ἦμεν, οὐδὲν ἂν ἔδει τὴν φύσιν ἡμῶν ἄλλο ἔχειν ἔργον ἢ τὴν θεωρίαν, νῦν δὲ ἡ τοῦ σώματος φύσις ἡδοναῖς καὶ λύπαις συνεζευγμένη σωματικαῖς ἐξ ἀνάγκης ἐποίησεν ἡμᾶς ἐπιμελεῖσθαι καὶ σωφροσύνης καὶ ἐγκρατείας καὶ πολλῶν ἄλλων τοιούτων ἀρετῶν, ὧν οὐκ εἰκὸς μετεῖναι τῷ θεῷ διὰ τὸ μήτε ἡδονῶν μήτε λυπῶν σωματικῶν μετέχειν. ἐξ ἀνάγκης οὖν τοῦ σώματος φαινόμεθα τὴν πλείστην περὶ τὰ ἤθη ἐπιμέλειαν πορίζεσθαι, ἐπεὶ καὶ

Libri RZ

1 Ἀσπασίου—καὶ πᾶσα μέθοδος (p. 4,12) ed. Hase, *Classical Journal* XXVIII 307—309; Ἡ περὶ τὰ ἤθη—τέλος τὸ ἄγαλμα (p. 4,19) ed. Rose, *Hermae* V 92—96 unus Z inscriptionem habet 2 ἤθη R: ἠθικὰ Z πραγματεία Z: πραγματία R ἡ (ante πολιτικὴ) om. R πολιτικὴ ἠθικὴ ZR: ἠθικὴ del. Rose 3 ἐστὶ corr. ex ἐπὶ Z: ἐπὶ R 5 τὸ ἦθος κεκοσμημένους cf. Polit. Z 1 p. 1323b3 6 γκαία Z² in albo 7 ἀνύει Z² in marg.: om. R 9 θεωρεῖ τὰ RZ: θεωρεῖται Rose 10 ἐστὶν ἡ Z² in albo 11 ταύτῃ—θεωρητική om. Rose 13 δὲ πάντων τιμιωτέρα R 14 πολλῷ Z: πολλῶν R 16 καὶ λύπαις συνε Z² in albo 17. 18 σωφροσύνης—πολλῶν Z² in albo 19 μετέχειν Z: . . τέχειν R 20 ἤθη ἐπιμέλειαν Z² in albo: ἤ . . . . μ . . . R πορίζεσθαι] an ποιεῖσθαι?

ἡ δικαιοσύνη καὶ ἡ φρόνησις, ὧν τὸ θεῖον δοκεῖ μετέχειν, πολὺ μὲν λείπονται τοῦ θεοῦ. δεόμεθα δὲ αὐτῶν διὰ τὰς ἀδικίας καὶ πλεονεξίας τὰς ὑπ' ἀλλήλων γινομένας, ἐπεὶ τό γε θεῖον εἰκός ἐστι δικαιοσύνῃ πρὸς ἡμᾶς μόνῃ χρῆσθαι τῇ θεωρητικῇ καὶ ἐν τούτῳ διατελεῖν. ὅτι μὲν οὖν τιμιωτέρα ἐστὶν ἡ σοφία τῆς πολιτικῆς, ἐκ τούτων καὶ τῶν τοιούτων ἄν τις κατανοήσειεν, ἡ δὲ ἠθική, καθάπερ προείρηται, ἀναγκαιοτάτη· ἡμῖν δὲ καὶ πρώτως ταύτην ἐπιτηδεύειν προσήκει καὶ λόγῳ καὶ ἔργῳ, ὥσπερ καὶ Σωκράτης ἠξίου, οὐκ ἀτιμάζων τὴν περὶ τὰ θεῖα γνῶσιν καὶ τῶν φύσει συντεινόντων παριεὶς τὴν ἐπιστήμην ὡς περιττήν, ἀλλ' ἀναγκαίαν ἡγούμενος τὴν τοῦ ἤθους ἐπιμέλειαν. καὶ οἱ Πυθαγόρειοι δὲ πρῶτον ἐπαίδευον τοὺς συγγινομένους καὶ ἤθεσι καὶ λόγοις. φαίνεται δὲ ὁ Ἀριστοτέλης περὶ πλείστου ταύτην τὴν διδασκαλίαν ποιεῖσθαι· λέγει δὲ αὐτὴν εἶναι περὶ τοῦ ἀνθρωπίνου τέλους, ἥτις ἐστὶν ἡ εὐδαιμονία. ἃ δὲ λέγει ἔχουσιν οὕτως.

p. 1094a1 Πᾶσα τέχνη ⟨ἕως τοῦ προτιμᾶν τὴν ἀλήθειαν⟩.

Πρῶτον οὖν ῥητέον περὶ τέχνης καὶ περὶ μεθόδου. ἔτι καὶ περὶ πράξεως καὶ προαιρέσεως. λέγεται δὲ τέχνη παρ' αὐτοῖς τριχῶς· καὶ γὰρ τὸ γένος τῶν τεχνῶν ἁπασῶν τέχνη λέγεται· διαιροῦσι γὰρ τὰς τέχνας λέγοντες τὰς μὲν ποιητικὰς τὰς δὲ θεωρητικάς, ὁρίσαιτο δ' ἄν τις τὴν οὕτω λεγομένην τέχνην σύστημα ἐκ θεωρημάτων εἰς ἓν τέλος φερόντων. ἄλλως δὲ λέγουσι τέχνην τὸ κοινὸν τῆς πρακτικῆς καὶ τῆς ποιητικῆς· διαιροῦσι γὰρ τὸ μὲν τέχνην λέγοντες τὸ δὲ ἐπιστήμην, τὴν θεωρητικὴν πᾶσαν ἐπιστήμην ὀνομάζοντες, τὴν δὲ τοιαύτην ὑπογράψειεν ἄν τις σύστημα ἐκ θεωρημάτων εἰς πράξεις φερόντων ἢ ποιήσεις. ἰδίως δὲ καλεῖν εἰώθασι τέχνην τὴν ποιητικήν. ἀποδίδωσι δὲ αὐτῷ λόγον ὁ Ἀριστοτέλης λέγων 'τέχνη ἐστὶν ἕξις μετὰ λόγου ποιητική', λόγον δὲ λαμβάνει οὔτε τὸν ἐπαγωγικὸν οὔτε τὸν συλλογιστικὸν ἀλλὰ τὸν ἁπλοῦν καὶ τεχνικόν, ᾧ χρῶνται οἱ δημιουργοὶ τῶν τεχνῶν· ποιήματα μὲν γάρ ἐστι καὶ τὰ τῶν ἀλόγων, οἷον τῶν μὲν μελισσῶν τὰ κηρία, ἀραχνῶν δὲ τὰ ἀράχνια καλούμενα· ἀλλ' οὐδὲν τούτων μετὰ λόγου ποιεῖ.

1 μετέχειν Z sed ετέχειν Z² in albo: μ . . . R πολὺ Z: πα . ὑ R 2 καὶ om. R 3 δικαιοσύνη Rose: δικαιοσύνης ZR 3. 4 μόνῃ χρῆσθαι Z² in marg.: προνοῆσθαι ZR 5 κατανοήσειεν Z: κατανοήσει R 6. 7 ἐπιτηδεύειν Z² in albo 7 οὐκ Z² in albo 7. 8 ἀτιμάζων Z: ἀ . . μάζων R 8 παριεὶς Z: πανιεὶς R 9 ὡς περιττὴν Z² in albo: lacuna R ἐπιμέλειαν Z, μέλειαν vero a Z² add.: ἐπι . . R 10 πρῶτον ἐπαι Z²: πρώ . . . . δευον R τοὺς συγγινομένους Z: τοῖς συγγινομένοις R 11 περὶ πλείστου Z²: πρά . . . R ταύτην τὴν Z: om. τὴν R 12 αὐτὴν εἶναι Z²: lac. R 12—15 τέλους — πρῶτον οὖν ῥη Z² 12 τέλους ἥτις ἐστὶν ἡ Z²: lac. R 13 ἃ δὲ λέγει Z²: lac. R οὕτως Z²: lac. R 14 ἕως — ἀλήθειαν addidi 15 πρῶτον οὖν Z²: . . . τὸν R περὶ μεθόδου Z: om. περὶ R ἔτι καὶ Z: om. R 16 προαιρέσεως Z: προευ . . . ρείας R 17 γὰρ R: γοῦν Z 18 τὰς καὶ R 19 τέχνην Z: om. R δὲ om. R 24 Ἀριστοτέλης] Eth. Nic. Z 4 p. 1140a7 26 ἀλλὰ — τεχνικὸν om. Rose 27 ἀλόγων] ἀ Z² 28 ἀράχνια] νια Z²

ἀλλ' ὁρμῇ φυσικῇ χρώμενα τὰ ζῷα· τὰ δὲ τεχνικὰ ποιήματα λογικῶν ἐστι ποιήματα καὶ τῷ λόγῳ χρωμένων. περὶ μὲν οὖν τέχνης ταῦτα εἰρήσθω. τὴν δὲ μέθοδον ἔνιοι μὲν ᾠήθησαν κατὰ ταὐτὸν τῇ τέχνῃ καὶ ἐκ παραλλήλου εἰρῆσθαι, ἔνιοι δὲ δύναμιν ὁμοίως ἔχουσαν πρὸς τὰ ὑφ' αὐτὴν ἀντικείμενα. ἔστι μὲν γὰρ καὶ τῶν λογικῶν ἑκάστην τεχνῶν ἐπιστήμην ἀκοῦσαι τῶν ἀντικειμένων, οἷον ἰατρικὴ ὑγιεινῶν καὶ νοσερῶν, ἀλλ' οὐ πρὸς ἄμφω ὁμοίως ἔχει, ἀλλὰ τὸ μὲν προηγουμένως αἱρεῖται, τὸ δὲ γιγνώσκει μόνον. ῥητορικὴ δὲ καὶ διαλεκτική εἰσι μὲν ἐπιχειρητικαὶ ἀμφότεραι, ἀλλ' ὁμοίως ἔχουσι πρὸς τὸ ἐπιχειρεῖν εἰς τὰ ἀντικείμενα. ἐπεὶ δὲ φαίνεται καὶ τὴν πολιτικὴν ἢ ἠθικὴν μέθοδον ὀνομάζων οὐ μόνον τὴν ῥητορικὴν καὶ διαλεκτικήν, ἔνιοι ἔφασαν μέθοδον ὀνομάζεσθαι πᾶσαν δύναμιν ἢ ἕξιν τὴν ὡς ἐπὶ πολύ. ἐοίκασι δὲ καὶ οὗτοι ἀπολελεῖφθαι τῆς τοῦ ὀνόματος χρήσεως· μέθοδον γὰρ ὀνομάζει καὶ τὴν πρώτην φιλοσοφίαν καὶ τὴν περὶ ἀποδείξεως ἐπιστήμην· εἶπεν οὖν μέθοδον εἶναι ἕξιν θεωρητικὴν τῶν ὑφ' αὐτὴν μετὰ λόγου ἐπακτικοῦ ἢ συλλογιστικοῦ. καλείσθω δέ μοι συλλογισμὸς κοινῶς καὶ τὸ ἐνθύμημα, ἐπαγωγὴ δὲ καὶ τὸ παράδειγμα. εἰκότως δὲ μέθοδος πᾶσα ἡ τοιαύτη λέγεται δύναμις ἡ διὰ συλλογισμοῦ καὶ δι' ἐπαγωγῆς δεῖξις καὶ μέθοδος ὡς ἀληθῶς, ὡς ἀλλαχοῦ εἴρηται. τὴν δὲ πρᾶξιν ἔνιοι μὲν ἀπέδοσαν ἐνέργειαν λογικήν· κατὰ δὲ τοῦτο λέγοιτ' ἂν καὶ ἡ θεωρία πρᾶξις· ἐνέργεια γὰρ λογική· λέγεται δὲ πρᾶξις καὶ ἡ κατὰ πρακτικὴν ἐπιστήμην ἐνέργεια. πρακτικαὶ δὲ λέγονται μὲν κοινῶς πᾶσαι, ὧν μή ἐστι ποίημά τι ἄλλο παρὰ τὴν πρᾶξιν, οἷον ὀρχηστικὴ καὶ αὐλητική, ἰδίως δὲ ἥ τε πολιτικὴ καὶ ἠθικὴ πρακτικαὶ λέγονται καὶ πράξεις αἱ περὶ τὸ καλὸν καὶ αἰσχρὸν ἐνέργειαι. περὶ δὲ προαιρέσεως ἐρεῖ μὲν καὶ αὐτὸς προελθών· τοσοῦτον δὲ προληπτέον, ὅτι καὶ ἔστιν ἡ προαίρεσις ὄρεξις βουλευτική. ἐπειδὰν γὰρ βουλευσάμενός τις ἕληται καὶ ἡ ὄρεξις ἐπακολουθήσῃ τῷ λογισμῷ ἢ ἀνάπαλιν ὀρεχθεὶς καὶ βουλευσάμενος ἕληται, προαίρεσις τὸ τοιοῦτόν ἐστιν. διόπερ αἵ τε ἀρεταὶ καὶ αἱ κακίαι προαιρέσεις τινές· τῶν μὲν γὰρ ἀρετῶν ὅ τε λογισμὸς καὶ ἡ ὄρεξις ἀγαθή, τῶν δὲ κακιῶν τοὐναντίον.

Πᾶσα δέ, φησί, τέχνη καὶ πᾶσα μέθοδος καὶ πρᾶξις καὶ προαίρεσις ἀγαθοῦ τινος ἐφίεται. αἵ τε γὰρ τέχναι καὶ αἱ μέθοδοι τοῦ ἰδίου τέλους ὡς ἀγαθοῦ ἐφίενται. καὶ μὴν αἱ πράξεις καὶ αἱ προαιρέσεις

3 κατὰ ταὐτὸν Z^2: ...τ' R 4 δύναμιν] δ..μιν R; ύναμιν ὁμοίως ἔ Z^2 6 ἡ ἰατρικὴ Rose ἄμφω Z: ἄ... R 7 γιγνώσκει Z: γινώσκει R 8 ὁμοίως Z^2: ὅμως R 9 τὸ Z^2: lac. R ἐπι Z^2 πο Z^2 ἢ Z^2: om. R 10 τὴν διαλεκτικὴν] commentarius incipit in N

10 Hinc libri ZN

ἔνιοι Z^2 11 τὴν ὡς ἐπὶ πολὺ Z: τὴν εἰς τῶν ὡς ἐπὶ πολύ N 14. 15 συλογιστικοῦ N 16 πᾶσιν N δύναμις Z^2: ὁδὸς γάρ ἐστίν N(L^b) 17 δεῖξις καί: δεικτικὴ Rose, omittens μέθοδος ἀληθῶς 17. 18 δεῖξις—πρᾶξιν Z^2 18 ἀπέδοσαν Z: ἀπέδειξαν N ὡς ἀλλαχοῦ εἴρηται om. N 20 ἐνέργεια δὲ Z; in marg. substituit Z^2 ἐνέργεια γὰρ 21 παρὰ N: περὶ Z, corr. in marg. a Z^2 22 καὶ ἠθικὴ N: om. Z, add. in marg. Z^2 πρακτικαὶ et καὶ (post λέγονται) om. Rose 23 αἱ—ἐνέργειαι scripsi: τὰς—ἐνεργείας NZ 27 αἵ τε: αἱ Rose 28. 29 κακιῶν Z: κακῶν N 32 ἐφίενται Z: ἐφίηται N

ἀγαθοῦ τινος ὀρέγονται. καὶ γὰρ αἱ μοχθηραὶ πράξεις καὶ αἱ μοχθηραὶ προαιρέσεις ἐφέσει τοῦ ἀγαθοῦ γίνονται. ἀλλὰ πεπλανημένων τῶν πραττόντων ἢ προαιρουμένων. διὸ καλῶς ἀπεφήναντο τἀγαθὸν οὗ πάντα ἐφίεται. τἀγαθὸν δὲ εἰ μὲν τὸ πρῶτον αἴτιον καὶ κυριώτατον λαμβάνει, ὀρθῶς εἴρηται, ὅτι πάντα τούτου ἐφίεται καὶ τὰ φυτὰ καὶ τὰ ζῷα ἐκείνου ὀρέγονται καὶ τῆς πρὸς ἐκεῖνο ὁμοιώσεως. οὕτως δὲ δεῖ ἀκούειν τὸ ἐφίεσθαι ὡς παρεσκευασμένου ἑκάστου ὑπὸ τῆς φύσεως εἰς τὴν τοῦ τελειοτάτου καὶ πρώτου αἰτίου ᾗ δυνατὸν ἐξομοίωσιν. ἕκαστον γὰρ ἄγεται ὑπὸ τῆς ἰδίας φύσεως σπουδῇ ἐπὶ τὴν ἰδίαν τελειότητα· ἐπὶ δὲ ταύτην ἄγεται διὰ τὸ πρὸς ἐκεῖνο νενευκέναι, ὃ πάντων ἐστὶ τελειότατον. εἰ δὲ τὸ ἀγαθὸν ἀντὶ τῆς εὐδαιμονίας λαμβάνει, ὀρθῶς ἂν λέγοιτο τὰ λογικὰ ζῷα. τοῦτο μὲν οὖν διὰ μέσου εἴρηται· τὸ δὲ συνεχὲς τῆς φράσεως ἔχει οὕτως· πᾶσα τέχνη καὶ πᾶσα μέθοδος, ὁμοίως δὲ πρᾶξίς τε καὶ προαίρεσις ἀγαθοῦ τινος ἐφίεσθαι δοκεῖ· τουτέστι τοῦ τέλους· τὸ γὰρ τέλος ἀγαθὸν ἑκάστῃ ὃ προτίθεται εἶναι αὐτοῦ.

Διαφορὰ δέ τις φαίνεται τῶν τελῶν. τὰ μὲν γὰρ αὐταὶ αἱ ἐνέργειαι τέλη εἰσί, τῶν τε πρακτικῶν ἐπιστημῶν καὶ τῶν θεωρητικῶν· αἵ τε γὰρ πράξεις ἐνέργειαι ἥ τε θεωρία· τῶν δὲ ποιητικῶν τὰ τέλη ἄλλα τινὰ παρὰ τὰς ἐνεργείας, οἷον τοῦ ἀγαλματοποιοῦ παρὰ τὴν ἐνέργειαν ἄλλο τέλος τὸ ἄγαλμα· διὸ καὶ ποιητικὰ λέγονται, διότι καὶ ποίημα ἄλλο τι αὐτῶν ἐστι παρὰ τὰς ἐνεργείας. ἐπεὶ δὲ τιμιώτατόν ἐστιν ἐν ἑκάστῳ τὸ τέλος (αὐτοῦ γὰρ ἕνεκα τὰ λοιπὰ γίνεται), ἔνθα μὲν ἔστι τινὰ τέλη παρὰ τὰς πράξεις, οἷον ἐν ταῖς ποιητικαῖς, ἐν ταύταις βελτίω τὰ ἔργα τῶν ἐνεργειῶν, τουτέστι τὰ ποιήματα, ἔνθα δὲ αὐταὶ αἱ ἐνέργειαι, οὐδὲν τῶν ἐνεργειῶν τιμιώτερον.

Πολλῶν δὲ πράξεων οὐσῶν καὶ τεχνῶν καὶ ἐπιστημῶν. πολλὰ τὰ τέλη· ὅσαι δέ εἰσιν ὑπὸ μίαν δύναμιν, ἀεὶ ἄλλη ὑπ᾽ ἄλλην, καθάπερ ὑπὸ μὲν τὴν ἱππικὴν χαλινοποιητική, ἡ δὲ ἱππικὴ ὑπὸ τὴν στρατηγικήν, ἡ δὲ στρατηγικὴ ἴσως ὑπὸ τὴν πολιτικήν.

Ἐν ἅπασι δὲ τὰ τῶν ἀρχιτεκτονικῶν τέλη αἱρετώτερα τῶν ὑφ᾽ αὐτά· εἰσὶ δὲ τέχναι μὲν ἄλλαι ὑπὸ ἄλλας, ὧν τὰ τέλη ἕνεκεν τῶν ὑπὲρ αὐτάς ἐστι καὶ τῶν τελῶν τῶν ἐκείνων. ἀρχιτεκτονικαὶ δὲ αἱ ἄρχουσαι καὶ κρατοῦσαι τῶν ὑφ᾽ αὑτάς· διορίζονται δὲ τρισὶ τούτοις τῷ τε χρῆσθαι ταῖς ὑφ᾽ αὑτάς τε καὶ τοῖς τέλεσιν αὐτῶν καὶ τῷ προστάσσειν καὶ τῷ ἀρχιτεκτονεῖν. ὅτι δὲ τῷ τὰ τέλη τῶν ὑποτεταγμένων ἕνεκεν τοῦ τέλους αὐτῶν γίγνεσθαι ἀρχιτεκτονεῖν λέγονται, δῆλον, οἷον ἡ κυβερνητικὴ ἀρχιτεκτονική

4 κυριώτατον scripsi: κυριώτερον ZN 5 τούτου Z (τούτου ἐφι Z²): αὐτοῦ N 6 δὲ N: γὰρ Z 10 ἐντὶ N λαμβάνοι Z 11 μέσου Z: μέσον N 15 αὐταὶ αἱ Z: αὐτὰ N 16 ἐνέργειαι scripsi: ἐνεργεία Z: ἐνέργεια N 17 ἐνεργία N 18 παρὰ (ante τὰς) N: περὶ Z, quod correxit Z² in margine παρὰ (post ποιοῦ) N: περὶ Z, quod corr. Z² in marg. 20 παρὰ Z: περὶ N 21 λοιπὰ corr. ex λειπὰ Z παρὰ scripsi: περὶ ZN 22 βελτίω N: βέλτιον Z 23 αὐταὶ Z: αὗται N 26 ἡ δὲ στρατηγικὴ — πολιτικήν om. N 29 τέλη N: τε Z: add. λη in marg. Z² 30 αὐτάς Z: αὐτὸ N 32 αὑτάς] αὐταῖς N: αὐταῖς (ἀς superscr.) Z τε καὶ Z: μὲν καὶ N προπράσσειν Z 33 τῷ τὰ τέλη Z² in marg.: τὸ τέλει Z: τῷ τέλει N

ἐστι τῆς πηδαλιουργικῆς· καὶ γὰρ προστάσσει αὐτή, οἷον δεῖ ποιεῖν τὸ πηδάλιον καὶ οἷον ἀρχιτεκτονεῖ καὶ γενομένῳ χρῆται. καὶ δῆλον ὡς τὸ πηδάλιον, ὅπερ ἐστὶ τέλος τῆς πηδαλιουργικῆς, ἕνεκεν τοῦ τέλους ἐστὶ τῆς κυβερνητικῆς. εἰπὼν δὲ ὅτι τὰ τῶν ἀρχιτεκτονικῶν τέλη αἱρετώτερα τῶν ὑφ' αὐτά (διὰ γὰρ τὰ τῶν ἀρχιτεκτονικῶν τέλη διώκεται καὶ τὰ τῶν ὑφ' αὐτὰ τέλη), πάλιν ὑπομιμνήσκει, ὅτι οὐδὲν διαφέρει τὰς ἐνεργείας αὐτὰς εἶναι τὰ τέλη ἢ ἄλλα τινὰ παρὰ τὰς ἐνεργείας ποιήματα. εἰ μὲν οὖν οὕτως ἔχει τὰ πράγματα, ὡς ἄλλο τέλος ἄλλῳ ἀεὶ γίνεσθαι καὶ πράττεσθαι, ἀθλιώτατον ἂν ἦν τὸ τῶν ἀνθρώπων γένος μηδέποτε δυνάμενον ἐντυχεῖν τῷ δι' αὑτὸ αἱρετῷ μηδὲ παῦλαν ἔχειν τῆς ὀρέξεως. ἐπεὶ δὲ ἔστι τι τέλος πάντων τῶν πρακτῶν, ὃ δι' αὑτὸ αἱρούμεθα, δῆλον ὡς τοῦτ' ἂν εἴη τἀγαθὸν καὶ τὸ ἄριστον· τούτου γὰρ ἕνεκεν καὶ τὰ λοιπὰ τέλη. ἔχει δὲ καὶ πρὸς τὸ βιῶναι καλῶς ἡ γνῶσις αὐτοῦ μεγάλην ῥοπήν· οἱ μὲν γὰρ ἄλλοτε ἄλλας αἱρούμενοι πράξεις καὶ μὴ πρὸς ἓν ἀποβλέποντες πεπλανημένως ζῶσι καὶ οὐδέποτ' ἂν ἐπιτύχοιεν τοῦ ἀγαθοῦ. εἰ δέ τις διαθρήσας τὴν εὐδαιμονίαν καὶ τὸ ἀνθρώπινον ἀγαθόν, σκοπὸν τοῦτο θέμενος καθάπερ τοξότης, πάσας αὐτοῦ τὰς πράξεις ἀπευθύνει πρὸς αὐτόν, ἀνάγκη πᾶσα αὐτὸν εὐδαίμονα γενέσθαι καὶ καλῶς διαβιῶναι. διὸ πειρατέον τὸ τέλος τοῦτο περιλαβεῖν τί τέ ἐστιν καὶ τίνος τῶν ἐπιστημῶν ἢ δυνάμεων. οὐκ ἀλόγως δὲ ἀξιοῖ τί τέ ἐστιν ἅμα καὶ τίνος τέλος λαβεῖν. ἀλλ' ἀνάγκη τῶν πρός τι ἅμα εἶναι τὴν γνῶσιν, τὸ δὲ τέλος τινὸς τέχνης ἢ δυνάμεως. δεῖ οὖν ἅμα καὶ τὸ τέλος τί ἐστι λαβεῖν καὶ τίνος ἐπιστήμης ἢ δυνάμεως τέλος.

Ἡ δὲ δύναμις πολλαχῶς λέγεται παρ' αὐτοῖς· καὶ γὰρ τὰς ἕξεις δυνάμεις λέγουσιν, ἐνίοτε δὲ τὸ ἄμεινον μέρος τῶν ἕξεων· τὴν μὲν γὰρ ὑγίειαν δύναμιν, τὴν δὲ νόσον ἀδυναμίαν. ἔστι δ' ὅτε τὴν ἐπιτηδειότητα δύναμιν ὀνομάζουσιν, οἷον τὸν παῖδα ἔχειν δύναμιν πυκτικήν [τὸ δ' αὐτὸ τοῦτο καὶ δύναμιν λέγειν]. ὀνόμαζει δὲ δυνάμεις καὶ τὰ ἀγαθὰ ἐκεῖνα, οἷς ἔστιν εὖ καὶ μὴ εὖ χρήσασθαι, οἷον πλοῦτον καὶ ὑγίειαν. λέγουσι δὲ δυνάμεις ἐνίοτε τὰς ὁμοίως ἐχούσας πρὸς τὰ ἀντικείμενα τῶν ὑφ' αὐτάς, οἷον ῥητορικὴν καὶ διαλεκτικήν. ἔοικε δὲ νῦν λαμβάνειν δύναμιν ἀντὶ τῆς ἕξεως. ἐπειδὴ γὰρ ἔνιοι ἡγοῦνται τὴν πολιτικὴν ἐπιστήμην εἶναι καὶ τὴν φρόνησιν, ἔνιοι δὲ οὐκ ἐπιστήμην ἀλλ' ὅμοιόν ⟨τι⟩ τῇ ἐπιστήμῃ, μέλλων πολιτικῆς τέλος ἐρεῖν τὸ ἀνθρώπινον ἀγαθὸν ζητεῖ, τίνος ἐπιστήμης ἐστὶ τέλος ἢ δυνάμεως, ὡς ἂν εἰ ἔλεγε, τίνος ἐπιστήμης ἢ ἕξεως.

7 παρὰ Z[2] in marg.: περὶ NZ   8 ὡς Z: ὥστε N   αἰεὶ N: om. Z   9 τῷ—αἱρετῷ corr. Z[2] ex τὸ—αἱρετὸν: τῷ—αἱρετὸν N   10 πρακτῶν scripsi: πρακτέων ZN   12 καὶ πρὸς] καὶ om. Z   13 ἄλλας Z: ἄλλου N   14 πεπλανημένως Z: πεπλανευμένου N (οι suprascr.)   15 διαθρήσας scripsi: διατηρήσας Z: δι' ἀρησθ N   16 ἀπευθύνει Z   17 καλῶς Z: καλιῶν N   18 περιλαβεῖν scripsi: παραλαβεῖν ZN   21 καὶ τὸ] om. τὸ Z   λαβεῖν om. N   23 Ἡ δὲ δύναμις — ἀντὶ τῆς ἕξεως (30) *Class. Journal* XXVIII 310   λέγεται Z[2] in marg.: γίνεται ZN   post δυνάμεις ordo turbatus Z: sequuntur verba καλῶς συνηγορῆσαι τῇ ἡδονῇ p. 33,18 usque ad verba οὐ τοσοῦτον μὲν ὅσον p. 35,21; restituit ordinem signis notisque marginalibus Z[2]   25 ἐπιτηδειότητα Z: ἐπιτηδιότητα N   26 τὸ δ' — λέγειν delevi   30 δύναμιν Z: δυνάμην N   32 τι addidi

Δόξειε δ' ἄν, φησί, τῆς κυριωτάτης καὶ μάλιστα ἀρχιτεκτονικῆς· τοιαύτη δὲ ἡ πολιτική· ἔχει γὰρ τὰ ὑπάρχοντα τῇ ἀρχιτεκτονικῇ· καὶ γὰρ προστάττει πάσαις ταῖς λοιπαῖς ἐπιστήμαις· ποίας γὰρ δεῖ μανθάνειν ἐν τῇ πόλει καὶ ἐπιτηδεύειν καὶ μέχρι τίνος ἀρχιτεκτονεῖ, καὶ τὰ τέλη τῶν λοιπῶν ἕνεκεν τοῦ τέλους αὐτῆς. εἰσὶ γοῦν ὑπ' αὐτὴν ἅπασαι καὶ αἱ ἐντιμόταται δυνάμεις, οἷον στρατηγικὴ ῥητορικὴ οἰκονομική. στρατηγικὴν δὲ καὶ οἰκονομικὴν νῦν λέγει οὐ τὰς ἀρετάς, δυνάμεις γὰρ αὐτὰς λέγει. αἱ δὲ δυνάμεις εἰσὶν αἷς οἷόν τε εὖ καὶ μὴ εὖ χρῆσθαι· τοιαύτη δὲ ἡ ῥητορικὴ καὶ τῆς οἰκονομικῆς ἡ χρηματιστική, ἧς νῦν μέμνηται, καὶ ἡ στρατηγικὴ δέ τίς ἐστι δύναμις τοῦ ἡγεῖσθαι στρατεύματος καὶ κρατεῖν δύνασθαι τῶν πολεμικῶν. ὑπάρχει δὲ τῇ πολιτικῇ καὶ τὸ χρῆσθαι ταῖς πρακτικαῖς τῶν ἐπιστημῶν καὶ τὸ νομοθετεῖν ⟨ἢ⟩ προστάττειν τίνα δεῖ πράττειν καὶ τίνων ἀπέχεσθαι· καὶ τοῦτο τεκμήριόν ἐστι τοῦ προστακτικὴν αὐτὴν εἶναι ταῖς ἄλλαις καὶ ἀρχιτεκτονικήν, ὥστε τὸ ταύτης τέλος περιέχει καὶ τὰ τῶν ἄλλων. εἰ δὲ οὕτως ἔχει τοῦτ' ἂν εἴη τὸ ἀνθρώπινον ἀγαθὸν καὶ τέλος.

Ἐπεὶ δὲ πολιτικῆς τέλος εἶπε τὴν εὐδαιμονίαν. δοκεῖ δὲ τέλος τῆς πολιτικῆς εὐδαιμονία πόλεως εἶναι, ἡ δὲ ἠθικὴ πραγματεύεται περὶ τὸ ἴδιον ἑκάστου τέλος καὶ ἑκάστου εὐδαιμονίαν. πρὸς τοῦτο ἐπιφέρει, ὅτι ἓν καὶ ταὐτόν ἐστιν ἑνὶ καὶ πόλει εὐδαιμονία· τῷ γὰρ εἴδει ἡ αὐτή ἐστιν· ἐνεργεῖ γὰρ κατ' ἀρετὴν τελείαν καὶ πόλεως εὐδαιμονία καὶ ἑνὸς ἑκάστου, ἀλλὰ μείζων γε καὶ τελειοτέρα ἡ τῆς πόλεως διὰ τὸ περὶ μείζω εἶναι τὴν ἐνέργειαν. οὕτω γὰρ λέγεται μείζων, ἐπεὶ τῷ γε εἴδει οὐδὲν διαφέρει· ἀπὸ τοῦ μείζονος οὖν κλητέον αὐτὴν καὶ θετέον τὴν εὐδαιμονίαν τέλος τῆς πολιτικῆς. ἡ μὲν οὖν μέθοδος, ἣν νῦν παραδίδωσιν, ἐφίεται ἐρεῖν καὶ τὸ τέλος εἰπεῖν τί ἐστι τὸ ἀγαθὸν τὸ ἀνθρώπινον καὶ ἡ εὐδαιμονία, ἐπειδὴ ἡ μέθοδος πολιτική τις. εἰδῶν γὰρ τῆς πολιτικῆς τὸ μὲν τῷ κοινῷ ὀνόματι καλεῖται πολιτική, ὅ ἐστι πόλεως ἐπιμέλεια, τὸ δὲ οἰκονομικὴ περὶ οἴκου ἐπιμέλειαν οὖσα. ὥσπερ δὲ οἶκος μόριον πόλεως, οὕτως καὶ ἡ οἰκονομικὴ μόριον τῆς πολιτικῆς. τρίτον δέ ἐστιν εἶδος καὶ μόριον πολιτικῆς ἡ περὶ ἑνὸς ἑκάστου τῶν πολιτῶν ἐπιμέλεια, καλεῖται δὲ ἠθική· μόριον δὲ ἕκαστος μὲν τῶν πολιτῶν τῆς πόλεως, ἡ δὲ ἠθικὴ τῆς πολιτικῆς.

Μετὰ ταῦτα λέγει, πῶς ἱκανῶς ἂν λέγοιτο ἠθικὰ κατὰ τὴν ἠθικὴν μέθοδον. εἰ γάρ, φησί, κατὰ τὴν ὑποκειμένην ὕλην διασαφηθείη, λέγοιτ' ἂν ἱκανῶς. τῶν γὰρ ὑποκειμένων ὑλῶν ταῖς μεθόδοις καὶ ταῖς ἐπιστήμαις αἱ μὲν δέχονται τὸ ἀκριβές, λέγει δὲ τὸ ἐξ ἀναγκαίων ἀναγκαῖον

1 κυριοτάτης Z² in marg.: κυριότητος NZ 4 ἀρχιτεκτονεῖ scripsi: ἀρχιτεκτονεῖν ZN 5 ἅπασαι Z: ἅπια N 6 αἱ ἐντιμόταται Z: ἀτιμοτάται N 7 αὐτὰς Z: καὶ αὐτὰς N 9 οἰκονομικῆς Z: εἰκονομιτικῆς N στρατιγικὴ N 10. 11 fort. πολεμίων 12 ἢ add. Diels προστάττειν N: προστάττη Z 16 πολιτικῇ N 17 πολιτικῆς Z: πολιτικῇ N 19 ἑνὶ Z: ἓν N εὐδαιμονία N: ἡ εὐδαιμονία Z 20 τελεία Z μείζων Z: μείζω N 21 τελειοτέρα N: τελειωτέρα Z 22 μείζω Z: μείζων N 24 ἣν Z: ἦν N ἐρεῖν] an εὑρεῖν? 25 ἐπειδὴ ex ἐπεὶ δὲ corr. Z: ἐπεὶ δὲ N 26 εἰδῶν scripsi: εἴδεων N: εἶδος Z 27 ἐπιμέλιαν N 35 λέγει -- ἀκριβὲς (p. 7,2) om. N

συμπεραίνεσθαι, οἷον γεωμετρία καὶ ἀριθμητικὴ καὶ γυμναστική. διόπερ καὶ τὸ ἀκριβὲς καὶ τὸ ἀναγκαῖον οὐχ ὁμοίως ἐν ἅπασι τοῖς λόγοις ἐπιζητητέον. οὐ γὰρ ἐν τοῖς δημιουργουμένοις πᾶσιν ἡ αὐτὴ ἀκρίβεια γενέσθαι δύναται. ἐν γοῦν τῇ μολίβδῳ οὐχ οὕτω δημιουργήσει ὁ ἀκριβέστατος τεχνίτης ὡς ἢ χαλκῷ μὲν ἢ ἐλέφαντι διὰ τὸ μὴ δέχεσθαι τὴν μόλιβδον τὴν τῆς τέχνης ἀκρίβειαν. ταῦτα δὲ λέγει, ἐπεὶ ἡ πολιτικὴ καὶ ὅλως ἡ φρόνησις περὶ ὕλην ἐστὶ τὴν ἀνθρωπίνην καὶ πράξεις τὰς ἀνθρωπίνας καὶ αἷς τὸ μὲν ὡς ἐπὶ πολὺ πάσαις συνῳκείωται, τὸ δ' ἀναγκαῖον ἢ οὐκ ἔστιν ἢ μικρότατον· ἔτι δὲ αἱ αὐταὶ πράξεις παρὰ τοὺς καιροὺς καὶ τὰ πρόσωπα τά τε δρῶντα καὶ τὰ πάσχοντα καὶ παρὰ ἄλλας τοιαύτας αἰτίας ὁτὲ μὲν καλαὶ ὁτὲ δὲ αἰσχραὶ γίνονται, οἷον παρακαταθήκης ἀπόδοσις οὐκ ἀεὶ καλή. καὶ μὴν ὃ λέγει ἀληθές, ὅτι τὰ καλὰ καὶ τὰ δίκαια, περὶ ὧν ἡ πολιτικὴ σκοπεῖται, πολλὴν ἔχει πλάνην διὰ τὸ ἄλλως ἄλλοις περὶ τοῦ δικαίου φέρεσθαι, ὅθεν καὶ δοκεῖ νόμῳ μόνον, φύσει δὲ μή. ἔστι δὲ καὶ περὶ τὰ ἄλλα ἀγαθὰ ἃ καλὰ μὲν οὔ, καλεῖται ἀγαθὰ δὲ μόνον, οἷον πλοῦτον ὑγίειαν· προστίθησι δὲ καὶ ἀνδρείαν, ἥτις ἤδη καλόν. ἡ δὲ πλάνη γίνεται, διότι πολλαὶ συμβαίνουσιν ἀπ' αὐτῶν βλάβαι. χρὴ δὲ οὐχ οὕτω κρίνειν αὐτά, ἀλλὰ τὰ μὲν ὄργανα καλούμενα τῆς ἀρετῆς ἀγαθὰ δεῖ νομίζειν, διότι ὑπουργεῖ τῶν ἀγαθῶν πρὸς τὰς ἐνεργείας, τὴν δὲ ἀνδρείαν διότι καλόν. ἀγαπητὸν οὖν περὶ τούτων κἂν τύπῳ εἰπεῖν καὶ ἐκ τῶν ὡς ἐπὶ τὸ πολύ τὸ ὡς ἐπὶ τὸ πολὺ συμπεράνασθαι. εἴρηται γὰρ ἐν τοῖς Ἀναλυτικοῖς, ὅτι ἐκ μὲν ἀναγκαίων ἀναγκαῖον συμπεραίνεται, ἐκ δὲ τῶν ὡς ἐπὶ τὸ πολὺ τὸ ὡς ἐπὶ τὸ πολύ. λέγει δὲ ὅτι οὐ μόνον χρὴ τὸν λέγοντα κατὰ τὴν ὑποκειμένην ὕλην λέγειν ἀλλὰ καὶ τὸν ἀκούοντα οὕτως ἀποδέχεσθαι. πεπαιδευμένου γάρ ἐστιν κατὰ τὸ ὑποκείμενον πρᾶγμα ἀπαιτεῖν τοὺς λόγους.

Μνημονεύσας δὲ περὶ τοῦ ἀκροατοῦ, οἷον δεῖ αὐτὸν εἶναι, μικρὰ περὶ αὐτοῦ παρεκβὰς λέγει, ὅτι καθ' ἓν ἕκαστόν ἐστι πρᾶγμα κριτὴς ἀγαθὸς ὁ περὶ ἐκεῖνο πεπαιδευμένος ὤν. λέγει δὲ τοὺς πεπαιδευμένους περὶ ἕκαστον μὲν τοὺς μετρίως ἐκείνου μετεσχηκότας, οἷον περὶ γεωμετρίας τοὺς μετρίως καὶ μέχρι τινὸς γεωμετρήσαντας. περὶ πᾶν δὲ ἔλεγε πεπαιδευμένον τὸν περὶ πάντα τὰ μαθήματα οὕτως ἔχοντα, ὥστε μέχρι τινὸς αὐτῶν μετεσχηκέναι. γίνεται δὲ ὁ πεπαιδευμένος καὶ τῶν αὐτοῦ τελειοτέρων κριτὴς τῷ ἔχειν ἀρχάς,

1 post ἀριθμητικὴ defectum in marg. notat Z 2 ἅπασι Z: πᾶσι N 3 πᾶσιν N: πᾶσα Z 4 δημιουργήσῃ Z; corr. a Z² in δημιουργήσει 4. 5 an ἐν χαλκῷ ἢ ἐν ἐλέφαντι scribendum? 5 τὴν μόλιβδον Z: τὸν μόλιβδον N τὴν Z: τῇ N 6 τὴν om. N 7 καὶ (ante αἷς) scripsi: ἢ N: ἐν Z πάσαις Z: πάνυ N 8 αὐταὶ N: πολιτικαὶ Z 9 παρὰ N: περὶ corr. in παρὰ Z δρῶντα Diels: ὁρῶντα NZ 10 παρὰ N: περὶ corr. in παρὰ Z 12 πολλὴν] τοσαύτην Arist. vulg. 13 φέρεσθαι] an φαίνεσθαι? 14 μόνον Z: μέσον N 15 μόνον Z: μέσον N προστίθησι Z: πρὸς τίθησει (ι η supra) N 16 διότι corr. ex διὸ Z²: διὸ N 18 ὑπουργεῖ Z: ὑπουργοῦσι N τῶν ἀγαθῶν Z: τῷ ἀγαθῷ N 20 ἐκ om. Z Ἀναλυτικοῖς] Pr. A 12 p. 32a12 28 περὶ transpositum ante πεπαιδευμένους N 29 μετρίως Z² in rasura; μετρίους N 31 αὐτῶν Z: αὐτὸν N

κριτὴς δὲ ἐπὶ τοσοῦτον, ὥστε γνωρίζειν τόν τε γεωμετρικὸν καὶ μή, καὶ τῷ μὲν προστίθεσθαι περὶ γεωμετρικῶν τῷ δὲ ἀπειθεῖν. εἰκάζειν δὲ τῷ μὲν ἀπαιδεύτῳ τὸν νέον παντάπασι. λέγει δὲ νέον τὸν παῖδα· ἡγεῖται δὲ τὸν παῖδα μὴ ἐπιτήδειον εἶναι τῶν ἠθικῶν ἀκούειν λόγων διὰ τὸ μηδέπω ἔχειν ἀρχὰς λογικάς. διό φησι μὴ εἶναι οἰκεῖον ἀκροατὴν τὸν νέον, τουτέστι τὸν παῖδα, δι' ἓν μὲν ὅτι ἄπειρός ἐστι τῶν κατὰ τὸν βίον πράξεων, δι' ἕτερον δὲ ὅτι κατὰ πάθος ζῇ ὥσπερ τὰ ἄλλα ζῷα καὶ λόγου ἄμοιρα. πλὴν τοσοῦτον διαφέρει τῶν ἀλόγων ζῴων, ὅσον ἀφορμὴν ἔχει τῇ ψυχῇ τοῦ λόγου. ἐθίζειν μὲν οὖν ἀξιοῖ τοὺς παῖδας, τοὺς δὲ τῆς πολιτικῆς ἢ ἠθικῆς λόγους μὴ παραδιδόναι. καὶ γὰρ καταφρονήσουσιν ὡς ἄλλου τινὸς μαθήματος μὴ ἀναγκαίου ἀκούοντες καὶ ἀνωφελῶς ἀκούσονται. λογικοῦ γὰρ ἡ προαίρεσις, μὴ κτώμενοι δὲ προαίρεσιν ἀγαθὴν οὐδὲ πράξουσι οὐδὲν τῶν κατὰ λόγον. διαφέρειν δὲ οὐδὲν ἡγεῖται νέον τὴν ἡλικίαν καὶ τὸ ἦθος νεαρόν· οὗτοι δέ εἰσιν οἱ κατὰ πάθος ζῶντες, οἱοίπερ οἱ ἀκρατεῖς· τοῖς δὲ κατὰ λόγον τὸν φύσει παραγινόμενον τοῖς ἀνθρώποις ἀπό τινος ἡλικίας δυναμένοις ποιεῖσθαι τὰς ὀρέξεις, πολλοῦ ἂν ἄξιον εἴη τι περὶ τούτων εἰδέναι.

Πρὶν δὲ εἰπεῖν περὶ ὧν ἑξῆς λέγει, ἄξιον ἀπορῆσαι, πῶς τὴν εὐδαιμονίαν τέλος τῆς πολιτικῆς εἴρηκεν· ἡ μὲν γὰρ πολιτικὴ πρακτική τίς ἐστι· πάσης δὲ πρακτικῆς ἐπιστήμης τέλος πρᾶξις, ὥστε ἡ εὐδαιμονία ἐν πράξει· δοκεῖ δὲ αὕτη εἶναι ἐν θεωρίᾳ καὶ τό γε μέγιστον τοῦ τέλους ἐν τούτῳ. ἆρ' οὖν κατὰ πρᾶξιν λέγει τὴν ἐνίων τοὺς πρώτους λόγους, ὅθεν καί φησι "δόξειε δ' ἂν τῆς κυριωτάτης" ὡς ἂν τὴν δόξαν ἐκθέμενος τὴν περὶ τῆς εὐδαιμονίας; εἶτα προϊὼν ἀκριβοῖ τὸν περὶ αὐτῆς λόγον καί φησιν 'ἐν ἐνεργείᾳ εἶναι κατ' ἀρετὴν τελείαν', ὥστε εἶναι αὐτὴν τέλος τῆς τελείας ἀρετῆς· αὕτη δέ ἐστιν ἡ ἐκ πασῶν τῶν ἀρετῶν τῶν τε πρακτικῶν καὶ τῶν θεωρητικῶν. ἢ διττὴν τίθεται τὴν εὐδαιμονίαν τὴν μὲν πρακτικὴν ὡς ἀτελεστέραν, τὴν δ' ἐξ ἀμφοῖν ὡς τελειοτέραν; ἢ ἔστι πως εἰπεῖν τὴν μὲν εὐδαιμονίαν θεωρητικὴν ἅμα καὶ πρακτικὴν οὖσαν τέλος εἶναι τῆς πολιτικῆς; διὸ προστάττει αὐτὴ τοὺς μέλλοντας ἀρίστους τῶν πολιτικῶν ἔσεσθαι μὴ μόνον πρακτικοὺς ἀλλὰ καὶ θεωρητικοὺς εἶναι. δόξειε δ' ἂν κατά γε τοῦτο ἐλάττων εἶναι ἡ σοφία καὶ ὅλως ἡ θεωρητικὴ ἐπιστήμη τῆς πολιτικῆς, εἴ γε ἡ μὲν προστάττει, ἡ δὲ προστάττεται. ἀλλὰ ταύτην γε λύει τὴν ἀπορίαν προϊών· φησὶ γὰρ τὸ μηδὲν κωλύειν τὴν ἐλάττω προστάσσειν περὶ τῶν κρειττόνων. οἷον ⟨προστάσσει⟩ ἡ πολιτικὴ καὶ ναοὺς θεῶν κατασκευάζεσθαι καὶ σέβειν αὐτοὺς οὐ δήπου κρείτ-

4 ἐπιτήδιον N   6 τὸν βίον corr. ex τῶν βίων N   7 ἄλλα Z: ἄλογα N · ἄμοιρα corr. ex εὔμοιρα Z   8 διαφέρει corr. ex διαφέρη Z   10 μὴ ἀναγκαίου μαθήματος N   12 διαφέρειν — ἐν τοῖς Φυσικοῖς (p. 9,28) *Classical Journal* XXVIII 310. 311   22 φησι] p. 1094a26   κυριότητος N: κυριωτιτος Z corr. a Z^2 in κυριωτάτης   23 φησιν] A 6 p. 1098a16   24 τελείαν scripsi: τέλος NZ   27 τελειοτέραν Z: τελειότητα N   29 αὐτὴ N: αὕτη Z   30 καὶ om. N   31 ὅλως corr. ex ὅμως Z^2: ὅμως N   32 προστάσσεται Z   γε om. N   33 μηδὲν scripsi: μηδὲ NZ   προστάσσει addidi   34 ναοὺς] νεούς N: νεοὺς (α suprascr.) Z   de sententia cf. Z 13 p. 1145a10

των οὖσα τῶν θεῶν· τὸν αὐτὸν δὲ τρόπον καὶ περὶ τῆς σοφίας ἐπιτάττειν ἥγουν πολὺ θειοτέρας καὶ τιμιωτέρας αὐτῆς ἐπιδείκνυσιν.

Ἐπεὶ δὲ περὶ τούτων ἠπόρηται, πάλιν ἐπὶ τὸν συνεχῆ τοῖς εἰρημένοις λόγον ἐπανέλθωμεν. ἀναλαβὼν δὲ λέγει τὸν ἐξ ἀρχῆς λόγον, πᾶσαν γνῶσιν καὶ προαίρεσιν ἀγαθοῦ ὀρέγεσθαι, ἐν μὲν τῇ γνώσει τὴν ἐπιστήμην καὶ τὴν μέθοδον περιλαβών, ἐν δὲ τῇ προαιρέσει τὴν πρᾶξιν, ἐπεὶ αἱ πράξεις ὡς ἀπὸ προαιρέσεως ἐνεργοῦνται. τί οὖν ἐστιν τὸ τέλος τῆς πολιτικῆς ἢ τὸ ἀκρότατον τῶν πρακτῶν ἀγαθῶν; οὐκ ἀλόγως δὲ προσέθηκε πρακτῶν, ἀλλ' ἐπειδὴ ἁπλῶς μὲν ἀκρότατον ἀγαθὸν τὸ πρῶτον αἴτιον, τῶν δὲ πρακτῶν ἡ εὐδαιμονία, περὶ ἧς νῦν ἡ σκέψις. τὸ μὲν οὖν ὄνομα ταὐτὸν ὑπὸ πάντων ὁμολογεῖται· εὐδαιμονίαν γὰρ ὀνομάζουσι τὸ ἀκρότατον τῶν τελῶν. τὸ δὲ εὖ ζῆν καὶ τὸ εὖ πράττειν ταὐτὸν ὑπολαμβάνουσι τῷ εὐδαιμονεῖν. ταῦτα δὲ προσέθηκε καταβαλλόμενος ἤδη τὰς ἀρχὰς εἰς τὴν αὐτοῦ περὶ εὐδαιμονίας δόξαν. ἐν πράξει γὰρ αὐτὴν καὶ ἐνεργείᾳ τιθέμενος προσάγεται ἤδη τὴν πάντων ἀνθρώπων ὁμολογίαν, ὡς ὑπὸ τῆς ἀληθείας ἀγομένων ἐπὶ ⟨τὸ⟩ τὸ εὖ ζῆν καὶ τὸ εὖ πράττειν καὶ τὸ εὐδαιμονεῖν μηδὲν ἀλλήλων διαφέρειν λέγειν. ἀλλ' οὖν ὀνόματι μὲν τῷ αὐτῷ πάντες ὀνομάζουσιν, εὐδαιμονίαν λέγοντες, περὶ δὲ τῆς εὐδαιμονίας, τί ἐστιν, ἀμφισβητοῦσιν, καὶ οὐ μόνον τοῖς σοφοῖς οἱ πολλοὶ ἀλλὰ καὶ αὐτοὶ ἀλλήλοις καὶ αὐτοὶ αὑτοῖς, συμμετατιθέντες κατὰ τὴν αὑτῶν χρείαν τὴν εὐδαιμονίαν. ἔνιοι δὲ ᾤοντο τἀγαθὸν ἄλλο τι εἶναι παρὰ τὴν εὐδαιμονίαν, τὴν ἰδέαν τὴν τοῦ ἀγαθοῦ· τοῦτο γὰρ εὐδαιμονία οὐκ ἐδόκει εἶναι ἀνθρωπίνη, ἡ δὲ γνῶσις αὐτοῦ εὐδαιμονία. τὸ μὲν οὖν πάσας ἐξετάζειν τὰς δόξας ὡς μάταιον παραιτεῖται, τὰς δὲ ὡς μάλιστα ἐπιπολαζούσας ἢ δοκούσας ἔχειν τινὰ λόγον ἐξετάζειν ἐπαγγέλλεται.

Ἀξιοῖ δὲ μὴ λανθάνειν, ὅτι διαφέρουσιν οἵ τε ἀπὸ τῶν φύσει ἀρχῶν λόγοι καὶ οἱ ἐπὶ τὰς φύσει ἀρχάς· ἔσονται γὰρ καὶ αἱ ἀρχαὶ αἱ μὲν φύσει αἱ δὲ ὡς πρὸς ἡμᾶς. εἴρηται δὲ περὶ τούτων καὶ ἐν τοῖς Φυσικοῖς· ἠπόρει δὲ καὶ Πλάτων πόθεν ἀρκτέον ἐν τοῖς λόγοις καὶ ποίαις ἀρχαῖς χρηστέον· φησὶν οὖν ἐν τούτοις ἀρκτέον εἶναι ἀπὸ τῶν ἡμῖν γνωρίμων καὶ χρήσεται προϊόντος τοῦ λόγου φανεροῖς τισι καὶ γνωρίμοις ἡμῖν. διό, φησί, δεῖ τοῖς ἤθε-

2 ἥγουν scripsi: ἡγουμένη NZ   θειοτέρας καὶ τιμιωτέρας scripsi: θειοτέραν καὶ τιμιωτέραν NZ   3 δὲ N: δὴ Z   4 ἐπανέλθωμεν N: ἐπανέλθομεν Z   5 γνῶσιν Z^2 in marg.: πρᾶξιν ZN   6 περιλαβών scripsi: παραλαβὼν NZ   ἐπεὶ δὲ Z   8 πρακτῶν (prius) scripsi: πρακτικῶν ZN   9 αἴτιον Z: ἄγριον N   πρακτῶν N: πρακτικῶν Z   10 πάντων NZ^2: π cum lacuna Z   11 ὀνομάζουσι corr. Z^2: ὀνομάζει ZN   14 αὐτὴν Z: αὐτῇ N   15 τὴν scripsi: τῶν ZN   ὁμολογία N   τὸ addidi   16 καὶ τὸ εὖ N: καὶ ἐπὶ τὸ εὖ Z   17 λέγειν post διαφέρειν Z^2 inseruit: om. ZN   ὀνόματι N: ὀνόματά Z   19 αὑτοῖς scripsi: αὐτοῖς libri   20 αὑτῶν Diels: αὐτῶν libri   χρεῖαν Z: χρίαν N   21 παρὰ scripsi: περὶ NZ   22 εὐδαιμονίαν Z   23 ὡς Z: ἂς N   24. 25 ἐπαγγέλλεται N: ἀπαγγέλλεται Z   28 Φυσικοῖς] A 1   29 Πλάτων] Rep. VI p. 511 B   30 τούτοις marg. Z^2: τοῖς NZ   31 δεῖ] καὶ NZ; ante καὶ in marg. addit δεῖ Z^2 ἔθεσιν Arist. vulg.

σιν ἦχθαι καλῶς τὸν περὶ καλῶν καὶ πολιτικῶν ἀκουσόμενον. παραγίνεται γὰρ αὐτῷ τὸ ὅτι ἐξ ἐθῶν, ὃ ἂν ἔχῃ, οὐδὲν ἔτι δεῖται τοῦ διότι πρός γε τὰς πράξεις. ὁμοίως γὰρ πράξει ὁ πεπεισμένος ὅτι τόδε ἦν τὸ καλὸν τῷ καὶ τὴν αἰτίαν εἰδότι, ἐπεὶ πρός γε τὸ βεβαιοτέραν ἔχειν τὴν κατάληψιν διαφέρει ὅ γε τοιοῦτος· καὶ νὴ Δία ὅτι καλὸν μὲν ἡ σωφροσύνη, αἰσχρὸν δὲ ἡ ἀκολασία καὶ ὅλως ἡ μὲν ἀρετὴ καλόν, ἡ δὲ κακία κακόν, λάβοι ἂν ῥᾳδίως ἀρχὴν διὰ τὸ καλῶς ἦχθαι. λέγει δὲ ἀρχὰς τὰς τοῦ ὅτι τόδε καλὸν ἢ τόδε αἰσχρὸν ἢ εἴ τινες ταύταις ὅμοιαι. ᾧ δὲ μηδέτερον ὑπάρχει, μήτε τὸ ἔχειν μήτε τὸ λαβεῖν ῥᾳδίως, ἀκουσάτω τοῦ Ἡσιόδου. εἰκάζει δὲ τῷ μὲν δι' αὑτοῦ πάντα νοοῦντι τὸν ἔχοντα ταύτας τὰς ἀρχάς, τὸν δὲ δυνάμενον ῥᾳδίως λαβεῖν μηδέπω δὲ ἔχοντα τῷ πειθομένῳ τοῖς εὖ λέγουσιν, ἀχρεῖον δὲ τὸν μηδετέρως διακείμενον καὶ ἐοικέναι τῷ μήτε νοοῦντι μήτε ἄλλου ἀκούοντι.

Ἡμεῖς δέ, φησί, λέγωμεν, ὅθεν παρεξέβημεν. τριῶν γὰρ ὄντων βίων τοῦ τε θεωρητικοῦ καὶ τοῦ ἀπολαυστικοῦ καὶ τοῦ χρηματιστικοῦ, οὐκ ἀλόγως ἐκ τούτων τῶν βίων ὁρμώμενοι καθ' ἕκαστον αὐτῶν ἄλλοι ἄλλην εὐδαιμονίαν τίθενται διὰ τὸ τὴν εὐδαιμονίαν μηδὲν ἄλλο εἶναι ἢ βίον τέλειον. οἱ μὲν οὖν πολλοὶ καὶ ἐπιπολαιότατοι τιμῶντες τὸν ἀπολαυστικὸν βίον τέλος τίθενται τὴν ἡδονήν· αὕτη γὰρ οὔτε τὸ ἐπ' ἄλλοις εἶναι δοκεῖ ἔχειν οὔτε τὸ εὐαφαίρετον. ἡ δὲ τιμὴ ἐπὶ τοῖς τιμῶσίν ἐστιν, οὐκ ἐπὶ τοῖς ἔχουσι, διὸ καὶ εὐαφαίρετος· ἐπ' ἄλλοις γὰρ ἔστι τιμᾶν καὶ ἀτιμάζειν· ἔτι δὲ καὶ ὅσοι εὖ πεφυκότες ἀσπάζονται τὴν τιμήν, διὰ τοῦτο φαίνονται διώκειν αὐτήν, ὅπως λαβόντες πολλοὺς μάρτυρας καὶ μάλιστα τοὺς ἀγαθοὺς πιστεύωσιν ἑαυτοὺς ἀγαθοὺς εἶναι. εἰ δὲ ἡ τιμὴ διὰ τὴν ἀρετήν, δῆλον ὡς τέλος ἂν εἴη μᾶλλον ἡ ἀρετή. τὸ γὰρ οὗ ἕνεκα τέλος· ἔστι δὲ αὕτη ἀτελεστέρα. τίς γὰρ ἂν εἴποι εὐδαίμονα τὸν ἔχοντα τὴν ἀρετήν, ἀπρακτοῦντα δὲ καὶ καθεύδοντα παρ' ὅλον τὸν βίον, οἷον καὶ τὸν Ἐνδυμίωνα μυθολογοῦσιν; ἢ τίς ἂν εἴποι εὐδαίμονα τὸν τὰ μέγιστα τῶν ἀγαθῶν ἔχοντα παρ' ὅλον τὸν βίον καὶ κακοπαθοῦντα; οὐδεὶς γὰρ αὐτὸν εὐδαιμονίσειεν, εἰ καὶ ὅτι μάλιστα τὴν ἀρετὴν ἔχοι, εἰ μὴ θέσιν διαφυλάττει, τουτέστιν παράδοξον λόγον. εἰρῆσθαι δέ φησι περὶ τούτων καὶ ἐν τοῖς ἐγκυκλίοις. ἔστι δὲ αὐτοῖς προβλήματα ἐγκύκλια παντοδαπά· διὸ καὶ ἐγκύκλια ὠνομάζετο, διὰ τὸ ἐγκυκλίως αὐτοὺς καθημένους ἐπιχειρεῖν εἰς τὸ προτεθέν· ἢ διὰ τὸ ἐν κύκλῳ περιεστῶτας ἀκροᾶσθαι. περὶ

1 τὸν Z: τῶν N 2 παραγίνεται N: περιγίνεται Z τὸ corr. Z²: καὶ ZN δεῖται om. N 3 γὰρ NZ²: lacunam 20 fere litterarum reliquit Z 5 μὲν om. Z 6 λάβοι ἂν Z²: λαβὼν ZN 7 τοῦ om. Z 8. 9 τὸ ἔχειν μήτε add. Z²: om. ZN ἀκουσάτο N τοῦ (ut Arist. cod. Mb) libri: τῶν Arist. Ἡσιόδου] Opp. 293 11 τῷ om. N 12 τὸν Z²: τὸ ZN 13 λέγωμεν Z: λέγομεν N 15 ἄλλην Z: ἄλλων N 16 διὰ τὸ N: διὰ καὶ τὸ Z: διὰ τὸ καὶ Z² τέλειον] τε/ Z: τέλος Z² 17 πολλοὶ om. N 18 ἡδονὴν - - ἔχειν lacuna NZ, quam explevit Z² 21 ἀσπάζονται καὶ τὴν N 22 λαβῶντες N μάλλιστα N 25 εὐδαιμονίαν N 26 Ἐνδυμίωνα] cf. K 8 p. 1178b20 28 εὐδημονήσειεν N 29 μὴ scripsi Arist. secutus: μὲν NZ εἰ μὴ θέσιν — φησι (p. 11,1) = *Class. Journal* XXVIII 311. 312 διαφυλάττων Arist. 30 προβλήματα Z²: πρόβλημα ZN 31 παντοδαπᾶ N 32 ἐν κύκλῳ Z: ἐγκύκλως N

δὲ τοῦ θεωρητικοῦ βίου ὕστερον ἐπισκέψεσθαί φησι. τὸν δὲ χρηματιστὴν βίαιον λέγουσι, τουτέστι μικρόν, ὡς πρὸς εὐδαιμονίαν βίαιον λέγοντες τοῦτον· ὁ γὰρ πλοῦτος οὐ τὸ ζητούμενον ἀγαθὸν ἀλλὰ χρήσιμον καὶ ἄλλου χάριν. χρήσιμα δὲ λέγουσιν ἀγαθὰ διὰ τὴν χρείαν· ἔστι δὲ τοιοῦτον ὁ πλοῦτος. πῶς δὲ ἄλλου χάριν αἱρετὸν τὸν πλοῦτον εἴρηκεν, ἐν ἄλλοις δι' αὑτὸν ἀγαθὸν λέγων καὶ δι' αὑτὸν αἱρετόν; ἢ ὅτι τῷ μέν, τῷ κατὰ φύσιν διακειμένῳ, ἁρμόττειν λέγεται καὶ τῷ ἀγαθῷ ἁπλῶς ἀγαθόν ἐστι καὶ δι' αὑτὸ αἱρετόν· ἢ διότι ὄργανόν ἐστι τῷ ἀγαθῷ (πᾶν γὰρ ὄργανον δι' ἕτερον) ταύτῃ ἄλλου χάριν αἱρετόν.

* * * * * * * * * * *

διὰ τὸ φίλους ἄνδρας εἰσαγαγεῖν τὰ εἴδη οὐχ ὡς ἐκείνων ταὐτὸν ἡγουμένων τὸ καθόλου καὶ τὴν ἰδέαν, ἀλλ' ἐπειδὴ αὐτὸς οὐδέν φησιν εἶναι τὴν ἰδέαν ἢ τὸ καθόλου, τοῦτο δὲ λαβόντας χωριστὸν ποιεῖσθαι τοὺς τὰς ἰδέας τιθεμένους.

p. 1096a17 Οἱ δὲ κομίζοντες τὴν δόξαν ταύτην ἕως καὶ περὶ μὲν τούτων ἐπὶ τοσοῦτον εἰρήσθω.

Οἱ ἀναιρετικοὶ λόγοι δόγματος οἱ μὲν ἁπλῶς ἀναιροῦσιν, οἱ δὲ ἐκ τῶν δοκούντων τοῖς τιθεμένοις τὸ δόγμα, οἷον οὐ μόνον ἀναιροῦσιν ἀλλὰ καὶ τοὺς εἰρηκότας ἐλέγχουσιν οὐχ ὁμολογοῦντας αὐτοῖς. τοιοῦτος δέ ἐστι καὶ ὁ πρῶτος λόγος πρὸς τοὺς τὴν τοῦ ἀγαθοῦ ἰδέαν εἶναι λέγοντας. φησὶ γὰρ ὅτι οἱ κομίσαντες τὴν δόξαν ταύτην οὐκ ἐποίουν ἰδέας τούτων ἐν οἷς ἐστι τὸ πρῶτον καὶ τὸ ὕστερον· ἔστω γάρ, φησί, πρότερον οὗ μὴ ὄντος οὐκ ἂν εἴη τὸ ὕστερον, ὄντος δὲ οὐκ ἀνάγκη τὸ ὕστερον εἶναι. διόπερ, φησίν, οὐδὲ τῶν ἀριθμῶν ἐποίουν ἰδέας. οἷον αὐτοάριθμον διὰ τὸ εἶναι προτέραν τὴν δυάδα τῶν ἄλλων· ἀναιρουμένης γὰρ αὐτῆς ἀναιροῦνται καὶ οἱ λοιποί. τὸ δὲ ἀγαθὸν λέγουσι καὶ ἐν τῷ τί ἐστιν, τουτέστιν οὐσίᾳ, καὶ ἐν ταῖς ἄλλαις κατηγορίαις· καὶ ἔστι τὸ καθ' αὑτό, ὅπερ ἐστὶν ἡ οὐσία, πρότερον τῇ φύσει τῶν ἄλλων κατηγοριῶν.· ὁ δὲ τοῦ πρός τι μόνον ἐμνημόνευσεν, ἐπειδὴ γνωριμωτέρως τούτου προτέρα ἡ οὐσία. σχέσις γάρ ἐστι τῆς οὐσίας πρὸς ἄλλο τι, διὸ παραφυάδι εἰκάζει τὸ πρός τι. πᾶσα γὰρ παραφυὰς ὑστέρα ἐκείνου ᾧ παραπέφυκεν· ὥστε οὐκ ἂν εἴη κοινή τις τούτων ἰδέα. ὁ δὲ λόγος ὡς περιλαβόντι εἰπεῖν ἔχει οὕτως· ἐν οἷς τὸ πρότερον καὶ τὸ ὕστερον οὐκ ἔστιν,

1 ἐπισκέψασθαι N 2 μικρόν] explicare voluisse videtur Aspasius βαιὸν non βίαιον: add. Z² ἴσως οὕτως· τουτέστι μικρὸν πρὸς εὐδαιμονίαν συμβάλλον καὶ διὰ τοῦτο βίαιοι οἱ λέγοντες τοῦτον εὐδαίμονα ὡς om. Z 5 ἐν ἄλλοις] Δ 1 p. 1120a6? 6 τῷ μὲν Z: τῶν μὲν N διακειμένων N 7 λέγεται scripsi: λέγω ZN ἁπλὸν Z: ἁπλοῦν N δι' αὑτὸ scripsi: δι' αὐτὸ τὸ Z: διὰ τοῦτο N 8 χάριν scripsi: ταύτῃ ZN 9 unius versus lacunam praebent ZN 10 διὰ—εἴδη om. ZN: add. Z² εἴδη Arist.: ἔθη Z² 11 ἢ inseruit Z²: om. ZN 12 λαβόντας Z: λαβόντως N 13 κομίσαντες Arist. τὴν om. NZ: add. Z² 15 post δόγματος NZ πῶς quod expunxit Z² 17 οὐχ ὡς ὁμολογοῦντας Z αὐτοῖς libri 18 πρὸς τοὺς τὴν Z²: πρὸς τὴν ZN 19 ἐν Z²: ἢ ZN 20 φησι Z: φύσει N. cf. Phys. Θ 7 p. 260b18 21 τὸ ὕστερον (post ἀνάγκη) Z²: τοῦ ὕστερον Z: τοῦ ὑστέρου N 23 ἀναιρουμένης γὰρ αὐτῆς Z: ἀναιρουμένοις γὰρ αὐτοῖς N 24 ἐν Z: ἡ N τουτέστιν om. N 25 καθ' αὑτὸ N: καθ' αὑτὸν Z, expuncta ν littera a Z² 26 μόνον Z: μέσον N 29 ἐπὶ τούτων Arist. vulg.: ἐπὶ τούτοις Kb Mb 30 περιλαβόντι Diels: περιλαβόντα libri πρότερον Z: πρῶτον N

οὐδεμία ἰδέα τούτων. εἰς παραμυθίαν δὲ τοῦ τὸ πρότερον καὶ τὸ ὕστερον εἶναι ἐν τἀγαθῷ, διείλετο ποσαχῶς λέγεται τὸ ἀγαθόν· ὅτι καὶ ἐν ταῖς δέκα κατηγορίαις ἡ μὲν οὐσία καθ' αὑτήν ἐστι καὶ ὄν, τὰ δὲ ἄλλα συμβεβηκότα, πρότερον δὲ τὸ καθ' αὑτὸ τῶν συμβεβηκότων. τὴν μὲν οὖν πρώτην πρότασιν ἐκ τῆς δόξης ἔλαβε τῶν τὰς ἰδέας εἰσηγουμένων, τὴν δὲ ἑξῆς αὐτὸς τίθησιν. οὐ γὰρ ἂν συγχωροῖεν τὸ πρότερον καὶ τὸ ὕστερον εἶναι ἐν τοῖς ἀιδίοις, ἀλλ' ἅμα τῇ φύσει ταῦτα. † τοῦ ἀγαθοῦ δὲ ποσαχῶς ἔχουσα τὸ ἀγαθόν. ὁ δὲ ἑξῆς λόγος ἔγκειται ὑποθετικῶς οὕτως· εἰ τὸ ἀγαθὸν ἰσαχῶς λέγεται τῷ ὄντι, δῆλον ὅτι οὐκ ἂν εἴη καθόλου καὶ ἓν τὸ ἀγαθόν. τούτῳ δὲ ἕπεται τὸ μηδεμίαν ἰδέαν εἶναι ἀγαθοῦ. κατηγορικῶς δὲ οὕτως ἂν λεχθείη· τῶν πολλαχῶς λεγομένων οὐκ ἔστι μία ἰδέα· τὰ ἀγαθὰ λέγεται πολλαχῶς· οὐκ ἄρα οἷόν τε μίαν αὐτῶν ἰδέαν εἶναι. δοκεῖ δὲ καὶ οὗτος ὁ λόγος καὶ ὁ πρότερος οἱ αὐτοὶ εἶναι· ἐκ γὰρ τῆς διαιρέσεως τῆς τῶν ἀγαθῶν καὶ τοῦ πολλαχῶς ταῦτα λέγεσθαι τὴν ἀπόδειξιν ποιεῖσθαι δοκοῦσιν. οὐ μήν εἰσιν οἱ αὐτοί, ἀλλ' ὁ μὲν πρότερος ἐκ τοῦ μὴ εἶναι κοινὴν ἰδέαν τούτων, ἐν οἷς τὸ πρότερον καὶ τὸ ὕστερον, εἶναι δὲ τὸ πρότερον καὶ τὸ ὕστερον ἐν τοῖς ἀγαθοῖς. ὁ δὲ ὕστερος παντελῶς ἄλλας ἔχει τὰς προτάσεις· ἐκ γὰρ τούτων πολλαχῶς λεγομένων μὴ εἶναι ἰδέαν, τὸ δ' ἀγαθὸν πολλαχῶς λέγεσθαι ἐπιφέρει τὸ συμπέρασμα. ἑκατέρα δ' αὐτῶν ἡ δευτέρα πρότασις τὴν παραμυθίαν ἔχει ἐκ τῆς διαιρέσεως τῶν ἀγαθῶν· ὁ δὲ τρίτος λόγος κεῖται μὲν καὶ αὐτὸς ὑποθετικῶς. ἰσοδυναμεῖ δὲ τούτῳ τῶν κατὰ μίαν ἰδέαν μία καὶ ἐπιστήμη· τῶν δ' ἀγαθῶν οὐκ ἔστι μία ἐπιστήμη. τοῦτο δ' ὑπομιμνήσκει· πολλαὶ γὰρ ἐπιστῆμαι καὶ τῶν ὑπὸ μίαν τῶν κατηγοριῶν, οἷον καιρός ἐστι τῆς τοῦ ποτὲ κατηγορίας· ἐν πολέμῳ γὰρ στρατηγικὴ ἐπιστήμη τοῦ καιροῦ, ἐν νόσῳ δὲ ἰατρικὴ καὶ τὸ μέτριον δέ ἐστι τῆς τοῦ ποσοῦ ἢ μᾶλλον τῆς τοῦ πρός τι, ἀλλ' ἐν τροφῇ μὲν ἰατρικὴ ἐπιστήμη, ἐν πόνοις δὲ γυμναστική. ὅτι δὲ τῶν ὑπὸ μίαν ἰδέαν μία καὶ ἐπιστήμη ῥᾴδιον μαθεῖν. καὶ γὰρ ἀνθρώπου μία ἐπιστήμη καὶ ἵππου μία. εἰ δέ τις λέγει ὅτι ὑγιείας οὐ μία, καίτοι κατὰ μίαν ὑγίειαν λέγεται, καὶ ἔστιν ἄλλη μὲν ἐπιστήμη ἀνθρώπων ὑγιείας, ἄλλη δὲ ἵππων, ῥητέον ὅτι μία ἐστὶν ἐπιστήμη ἰατρική, ἧς δύο μέρη· καὶ γὰρ ὑγίεια μία ἧς δύο εἴδη καὶ εἰσὶ δύο ἄρ' ὡς ἐπ' ἄλλων ἔχει. τὰ δὲ μετὰ ταῦτα κοινῶς ἀπορεῖ πρὸς τὸν τὰς ἰδέας λέγοντα, καὶ οἷον ὁ τοῦ αὐτοανθρώπου καὶ ἀνθρώπου λόγος, ᾗ ἄνθρωπος, οὐδὲν ταύτῃ διοίσουσιν, ὥστε οὐδὲ τὸ αὐτο-

1 δὲ τοῦ Z²: δὲ om. Z: δὲ τοῦ N 2 εἶναι ἐν τἀγαθῷ om. NZ: add. Z² 3 ἡ Z: εἰ corr. in ἡ N τὰ συμβεβηκότα ZN: delevit τὰ Z² 6 πρότερον Z: πρῶτον N 7 τοῦ Z: τὸ N 8 ὑποθετικῶς Z: ὑποθετικῆς N ἰσαχῶς Z corr. ex ὁσαχῶς: ὁσαχῶς N 9 καθόλου δὲ καὶ Z, deleto δὲ a Z² 10 ἰδέαν om. N λεχθείη N: λεχθῇ Z 13 γὰρ τῆς Z: γὰρ τοῖς N 15 πρότερος scripsi: πρότερον N: πρῶτος Z 19 δευτέρα N: προτέρα Z 22 οὐκ ἔστι μία Z: οὐδεμία N τοῦτο δ' om. NZ: add. Z² 25 τὸ μέτριον corr. ex τοῦ μετρίου Z²: τοῦ μετρίου ZN 26 ἀλλ' ἐν τροφῇ Z²: ἀναστροφὴ ZN δὲ prius Z: καὶ N 27 εἰδέαν N 32. 33 καὶ ἀνθρώπου om. Z: add. Z² 33 λόγος om. NZ: addit Z² ἄνθρωπος Diels: ἀνθρώπου libri ταύτῃ Z: ταύτην N διοίσωσιν N

ἀγαθὸν τοῦ ἐν μέρει ἀγαθοῦ, ᾗ ἀγαθόν· οὐδ' ὅτι ἀίδιον τὸ αὐτοαγαθὸν καὶ ὁ αὐτοάνθρωπος· ταύτῃ μὲν γὰρ διοίσει, ᾗ ⟨δ'⟩ ἀγαθὸν ἢ ᾗ ἄνθρωπος, οὐδὲν διοίσει· ὥσπερ οὐδὲ τὸ πολυχρόνιον λευκότερον τοῦ ἐφημέρου. πιθανώτερον ἐοίκασιν οἱ Πυθαγόρειοι λέγειν, ἐπειδὴ τοὺς ἀριθμοὺς ἀπὸ τῶν ἰδεῶν εἶναι λέγουσιν, ὡς ἔστι λαβεῖν ἐκ τῶν εἰρημένων ὑπ' αὐτῶν· ἀκολουθεῖ γὰρ αὐτοῖς λέγειν καὶ τῶν ἰδεῶν εἶναι ὅρους, ἐπειδὴ φαίνονται οἱ τὰς ἰδέας εἰσηγησάμενοι διὰ τὸ σφόδρα σεμνύνειν τὸ ἓν εἰς τὴν τῶν ἰδεῶν ἐπίνοιαν ἐλθεῖν. τὰ μὲν γὰρ πολλὰ καὶ κατὰ μέρος αἰσθητὰ ῥευστὰ ᾤοντο καὶ φθαρτὰ οὐδὲ τῷ ὄντι ὄντα, τὰ δέ, τὰ παρὰ τὰ καθ' ἕκαστα νοητὰ οὐκ αἰσθητὰ ἀλλ' ὄντως ὄντα· διὰ ταῦτα δὲ ἐποίησαν τὰς ἰδέας. ὁ δὲ Ἀριστοτέλης φησίν, εἴπερ ἄρα δεῖ σεμνύνειν τὸ ἕν, πιθανώτερον τοὺς Πυθαγορείους τοῦτο πεποιηκέναι· δύο γὰρ συστοιχίας θέμενοι, τὴν μὲν ἀγαθῶν, τὴν δὲ κακῶν δεκάδα, ἐν τῇ ἑτέρᾳ, τῇ τῶν ἀγαθῶν συστοιχίᾳ, τὸ ἓν ἐτίθεσαν. εἰσὶ δὲ αὐτοῖς αἱ συστοιχίαι αἵδε· ἀγαθὸν κακόν, πέρας ἄπειρον, περιττὸν ἄρτιον, ἓν οὐχ ἕν, δεξιὸν ἀριστερόν, ἄρρεν θῆλυ, ἠρεμοῦν κινούμενον, εὐθὺ καμπύλον, φῶς σκότος, τέτραγωνον ἑτερόμηκες. ἅμα γὰρ ἐσέμνυνον τὸ ἕν, ἅμα δὲ οὐκ ἐποίησαν οὐσίας τινάς, ἐν μὲν τῷ αὐτῷ λόγῳ οὔσας ταῖς αἰσθηταῖς οὐσίαις· νοητὰς δὲ

* *

*

Τοῖς δὲ λεχθεῖσιν ἀμφισβήτησίς τις ὑποφαίνεται. εἴποιεν γὰρ ἂν οἱ τὰς ἰδέας διηγούμενοι τοὺς μὲν λεχθέντας νῦν ὑπὸ τοῦ Ἀριστοτέλους λόγους εἰρῆσθαι, ὡς τῆς τἀγαθοῦ ἰδέας πάντων οὔσης τῶν ἀγαθῶν τῆς αὐτῆς, τὸ δὲ οὐχ οὕτως ἔχειν. εἶναι γὰρ διαφορὰς ἐν τοῖς ἀγαθοῖς· τὰ μὲν γὰρ εἶναι ἀγαθὰ καθ' αὑτά, τὰ δὲ δι' ἕτερα. ταῦτα δὲ λέγεται ἀγαθὰ τῷ ποιητικὰ εἶναι τῶν καθ' αὑτὰ ἀγαθῶν ἢ φυλακτικὰ ἢ τῶν ἐναντίων κωλυτικά· τὰ δὲ οὐ τῶν καθ' αὑτὰ μὲν ἀγαθῶν, ἀλλ' ὅσα δι' αὑτὰ αἱρετά, οἷον αἵ τε ἀρεταὶ καὶ τιμαί· ἰατρεία δὲ καὶ ὅσα τοιαῦτα ἀγαθὰ δι' ἕτερα. ἴσως δ' εἴποιεν καὶ ὑγίειαν καὶ πλοῦτον καὶ ὅσα τοιαῦτα δι' ἕτερα ἀγαθὰ εἶναι, ὄργανα γὰρ τῆς ἀρετῆς, ὧν ποιητικὰ μὲν ἀγαθά, ὅσα ποιητικά ἐστι τῶν καθ' αὑτὰ ἀγαθῶν, οἷον τὸ ἡδὺ μὲν ἡδονῆς ποιητικόν, γυμνάσιον δὲ

2 δ' add. Diels 3 ὥσπερ Z^2: ὥσπερ γὰρ ZN λευκότερον scripsi ex Arist.: λευκὸν ZN πιθανώτερον — Πυθαγόρειοι (4) Z^2: ἢ πρότερον ταῦτα NZ 4 δ' ἐοίκασιν Arist. ἐπειδὴ τοὺς—συστοιχίας θέμενοι (12) = *Class. Journal* XXVIII 312 ἀριθμοὺς scripsi: ὁρισμοὺς ZN 9 φθαρτὸν N τῷ ὄντι Z: τὸ ᾧ ὄντι N παρὰ Z^2: περὶ ZN 9. 10 αἰσθητὰ Z^2N: ἐσθητὰ Z 11 Πυθαγορίους ZN 13 δεκάδα N: δέκα Z, corr. Z^2 14 ..στοιχίαι Z: corr. Z^2 18 post δὲ 8 versuum lacuna N, 20 fere Z 21 τοῖς—Ἀριστοτέλους (23) om. Z, add. Z^2: τοῖς — εἴποιεν om. N 22 γὰρ ἂν] γὰρ ἄμν N μὲν] δὲ N 22. 23 ὑπὸ τοῦ Ἀριστοτέλους: δ' ἂν N 24 τῆς αὐτῆς Z^2: καὶ αὐτῆς αὐτῆς NZ οὐχ Z^2: om. NZ ἔχειν Z^2: ἔχει NZ εἶναι γὰρ διαφορὰς Z^2: ἀναφορὰς NZ 26 αὐτὰ scripsi: αὐτὸ NZ 27 ἀγαθῶν ἀλλ' Z: ἀγαθὰ N 29 ὑγείαν N

ὑγιείας, εἴπερ ἔστιν ὑγίεια τῶν καθ' αὑτὰ ἀγαθῶν· μάθησις δὲ καὶ ἄσκησις καὶ πόνοι ἀρετῆς ποιητικά. τὰ δὲ φυλακτικά ἐστιν ὅσα διατηρητικά ἐστι τῶν καθ' αὑτὰ ἀγαθῶν, οἷον ὑγιείας μὲν διατηρητικὰ ἃ παραδιδόασιν οἱ ἰατροὶ ὑγιεινὰ λέγοντες· αἰσθήσεως δὲ καθ' αὑτὴν οὔσης, τὰ διατηρητικὰ τῆς αἰσθήσεως κωλυτικὰ δὲ τῶν ἐναντίων εἴη μὲν ἄν πως ταῦτα καὶ φυλακτικὰ τῶν ἀγαθῶν καὶ κωλυτικὰ τῶν ἐναντίων· εἰσὶ δὲ καὶ αἱ ἰατρεῖαι κωλυτικαί πως τῶν ἐναντίων τῇ ὑγιείᾳ καὶ τῇ αἰσθήσει. διττῶς δὴ λεγομένου τοῦ ἀγαθοῦ καὶ τοῦ μὲν δι' αὑτὸ αἱρετοῦ ὄντος, τοῦ δὲ δι' ἕτερον, χωρίσαντες ἀπὸ τῶν ὠφελίμων τὰ καθ' αὑτὰ ἀγαθὰ σκεψώμεθα, φησίν, εἰ λέγεται κατὰ μίαν ἰδέαν. ὠφέλιμα δὲ ἰδίως λέγουσι τὰ δι' ἕτερα ἀγαθά. εἶτα ὁρίζεται καθ' αὑτὰ εἶναι τὰ ὅσα καὶ μονούμενα διώκεται, οἷον τὸ φρονεῖν καὶ τὸ ὁρᾶν καὶ ἀβλαβεῖς ἡδοναὶ καὶ τιμαί· ταῦτα γὰρ καὶ καθ' ἑαυτά, εἰ καὶ δι' ἄλλο τί ἐστιν αἱρετά, οἷον εὐδαιμονίαν ἀνθρώπων.

Μετὰ ταῦτα δὲ μνημονεύει τοῦ ἐκείνων λόγου· ἡγοῦνται γὰρ τὴν γνῶσιν τῆς τἀγαθοῦ ἰδέας συλλαμβάνειν πρὸς τὰ πρακτέα τῶν ἀγαθῶν. παράδειγμα γὰρ ἐκείνην ἔχοντες καὶ τὰ ἡμῖν ἀγαθὰ εἰσόμεθα, ὥσπερ ὁ τὸν Σωκράτην εἰδὼς γνωριεῖ καὶ τὸν ὅμοιον τῷ Σωκράτει. τὸν δὲ λόγον τοῦτον πιθανὸν μὲν εἶναί φησιν, οὐχ ὁμολογεῖν δὲ αὐτῷ τὰς ἐπιστήμας· πάσας μὲν γὰρ ἀγαθοῦ τινος ἐφίεσθαι, ἀγαθὸν γὰρ ἑκάστῃ τὸ ἴδιον τέλος, μηδεμίαν δὲ ἐπιζητεῖν τὴν ἰδέαν τἀγαθοῦ. καὶ γὰρ οὐδὲν ὄφελος εἶναι ὑφάντῃ καὶ τέκτονι ἢ ἰατρῷ ἢ στρατηγῷ τεθεαμένῳ τὴν ἰδέαν πρὸς τὸ γνωρίζειν τὸ ἑαυτοῦ τέλος· οὐδὲ γὰρ ὑγίειαν ἰατρὸς τὴν κοινὴν ἀλλὰ τὴν ἀνθρώπου ἐπισκέπτεται. μᾶλλον δὲ ἴσως τὴν τοῦδε τοῦ ἀνθρώπου, οἷον Σωκράτους· [τὸν] καθ' ἕκαστον γὰρ ἰᾶται. ἢ ὅτι αἱ μὲν ἄλλαι τέχναι οὐκ εἰσὶ περὶ ἀγαθά, ἀλλὰ περὶ μέσα τινά, καὶ οὐδὲ τὰ τέλη αὐτῶν ἀγαθά, ἡ δὲ πολιτικὴ καὶ ἠθικὴ περὶ τὰ ἀνθρώπων ἀγαθά, ὥστε δέοι ἂν αὐτῇ τῆς τἀγαθοῦ γνώσεως ἢ εἰ μὴ τοῦτο. τῆς γε ἰδέας καθ' ἣν τὸ τέλος ἑκάστης λέγεται, οἷον ἰατρικῆς ὑγίεια τέλος καὶ ἔστι γε αὐτοϋγίεια τέλος. ἀλλ' οὐδέν, φησί, τῷ ἰατρῷ δεῖ γνώσεως τῆς αὐτοϋγιείας πρὸς τὸ ἰατρικώτερον γενέσθαι. φαίνεται δὲ οὐδὲ τὴν καθόλου ὑγίειαν ζητεῖν ἥτις ἐστίν, ἀλλὰ τὴν τοῦ ἀνθρώπου, μᾶλλον δὲ τὴν τοῦδε. καθ' ἕκαστον γὰρ ἰώμενος τὴν ἑκάστου ὑγίειαν ἐπισκοπεῖ. τοσοῦτον ἀπέχει τοῦ τὴν ἰδέαν ζητεῖν τὴν τῆς ὑγιείας.

1 ἄσκησις corr. Z² ex ἄσκσις 2 διατηρητικὰ καὶ N 3 ὑγιείας εἰ μὲν N 4 ὑγιεινὰ Z: ὑγίειαν N 5 κωλυτικὸν N 6 καὶ αἱ N: αἱ Z 7 ὑγείᾳ N 8 δι' αὑτὸ mutatum in δι' αὑτοῦ Z 11 διώκει N 12 τίμιαι N 14 Z in marg.: ὑπερεπήδησεν ἐνταῦθα τινὰ τῶν ἀριστοτέλους ὁ παραφράστης δὲ ταῦτα N 15 ἀγαθοῦ N συλαμβάνειν N 16 ἡμῖν scripsi: ἡμῶν ZN εἰσόμεθα — αἱρετὸν (p. 16,9) desunt N

Hinc libri ZR

17 γνωριεῖ Z: γνωρείη R δὲ Z: καὶ R 20 ἐπιζητῇ R 21 ἢ ἰατρῷ Z: καὶ ἰατρῷ R τὸ Z: τέ R 23 τὸν delevi cf. v. 31 24 μέσων R 25 ἡ — ἀγαθά (26) om. Z, add. Z² 27 ὑγιείας R 28 αὐτουγίεια Z² corr. ex αὐτῆς ὑγιεία: αὐτῆς ὑγίεια R ἀλλ' Z²: καὶ ZR 29 αὐτουγιείας Z: αὐτοῦ ὑγιείας ZR 30 ἐστίν Z: τ' R 31 ἰώμενος] οἰώμενος ZR 32 ὑγιείας Z: ὑγίας R

p. 1097a15 Πάλιν δ' ἐπανέλθωμεν ἕως τοῦ οὐδὲ ὀλίγος χρόνος.

Ἐπάνεισιν ἐπὶ τὸν ἐξ ἀρχῆς λόγον ζητῶν τί τὸ ἀνθρώπινον ἀγαθόν. ἐμμεθόδως δὲ χρῆται τῇ αἰτίᾳ τῶν γνωριμωτέρων ⟨πρὸς⟩ τὰ ἧττον γνώριμα. ἔστι δὲ γνωριμώτερον τοῦ ἀνθρωπίνου ἀγαθοῦ τὸ τῶν τεχνῶν, ἔτι δὲ τὸ τῶν κατὰ μέρος τοῦ καθόλου, ἔτι δὲ πασῶν τούτων ἔχουσα τέλος, ὑπὲρ οὗ τὰ λοιπὰ πράττεται πάντα [τὰ ἔμπροσθεν], ὥστε καὶ τοῦ ἀνθρώπου τὸ τέλος ᾗ πέφυκεν ἄνθρωπος. τοῦτο δὲ ἀνάγκη τῶν πρακτῶν ἁπάντων εἶναι τέλος· εἴρηται γὰρ ἐν τοῖς ἔμπροσθεν, ὅτι ἄλλο τέλος ἄλλῳ οὗ ἕνεκεν, τοῦ δὲ τῆς πολιτικῆς τέλους ἣν ἄνθρωπος τέλος ᾗ ἄνθρωπος, οὗ ἅπαντα τὰ ἄλλα χάριν πράττεται. διόπερ τὸ τῶν ἀνθρωπείων πρακτῶν ἁπάντων τέλος τοῦτ' ἂν εἴη τἀγαθόν. τοιοῦτον γάρ τι νῦν ζητεῖται· τὸ γὰρ πρακτὸν ἀγαθὸν εἴη ἂν ζητητέον. εἰ δὲ μὴ ἐν τούτῳ μόνῳ ἀλλὰ καὶ ἐν ἄλλῳ τινὶ ἡ εὐδαιμονία, οἷον εἰ ἐν τῷ θεωρεῖν, ταὐτὸν ἂν εἴη ζητητέον, τίνα τὰ συμπληροῦντα τὸ τέλος.

Μεταβαίνων δὲ ὁ λόγος εἰσελήλυθεν εἰς τὸ δεῖν ζητῆσαι, εἰ ἐν ἑνί ἐστιν ἡ εὐδαιμονία ἢ ἐν πλείοσιν. ὁποτέρως δ' ἂν ἔχῃ * * * ἕπεται τὰ ἑξῆς. φησὶ γὰρ δεῖν διασαφῆσαι περὶ αὐτῶν, μετὰ δὲ διαιρεῖ τί διαφέρει τέλος καὶ τελειότατον τέλος, ἵνα δείξῃ, ὅτι ἡ εὐδαιμονία τέλος ἐστὶ καὶ κυρίως τέλος καὶ τελειότατον τέλος. καλεῖ μὲν γὰρ κοινῶς τέλος ἐν πάσῃ τέχνῃ καὶ πράξει, οὗ ἕνεκεν τὰ λοιπὰ πράττεται. ἔνθεν μὲν οὖν οὐκ ἔστι τέλος δι' αὑτὸ αἱρετόν, ἀλλὰ πάντως δι' ἕτερον, οὐκ ἔστι τέλειον τέλος τὸ τοιοῦτον· ἄλλων γὰρ χάριν πράττεται, ὅπερ οὐ λέγει οἰκεῖον ἀλλὰ τῶν πρὸς τὸ τέλος. τοιαῦτα δὲ τὰ ὄργανα πάντα, οἷον πλοῦτος αὐλοί· οἵ τε γὰρ αὐλοὶ τέλος ὄντες αὐλοποιητικῆς ἕνεκεν τῆς αὐλητικῆς εἰσι καὶ τοῦ τέλους αὐτῆς, ὅ τε πλοῦτος, χρηματιστικῆς τέλος, αἱρετός ἐστι διὰ τὴν ἐλευθεριότητος χρῆσιν· τελειότερον δὲ τὸ τῆς αὐλητικῆς τέλος τοῦ τῆς αὐλοποιητικῆς· οὐ μόνον δὲ τελειότερον ἀλλὰ καὶ τέλος ἂν εἴη πᾶν τὸ καθ' αὑτὸ αἱρετὸν κἂν δι' ἕτερον ᾖ, οἷον ἀρετὴ καὶ ἡ ἀβλαβὴς ἡδονὴ καὶ τιμή· τούτων γὰρ ἕκαστον καὶ δι' αὑτὸ αἱρετὸν καὶ διὰ τὴν εὐδαιμονίαν. τὰ μὲν καθ' αὑτὰ αἱρετὰ πάντα τελειότερα

1 ἕως τοῦ corr. Z²: ἕως ἂν ZR ὀλίγος R: ὁ λόγος Z 3 πρὸς addidi post γνώριμα lacuna trium litterarum R 4 ἔτι Z²: ἔστι ZR 5 τοῦ καθόλου Z²: lacuna 11 fere litterarum ZR ἔτι Diels: ἔστι libri ἔχουσα τέλος ὑπὲρ οὗ τὰ Z²: lac. ZR 6 τὰ ἔμπροσθεν delevi 7 πέφυκεν Z²: lacun. ZR 8 ἔμπροσθεν] A 1 p. 1094a15 ἄλλο Z: ἄλλω R 10 ἀνθρωπείων Z²: ἀνθρώπων ZR 12 μωνω (ο supra) R ἀλλὰ R: om. Z: add. Z² ἡ om. R 13 τοῦ post θεωρεῖν add. Z² ζητατέον R τίνα τὰ add. Z²: om. ZR 15 δὲ] δὴ Arist. εἰς om. R 15. 16 εἰ ἐν ἑνὶ RZ²: εἰ ἑνὶ Z 16 ἔχῃ Z: ἔχει R lacunam indicavi 20 πλάττεται (ο supra) Z: πράττεται (λ supra) R 21 αὑτὸ scripsi: αὐτὸ Z: αὐτὸν R 22 τῶν πρὸς τὸ τέλος Z²: πρὸ τέλος Z: πρὸς τέλος R 24 αὐλοποιητικοῦ R πλοῦτος R: πλοῦτος καὶ Z: πλοῦτος καὶ τὸ Z² 25 ἐλευθεριότητα R 26 τῆς ante αὐλητικῆς om. R 27 ἀλλὰ—ᾖ] lac. Z; add. Z²

τῶν δι᾽ ἕτερον αἱρετῶν μόνον, αὐτῶν δὲ αὖ τούτων τελειότερον τὸ μηδέποτε δι᾽ ἄλλο αἱρετὸν τῶν καὶ καθ᾽ αὑτὰ αἱρετῶν καὶ δι᾽ αὐτό, ὃ καὶ τελειότατον φαίη ἄν τις· τοιαύτη γὰρ ἡ εὐδαιμονία. αἱρετωτέρα γάρ ἐστι τῶν δι᾽ αὑτὰ αἱρετῶν καὶ δι᾽ αὑτήν, ὅθεν καὶ τελειότατον τέλος καὶ ἁπλῶς καὶ κυρίως, ἐπειδὴ πάντα τὰ ἄλλα ἕνεκεν ταύτης γίνεται. ἔτι δὲ καὶ ἐκ τῆς αὐταρκείας δείκνυσιν ὅτι ἐστὶν ἡ εὐδαιμονία τελειότατον τέλος· τὸ γὰρ αὔταρκες τέλειον, ἡ δὲ εὐδαιμονία αὔταρκες· τέλειον ἄρα ἡ εὐδαιμονία. ὅτι δὲ τὸ αὔταρκες τέλειον, φανερόν· ἔστι γὰρ αὔταρκες ὃ μονούμενον καὶ χωριζόμενον τῶν ἄλλων αἱρετὸν ποιεῖ τὸν βίον· τὸ δὲ τοιοῦτον ἀνάγκη ὁμολογεῖν τέλειον. εἰπὼν δὲ αὐτάρκη τὴν εὐδαιμονίαν διαρθροῖ, πῶς αὐτὴν λέγει αὐτάρκη καὶ τίνι· οὐ γὰρ τῷ ζῶντι μονώτην τὸν βίον οὐδ᾽ ὥστε περὶ αὑτὸν ἔχειν τὴν εὐδαιμονίαν μηδὲν φροντίζοντι εἰ ἐν ταῖς μεγίσταις συμφοραῖς εἶεν γονεῖς καὶ τέκνα καὶ πόλις καὶ φίλοι. εἰ μὲν γὰρ μοναδικὸν ἦν ζῷον καθάπερ λύκος ἢ λέων, ἴσως ἂν τοιαύτη τις ἦν αὐτοῦ ἡ εὐδαιμονία· ἐπεὶ δὲ πολιτικὸν ζῷον ὁ ἄνθρωπος καὶ κοινωνικόν, πρῶτον μὲν εἰ μόνος ζῴη καὶ καθ᾽ αὑτὸν ἐν ἠρεμίᾳ, πάντων αὐτῷ ὑπαρχόντων ἀφθόνως, οὐκ ἔστιν ὅπως εὐδαίμων ἔσται· ἔπειτα δὲ εἰ καὶ ἐν πόλει εἴη, ἐφορῴη δὲ ὑπερβαλλούσας κακοπραγίας γυναικὸς καὶ τέκνων καὶ γονέων καὶ πατρίδος, οὐκέτι [γὰρ] ἐν αὐταρκείᾳ ἔσται αὐτοῦ ὁ βίος· ἡ γὰρ αὐτάρκεια τοῦ πολιτικοῦ ζῴου περιγέγραπται περὶ τὸ σῶμα αὐτοῦ καὶ τὴν ψυχήν, ἀλλὰ μετέχειν πως αὐτὸν ἀνάγκη τῆς τῶν φιλτάτων δυστυχίας. κακοδαιμονίας μὲν γὰρ ἴσως οὐ μεθέξει δι᾽ ἄλλους, εὐδαιμονῶν δὲ οὐκ ἔσται μὴ ἔχων τὴν τοῦ πολιτικοῦ εὐδαιμονίαν. ἴσως δ᾽ ἀμφισβητήσειεν ἄν τις πρὸς ταῦτα ζητῶν τίς ὅρος τῶν εἰρημένων, οἷον εἰ γονεῖς μόνον εὐπραγοῖεν, ἢ εἰ καὶ γονέων γονεῖς καὶ οἱ ἐπὶ τὸ ἄνω πάντες καὶ τέκνα μόνον οὐκ εὐπραγοῦσιν οὐκ ἐμποδισθήσεται αὐτοῦ ἡ εὐδαιμονία· εἰ δὲ μὴ ἐμποδισθήσεται καὶ τέκνα τέκνων καὶ ὅλως οἱ ἔκγονοι καὶ εἰ τεθνεὼς πολλάκις μεταβάλλει ὁτὲ μὲν εἰς εὐδαιμονίαν, ὁτὲ δὲ εἰς κακοδαιμονίαν ἐπὶ ταῖς τῶν ἐκγόνων εὐημερίαις ἢ δυσπραγίαις καὶ πότερον τοὺς φίλους αὐτοῦ μόνον δεῖ εὐπραγεῖν ἢ καὶ τοὺς τῶν φίλων φίλους ἢ μᾶλλον εἶναι πάντων τούτων ὅρον, ἐν πλάτει δέ, ὥστε φέρε εἰπεῖν μέχρι γονέων καὶ τῶν ἔγγιστα φίλων καὶ τέκνων εὐκταίαν εἶναι τὴν εὐπραγίαν καὶ συλλαμβάνειν τῷ εὐδαίμονι μηδὲ ταῦτα εἰς ἄπειρον προϊέναι. περὶ μὲν οὖν τούτων εἰσαῦθις ἐπισκεπτέον εἶναί φησι· προστίθησι δὲ ὅτι ἡ εὐδαιμονία πάντων ἐστὶν αἱρετωτάτη μὴ συναριθμουμένη. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· παραδέδοται τόπος ὑπ᾽ αὐτοῦ

---

1 αὖ scripsi: οὐ ZR 1. 2 τὸ δὲ μήποτε δι᾽ ἄλλω R 5 ἔτι δὲ καὶ ἐκ Z: ἔτι δὲ ἐκ R 6 ἡ R: om. Z 7 ὅτι δὲ Z: ὅτι καὶ R
9 Hinc libri ZN
11 μονώτην NZ^2: μόνω τὸν Z ὥστε Z: ὥς $\overset{\tau\varepsilon}{\tau\iota}$ N αὑτὸν] αὐτὸν ZN 13 καὶ πόλεις ἢ φίλοι N 16 ἀφθόνων Z 17 ἐφορῴη scripsi: φορῴη NZ, sed deleta φ in Z 18 γὰρ delevi ἔσται scripsi: ἐστὶν ZN 19 περιέγραπται Z: corr. Z^2 21 οὐ—πολιτικοῦ (22) om. Z: add. Z^2 23. 24 εἰ γονεῖς Z: οἱ γονεῖς N 24 τὸ Z: τω N 26 εἰ om. ZN: add. Z^2 29 ἢ μᾶλλον Z^2: om. Z: ἢ καὶ N 30 πλάτει corr. ex πλάττει Z 31 τέκνων καὶ φίλων N 32 μηδὲ om. N εἰσαῦθις Z^2: εἰσταῦθις NZ

ὅτι τὰ πλείω ἀγαθὰ αἱρετώτερά ἐστι τῶν ἐν τῷ αὐτῷ ἀριθμῷ· αἱρετώτερα δὲ ἑνὸς ἢ δυοῖν. οἷον πλοῦτος καὶ ὑγίεια καὶ ἀρετὴ αἱρετώτερα ἑνὸς αὐτῶν ὁποιουοῦν. διαβάλλεται δὲ οὗτος ὁ τόπος· ἐὰν γὰρ ᾖ τῶν ἀγαθῶν τὸ τέλος, τὸ δὲ ἕνεκεν αὐτοῦ προσγίνηται, † πάντα αἱρετώτερα ἑνὸς ἢ δυοῖν τοῦ τέλους τὰ αἱρετώτερα, οἷον τὰ ὑγιεινὰ μετὰ ὑγιείας οὐκ ἔστιν αἱρετώτερα τῆς ὑγιείας· οὕτω δὴ καὶ πλοῦτος καὶ ὑγίεια καὶ τἆλλα μετὰ εὐδαιμονίας οὐκ ἔστιν αἱρετώτερα μόνης εὐδαιμονίας. ἔχοντες γὰρ τὴν εὐδαιμονίαν πάντα ἔχομεν. τούτῳ δὴ νῦν συγχρῆται τῷ τόπῳ· συναριθμεῖσθαι γὰρ λέγεται ἀγαθὰ ἀλλήλοις, ἃ τοιαῦτά ἐστιν ὥστε ἀριθμούμενα πάντα αἱρετώτερα εἶναι τοῦ ἑνὸς καὶ τῶν ἐλαττόνων· μὴ συναριθμεῖσθαι δέ, ἃ μή ἐστι μετὰ τῶν ἄλλων ἀριθμούμενα, αἱρετώτερα δὲ εἰ καὶ καθ' αὑτὰ λαμβάνοιντο. τοιαῦτα δὲ τὰ τέλη πάντα ὡς πρὸς τὰ ποιητικὰ αὐτῶν. φησὶ γοῦν τὴν εὐδαιμονίαν αἱρετωτάτην εἶναι μὴ συναριθμουμένην. τουτέστι μὴ πεφυκυῖαν συναριθμεῖσθαι τοῖς ἄλλοις ἀγαθοῖς. ὡς εἴρηται· συναριθμουμένην δέ, τουτέστιν ἐν εἴδει τῶν ἀριθμουμένων αἱρετωτέραν εἶναι ἂν μετὰ τοῦ ἐλαχίστου τῶν ἀγαθῶν, ὅπερ οὐκ ἔστιν ἐπὶ τῆς εὐδαιμονίας, διὸ πάντων αἱρετωτάτην.

Ἀλλ' ἴσως τέλειον μὲν ἀγαθὸν ὁμολογήσαιεν τὴν εὐδαιμονίαν καὶ ἄριστον· δεῖ δὲ ληφθῆναι ἐναργῶς τί ποτέ ἐστιν. εἶτα τρίτην τινὰ παραδίδωσι μέθοδον, δι' ἧς ἀεὶ τὸ ζητούμενον τέλος εὑρήσομεν ὁτιοῦν, τί ποτέ ἐστι. παντὸς γὰρ τὸ τέλος ἐν τῷ ἔργῳ δοκεῖ εἶναι τὸ εὖ προσλαμβάνον, οἷον σκυτικῆς τέλος ἐν τῷ ἔργῳ τῷ τῆς σκυτικῆς. εἰ οὖν ἔργον σκυτικῆς ὑπόδημα, ἀνθρώπου δὲ ζητοῦμεν τὸ τέλος τί ποτέ ἐστιν, ληπτέον ἂν εἴη τὸ ἔργον τὸ τοῦ ἀνθρώπου ᾗ ἄνθρωπον. ὅτι δέ ἐστιν ἔργον ἀνθρώπου ᾗ ἄνθρωπος, προσβιβάζει πρῶτον μὲν ἐκ τοῦ ἄλογον εἶναι τέκτονος μὲν καὶ σκυτέως ὁμολογεῖν τι ἔργον εἶναι καὶ ἀνθρώπου τῶν μορίων εἶναι ἔργα, οἷον ὀφθαλμοῦ μὲν τὸ ὁρᾶν, ποδὸς δὲ τὸ βαδίζειν, χειρὸς δὲ τὸ λαμβάνειν καὶ διδόναι καὶ ἄλλο τι τῶν προσηκόντων τῇ χειρί· εἰ οὖν τῶν μορίων ἑκάστου ἐστὶν ἔργον, εἴη ἂν καὶ ἀνθρώπου. τί οὖν ἐστιν αὐτοῦ ᾗ ἄνθρωπος; ἆρά γε τὸ ζῆν; ἀλλὰ καὶ τοῦτο κοινὸν καὶ τοῖς φυτοῖς καὶ ὅλως οὐδὲ ἔργον αὐτοῦ ἐστι τὸ μετέχειν ζωῆς, ἀλλ' ὑπάρχον ἐκ φύσεως. εἰ οὖν τὸ μὲν ζῆν κοινὸν οὐ μόνον τοῖς ζῴοις ἀλλὰ καὶ τοῖς φυτοῖς, τὸ δὲ ἔργον ἑκάστου ἴδιον, χωριστέον ἂν εἴη τὴν θρεπτικὴν ζωήν, ὡς οὐκ ἐν ταύτῃ ὄντος τοῦ ἀνθρωπίνου ἔργου. ὁμοίως οὐδὲ ἐν τῇ αὐξητικῇ εἴη ἄν· καὶ γὰρ αὕτη κοινὴ φυτοῖς· ἀλλ' οὐδὲ ἐν τῇ αἰσθητικῇ ζωῇ· κοινὴ γὰρ αὕτη καὶ τοῖς ἀλόγοις ζῴοις.

3 ἑνὸς N: ἓν Z ὑγίεια Z: ὑγία Z 4 προσγίνηται scripsi: γίνεται ZN: προσγίνεται Z[2] tale quid conabar οὐ πάντα αἱρετώτερα ἑνὸς ἢ δυοῖν οὐδὲ πάντα μετὰ τοῦ τέλους τοῦ τέλους αἱρετώτερα 11 δὲ ἢ εἰ Z: δὲ οἱ N καὶ om. N 12 τέλει N 13 αἱρετωτέραν N 20 ὁτοοῦν NZ 21 προσλαμβάνων N 22 σκυτικῶν (post ἔργον) N 23 ὑπόδηγμα N 24 alterum ἔργον om. N 24. 25 ᾗ ἄνθρωπος om. Z 28 προσήκοντι Z: corr. Z[2] 29 αὐτοῦ Z: αὐτὸ N 31 ὑπάρχων (ο supra ω) N 34 an καὶ γὰρ καὶ αὕτη κοινὴ τοῖς φυτοῖς? 35 αἰσθητικῶν N γὰρ Z: γὰρ καὶ N ἀλόγοις Z: ἄλλοις N

λείπεται δὲ [τὸ] ἔργον [εἶναι] τοῦ ἀνθρώπου ἡ πρακτικὴ καὶ λογικὴ ζωή. τουτέστι τὸ ζῆν ὡς λογικόν· ἐν γὰρ τούτῳ τὸ ἴδιον τοῦ ἀνθρώπου, τὸ λογικὸν τῆς ψυχῆς. λέγει δὲ λογικὸν ἀντιδιαιρῶν πρός τε τὸ θρεπτικὸν καὶ τὸ αἰσθητικὸν καὶ τὰς ἄλλας δυνάμεις, ὅσαι κοιναὶ καὶ τοῖς ἄλλοις ζῴοις. τούτου δὴ οὖν τοῦ λογικοῦ τὸ μὲν οὕτω λέγεται ὡσεὶ πεφυκὸς πείθεσθαι τῷ λόγῳ, τὸ δὲ ὡς πεφυκὸς ἔχειν ἐν αὐτῷ λόγον. ἐν ἄλλοις δὲ τὸ ὡς πεφυκὸς πείθεσθαι ἄλογον καλεῖ διὰ τὸ μὴ ἔχειν ἴδιον λόγον, ὅθεν καὶ δῆλον ὅτι διαφέρει τοῦτο τὸ ἄλογον καὶ παθητικὸν τοῦ τῶν ζῴων· τὸ μὲν γὰρ ἐπιπειθὲς λόγῳ, τὸ δὲ τῶν ἀλόγων ζῴων οὐκ ἐπιπειθές. διχῶς δὲ λεγομένης τῆς λογικῆς ζωῆς τῆς μὲν κατὰ δύναμιν, ἣν καὶ καθεύδοντες ἔχομεν καὶ ἐγρηγορότες μηδὲν δὲ πράττοντες ὡς λογικοί, τῆς δὲ κατ' ἐνέργειαν, ἣν πράττοντες τοῖς λογικοῖς ἁρμοζόντως ζῆν λεγόμεθα λογικῶς, ἔργον ἀνθρώπου φησὶ θετέον εἶναι τὴν κατ' ἐνέργειαν λογικὴν ζωήν. εὑρὼν δὲ τὸ ἔργον τοῦ ἀνθρώπου μέτεισι λοιπὸν ἐπὶ τὸ τέλος καὶ τὴν εὐδαιμονίαν.

Εἰ γάρ ἐστιν ἔργον ψυχῆς ἐνέργεια κατὰ λόγον ἢ μὴ ἄνευ λόγου (τοῦτο δὲ προσέθηκε διὰ τὸ παθητικὸν τῆς ψυχῆς, ὃ εἰ καὶ μὴ ἴδιον ἔχει λόγον ἀλλ' ἐνεργεῖ γε οὐκ ἄνευ λόγου τοῦ ἐν τῷ λογικῷ μορίῳ τῆς ψυχῆς), τὸ δ' αὐτό φαμεν ἔργον εἶναι τῷ γένει τοῦδε καὶ τοῦδε σπουδαίου. τῷ γὰρ γένει ἐστὶ ταὐτόν, οὔτε δὲ ἀριθμῷ οὔτε εἴδει τὸ τοῦ σπουδαίου ἔργον καὶ τὸ τοῦ τυχόντος ἐν ᾧτινι ἔργῳ, οἷον ὑπόδημα ἔργον καὶ σπουδαίου σκυτέως καὶ οὐ σπουδαίου· τὸ αὐτὸ οὖν τῷ γένει· τὸ γὰρ ὑπόδημα γένος· τὸ δὲ σπουδαῖον ὑπόδημα καὶ τὸ φαῦλον εἴδη. ἁπλῶς δὲ ἐπὶ πάντων τοῦ αὐτοῦ προτιθεμένου καὶ τῆς κατὰ τοῦτο ὑπεροχῆς τὸ σπουδαῖόν ἐστιν. εἰ οὖν ἔργον ἐστὶν ἀνθρώπου ζωὴ λογική, αὕτη δὲ ψυχῆς ἐνέργεια μετὰ λόγου, σπουδαίου ⟨δὲ⟩ ἀνδρὸς ⟨εὖ⟩ ταῦτα καὶ καλῶς ἐνεργεῖν, ἕκαστον δὲ ἐνεργεῖ κατὰ τὴν οἰκείαν ἀρετήν, εἴη ἂν τὸ ἀνθρώπινον ἀγαθὸν ψυχῆς ἐνέργεια κατ' ἀρετήν. περιλαβόντι δὲ ἔστιν εἰπεῖν οὕτως τὸ ὑποθετικόν· εἰ ἔστι ταὐτὸν ἔργον ἀνθρώπου καὶ σπουδαίου ἀνθρώπου μετὰ τῆς τοῦ εὖ προσθέσεως, ἀνθρώπου δὲ ἔργον ζωὴ λογικὴ ἡ κατ' ἐνέργειαν, σπουδαίου δὲ ἀνδρὸς εὖ ταῦτα καὶ καλῶς ἐνεργεῖν, ἕκαστον δὲ εὖ ἀποτελεῖται κατὰ τὴν οἰκείαν ἀρετήν, εἴη ἂν τὸ ἀνθρώπινον ἀγαθὸν ψυχῆς λογικῆς ἐνέργεια κατ' ἀρετήν·

---

1 τὸ eieci εἶναι eieci 3 τὸ ante θρεπτικὸν om. Z: add. Z^2 4 τούτου δὴ οὖν τοῦ λογικοῦ Z (τούτου ex τοῦτο Z^2): τούτω δὴ οὖν τῶ λογικῶ N 6 λόγον scripsi: λογικὸν libri ἐν ἄλλοις] Α 13 p. 1102b29 8 παθητικὸν Z^2 corr. ex παθητικοῦ 9 ἀλόγων N: ἄλλων Z 10 δυνάμην N 12 ἁρμοζόντως Z^2: ἁρμόζοντα ZN 13 μέτεισι Z: μέτριον N 14 τέλος N: τέλειον Z 16 ὃ om. N 17 ἐνεργεῖ γε Z^2 in rasura: ἐνεργεῖται N 18 τοῦδε prius om. N 19 τῷ γὰρ — σπουδαίου (20) omissum a Z supplevit Z^2 ἀριθμῷ Z^2: ἀριθμὸν ZN εἴδει Z^2: εἴδη ZN 19. 20 τὸ τὸ σπουδαίου N 21 τῷ Z: τὸ N 22 inter σπουδαῖον et ὑπόδημα add. καὶ τὸ statim deleta Z: τὸ N εἴδη Z: ἤδη N 25 δὲ et εὖ addidi Arist. secutus ἐνεργεῖν Z^2 in ras.: ἐναργοῦς N ἐνεργεῖ Z^2: ἐνεργεῖται ZN 27 τὸ ὑποθετικὸν corr. Z^2: τοῦτον θετικὸν ZN 28 alterum ἀνθρώπου om. N 28. 29 προσθέσεως] προθέσεως N: προσθήκης Z 29 ζωὴ om. NZ: add. Z^2 δὲ om. NZ: add. Z^2 30 ἐνεργεῖν Z: ἐνεργοῦς N

εἰ δὲ πλείους αἱ ἀρεταί, κατὰ τὴν ἀρίστην καὶ τελειοτάτην, ἤτοι θεωρητικήν, περὶ ἧς ὕστερον ἐρεῖ, προϋπαρχούσης δηλονότι τῆς καλοκαγαθίας. ἔτι δὲ ἐν βίῳ τελείῳ· καὶ τοῦτ' εἰκότως. εἰ γὰρ εὐδαιμονία βίος, ὁ δὲ βίος ἐνέργεια μακρὰ καὶ ἐκ πολλῶν ἐνεργειῶν σύνθετος, ὥστε οὐχ οἷόν τε τὴν εὐδαιμονίαν ἐν μιᾷ ἡμέρᾳ μόνον εἶναι ἢ ἐν ὀλίγῳ χρόνῳ ἀλλ' ἐν τελείῳ βίῳ, οὗτος δὲ οὐκ ἀκριβῶς δύναται ληφθῆναι [ἢ ἐν ὀλίγῳ χρόνῳ] ἀλλὰ τύπῳ, ὅσος ἂν εἴη ὁ ἄνθρωπος, προσέτι δὲ εἰ κατὰ πάσας δεῖ τὰς ἀρετὰς ἐνεργῆσαι τὸν εὐδαίμονα, δέοι ἂν βίου τελείου· εἰ δὲ καὶ ἐν τῷ εὖ ποιεῖν [καὶ] τοὺς κοινωνοὺς πολιτικὸν ζῷον ὁ ἄνθρωπος, δέοι ἂν καὶ πρὸς τοῦτο τελείου βίου, ἵν' ὡς πλεῖστον εὖ ποιήσειεν. ἐν κεφαλαίῳ δ' εἰπεῖν, ἔστιν ἡ εὐδαιμονία ψυχῆς λογικῆς ἐνέργεια κατ' ἀρετὴν τελείαν ἐν βίῳ τελείῳ.

p. 1098a20 Περιγεγράφθω μὲν οὖν τἀγαθὸν ταύτῃ ἕως ἀρίστην εἶναί φαμεν τὴν εὐδαιμονίαν.

Ὥσπερ γὰρ οἱ γραφεῖς πρῶτον μὲν περιγράφουσι ὁλοσχερῶς, εἶτα [τότε] ἕκαστον ἀναγράφουσιν ἀκριβῶς, οὕτω φησὶ πρῶτον τύπῳ περιγεγράφθαι τὸν τῆς εὐδαιμονίας ὁρισμὸν μεταφορικῶς χρησάμενος τῷ λόγῳ, εἶτα ὕστερον ἐπαγγέλλεται ἀκριβώσειν αὐτόν. ἔστι δὲ τὸ μὲν εὑρεῖν, ὥς φασι, χαλεπόν, τὸ δὲ περιαρθρῶσαι καὶ περιαγαγεῖν τὰ ἤδη καλῶς πεπραγμένα παντός, οὐχ ὅτι τοῦ τυχόντος καὶ ἰδιώτου παντάπασιν, ἀλλὰ καὶ τοῦ μὴ πάνυ ἱκανοῦ· προσθείη γὰρ ἄν τι τοῖς εὑρημένοις καὶ ὁ μὴ τέλειος ἐν ὁτῳοῦν ἐπιτηδεύματι καὶ λόγῳ. καὶ γὰρ ὁ χρόνος αὐτὸς συνεργὸς εἰς ταῦτα· ἡ γὰρ ἐν τῷ χρόνῳ πεῖρα τῶν πραγμάτων τὰ παραλελειμμένα ἐξευρίσκει, ὅθεν καὶ τῶν τεχνῶν αἱ ἐπιδόσεις γεγόνασι, τῶν μὲν πρῶτον εὑρόντων θαυμαστῇ τινι φύσει χρησαμένων, τοῦ δὲ χρόνου καὶ τῆς ἐν αὐτῷ πείρας πρὸς τὴν ἐπίδοσιν συμπράττοντος. δεῖ δέ, ὥσπερ καὶ πρότερον εἴρηκε, μὴ ἐν πᾶσι τἀκριβὲς ὁμοίως ἐπιζητεῖν, ἀλλὰ κατὰ τὴν ὑποκειμένην ὕλην, ἵνα μὴ τὰ πάρεργα τῶν ἔργων πλείω γένηται. ἐὰν γὰρ ἀφέμενός τις τοῦ οἰκείου τῇ ὑποκειμένῃ αὐτῷ ὕλῃ ἀκριβέστερόν τι ἢ καθ' αὑτὸ ζητῇ, ἐν τοῖς παρέργοις ἐπὶ πλεῖον διατρίψει, οἷον ἐὰν ὁ τέκτων, ἀφέμενος τοῦ κεχρῆσθαι τῇ ὀρθῇ ἐφ' ὅσον χρησίμη πρὸς τὸ ἔργον αὐτοῦ, ζητῇ τὸ τί ἐστιν ἡ ὀρθή, ὅπερ ἁρμόζει τῷ γεωμέτρῃ, θεατῇ ὄντι τἀληθοῦς· τῷ δὲ τέκτονι οὐδὲν διαφέρει, κἂν μικρῷ τινι μᾶλλον κατεζευγμένη ⟨ᾖ⟩ ἡ εὐθεῖα γωνία, κἂν πλεῖόν τι ἔχῃ· ὡς γὰρ πρὸς

2 θεωρητικήν scripsi: θεωρητικόν ZN 5 τελίω N 6 ἢ ἐν ὀλίγῳ χρόνῳ eieci 7 an ὁ ἀνθρώπινος? εἰ Z: ἡ N ἀρετὰς Z: ἀρχὰς N 8 τελίου N καὶ delevi 9 τελείου Z: τέλος N 10 ἔστιν ἡ—ἀκριβώσειν αὐτόν (17) = *Class. Journal* XXVIII 312 ἡ om. Z 12 ἕως ἀρίστην scripsi: ταύτην δὲ ἡμῖν ZN 12. 13 εἶναί φαμεν (p. 1099a30) Arist. libri Ha Mb: φαμὲν εἶναι Arist. vulg. 14 μὲν om. N τότε eieci 20 ἄν τι N: ἄν τις Z εὑρημένοις scripsi: εἰρημένοις ZN τέλειος NZ[2]: τέλος Z ὅλω οὖν N 23 θαυμαστῇ scripsi: θαυμαστῶς ZN 25 εἴρηκε scripsi: εἴρηκα ZN; cf. c. 1 p. 1094b13 27 γένηται libri (et Arist. Mb): γίγνηται Arist. 30 ζητῇ Z: ζητεῖ N τὸ τί ἐστιν ἡ ὀρθὴ om. NZ: add. Z[2] 32 ᾖ addidi πλεῖον scripsi: πλεῖστόν ZN ἔχῃ Z: ἔχει N

τὴν αἴσθησιν οὐδὲν διαφέρει· ἱκανὴ δὲ ἡ πρὸς αἴσθησιν τῷ τέκτονι. ταῦτα δὲ λέγει, ἐπειδὴ οὐδὲ τῶν περὶ τοῦ τέλους οἷόν τε ἀκριβῶς λαβεῖν λόγον εὐθέως. τοῦ γὰρ ἐνέργειαν κατ' ἀρετὴν τελείαν οὐκ ἔστι λόγῳ ἀκριβῶς λαβεῖν, τίς ἐστιν ἡ ἐνέργεια αὕτη. εἰ γάρ τις λέγοι τὴν μεσότητα τῆς ὑπερβολῆς καὶ τῆς ἐνδείας, οὐδ' ἡ μεσότης ἐπὶ πόσον ἐστὶ καὶ πῶς οὔτ' εἰ ἔνδειά ἐστιν οὔτ' εἰ ὑπερβολὴ οὐχ οἷόν τε ἀκριβῶς λόγῳ διορίσαι, ἀλλὰ δεῖ τὴν φρόνησιν καθ' ἑκάστην πρᾶξιν ὁρίζειν τὸ σύμμετρον καὶ μέσον, ὁμοίως δὲ καὶ ἐν βίῳ τελείῳ ἐν πλάτει λαβεῖν ἔστιν, ἀκριβῶς δὲ οὐχ οἷόν τε εἰπεῖν.

Φησὶ δὲ ἑξῆς ὅτι οὐδὲ τὴν αἰτίαν ἐν ἅπασι δεῖ ἀπαιτεῖν, τουτέστιν οὐ δεῖ ὁμοίως διανοεῖσθαι περὶ τῶν πραγμάτων. ὥστε περὶ πάντων τὰς αἰτίας ἀπαιτεῖν. δῆλον δὲ τοῦτο καὶ ἐπὶ τῶν μαθημάτων· καὶ γὰρ ὁ γεωμέτρης διὰ τί μὲν τὸ τρίγωνον ἔχει τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ζητεῖ, διὰ τί δὲ σημεῖόν ἐστιν, οὗ μέρος οὐδέν ἐστι, τὸ αἴτιον οὐ ζητεῖ. ἀρχὴ δὲ ὅτι καλὸν ἡ σωφροσύνη καὶ ἡ δικαιοσύνη. ὅτι δεῖ γονεῖς τιμᾶν. καὶ ἐν τοῖς μαθηματικοῖς δὲ ὁμοίως ὅτι τρίγωνον, διὰ τί δὲ οὐκ ἐπιζητοῦμεν. πῶς οὖν δεικνύει ὅτι ἱκανὸν ἔν τισι τὸ ὅτι δειχθῆναι καλῶς (ἔστι γὰρ ἀρχὴ τὸ ὅτι· οὐ δὴ δεῖ αὐτὸ δείκνυσθαι); πότερον ὅτι ἐνιότε τὸ ὅτι συλλογισμῷ δείκνυται, ὥσπερ ἐν τοῖς Ἀναλυτικοῖς εἴρηκεν; οἷον ἡ ἔκλειψις τῆς σελήνης, ὅταν γῆ ποιῇ σκιὰν τοῖς ὑπ' αὐτήν· τοῦτο δὲ † νῦν τῇ σελήνῃ ἔκλειψις ἄρα τῆς σελήνης τὸ νῦν· τοῦτο γὰρ οὐ τὸ διὰ τί ἡ ἔκλειψις, ἀλλὰ τὸ ὅτι. καὶ γίνεται τοῦτό πως ἀρχή, καίπερ συλλογισμῷ ληφθέν, πρὸς ⟨τὸ⟩ τὴν αἰτίαν εὑρεῖν τῆς ἐκλείψεως. ἢ ὅτι ἔστι πως δεικνύναι τὰς ἀρχὰς οὐ μέντοι συλλογισμῷ ἀλλ' ἐπαγωγῇ ἢ ὅλως ὑπομνήσει τινί; τὸ δὲ μὴ δεῖν ἐν πᾶσιν ἀπαιτεῖν τὴν αἰτίαν, οἷον ἐν ταῖς ἀρχαῖς, οὐκ ἀλόγως εἴρηται, ἀλλ' ἐπεὶ ἐν τοῖς πρακτοῖς καὶ ποιητοῖς τέλος ἡ εὐδαιμονία. ὥσπερ οὖν ὁ ἰατρὸς οὐκ ἀποδείκνυσι τὴν ὑγίειαν τί ποτέ ἐστιν, ἀλλ' ὁρισάμενος αὐτὸ τί ποτέ ἐστιν ἡ ὑγίεια οὕτω τὰ πρὸς ταύτην πάντα ποιεῖ, οὕτω τάχ' ἂν εἴη εὔλογον καὶ τὴν εὐδαιμονίαν θέμενον ἥτις ποτέ ἐστιν ἀναποδείκτως, οὕτω τὰ πρὸς αὐτὴν ἅπαντα πράττειν. δεῖ δὲ τοῦτο ποιεῖν, ὅταν ἀναμφισβήτητον εἴη τὸ τέλος τί ποτέ ἐστιν. ἐὰν δὲ ἀμφισβητήσιμον, ἀνάγκη ὑπομιμνήσκειν, δι' οὗ ἂν εἴη δυνατὸν τρόπου· διόπερ ἀμφισβητισίμου ὄντος τὴν εὐδαιμονίαν τί ποτέ ἐστιν ἐπειράθη δεῖξαι καὶ περὶ τῶν ἀρχῶν ἁπασῶν λέγει, ὅτι ποριστέον ταύτας ὅπως ἂν ᾖ δυνατὸν ἑκάστην θεωροῦντα, διὰ μὲν ἐπαγωγῆς, οἷον ὅτι πᾶς ἄνθρωπος λογικὸς ἢ ὅτι πᾶς ἄν-

1 τέκτωνι N   3 γὰρ om. ZN: add. Z^2 τελείαν scripsi: τέλους Z: τελείως N   4 λέγοι Z: λέγει N   τὴν μεσότητα Z^2: καὶ τὴν μεσότητα ZN   5 ἐπὶ N: ἐπεὶ Z   οὔτ' εἰ N: οὔτε ἢ Z   6 ἐστιν scripsi: ἔσται libri   οὔτ' εἰ] οὔτε Z^2 in rasura   7 ὁρίζειν om. N   δὲ om. N   8 τελίῳ N   10 διανοεῖσθαι corr. ex διανοῆσθαι Z   12 διὰ τί N: διὰ in ras. Z (man. 1)   13 οὗ om. N   14 καὶ ἡ δικαιοσύνη om. N   16 δεικνύει dubitanter scripsi: δ^{ώ}/ Z: δ$^{ῶ}_{ζ}$ N   18 Ἀναλυτικοῖς] Anal. post. passim v. Bonitz Ind. p. 229a46   γῆ Diels: μὴ Z: μὲν N   19 ποιεῖ N   δὲ συμβέβηκε τῇ σελήνῃ· ἔκλ. ἄρα τ. σ. τὸ συμβεβηκός Diels   20 τὸ ὅτι scripsi: τοῦ ὅτι libri   21 τὸ addidit Diels   23 μὴ δεῖν scripsi: μηδὲν libri   25 ὁ om. N   ὑγείαν N   26 αὐτὸ Diels: αὐτῷ libri   27 πάντα N: ταῦτα Z   εἴη Z: εἰ N   28 αὐτὴν Z: αὐτὸν N   32 ᾖ Z in ras.: εἰ N

θρωπος ἀναπνεῖ ἐξ ἀπαγωγῆς λανθανούσης θεωροῦνται, ἐκ τῆς καθ' ἕκαστον ἄνθρωπον ἐντεύξεως. σχεδὸν μὲν πᾶσαι δι' ἐπαγωγῆς ἢ δι' αἰσθήσεως γίνονται· τῷ γὰρ καθ' ἕκαστον αἰσθητά· μάλιστα δὲ αἱ τοιαῦται ἀρχαὶ πορίζονται διὰ τῆς αἰσθήσεως ὅσαι δι' αὐτῆς λαμβάνονται, οἷον ὅτι μέλαν τὸ συγχυτικόν· ἄλλαι δὲ ἀρχαὶ θεωροῦνται ἐθισμῷ· ἐκ γὰρ τοῦ ἐθίζεσθαι καλοῖς ἔθεσι καλάς τινας λαμβάνουσιν ἀρχάς, οἷον ὅτι ἡ μὲν τοιάδε δίαιτα καλή, ἡ δὲ τοιαύτη αἰσχρά, καὶ νὴ Δία ὅτι ἡ μὲν σωφροσύνη καλόν, ἡ δὲ ἀκολασία αἰσχρόν· ἔνιαι δὲ ἐκ νοῦ λαμβάνονται ἀρχαί, οἷον ὅτι σημεῖόν ἐστιν οὗ μέρος οὐδέν· αὐτοῦ γὰρ τοῦτο εὕρημα ἡ τοιαύτη ἀρχή· ἔνιαι δὲ ἐξ ἐμπειρίας, οἷαι πολλάκις ὑπὸ τῶν ἰατρῶν εὕρηνται, οἷον ὅτι τὸ τοιόνδε φάρμακον εἰς τόδε τὸ νόσημα ἁρμόττει. πειρατέον δὲ ἑκάστας πορίζεσθαι ᾗ πεφύκασιν, τὰς μὲν αἰσθήσεις δι' αἰσθήσεως, τὰς δὲ ἐπαγωγὰς δι' ἐπαγωγῆς, τοὺς δὲ ἄλλῳ τινὶ τῶν εἰρημένων ποιουμένους αὐτῶν τὸν πορισμὸν καὶ ποιησαμένους δεῖ σπουδάζειν ὅπως καλῶς ὁρισθῶσι. συντείνει δὲ καὶ ταῦτα αὐτῷ εἰς τὸ σπουδάσαι καλῶς ὁρίσασθαι τὸ τέλος. ἀρχὴ μὲν γάρ ἐστιν, ἡ δὲ ἀρχὴ πλεῖον ἢ τὸ ἥμισυ.

Σκεπτέον δέ φησι περὶ αὐτῆς λέγων, ἤτοι τῆς ἀρχῆς τῆς ὡς τοῦ τέλους ἢ τῆς εὐδαιμονίας· ἐπὶ ταύτην γὰρ φέρομεν ὁποτέρως ἂν λάβωμεν. πλὴν σκεπτέον εἶναί φησι περὶ τῆς εὐδαιμονίας τί ποτέ ἐστιν οὐ μόνον ἐκ τοῦ γεγενημένου συμπεράσματος καὶ ἐξ ὧν ὁ λόγος· τουτέστιν ἐξ ὧν προτάσεων γεγένηται ὁ λόγος, δι' οὗ ἀπέδειξε τί ποτέ ἐστιν ἡ εὐδαιμονία. ἦν δὲ ὑποθετικὸς καὶ ἐν αὐτῷ ⟨ἡ⟩ πρότασις καὶ τὸ συμπέρασμα· οὐ μόνον οὖν ἐξ ἐκείνου τοῦ συμπεράσματος ληπτέον τί ἐστιν ἡ εὐδαιμονία ἀλλὰ καὶ ἐξ ὧν εἰρήκασιν οἱ παλαιοὶ περὶ αὐτῆς. χρῆται δὲ ὥσπερ εἴωθε καὶ ἐνδόξοις πίστεσιν· ἔνδοξα δὲ τὰ τοῖς πολλοῖς φαινόμενα καὶ τὰ τοῖς σοφοῖς. τὴν μὲν οὖν τῶν πρὸ αὐτοῦ φιλοσοφησάντων δόξαν τοιαύτην τινὰ λαμβάνει· τριχῇ γὰρ διοριζομένων τῶν ἀγαθῶν, τῶν μὲν περὶ ψυχήν, τῶν δὲ περὶ σῶμα, τῶν δὲ ἐκτός, τὰ περὶ ψυχὴν μάλιστα ἀγαθὰ καὶ κυριώτατα ἀγαθὰ πάντες ὁμολογήσουσιν. αἱ δέ γε πράξεις καὶ ἐνέργειαι οὐδενὸς ἄλλου ἢ ψυχῆς· ψυχικαὶ οὖν. οὐ γὰρ εἰ ὀργάνῳ χρώμεθα τῷ σώματι πρὸς τὰς πράξεις, αὐτοῦ ἡγητέον εἶναι αὐτὰς ἀλλὰ τῆς ψυχῆς τῆς χρωμένης αὐτῷ· εὔλογον δὴ τὸ μέγιστον τῶν ἀγαθῶν τὴν εὐδαιμονίαν ἐν ψυχῇ θεῖναι, ἐν ᾗ τὰ κυριώτατα καὶ μάλιστα ἀγαθά· ὀρθῶς οὖν τὰς πράξεις καὶ ἐνεργείας λέγει τὸ τέλος καὶ τὴν

---

1 τῆς Z^2 corr. ex ταύτης: ταύτης ZN 2 πᾶσαι Z^2 corr. ex πᾶσι: πᾶσι ZN 3 μάλλιστα N 8 ἐστιν Z: ἢ N 9 τοιαύτη N: τοιάδε Z ἐμπειρίας (R): ἀπειρίας ZN 10 ὑπὸ Z: παρὰ N 10. 11 τόδε τὸ Z: τὸ τόδε N 11 ἑκάστας Z extremis litteris in rasura: ἑκάστου N 12 δὲ alterum om. a Z add. Z^2 ἄλλῳ Z: ἄλλο N 14 δὲ om. NZ: add. Z^2 15 ἡ δὲ ἀρχὴ—τοῖς σοφοῖς (25) = *Class. Journal* XXVIII 312. 313 πλείων Z: πλειόνων N 18 ταύτην Z^2 in ras.: ταύτας N γὰρ Z^2: om. ZN ὁποτέρας N 19 περὶ Z: πῶς ἐστι N 21 προτάσεων N: τάσεων Z: corr. Z^2 22 ἦν δὲ Z: ἦν ὁ N ἡ addidi 24 ἀλλὰ — αὐτῆς om. NZ: add. Z^2 27 τριχῇ NZ^2: ταχῇ Z 29 καὶ αἱ N 31 αὐτῶν N δὴ Z: δὲ N 32 ἐν ψυχῇ θεῖναι N: ἐμψυχωθῆναι Z: γρ. ἐν ψυχῇ εἶναι Z^2 33 οὖν τὰς Z: αὐτὰς N

εὐδαιμονίαν. οὕτω γὰρ τῶν περὶ ψυχὴν ἀγαθῶν γίνεται. τὴν μὲν οὖν τῶν πάλαι φιλοσοφησάντων δόξαν παρείληφεν αὐτῷ μαρτυροῦσαν τὸν εἰρημένον τρόπον, τὴν δὲ τῶν πολλῶν ἀνθρώπων, μᾶλλον δὲ πάντων, ὅτι φαίνονται πάντες οἱ ἄνθρωποι ταὐτὸν λέγειν τὸ εὖ ζῆν καὶ τὸ εὖ πράττειν τῷ εὐδαιμονεῖν· ἐν γὰρ πράξει φαίνονται τιθέμενοι τὴν εὐδαιμονίαν.

Μετὰ δὲ ταῦτα πειρᾶται συναρμόζειν τὴν ἑαυτοῦ δόξαν καὶ τὰς πρὸ αὐτοῦ, ὅσοι περὶ εὐδαιμονίας ἀπεφήναντο. τοῖς μὲν γὰρ ἀρετὴν ἢ φρόνησιν εἰποῦσιν ἢ σοφίαν τὴν εὐδαιμονίαν συνῳδὸς ἡ ⟨* * *⟩ ἐνέργειαν κατ' ἀρετήν· αὐτῆς γὰρ δηλονότι ἐστὶν ἡ κατ' αὐτὴν ἐνέργεια. πλὴν τὸ ἐνέργεια ἐπηνώρθωται· τελειότερον γὰρ τὸ ἐν χρήσει θεῖναι τὴν εὐδαιμονίαν μᾶλλον ἤπερ ἐν κτήσει. καθάπερ δὲ Ὀλυμπίασιν οὐχ οἱ κάλλιστοι καὶ ἰσχυρότατοι στεφανοῦνται, ἀλλ' οἱ ἁπλῶς ἀγωνισάμενοι καὶ νικήσαντες, οὕτω καὶ τῶν ἐν τῷ βίῳ [τῶν] καλῶν καὶ ἀγαθῶν, τουτέστι τῆς εὐδαιμονίας, μέτοχοι γίνονται οἱ ἐνεργήσαντες καλῶς· ἐοίκασι γὰρ τοῖς ἀγωνισαμένοις καὶ νενικηκόσι. καὶ τὸ παράδειγμα δ' ἔοικε συνῳδὸν εἶναι τῇ κατ' ἀρετὴν ἐνεργείᾳ. κατὰ μὲν οὖν τὰ εἰρημένα συνῳκείωσε τὸν αὑτοῦ λόγον τοῖς μόνην τὴν ἀρετὴν εἰποῦσι τὴν εὐδαιμονίαν· τοῖς δὲ ταῦτα, τουτέστι πάσας τὰς ἀρετὰς ἢ τούτων τινά, φιλοσοφίαν ἢ φρόνησιν, εἶναι τὴν εὐδαιμονίαν μεθ' ἡδονῆς ἢ οὐκ ἄνευ ἡδονῆς συναρμόζει τὴν ἑαυτοῦ δόξαν διὰ τῶν ἑξῆς. τὸ δὲ μεθ' ἡδονῆς ἢ οὐκ ἄνευ ἡδονῆς διαφέρει τι. μεθ' ἡδονῆς μὲν οἱ λέγοντες μέρος τῆς εὐδαιμονίας ποιοῦσι τὴν ἡδονήν, οἱ δὲ οὐκ ἄνευ ἡδονῆς, οὐ μέρος ἀλλ' ὧν οὐκ ἄνευ ἡ εὐδαιμονία λέγουσι τὴν ἡδονήν. τούτοις δὴ προσαρμόζει ὁ λόγος· εἰ γὰρ καὶ μὴ πρόκειται ὅτι ἐστὶν ἡ εὐδαιμονία ἐνέργεια κατ' ἀρετὴν τελείαν μεθ' ἡδονῆς ἢ οὐκ ἄνευ ἡδονῆς, ἀλλὰ δῆλόν γέ ἐστι ὅτι πάντως συνέπεται ταῖς καλαῖς ἐνεργείαις ἡ ἡδονή· διό φησι τὸν βίον τῶν ἐνεργειῶν κατ' ἀρετὴν ἐν προηγουμένοις εἶναι καθ' αὑτὸν ἡδύν. τὸ μὲν γὰρ ἥδεσθαι ψυχικόν· καὶ γὰρ αἱ καλούμεναι σωματικαὶ ἡδοναὶ ψυχῆς εἰσι διὰ σώματος, ἑκάστῳ δὲ τῷ φιλοδικαίῳ τὰ δίκαια καὶ ὅλως τῷ φιλαρέτῳ τὰ κατ' ἀρετὴν ἀνάγκη λέγοντα καλὰ ἢ πράττοντα ἥδεσθαι. εἰ μὲν οὖν μὴ ἐν αὐταῖς ταῖς ἐνεργείαις ἐνῆν [ἂν] τὸ ἡδὺ ἀλλ' ἔξωθεν ἔδει αὐτὸ τὸν μέλλοντα εὐδαιμονήσειν πορίζεσθαι, ἐχρῆν ἐν τῷ ὁρισμῷ προστιθέναι ὅτι ἐστὶν ἡ εὐδαιμονία ψυχῆς ἐνέργεια κατ' ἀρετὴν μεθ' ἡδονῆς ἢ οὐκ ἄνευ ἡδονῆς προσθέτου αὐταῖς οὔσης τῆς ἐνεργείας. ἐπεὶ δὲ ἐν αὐταῖς ἐστι ταῖς καλαῖς ἐνεργείαις τὸ ἡδὺ ἀποχρώντως, δεδήλωκεν ὅτι ἥδιστός ἐστιν βίος ἡ εὐδαιμονία. εἰπὼν ἐνέργειαν αὐτὴν κατ' ἀρετήν· δεῖ δὲ πανταχοῦ προσυπακούειν ἐν προηγουμένοις. καὶ γὰρ τοῖς πολλοῖς ἀνθρώ-

4 τὸ εὖ (alterum) scripsi: τῶ εὖ ZN ante πράττειν repetiverat ζῆν Z quod delevit Z^2, praeeunte ut videtur ipsa Z^1 8 συνωδὸς ἡ add. Z^2: om. ZN lacunam indicavi 9 κατ' αὐτὴν N (et Arist.): καθ' αὐτὴν Z πλὴν τὸ ἐν . . . NZ, supplevit ἔργεια Z^2 10 θῆναι NZ 13 τῶν eieci 14 ἀγονισαμένοις Z 15 δ' ἔοικε συνῳδὸν om. NZ: add. Z^2 ἐνεργείᾳ om. NZ: add. Z^2 οὖν om. NZ: add. Z^2 16 αὑτοῦ scripsi: αὐτοῦ libri 18 οὐκ om. Z 25 ἡ om. Z ἐνεργειῶν Z: ἐνέργειαν N 28 ἀνάγκη λέγοντα Z^2: ἀντιλέγοντα NZ 29 αὐταῖς scripsi: αὐτῇ ZN ἐνῆν Z^2: ἐν ᾗ ZN ἂν τὸ Z: αὐτὸ N: ἂν delevi 30 αὐτὸ Z^2: αὐτὰς NZ 31 προστιθέναι Z^2: προτιθέναι NZ 32 οὐκ om. N 33 δεδήλωκα N 34 ὁ βίος N 35 γὰρ om. Z

ποις ὡς ἐπὶ τὸ πολὺ τὰ ἡδέα μάχεται διὰ τὸ μὴ φύσει εἶναι ἡδέα· ἥδιστον μὲν αὐτοῖς τὸ πλέον ἢ δεῖ πίνειν καὶ σιτεῖσθαι καὶ ἡ ἐπὶ πλέον τῶν ἀφροδισίων χρῆσις. ταῦτα δὲ πάντα ἀλγηδόνος αἴτια γίνεται αὐτοῖς, καὶ μὴν ἐν τῇ μεταμελείᾳ γενόμενοι λυποῦνται· κατ' ἄμφω γοῦν ἐν μάχῃ ἐστὶν αὐτοῖς τὰ ἡδέα, εἰ ταῦτα φαίνεται καὶ λυπηρὰ καὶ ἀλγηδόνος αἴτια· τῷ γὰρ ἡδεῖ μάχεται τὸ ἀλγοῦν καὶ τὸ λυπηρόν. τοῖς δὲ φιλοκάλοις ἐστὶν ἡδέα· φύσει γὰρ ἡδεῖαι αἱ κατ' ἀρετὴν πράξεις. πολιτικὸν γὰρ ζῷον ὁ ἄνθρωπος καὶ κοινωνικὸν καὶ φιλόκαλον, ὥστε ἐάν τε τοὺς κοινωνοὺς εὖ ποιῇ ἥδεται, ἐάν τε ὅλως συνειδῇ ἑαυτῷ καλόν τι ἐργαζομένῳ. οὐ δὴ ἔχει μάχην ἡ τοιαύτη ἡδονή· οὐδέποτε γὰρ αὐτῇ ἐπακολουθήσει λύπη. ὥστε καὶ τούτοις, φησίν, εἰσὶν ἡδεῖαί τε καὶ καθ' αὑτάς. αἱ μὲν γὰρ τῶν φαύλων ἡδοναὶ αὐτοῖς μόνον εἰσὶ καὶ ἄλλου καθ' αὑτὰς οὐδενός· φύσει δὲ μάχην ἔχουσιν ἐν αὑταῖς καὶ αἱ παρὰ φύσιν· αἱ γὰρ ὑπὲρ τὸ δέον πλησμοναὶ ἀκόλαστοι παρὰ φύσιν, αἱ δὲ τῶν σπουδαίων ἡδοναί, ἅς φησι παρακολουθεῖν ταῖς καλαῖς ἐνεργείαις, οὐ μόνον τούτοις εἰσὶν ἡδεῖαι, τουτέστι τοῖς σπουδαίοις, ἀλλὰ καὶ καθ' αὑτὰς φυσικῶς εἰσιν ἡδεῖαι. ὅθεν ὁ τῶν εὐδαιμόνων βίος οὐ δεῖται τῆς ἔξωθεν ἡδονῆς, ἀλλὰ ἔχει ἐν αὑτῷ, ἐπεὶ οὐδ' ὅλως ἀγαθός ἐστιν ὁ μὴ χαίρων ταῖς καλαῖς ἐνεργείαις, τὰς καλὰς πράξεις καὶ ⟨τὸ⟩ κατ' ἀρετὴν ἥδεσθαι. ἡδεῖαι οὖν αἱ κατ' ἀρετὴν πράξεις, ἀλλὰ καὶ ἀγαθαὶ καὶ καλαὶ καὶ μάλιστα τούτων ἕκαστον, τουτέστιν ἡδοναὶ κάλλισται αὗται. ὅτι δὲ τοιαῦται δῆλον ἐκ τοῦ τὸν σπουδαῖον τοιαύτας αὐτὰς κρίνειν· δεῖ δὲ οὐδενὶ οὕτως πιστεύειν ὡς τῇ τοῦ σπουδαίου κρίσει. ἄριστον ἄρα ἔχει καὶ κάλλιστον καὶ ἥδιστον ἡ εὐδαιμονία καὶ οὐκ ὀρθῶς ὁ ἐν Δήλῳ ἐπιγράψας "κάλλιστον τὸ δικαιότατον" καὶ τὰ ἑξῆς. ἐκεῖνος γὰρ φαίνεται μὴ πάντα ἑνὶ νείμας, ὑπάρχει δὲ πάντα ταῖς ἀρίσταις ἐνεργείαις· ἢ πάσας θετέον εὐδαιμονίαν ἢ τὴν ἀρίστην αὐτῶν· ἐνταῦθα δὲ παραδηλοῖ ὅτι ἴσως εὐδαιμονία μάλιστά ἐστιν ἡ κατὰ σοφίαν ἐνέργεια, ἀλλὰ νῦν μὲν ὡς τὸ πρακτὸν τέλος ζητῶν ποιεῖται τοὺς λόγους, ὅθεν οὐ διαρθροῖ περὶ τῆς κατὰ θεωρίαν εὐδαιμονίας, ὕστερον δὲ ἀκριβώσει περὶ αὐτῆς.

p. 1099a31 Φαίνεται δὲ ὅμως τῶν ἐκτὸς ἀγαθῶν ἕως τοῦ καὶ πρακτικοὺς τῶν καλῶν.

Τίθεται τὴν εὐδαιμονίαν δεῖσθαι καὶ τῶν ἐκτὸς ἀγαθῶν· ἐκτὸς δὲ ἀγαθῶν ἤτοι τῶν περὶ τὸ σῶμα· ἐκτὸς αὐτὰ λέγει ὡς πρὸς τὴν ψυχὴν πάντα

2 πινεῖν Z mut. in πίνεῖν a Z²: πεινῆν N σιτιεῖσθαι Z 4 μεταμελλείᾳ N 5 καὶ (ante λυπηρὰ) om. N 6 τὸ ἀλγοῦν scripsi: τὸ ἀλγεῖν Z: ἁπλῶς N 8 κοινονοὺς N ποιεῖ N 9 ὅλους N συνίδῃ libri 11 τε scripsi: δὲ ZN: om. Arist. καὶ om. N 13 αὐταῖς libri παρὰ N: περὶ Z ὑπὲρ N: ὑπὸ Z: corr. Z² πλησμ . . . Z: οναὶ add. Z² 16. 17 ἔξοθεν N 18 τὸ addidi ἀρετὴν Z: ἀρχὴν N 20 ἕκαστοι ZN 22 ἄρα Z²: om. ZN 23 οὐκ Z²: om. ZN 25 εὐδαιμονίαν scripsi Arist. secutus: εὐδαιμονίας libri 30 ὅμως corr. Z²: ὁμοίως NZ τοῦ om. ZN: add. Z² 33 αὐτὰ Diels: αὐτοῦ ZN

ἐκτὸς † ὅπως ἔσται τὸν λόγον. περὶ τούτων γὰρ ἐνίοις ἡ ἀμφισβήτησις μᾶλλον ὡς οὐδὲν συμπραττόντων εἰς τὴν εὐδαιμονίαν ἢ περὶ τῶν σωματικῶν. δεῖται δὲ τῶν ἐκτὸς ἀγαθῶν ἡ εὐδαιμονία οὐχ ὡς μερῶν οὐδ' ὡς ἀναπληρωτικῶν αὐτῆς ἀλλ' ὡς ὀργάνων, καθάπερ γὰρ ἡ αὐλητικὴ πρὸς τὸ αὐτῆς τέλος δεῖται ὀργάνων, ἵνα τοῦ ἰδίου τέλους τύχῃ. ἀδύνατον γάρ, φησί, καλὰ πράττειν ἀχορήγητον ὄντα· οὐχ οἷόν τε τὰ ἰατρικὰ πράττειν ἀχορήγητον ὄντα τῶν ἰατρικῶν ὀργάνων τε καὶ φαρμάκων. εἶτα καταριθμεῖται τὰ ἐκτὸς ἀγαθὰ ἅμα δεικνὺς πῶς αὐτοῖς χρῆται ἡ ἀρετὴ πρὸς τὴν εὐδαιμονίαν ὡς ὀργάνοις. πολλὰ μὲν γὰρ πράττεται, ὥσπερ δι' ὀργάνων, διὰ φίλων, οἷον τυραννίδων καταλύσεις διὰ φίλων ἐγένοντο καὶ εἰ ἐδέησεν ἀναλωμάτων, συνήνεικαν οἱ φίλοι, καὶ ἃ οὐ δυνατοὶ προορᾶν δι' αὑτῶν οἱ φίλοι προορῶσι καὶ προμηθοῦνται καὶ συμπράττουσι, καὶ οἷς φίλοι εἰσίν, ὡς ὁ Ξενοφῶν φησιν, ἀντὶ δυοῖν ὀφθαλμῶν τέσσαρες ὀφθαλμοί εἰσι καὶ ἀντὶ δυοῖν ὤτων τέσσαρα. καὶ ἐπὶ τῶν ἄλλων μορίων ὁ αὐτὸς λόγος· καὶ μὴν ὅτι διὰ πλούτου καὶ ἐν λιμοῖς τινες ἔσωσαν πατρίδας, [διὰ πλούτου] καὶ πολεμίων ἐρύσαντο καὶ φίλων βίους ἐπηνωρθώσαντο. τί δὲ πολιτικὴ δύναμις; πῶς οὐ μεγάλα πράττει πρὸς τὰς καλὰς πράξεις; ἀμήχανον γὰρ τὰ πολιτικὰ πράττειν καλῶς μηδεμίαν ἔχοντα δύναμιν ἐν τῇ πόλει, ἀλλ' ἀγαπητὸν τῷ μὴ ἔχοντι δύναμιν πολιτικὴν τὸ ἰδιωτεύειν καὶ ἡσυχάζειν. εἰ δὲ μή, ἀνάγκη αὐτὸν προελθόντα σφάλλεσθαι· καὶ ὅσοι δὲ μεγάλας τινὰς πράξεις διεπράξαντο ἐν τῇ πόλει, οὐκ ἄνευ δυνάμεως, οἷον Λυκοῦργος ἐγχειρισθεὶς τὴν ἐπιτροπὴν τῶν πραγμάτων διὰ τὴν τοῦ βασιλέως ἐνομοθέτησε καὶ Σόλων καὶ Ζάλευκος, ἑκάτερος μέγα δυνάμενοι ἐν ταῖς ἑαυτῶν πατρίσι.

Τὰ δὲ ἐφεξῆς δοκεῖ τισι μαλακωτέρως εἰρῆσθαι. φησὶ γὰρ ἐνίων στερουμένους ῥυπαίνειν τὸ μακάριον, οἷον εὐγενείας εὐτεκνίας κάλλους. φαῖεν γὰρ ἄν τινες καὶ δυσγενῆ ὄντα καὶ μὴ καλὸν καὶ ἄτεκνον ἐνεργεῖν ἐν προηγουμένοις ἐνδέχεσθαι. ἐνεργοῦντα δὲ εὐδαιμονεῖν ἀνάγκη. πρὸς δὲ τούτους λεκτέον ὡς καὶ Ἀριστοτέλης ἐπαινεῖ τοὺς τοιούτους, ὡς ἐπανορθοῦντας τὸ ἔλλειμμα τοῦ γένους ἢ τὸ τοῦ εἴδους ἤ τινων ἄλλων ὧν εἰσιν ἐνδεεῖς. ἀλλ' ὅμως ῥύπον τινὰ ἐγγίνεσθαι ὑπὸ τῆς ὑπερβαλλούσης δυσγενείας, οἷον εἴ τις ἡταιρηκότος υἱὸς εἴη· πῶς γὰρ οὐ ῥύπος τοῦτο, ὃν ἀπονίψαιτο μὲν ἴσως καὶ

---

1 ἐκτὸς om. N   ὅπως [οι] Z: ἴσως ὅπέρ ἐστι Z^2: ὅποι N   τὸν λόγον Z: τῶν λόγων N   3 δεῖται δὲ—ἐνεργείας ἐνίοτε (p. 25,1. 2) = *Class. Journal* XXVIII 313. 314   4 αὐτῆς Z: om. N   5 ἰδίου NZ^2 in rasura   τὰ καλὰ Arist.   6 ἀχορήγητον N: μὴ χορήγητον Z   οὐχ οἷόν τε Z^2: πάντα δὲ ZN   7 εἶτα Z^2: εἴπερ ZN   8 ἅμα Diels: ἀλλὰ libri   11 δυνατοὶ scripsi: δυνατὸν libri   αὐτῶν libri   12 οἷς scripsi: ὅσοι ZN   εἰσὶν bis Z, delevit alterum Z^2 Ξενοφῶν] Inst. Cyri VIII, 2,10   14 καὶ—πλούτου (15) om. Z   15 διὰ πλούτου eieci   ἐρρύσαντο Z   16 πολιτικὴ Arist.: πολεμικὴ ZN   17 καλὰς (post τὰς) N: μεγάλας Z   18 πόλη Z: corr. Z^2 19 αὐτὸν scripsi: οὐ Z: ras. duarum litterarum N   22 ἐνεμοθέτησε N   Ζέλαυκος [ευ] N   24 τὰ δὲ—μόνῳ ζῆν (p. 25,7) = *Hermae* V 96. 97   26 γὰρ om. N   ἐνεργεῖν Diels: ἐνέργειαν libri   29 ἔλλειμα Z: corr. Z^2 31 υἱὸς Z: ἑνὸς N   ὅν Z (ν addita a Z^2): ὅτι N: ὃν Rose   μὲν in rasura Z: λέγεται N

ἀπορρύψειεν ὁ γενναῖος, ἀλλ' ὅμως ἐμποδών ἐστι πρὸς τὰς καλὰς ἐνεργείας ἐνίοτε. οὐ γὰρ ἐπιτρέπουσιν αἱ πόλεις τὰ μέγιστα τοῖς τοιούτοις πράττειν. αἰσχρὸν δὲ λέγει οὐ τὸν μετρίως ἐστερημένον κάλλους ἀλλ', ὥς φησι, τὸν παναίσχη καὶ τερατώδη τὴν μορφήν, ὃν ἴσως οὐδ' οἷόν τε φρόνιμον γενέσθαι· ὡς ἐπίπαν γὰρ οἱ τοιοῦτοι καὶ τερατώδεις γίνονται. ἀλλ' οὐδὲ μονώτης καὶ ἄτεκνος ἂν εἴη εὐδαίμων· ἴσως δὲ οὐδὲ σπουδαῖος ὁ μονώτης, οὐ μόνον οὐκ εὐδαίμων· παρὰ φύσιν γὰρ τῷ ἀνθρώπῳ τὸ μόνῳ ζῆν. ἔτι δ' ἧττον εὐδαιμονεῖ, εἴ τῳ πάγκακοι παῖδες εἶεν, οἷον ἑταιροῦντες, ἢ ἀγαθοὶ ὄντες τεθνᾶσιν. δεῖ δ' ἐννοεῖν περὶ τῶν εἰρημένων ἁπάντων, ὅτι ὑπεραίρει μὲν αὐτὰ τὸ τῆς ἀρετῆς μέγεθος ὥστε μὴ εἶναι δυσδαίμονα τὸν ἐνάρετον. ἐὰν δὲ πάντα παρῇ τὰ εἰρήμενα δυστυχήματα, ἐμποδὼν γίνεται τῇ εὐδαιμονίᾳ. προσδεῖται οὖν τῆς τοιαύτης εὐημερίας, τουτέστιν εὐτυχίας ὁ εὐδαίμων· διὸ οἱ μὲν ταὐτὸν λέγουσιν εὐτυχίαν καὶ εὐδαιμονίαν, οἱ δὲ καὶ ἀρετὴν ταὐτόν· οἱ μὲν ἡγούμενοι εὐδαιμονίαν τὴν ἀρετὴν ταὐτὸν τὴν εὐδαιμονίαν καὶ ἀρετὴν λέγουσιν, οἱ δὲ ὁρῶντες διὰ τῶν ἐκτὸς πολλὰ πραττόμενα ὡς δι' ὀργάνων τῶν εἰς εὐδαιμονίαν φερόντων ταὐτὸν τῇ εὐτυχίᾳ τὴν εὐδαιμονίαν τίθενται.

Διὸ καὶ ἀπορεῖται πότερον, φησίν, ἐστὶ μαθητὸν ἡ εὐδαιμονία καὶ ἄλλως πως ἀσκητὸν ἢ κατά τινα θείαν μοῖραν ἢ τύχην παραγίνεται· ὅτι δὲ οἰκεῖα ταῦτα τοῖς προειρημένοις δῆλον. οἱ μὲν γὰρ λέγοντες ταὐτὸν τὴν ἀρετὴν τῇ εὐδαιμονίᾳ μαθητὸν τὴν ἀρετὴν ⟨καὶ⟩ τὴν εὐδαιμονίαν ἢ ἀσκητὸν ὑπολαμβάνουσιν. ἡ μὲν γὰρ φρόνησις πάντως μαθητὸν καὶ ἡ σοφία, ἡ δὲ ἠθικὴ ἀρετὴ τὸ μὲν πλεῖστον ἐθιστή, δεῖται δὲ καὶ μαθήσεως· ἡ δὲ ἄσκησίς ἐστι μὲν καὶ αὐτὴ ἔθος ἀλλ' οὐχ ἅπασα, ἀλλ' ἡ ἐν μελέτῃ πόνων καὶ ἀλγηδόνων ὑπομονή. τοῦτο γὰρ ἔνιοι τὴν ἀρετὴν ὑπολαμβάνουσι καὶ τὴν εὐδαιμονίαν· οἱ δὲ οὐκ ἐν ἀρετῇ εἶναι λέγοντες τὴν εὐδαιμονίαν αὐτὴν ἤτοι κατὰ θείαν μοῖραν παραγίνεσθαί φασιν ἢ διὰ τύχην. εἰ μὲν οὖν καί ἄλλο τι θεοδώρητόν ἐστιν, εἴη ἂν καὶ ἡ εὐδαιμονία δῶρον θεῶν, ὡς ἂν εἴποι τις τῶν τιθεμένων τοὺς ἀγῶνας τὰ ἔπαθλα ὡς τοὺς στεφάνους· τεθείκασι γὰρ ἐν μέσῳ τοῖς δυναμένοις καλῶς ἀγωνίζεσθαι· οὕτω δὲ καὶ ἡ εὐδαιμονία ἔπαθλον ἐν μέσῳ κεῖται τοῖς δυναμένοις [καλῶς ἀγωνίζεσθαι] ἀρετῆς ἐπιμελεῖσθαι καὶ κατὰ ταύτην ἐνεργεῖν. ἀλλ' εἰ μὲν θεῶν ἐστι δῶρον, ἄλλης ἂν εἴη σκέψεως φυσικωτέρας· φαίνεται δὲ εἰ καὶ μὴ θεοδώρητον, ἀλλὰ θεῖόν γέ τι ἡ εὐδαιμονία· θεῖον γάρ τι πρᾶγμα ἡ ἀρετή, ὥστε

1 ἀπορύψειεν NZ; alterum ρ add. Z² ἐκποδῶν Z: εκπηδῶν N 3 τὸν N: τὸ Z 4 προνῆμον N 8 εἴπω N ἢ εἰ N 9 δ' ἐννοεῖν scripsi: δὲ νοεῖν ZN 14 τὴν corr. Z² ex καὶ: καὶ N 15 λέγουσιν (R): λέγει ZN ὁρῶντες Z: ἐρωτῶντες N 18 διὸ καὶ — φυσικωτέρας (33) = *Class. Journal* XXVIII 314 19 ἢ καὶ διὰ τύχην Arist. τύχειν N 20 οἰκεῖα Z²: μετὰ ZN: an ἀκολουθεῖ scribendum? 21 καὶ addidi 24 αὐτὴ scripsi: αὕτη libri 25 ὑπομονῆ N 28 τι καὶ ἄλλο, erasa litterula una ante τι, quae fuisse videtur δ Z 29 θεῶν om. NZ: add. Z² ὡς τοὺς Diels: εἰς τοὺς libri 30 post ἀγωνίζεσθαι verba ἀρετῆς ἐπιμελ Z, statim deleta τοῖς Z: τῆς N 31. 32 καλῶς ἀγωνίζεσθαι delevi 33 ἄλλης Z²: ἄλλως ZN καὶ μὴ scripsi: μὴν καὶ ZN

καὶ τὸ ταύτης ἆθλον καὶ τέλος θεῖον· τὸ τοιοῦτον δ' ἂν εἴη ⟨ἡ⟩ εὐδαιμονία. εἴη δ' ἂν ἀρετῆς ἆθλον οὖσα πολύκοινον, τουτέστι πολλοῖς ἐν μέσῳ κειμένη καὶ δυνατὴ ὑπάρχειν τοῖς μὴ πεπηρωμένοις πρὸς ἀρετὴν διὰ μαθήσεως καὶ ἐπιμελείας. πεπηρωμένοι δὲ πρὸς ἀρετὴν οἱ μὲν γεννῶνται, οἷον οἱ ἄφρονες ἐκ γενετῆς, οἱ δὲ ἐκ κακῶν ἐπιτηδευμάτων πηροῦνται καὶ ἀνίατοι γίνονται. εἰ οὖν βέλτιον εὐδαιμονίαν γίνεσθαι δι' ἀρετὴν μᾶλλον ἢ διὰ τύχην, εὔλογον οὕτως ἔχειν· καὶ γὰρ τὰ κατὰ φύσιν καὶ τὰ κατὰ τέχνην ὁμοίως δὲ καὶ ⟨τὰ⟩ κατὰ ἀνάγκην, οἷον τὰ ἐν τῷ οὐρανῷ, πάντα οὕτως ἔχει, ὡς μάλιστα ἄριστα ἂν ἔχοι. εἰ οὖν ἐπὶ τῶν ἀρίστων αἰτιῶν καὶ φύσεων οὕτως ἔχει, ἔχοι ἂν οὕτως ὥστε δι' ἀρετὴν μᾶλλον εὐδαιμονεῖν ἢ διὰ τύχην· ἄμεινον γὰρ οὕτω προσοικειοῖ ἐν τοῖς ἑξῆς τὸν αὑτοῦ λόγον τούτοις.

Δῆλον γὰρ εἶναί φησιν ἐκ τοῦ ἀποδοθέντος ὁρισμοῦ τὸ ζητούμενον· τὸ ζητούμενον δέ ἐστι πότερον διὰ τύχην ἡ εὐδαιμονία παραγίνεται ἢ δι' ἀρετήν· ὁ δὲ λόγος ἦν ὅτι ἐστὶν ἡ εὐδαιμονία ψυχῆς ἐνέργεια κατ' ἀρετὴν ποιά τις, τουτέστιν ἐν προηγουμένοις. τῶν δὲ λοιπῶν ἀγαθῶν τὰ μὲν ὑπάρχειν ἀναγκαῖον τῷ εὐδαίμονι, οἷον ὑγίειαν εὐαισθησίαν· ἀναγκαῖα γάρ ἐστιν ὧν ἄνευ οὐχ οἷόν τε ζῆν· νοσηλευόμενος δὲ ἢ ἐν πικραῖς μάχαις καὶ ἀνιάτοις ὢν οὐκ ἂν ἕλοιτο ζῆν ὁ ἐνάρετος (ἐμοὶ μὲν δοκεῖ τῶν ἀναγκαίων εἶναι ἀγαθῶν καὶ ὁ φίλος· οὐ γὰρ ἂν ἕλοιτο ἄνευ φίλων ζῆν ὁ σπουδαῖος). συνεργὰ δὲ καὶ χρήσιμα ὡς ὄργανα πλοῦτος καὶ ἰσχὺς καὶ δόξα· πλοῦτος μὲν γὰρ πρὸς τὰς κατ' ἐλευθεριότητα ἐνεργείας, ἰσχὺς δὲ πρὸς τὰς κατ' ἀνδρείαν. καὶ διὰ δόξαν δὲ τῶν συλλαμβανόντων πολλοὶ ἠδυνήθησαν πολλὰ κατεργάσασθαι. οὐκ ἀναγκαῖα δὲ ὁμοίως ἐστὶ ταῦτα τοῖς προειρημένοις· ἐγχωρεῖ γὰρ καὶ ἄνευ αὐτῶν ζῆν. ἔτι δέ φησι τὸν ἀποδοθέντα ὑπ' αὐτοῦ ὁρισμὸν ὁμολογούμενον εἶναι τοῖς ἐν ἀρχῇ ῥηθεῖσιν. ἔκειτο γὰρ τέλος εἶναι τῆς πολιτικῆς τὸ ἄριστον, τουτέστι τὴν εὐδαιμονίαν· ἡ δὲ πολιτικὴ πλείστην ἐπιμέλειαν ποιεῖται τοῦ ἀγαθοὺς εἶναι τοὺς πολίτας καὶ πρακτικοὺς τῶν καλῶν. ἔστι δὲ τοῦτο συμφανὲς ἐκ τῶν ἀρίστων πολιτειῶν· τῆς

---

1 ταύ N δ' om. N ἡ addidi 3. 4 διά τινος μαθήσεως Arist. 6 εὐδαιμονίαν γίνεσθαι Z^2: εὐδαιμονίας γίνεται ZN 7 ἔχειν N: μᾶλλον Z Z^2 in margine: τοῦτο φησὶν ὅτι ἐνδέχεται τὴν εὐδαιμονίαν δι' ἀρετῆς καὶ ἀσκήσεως καὶ μαθήσεως λέγειν παραγίνεσθαι μᾶλλον ἢ κατὰ τύχην· καὶ γὰρ καὶ τὰ κατὰ φύσιν κάλλιστα καὶ κυρίως ἤτοι τὰ φυσικὰ οὕτω πέφυκεν ἔχειν· ἤτοι ἐκ μαθήσεως καὶ ἀσκήσεως πέφυκε παραγίνεσθαι· καὶ οὐκ ἀπὸ τύχης· ὁμοίως δὲ καὶ τὰ τεχνητὰ καὶ τὰ οὐράνια. τοῦτο γὰρ λέγει νῦν ὁ Ἀσπάσιος τὰ κατ' ἀνάγκην 8 τὰ ante κατὰ ἀνάγκην addidi ἔχει^{οι} N 9 ἐπί Z^2: om. NZ 9. 10 οὕτως ἔχει om. NZ : add. Z^2 11 γὰρ ἂν οὕτω N αὐτοῦ libri 17 ἢ Z^2 in rasura: ὁ N 18 ἀνίτοις N 19 cf. Arist. Eth. Nic. Θ 1 p. 1155a5 20 καὶ ante ἰσχὺς om. Z 21 τὰς inseruit Z^2: om. ZN ἐνέργειας Z^2: ἐνερ^{γ} Z: ἐνέργειαν N 22 τὰς scripsi: τὰ libri κατὰ bis Z; del. alterum Z^2 δόξαν δὲ Z^2: δόξαν μὲν ZN 24 ζῆν αὐτῶν Z 26 ἄριστον scripsi ex Arist.: αἱρετὸν ZN ἡ δὲ πολιτικὴ — θεραπευθήσεται (p. 27,6) = *Class. Journal* XXVIII 314 27 ἐπιμέλιαν N τοῦ Z: τοὺς N πολίτας Z: πάντας N 28 συμφανὲς Z^2: om. NZ

γὰρ παιδείας τῶν νέων μάλιστα ἐπιμελοῦνται, ὡς ἡ Λυκούργου, ὁμοίως δὲ καὶ ἡ Μίνωος καὶ ἡ Πλάτωνος· αἱ δὲ τῶν πολιτικῶν νομοθετῶν νομοθεσίαι ἰατρικαῖς μᾶλλον ἐοίκασιν ἢ πολιτικαῖς· κολάσεις γὰρ ὡρίκασι κατὰ τῶν ἁμαρτανόντων, αἱ δὲ κολάσεις οἷον ἰατρεῖαί τινες. βέλτιον δὲ καὶ ἐν ἰατρικοῖς σκοπεῖν ὅπως ὑγιεινὰ ἔσται ⟨τὰ⟩ σώματα ἢ ὅπως νοσήσαντα θεραπευθήσεται. πῶς οὖν ταῦτα οἰκεῖα αὐτοῦ τῷ λόγῳ; ὅτι εἰ ἡ πολιτικὴ ἐπιμελεῖται τοῦ ἀγαθοὺς εἶναι τοὺς πολίτας καὶ πρακτικοὺς τῶν καλῶν, τέλος δὲ αὐτῆς ἡ εὐδαιμονία, δῆλον ὡς τέλος ἂν ἡ κατ' ἀρετὴν ἐνέργεια εἴη· πρακτικοὺς γὰρ αὐτοὺς ποιεῖ τῶν καλῶν διὰ τοῦ τέλους.

p. 1099b32 Εἰκότως οὖν ἕως καὶ περὶ μὲν τούτων διοριστέον.

Ἐπειδὴ τῆς εὐδαιμονίας ἡ οὐσία καὶ ὁ λόγος ἀποδέδοται ψυχῆς λογικῆς ἐνέργεια κατ' ἀρετήν, εἰκότως οὖν οὔτε βοῦν οὔτε ἄλλο τι ζῷον εὔδαιμον λέγομεν· οὐδὲ γὰρ οἷόν τε αὐτὰ κοινωνῆσαι λογικῆς ἐνεργείας. διὰ τοῦτο δὲ οὐδὲ παῖς εὐδαίμων ἐστί· οὔπω γὰρ ἀκροαματικὸς τῶν τοιούτων, φησί, διὰ τὴν ἡλικίαν, ἐπεὶ φύσει μὲν καὶ ὁ παῖς πρακτικός, ὢν λογικὸν ζῷον, διὰ δὲ τὴν ἡλικίαν οὔπω πρακτικός· ἄλογον μὲν γάρ πώς ἐστι καὶ ὁ παῖς, διαφέρει δὲ τῶν ἀλόγων ζῴων ὅτι φύσει λογικός ἐστιν· οἱ δὲ λεγόμενοι εὐδαίμονες εἶναι παῖδες διὰ τὴν ἐλπίδα μακαρίζονται, διότι ἐλπίζονται ἐνεργήσειν κατ' ἀρετήν· ὅτι δὲ καὶ οἱ παῖδες εὐλόγως οὐ λέγονται εὐδαίμονες, καὶ διὰ τῶν ἑξῆς δείκνυσι. δεῖ γάρ, φησίν, ὥσπερ εἴπομεν καὶ ἀρετῆς τελείας καὶ βίου τελείου ἐν ᾧ πάντη εὐδαιμονήσει, ἐπὶ δὲ τοῦ παιδὸς οὐκ ἔστιν· οὐ γὰρ ἔχει πω τέλειον βίον· ὁ γὰρ ἐλπιζόμενος οὔπω δῆλος ὁποῖος ἔσται· πολλαὶ γὰρ μεταβολαὶ καὶ παντοῖαι κατὰ τὸν βίον γίνονται· καὶ ἐνδέχεται τὸν μάλιστα εὐθηνοῦντα μεγάλαις συμφοραῖς περιπεσεῖν ἐπὶ γήρως. τὸ δὲ δεῖ γὰρ ὡς εἴπομεν καὶ ἀρετῆς τελείας καὶ τὰ ἑξῆς συνῆπται τοῖς πρότερον εἰρημένοις περὶ τῆς εὐδαιμονίας. εἴρηται γὰρ ὅτι ἐστὶν ἡ εὐδαιμονία ψυχῆς ἐνέργεια κατ' ἀρετὴν ποιάν, τῶν δὲ λοιπῶν ἀγαθῶν τὰ μὲν ὑπάρχειν ἀναγκαῖα, τὰ δὲ συνεργὰ καὶ χρήσιμα. εἶτα συνηγόρησε τῷ ὁρισμῷ διὰ τῶν ἑξῆς εἰπών· ὁμολογούμενα δὲ ταῦτα· καὶ τὰ ἄλλα προσθεὶς ἔπειτα ἐπάνεισιν ἐπὶ τὸν ἐξ ἀρχῆς λόγον λέγων ὅτι δεῖ καὶ ἀρετῆς τελείας καὶ βίου τελείου, ἴσως ἐμφαίνων ἐν τῷ ἀρετὴν τελείαν

1 παιδίας N ὡς ἡ Diels: ἢ ἡ NZ: del. ἢ Z² 2 Μίνωνος N 4. 5 ἰατρικοῖς Z: ἰατρικῇ N 5 τὰ addidi 5. 6 θεραπευθήσεται Z²: θεραπευθῇ NZ 6 αὐτοῦ Z: αὐτὸ N εἰ NZ²: om. Z 7 πρακτικοὺς scripsi ex Arist.: πραγματικοὺς ZN 10 καὶ περὶ μὲν τούτων ἐπὶ τοσοῦτον διωρίσθω Arist. p. 1101a21 11 ὁ λόγος NZ²: ὅλος Z ἀποδίδοται Z ψυχικῆς Z 12 οὖν om. N 13 λογικῆς κοινωνῆς N: κοινωνεῖν λογικῆς Z 15 φησὶ (φύσις Z: corr. Z²)] A 1 p. 1095a2 ὁ παῖς Z²: ὅπως NZ 17. 18 παῖδες εὐδαίμονες εἶναι Z 19 παῖδες—γάρ (20) om. Z: add. Z² οὐ Z²: om. NZ 22 πάντελειον N 23 an τύχαι addendum post παντοῖαι? 24 εὐθυνοῦντα ZN et Arist. Ha 24. 25 περιπατεῖν N 25 τὸ δὲ Z²: om. NZ ὡς Z et Arist. Mb: ὥσπερ N et Arist. vulg. 27 ἡ om. Z ποιάν N

εἰπεῖν καὶ βίον τέλειον καὶ τὸ ἀνεμποδίστως γίνεσθαι. οὐ γὰρ ἔστιν εἰπεῖν κατ' ἀρετὴν τελείαν ἐνεργοῦντα· λέγω δὲ τελείαν τὴν ἐκ πασῶν τῶν ἀρετῶν ἢ τὴν θεωρητικὴν † μέν. ὡς εὐδαίμονα κέχρηνται ἐν τῷ ὁρισμῷ· παρεμφαίνεται οὖν τὸ μὴ ⟨τέλειον⟩ εἶναι [μὴ ὂν] ἐμποδιστικὸν τῆς εὐδαιμονίας· τοῦτο δέ φησι λέγειν διὰ τὸ πολλὰς μεταβολὰς γίνεσθαι καὶ παντοίας τύχας κατὰ τὸν βίον. βελτίων δὲ ἡ προτέρα ἐκδοχή.

Τοῖς δὲ προτέροις ἑπομένην ἀπορίαν ἐπιφέρει, εἰ μηδένα δεῖ ἄνθρωπον εὐδαιμονίζειν ⟨εἰ μὴ⟩ μετὰ τὸν θάνατον. ἆρ' οὖν εὐδαίμονα οἷόν τε εἶναί τινα ἐπειδὰν ἀποθάνῃ; ἢ τοῦτο ἄτοπον τὸν μηδ' ὅλως ὄντα λέγειν εὐδαίμονα καὶ μάλιστα ἡμῖν τοῖς λέγουσιν ἐνέργειαν εἶναί τινα τὴν εὐδαιμονίαν, ἢ οὐ λέγομεν τὸν τεθνεῶτα εὐδαίμονα εἶναι; οὐδ' ὁ Σόλων τοῦτο βούλεται, ἀλλὰ τοῦτο βούλεται ὁ λόγος, ὅτι τηνικαῦτ' ἄν τις ἀσφαλῶς μακαρίσειεν ἄνθρωπον· καὶ τὸ λεγόμενόν ἐστιν, οὐχ ὅτι νῦν εὐδαίμων ἀλλ' ὅτι ἦν ποτε εὐδαίμων· μακαρίζομεν δὲ αὐτὸν ἤτοι θαρροῦντες καὶ λέγομεν εὐδαίμονα, ὡς ἐκτὸς ὄντα κακῶν καὶ δυστυχημάτων. ἔχει μὲν οὖν φησι καὶ τοῦτό τινα ἀμφισβήτησιν καὶ παρεισάγει δευτέραν τινὰ ἀπορίαν, πότερόν ἐστι τῷ τεθνεῶτι ἀγαθὸν καὶ κακὸν ὥσπερ τῷ ζῶντι μὴ αἰσθανομένῳ δέ. ἢ οὐ δοκεῖ αὐτῷ εἶναί τι καὶ κακὸν καὶ ἀγαθὸν ἐκ τῶν εὐπραξιῶν καὶ τῶν δυσπραξιῶν τέκνων τε καὶ ὅλως ἀπογόνων; εἶτα ἐπὶ πλεῖον διέξεισι τὴν ἀπορίαν ταύτην· ἐνδέχεται γὰρ τῷ μακαρίως βιώσαντι καὶ ἀποθανόντι πολλὰς μεταβολὰς συμβαίνειν περὶ τοὺς ἐκγόνους καὶ τοὺς μὲν εὖ βιῶσαι τοὺς δὲ κακῶς, καὶ τοῖς ἀποστήμασι διαφερόντως ἔχειν καὶ τοὺς μὲν ἔγγιστα ὄντας τοῖς προγόνοις, τοὺς δὲ πόρρω καὶ ἤτοι τοὺς ἐγγὺς ἢ τοὺς πόρρω κρείττους ἢ χείρους εἶναι. ἄτοπον δὴ ἑκάτερον, καὶ τὸ μὴ συνικνεῖσθαι τὰ τῶν ἐκγόνων τοῖς γονεῦσι καὶ τὸ συμμεταβάλλειν πυκνῶς τὸν εὐδαιμόνως βιώσαντα ταῖς τῶν ἐκγόνων τύχαις καὶ προαιρέσεσι. τοῦτο μὲν οὖν τὸ δεύτερον ἀπόρημα ὑπερτίθεται· ἐπανιτέον δέ φησιν ἐπὶ τὸ πρότερον ἀπορηθέν· ἴσως γὰρ ἐκείνου θεωρηθέντος φανεῖται καὶ τοῦτο. ἐλέγετο δὲ ἐν τούτῳ δεῖν εὐδαιμονίζειν μετὰ τὸν θάνατον ⟨τὸν⟩ εὐδαιμόνως βιώσαντα ἄνθρωπον, ὡς οὐ νῦν ὄντα μακάριον ἀλλὰ καὶ πρότερον· καὶ τοῦτο δὲ ἄτοπον εἰ ὅτε μέν τις εὐδαίμων. οὐκ ἀληθὲς ἔσται τὸ ὑπάρχον αὐτοῦ κατηγορῆσαι ὅτι ἐστὶν εὐδαίμων, ὅτε δὲ μὴ ἔστιν ἀλλὰ τέθνηκεν, τότε ἀληθές ἐστι λέγειν ὅτι ἦν εὐδαίμων. δοκεῖ δὲ ἀληθεύειν ὁ τὸ μὲν ὑπάρχον κατηγορῶν ὡς ὑπάρχον· ἔστι γὰρ αὐτὸν εὐδαίμονα μετὰ τὸν θάνατον εἰπεῖν ὅτι ἦν εὐδαίμων ἀληθῶς καὶ

4 τέλειον inserui μὴ ὂν ex βίον nata putabam: exclusit Diels 5 γίνεσθε N τύχας] υ Z² in ras. τὸν om. Z 6 βέλτιον N 7 ἐπιφέρει Z²: om. NZ 8 εἰ μὴ addidi τὸν om. Z 12 τηνικαῦτ'] καυτ supplevit Z² 17 τῷ ζῶντι Z: τὸ ζῶντι N 18 καὶ (post τι) om. N 19 ἀπόρων N 22 διαφέροντες Z 24 συνικνεῖσθαι scripsi ex Arist.: συγκινεῖσθαι libri (συνγκινεῖσθαι Z, corr. Z²) τὰ Z²: μετὰ NZ 25 συμβάλλειν N 26 τύχαις NZ²: τύχες Z 28 ἐκκείνου N θεωρηθέντος Z²: ῥηθέντος NZ 29 τὸν addidi 30 ὅτε Z: ὅτι N 31 ὑπάρχον scripsi ex Arist.: ὑπάρχειν libri 33 ὁ Z²: om. NZ μὲν Z: μὴ N 34 εὐδαίμων Z: εὐδαίμον N

ὅτε ἔζη εἰπεῖν ὅτι ἦν εὐδαίμων. γελοῖον δὲ τὸ φυλαττομένους ἡμᾶς διὰ τὰς μεταβολὰς τῆς τύχης καὶ διὰ τὸ μόνιμόν τι ἡγεῖσθαι τὴν εὐδαιμονίαν μὴ λέγειν εὐδαίμονα τὸν ὄντα εὐδαίμονα· ὅμοιον γάρ, ὡς εἴ τις τὸν καλὸν ἢ πλούσιον ὅτε πλούσιός ἐστιν ἢ καλός, ὀκνοίη λέγειν ὅτι πλούσιός ἐστι διὰ τὰς μεταβολάς. ταῦτα εἰπὼν τρέπεται ἐπὶ τὸ λύειν τὴν ἀπορίαν, λέγων τὸ μὲν ταῖς τύχαις ἐπακολουθεῖν καὶ σὺν ταῖς τούτων μεταβολαῖς εὐδαίμονα ἢ κακοδαίμονα λέγειν οὐκ ἀληθές· οὐ γάρ ἐστιν ἐν ταύταις τὸ εὖ ἢ κακῶς, ὅπερ ἐκ τοῦ ὀνόματος δηλοῖ ἡ εὐδαιμονία καὶ ἡ κακοδαιμονία· περιείληπται γὰρ ἐν τῷ ὀνόματι ἑκάτερα τῆς μὲν τὸ εὖ τῆς δὲ τὸ κακῶς. κύριαι δέ εἰσιν εὐδαιμονίας αἱ κατ' ἀρετὴν ἐνέργειαι [καὶ μὴ κακίαν], τὸ δὲ κυριώτατον ἐν κακοδαιμονίᾳ αἱ κατὰ κακίαν ἐνέργειαι. μαρτυρεῖ δὲ τούτῳ τῷ λόγῳ τῷ λέγοντι τὸ κυριώτατον εἶναι τῆς εὐδαιμονίας [καὶ τὴν οὐσίαν] τὰς κατ' ἀρετὴν ἐνεργείας τὸ νῦν ἀπορηθέν. ἠπορήθη γὰρ εἰ δεῖ μακαρίζειν ἢ εὐδαιμονίζειν τοὺς τεθνεῶτας διὰ τὸ βέβαιον προσήκειν εἶναι τὴν εὐδαιμονίαν, τοὺς δὲ ζῶντας πολλάκις μεταβάλλειν ταῖς τύχαις. τοῦτο τὸ ἀπόρημα γέγονεν ἐκ τοῦ βέβαιον δεῖν εἶναι τὴν εὐδαιμονίαν· ἔστι δὲ περὶ οὐδὲν οὕτω βεβαιότης τῶν ἀνθρωπίνων ὡς περὶ τὰς κατ' ἀρετὴν πράξεις, αἳ μονιμώτεραί εἰσιν καὶ τῶν ἐπιστημῶν. ἐπιστήμης μὲν γὰρ ἄν τις καὶ ἐκλάθοιτο, τοῦ δὲ ὡς δεῖ ἐνεργεῖν οὐδέποτ' ἂν ὁ ἀγαθὸς ἐκλάθοιτο διὰ τὸ ἐν ταύταις καταζῆν. καὶ γὰρ σιτούμενος καὶ ἄλλοτ' ὀχούμενος καὶ βαδίζων καὶ ὁτιοῦν πράττων ὁ ἀγαθὸς κατ' ἀρετὴν ἐνεργεῖ, μάλιστα δὲ οἱ μακάριοι ἐν ταῖς τιμιωτάταις διάγουσιν ἐνεργείαις· αὗται δέ εἰσιν αἱ θεωρητικαί, διὸ καὶ μονιμώτεραί εἰσι τοῖς ἐναρέτοις. ὑπάρξει δὴ τὸ ζητούμενον τῷ εὐδαίμονι, τουτέστι τὸ μόνιμον καὶ βέβαιον, διὰ τὸ βέβαιον αὐτὸν εἶναι ἐν ταῖς καλαῖς ἐνεργείαις· καὶ ἔσται διὰ βίου τοιοῦτος ἀεί, ἢ εἰ καὶ μὴ ἀεὶ διὰ τὸ διαλείπειν ἐν τοῖς ὕπνοις καὶ ἐν ἄλλοις τισὶ καιροῖς, ἀλλὰ ἁπάντων γε ἀνθρώπων μάλιστα καὶ πράξει καὶ θεωρήσει τὰ κατ' ἀρετήν. ἤδη σαφῶς ἐν τούτοις καὶ ἐν πράξει καὶ θεωρίᾳ τὸ τέλος τίθεται. οἴσει δὲ καὶ τὰς τύχας κάλλιστα ὅ γε ὡς ἀληθῶς ἀγαθὸς καὶ τετράγωνος ἄνευ ψόγου· οἱ μὲν γὰρ τετράγωνοι λέγονται οἱ συμμετατιθέμενοι τοῖς ἤθεσι τῶν συγγινομένων, οἳ μετὰ ἀκολάστων μὲν λέγονται ἀκόλαστοι, μετὰ σωφρόνων δὲ σώφρονες δοκοῦσιν (οὐ γὰρ ἂν εἶεν οἱ αὐτοὶ σώφρονές τε καὶ ἀκόλαστοι) καὶ μετὰ μὲν ἀδίκων ἄδικοι, μετὰ δὲ δικαίων δίκαιοι δοκοῦσι καὶ ὅλως τὰ ἤθη συναρμόζουσι τούτοις οἷς ἂν ἐθέλωσιν. οὗτοι μὲν δὴ ἐπίψογοι· ἄνευ δὲ ψόγου τετράγωνοι οἱ τὰς τύχας

1 γελλοῖον N φυλατομένους Z: corr. Z² διὰ Z²N: δι Z 6 σὺν ταῖς Z: σὺν αὐταῖς N 7 λέγειν Z²: om. NZ 10 καὶ μὴ κακίαν Z²: καὶ κακίαν Z: καὶ κακίαι N: delevi 12 τὸ om. N τῆς εὐδαιμονίας scripsi: τὴν εὐδαιμονίαν libri καὶ τὴν οὐσίαν delevi 13 ὑπορήθη N 16. 17 βεβαιότης Z: βεβαιότατον N 17 πράξεις αἳ Z²: om. NZ 18 ἐπιστήμης N: ἐπιστήμην Z 23 δὴ Z: δὲ N (et Arist. Mb) 24 βέβαιον καὶ μόνιμον N εἶναι Z: τῆς N 26 ἁπάντων γε Diels: διὰ παντός γε Z²: διὰ πάντων τε ZN 27 ἤδη δὲ N καὶ (post τούτοις) om. N 28 τίθεται corr. ex γίνεται N 30 οἱ .... μετατιθέμενοι (lacunam 4 litterarum) N τοῖς συγγινομένων N 34 θέλωσιν· N

ἐμμελῶς φέροντες καὶ μήτε ὑπὸ δυστυχίας καταπίπτοντες μήτε ὑπὸ εὐτυχίας ἐπαιρόμενοι, ἀλλ' ὥσπερ οἱ τετράγωνοι λίθοι ἐφ' ὃ ἂν πέσωσι μέρος ἑστᾶσιν, οὕτως καὶ οὗτοι κατὰ πᾶσαν τύχην ἑστήκασιν ὀρθοί. χαλεπὸν γὰρ οὐ μόνον δυστυχίαν ἐνεγκεῖν ἀλλὰ καὶ εὐτυχίαν καὶ μεγάλα συμπτώματα συμβαίνει τοῖς μὴ δυναμένοις φέρειν εὐημερίαν. πολλῶν δὲ συμβαινόντων ἀπὸ τῆς τύχης τὰ μὲν μεγάλα τῶν εὐτυχημάτων ποιεῖ ῥοπήν, ὥστε ἐνίοτε ἐκσεῖσαι τὸν εὐδαίμονα τῆς εὐδαιμονίας, τὰ δὲ μικρὰ οὐκέτι· πολλὰ γὰρ δεῖ γενέσθαι δυστυχήματα καὶ ὑπερμεγέθη, ἵνα ἀποστήσῃ τῆς εὐδαιμονίας, οὕτω δὲ ὥστε κακοδαίμονα μὲν μηδέποτε εἶναι, μὴ μέντοι εὐδαίμονα. πῶς γὰρ οἷόν τε εὐδαίμονα εἶναι ἐν λύπαις ὄντα μεγάλαις καὶ ἐμποδιζόμενον ἐπὶ τὰς προηγουμένας ἐνεργείας; ὅμως δὲ καὶ ἐν τούτοις διαλάμπει ἡ ἀρετή, ἐπειδὰν φέρῃ τις πρᾴως τὰς δυστυχίας οὐ δι' ἀναλγησίαν ἀλλὰ διὰ μεγαλοψυχίαν· τοὐναντίον δὲ τὰ μεγάλα εὐτυχήματα προσγενόμενα τῷ ἀγαθῷ μακαριώτερον, φησί, ποιήσει τὸν βίον· μακαριώτερον δὲ οὕτως εἶπεν ὥστε φαίνεσθαι μακαριώτερον διὰ τὸ ἐπικοσμεῖν, ὥς φησι. καθάπερ γὰρ τὰ καλὰ σώματα οὐ καλὰ ποιεῖ ὁ περιτεθειμένος κόσμος, ἔστι γὰρ ἤδη, ἀλλὰ συνεπικοσμεῖ, οὕτω καὶ τὰ ἔξωθεν ἀγαθά, προστιθέμενα τῷ καλῷ καὶ εὐδαίμονι, συνεπικοσμεῖ αὐτοῦ τὸν βίον, καὶ τὴν χρῆσιν δὲ παρέχει καλήν. εἰ οὖν εἰσιν αἱ καλαὶ ἐνέργειαι κύριαι τῆς εὐδαιμονίας, τῆς δὲ κακοδαιμονίας αἱ ἐναντίαι, οὐδεὶς ἂν γένοιτο μακάριος ὢν [καὶ] κακοδαίμων καὶ ἄθλιος· οὐδέποτε γὰρ πράξει τὰ φαῦλα ⟨ὁ⟩ ἀγαθός. ἀλλὰ καὶ τὰς τύχας εὐσχημόνως οἴσει· οὐ μὴν μακάριός γε, οὐ μὴν οὐδὲ εὐμετάβολος· οὔτε γὰρ ἐκ τῆς εὐδαιμονίας κινηθήσεται ῥᾳδίως (ὑπὸ μεγάλων γὰρ καὶ πολλῶν ἀτυχημάτων ὡς ἔφαμεν ἐκσταίη ἂν αὐτῆς) οὔτε ἐκστὰς ῥᾳδίως ἐπάνεισιν εἰς τὴν εὐδαιμονίαν, μὴ πολλὰ καὶ μεγάλα κατ' ἀρετὴν ἐνεργήσας· οὐδὲν οὖν κωλύει λέγειν εὐδαίμονα τὸν κατ' ἀρετὴν τελείαν ἐνεργοῦντα καὶ ἔχοντα ἱκανῶς τὴν ἐκτὸς χορηγίαν ἐν τελείῳ βίῳ. ἔστι μὲν οὖν καὶ τοῦτο θαρροῦντως εἰπεῖν· εἰ δὲ δεῖ μὴ μόνον τὸν ὄντα εὐδαίμονα ἁπλῶς ⟨* * *⟩ οὐ μόνον τὸν οὕτως βιοῦντα ὡς εἴρηται, ἀλλὰ καὶ βιωσόμενον οὕτως καὶ τελευτήσοντα κατὰ λόγον, τουτέστιν ὁμοίως καὶ ἀναλόγως τῷ βεβιωμένῳ βίῳ· εἰ δὲ οὕτως, μακαρίους ἁπλῶς λέγοιμεν ἂν ἔτι ζῶντας, οἷς ὑπάρχει καὶ ὑπάρξει τὰ λεχθέντα ἀγαθά, τουτέστιν αἱ κατ' ἀρετὴν ἐνέργειαι τέλειοι καὶ ἀνεμπόδιστοι ὑπὸ τῶν ἐκτὸς ἐν βίῳ τελείῳ. μακαρίους δὲ οὕτω, φησίν, ἐροῦμεν ὡς ἀνθρώπους· τοῦτο δὲ προσέθηκεν ἐπεὶ ἄλλην ἡγεῖται εὐδαιμονίαν θεοῦ ἄλλην δὲ ἀνθρώπου, ὁμοίως δὲ καὶ ἀρετήν.

---

7 οὐκ ἔτι NZ²: οὐκ ἔστι Z 8 ἀποστήσει[η] τινὰ τῆς N 11 ὅμως Arist.: ὁμοίως ZN καὶ om. Z 12 φέρῃ corr. ex φέρει Z 13 προσγινόμενα N 14 εἶπεν scripsi: εἰπεῖν libri 15 ἐπικοσμεῖν] συνεπικοσμεῖν Arist. 16. 17 ἀλλ' ὡς ἐπικοσμεῖν N 17 περιτεθειμένος Z²: περιτεθέμένος Z: περιτιθέμενος N 20 καὶ delevi 21 ὁ addidi εὐσχημόνως Z: εὐδαιμόνως N 22 οὐ μὴν om. N 27 ἱκανῶς om. Z 28 θαρροῦντως NZ²: θαροῦτος Z lacunam indicavi 29 οὕτως Z²: οὗτος Z: οὕτω N 30 τελευτήσοντα Z: τελευτήσαντα N 31 λέγειμεν[οι] N 32. 33 τέλιοι N

p. 1101a22 Τὰς δὲ τῶν ἀπογόνων τύχας ἕως τῶν δὲ ἕξεων τὰς ἐπαινετὰς ἀρετὰς λέγομεν.

Μέτεισιν ἐπὶ τὴν ἑτέραν ἀπορίαν. ἦν δὲ εἰ συμβάλλονταί τι τοῖς εὐδαιμόνως ζήσασι καὶ τελευτήσασιν εὐδαιμόνως αἱ τῶν ἐκγόνων τύχαι πρὸς τὸ διαμένειν τὴν εὐδαιμονίαν αὐτῶν ἢ μὴ διαμένειν. φησὶ δὲ τὸ μὲν μηδὲν συμβάλλεσθαι λέγειν τὰς τῶν ἐκγόνων τύχας καὶ τῶν φίλων τοῖς τελευτήσασι λίαν ἄφιλον καὶ ταῖς δόξαις ἐναντίον. χρῆται δὲ τῇ κοινῇ πάντων ἀνθρώπων δόξῃ † ἐν ᾧ τέως ἄγχει. πάντων δ' ἀνθρώπων σχεδὸν ἀκούειν ἔστι μεταδιδόντων τοῖς τεθνεῶσι τῆς τῶν ἀπογόνων τύχης καὶ προαιρέσεως. καὶ γὰρ τῶν ⟨οὐκ⟩ εὖ πραττόντων ἢ κακῶς βιούντων δυστυχεῖς φασι τοὺς πατέρας, κἂν τύχωσι τεθνεῶτες· καὶ τοῖς μὲν καλὰ πράττουσιν εἰώθασι λέγειν, ὅτι ὀρθοῦσι τοὺς γονεῖς, τοῖς δὲ κακῶς πράττουσιν, ὅτι ὑβρίζουσι τοὺς προγόνους. αὗται δὲ αἱ δόξαι ἐμφαίνουσιν ὅτι μέτεστί πως τοῖς τεθνεῶσι τῆς τῶν ζώντων εὐημερίας καὶ δυσημερίας. ἐπὶ πόσον οὖν μέτεστι. τοῦτο βούλεται διορίσασθαι καί φησι· πολλῶν δὴ καὶ παντοδαπὰς ἐχόντων διαφορὰς τῶν συμβαινόντων, καθόλου φησὶν εἶναι διοριστέον, τίνα διικνεῖται πρὸς τοὺς τεθνεῶτας ἐξ ὧν πράττουσιν οἱ ζῶντες, τίνα δ' οὐ διικνεῖται· εἰ δὴ ὥσπερ τῶν περὶ ἕκαστον ἀτυχημάτων τὰ μὲν ἔχει τοσαύτην δύναμιν, ὥστε μεταστῆσαι ἂν αὐτὸν τῆς εὐδαιμονίας, τὰ δ' οὐ τοιαῦτα, οὕτω καὶ τὰ περὶ τοὺς φίλους. καὶ γὰρ τῶν συμβαινόντων τοῖς φίλοις μετέχομεν· καὶ τὰ μὲν τοιαῦτά ἐστιν ὥστε ἐμποδίσαι ἡμῶν τῇ εὐδαιμονίᾳ, τὰ δὲ οὐ τοιαῦτα· ἐν δὲ τούτοις διαφέρει τῶν παθῶν ἕκαστον περὶ ζῶντας ἢ τελευτήσαντας συμβαίνειν πολὺ [γὰρ] μᾶλλον ⟨ἢ⟩ παράνομα καὶ δεινὰ προϋπάρχειν ἐν ταῖς τραγῳδίαις τοῦ ⟨πράττεσθαι⟩· προϋπάρχειν ⟨γάρ⟩ ἐστιν, ὅταν ὡς γεγονότα ποτὲ οἱ ἄγγελοι ἀπαγγέλλωσιν, οἷον "ἦν Οἰδίπους τὸ πρῶτον εὐτυχὴς ἀνήρ" καὶ εἴ τινα τοιαῦτα· τὰ δὲ πραττόμενά ἐστιν, ὅταν ἐπὶ τῆς σκηνῆς πράττηται τὰ δεινά, οἷον καὶ ὁ Σοφοκλῆς εἰσάγει εἰς τὴν σκηνὴν τὸν Οἰδίπουν πεπηρωμένον, τὸν Αἴαντα ἑαυτὸν σφάττοντα. τὰ μὲν γὰρ προϋπάρχοντα οὐκ ἀνιᾷ τοὺς θεατάς, τὰ δὲ πραττόμενα ἐπὶ τῆς σκηνῆς συνταράττειν καὶ λυπεῖν εἴωθεν· οὕτω δὴ καὶ τὰ μὲν περὶ τοὺς τεθνεῶτας ἀτυχήματα ἔοικε τοῖς πρὸ τῆς σκηνῆς, τὰ δ' ἐν τῷ βίῳ τοῖς ἐν τῇ σκηνῇ. εἰ δὴ ταῦτα οὕτως ἔχει, συλλογιστέον καὶ ταύτην τὴν διαφοράν, ἣν διαφέρει τὰ περὶ τοὺς ζῶντας συμβαίνοντα καὶ περὶ τοὺς τεθνεῶτας. μᾶλλον δὲ ἴσως

1 δὲ ἕξεων] ἕξεων δὲ Arist. p. 1103a9 6 ἐκγόνων Z[1] corr. ex προγόνων: προγόνων N 8 ἐν τῷ τέως ἐλέγχει Diels τῶν πάντων Z 9 μεταδιδόντων om. N 10 οὐκ addidi ἢ κακῶς Z: καὶ κακῶς N 12 προγόνους N: γονέας Z, ου positis supra α 14 καὶ δυσημερίας om. Z 14. 15 διορίσασθαι om. Z 18 δυνάμην τοσαύτην N 20 καὶ γὰρ—ἐν τῇ σκηνῇ (31) = *Class. Journal* XXVIII 315 21 τῇ εὐδαιμονίᾳ corr. ex τὴν εὐδαιμονίαν Z 23 πολὺ μᾶλλον ἢ scripsi ex Arist.: πολὺ γὰρ μᾶλλον ZN προϋπάρχειν Diels: τὸ ὑπάρχειν ZN 24 πράττεσθαι et γὰρ add. Diels post ἐστιν add. προυπάρχειν μὲν γάρ ἐστιν Z[2]: expulit Diels 25 Eurip. fr. 157 N. 28 τὰ μὲν γὰρ—συμβαίνοντα καὶ (33) om. N 29 ἀνιᾷ R: ἀνιᾶται Z 31 τοῖς πρὸ τῆς scripsi: τῆς πρὸ τῆς Z[2]: τῆς ἐπὶ τοῖς Z

συλλογιστέον τὴν ἀπορίαν τὴν προκειμένην, εἰ οἱ τεθνεῶτες μετέχουσί τινος ἀγαθοῦ ἢ κακοῦ· ἅμα γὰρ ταῦτα ἀμφότερα συνάγεται ἐκ τῶν κειμένων καὶ διαφορὰ τῶν συμβαινόντων περὶ ζῶντας καὶ τεθνεῶτας ἐκ τῶν ἐκγόνων τῆς εὐπραγίας καὶ τοὐναντίον δυσπραγίας. ἔοικε γὰρ ἐκ τῶν εἰρημένων εἰ καὶ διικνεῖταί τι πρὸς αὐτοὺς ἀγαθὸν ἢ κακόν, ἀσθενὲς καὶ φαῦλον, ἢ ἁπλῶς ἤτοι κυρίως ἐστὶ μικρὸν ἢ ἐκείνοις ἐστὶ μικρόν, κἂν μέγα ᾖ, ὡς τεθνεῶσι καὶ μὴ αἰσθανομένοις, εἰ δὲ μή, τοσοῦτον ὥστε μὴ τοὺς μὴ ὄντας ποιεῖν εὐδαίμονας ἢ τοὺς ὄντας ἀφαιρεῖσθαι ⟨* * *⟩.

Μετὰ ταῦτα ἐπισκεπτέον εἶναί φησι περὶ τῆς εὐδαιμονίας πότερον τῶν ἐπαινετῶν ἐστιν ἢ τῶν τιμίων· ἔστι δὲ τὰ μὲν τίμια ὅσα ἀρχῆς ἔχεται, οἷον ἄρχοντες καὶ θεοί, τὰ δὲ καλά· ὁρίζονται δὲ τὸ καλὸν ἀγαθὸν καὶ ἐπαινετόν· τοιαῦται δέ εἰσιν αἱ ἀρεταὶ καὶ αἱ κατ᾽ ἀρετὴν ἐνέργειαι· τὰ δέ εἰσι δυνάμεις. τοιαῦτα δὲ τῶν ἀγαθῶν ἐστιν, οἷς ἔστιν εὖ καὶ μὴ εὖ χρῆσθαι, οἷον πλοῦτος καὶ ὑγίεια καὶ ὅλως τὰ περὶ τὸ σῶμα καὶ ἐκτὸς ἃ λέγεται ἀγαθά, ὅτι ὄργανά ἐστι τῷ ἐναρέτῳ πρὸς τὰς καλὰς ἐνεργείας. ἀριθμοῦσι δὲ καὶ τέταρτον εἶδος τῶν ἀγαθῶν, ἃ καλοῦσιν ὠφέλιμα ἰδίως· τοιαῦτα δέ ἐστιν ἃ μηδέποτε δι᾽ αὑτὰ αἱρετὰ ἀλλ᾽ ἀεὶ δι᾽ ἕτερα οἷον θεραπεῖαι τομαὶ καύσεις, ἅπερ ἅπαντα διὰ τὴν ὑγιειάν ἐστιν αἱρετά. τούτων μὲν δὴ ἐν τῷ παρόντι οὐ μέμνηται, τῶν δὲ δυνάμεων μνημονεύει μέν, ἀλλὰ φανερὸν νενόμικε τὸ μὴ τὴν εὐδαιμονίαν εἶναι τῶν τοιούτων ἀγαθῶν. ἀμφισβητεῖται δὲ πότερον τῶν τιμίων ἀγαθῶν ἐστιν ἢ τῶν ἐπαινετῶν· δείκνυσι δὲ ὅτι οὐκ ἔστι τῶν ἐπαινετῶν· πᾶν γὰρ τὸ ἐπαινετὸν τῷ ποιὸν εἶναι καὶ πρός τί πως ἔχειν ἐπαινεῖται· λέγει δὲ πᾶν οὐχ ὅτι ⟨τὸ⟩ ἐπαινετὸν τῶν πρός τί ἐστιν (ὁ γὰρ δίκαιος καὶ ὁ ἀνδρεῖος ἐπαινετοὶ μέν, οὐ λέγονται δὲ οὕτως ὡς τὰ πρός τι), ἀλλ᾽ ὅτι πᾶν τὸ ἐπαινετὸν ἐπαινεῖται τῷ πρός τί πως ἔχειν. κατὰ γὰρ τὴν ἀναφορὰν τὴν ἐπὶ τὰ ἔργα καὶ ⟨τὰς⟩ πράξεις ἐπαινοῦνται, οἷον ὁ ἀνδρεῖος καὶ ὁ δίκαιος τῷ ποιὸς εἶναι ἐπαινεῖται· ἐπαινεῖται γὰρ ἑκάτερος τούτων τῷ ἔχειν τὴν ἀρετήν· ὁ μὲν γὰρ ποιός ἐστιν ἀπὸ τῆς ἀνδρείας, ὁ δὲ ἀπὸ τῆς δικαιοσύνης καὶ τῷ πρακτικὸς εἶναι ὁ μὲν τῶν ἀνδρείων, ὁ δὲ τῶν δικαίων. καὶ τὸν ἰσχυρὸν δὲ καὶ τὸν δρομικὸν ἐπαινοῦμεν καίπερ οὐκ ὄντας ἐναρέτους ἴσως ἂν τῷ συμπράττειν τῇ φύσει, πλὴν δὲ καὶ ὡς ποιούς τινας καὶ τῷ ἔχειν πως πρὸς τὰς ἐνεργείας, τὸν μὲν τὰς δρομικάς, τὸν δὲ τὰς ἰσχυράς. δῆλον δὲ ἐκ τῶν περὶ τοὺς θεοὺς ἐπαίνων, οὓς ποιοῦνταί τινες, ὅτι δι᾽ ἀναφορὰν τὴν ἐπί τινας ἐνεργείας καὶ πράξεις οἱ ἔπαινοι γίνονται· ἐπαινοῦσι γὰρ αὐτοὺς ἔνιοι ἀναφέροντες πρὸς ἡμᾶς, οἷον τὸν μὲν Διόνυσον διότι οἶνον

5 ἢ ἁπλῶς — αἰσθανομένοις (7) add. Z²: om. ZN 7 δὲ scripsi ex Arist.: καὶ libri ὥστε μὴ scripsi: ὥστε ἢ libri 8 lacunam indicavi 9 μετὰ ταῦτα— ἀλλὰ μακαρίζει (p. 33, 17) = *Class. Journal* XXVIII 315—317 πότερον libri et Arist. Lb (πότερον οὖν Mb): πότερα Arist. vulg. 10 τὰ μὲν τίμια Z², τὰ corr. ex τῶν: τῶν μὲν τιμίων N 12 αἱ (post καὶ) om. N 13 ἔστιν om. N 17 ante δι᾽ ἕτερα add. αἱρούμεθα Z²: lac. Z: om. N 18 μὲν om. Z 22 τι Z: ἐστι N 23 τὸ add. Diels 24 τι bis N ὡς Z: εἰ N 25 τί πως scripsi: τι οὕτως ZN 26 τὰς addidi 31 τῷ prius Z: τὸ N τῷ alterum Z: τὸ N 36 οἶνον NZ²: οἷον Z

ἔδωκε, τὴν δὲ Δήμητραν διότι πυρόν. γελοῖος μὲν οὖν οὕτως ὁ ἔπαινος τῶν θεῶν· οὐ γὰρ ἐν τούτῳ αὐτῶν τὸ σεμνὸν καὶ καλόν, ἐν τῷ πρὸς ἡμᾶς ἀναφέρεσθαι, ἀλλ' ἐν τῇ ἰδίᾳ αὐτῶν φύσει. ἔοικε δὲ ὁ τοιοῦτος ἔπαινος, ὡς ἂν εἴ τις ἐπαινῶν τὸν ἄνθρωπον μὴ λέγοι αὐτοῦ τἀγαθά, ὅτι ἐστὶ λογικὸς καὶ φρόνιμος φύσει καὶ πολιτικὸς καὶ κοινωνητικός, ἀλλ' ὅτι καλῶς αἶγας νέμει καὶ πρόβατα καὶ πορίζει ταῖς ἀγέλαις αὐτῶν τροφὴν ἱκανήν. γελοῖος μὲν ὁ τοιοῦτος ἔπαινος, ὥσπερ ἔφαμεν, τῶν θεῶν, ἀλλ' ὅμως δῆλον ὅτι βούλεται ὁ ἔπαινος δι' ἀναφορᾶς γίνεσθαι ἐπί τινα ἔργα, ἐπεὶ ὅ γε οἰκεῖος αὐτῶν ἔπαινος καὶ ὕμνος ἐκ τῆς φύσεως αὐτῶν καὶ τῶν ἔργων λέγοιτ' ἄν, οἷον ὅτι φύσει καλὸν καὶ ἀγαθὸν τὸ θεῖον καὶ ἐνεργεῖ ἀεὶ ἐνεργείας τὰς καλλίστας καὶ θεωροῦσι τὰ ὄντα ὡς ἔχει καὶ τὴν τοῦ παρόντος συνέχουσι σύστασιν. τοιούτοις γὰρ λόγοις χρώμενος ἄν τις κατὰ τὸ δέον αὐτοὺς ὑμνοῖ· ἐπεὶ δ' ἐστὶν ὁ ἔπαινος τῶν τοιούτων, λέγω δὲ τῶν ποιῶν καὶ δι' ἀναφορᾶς τῆς πρὸς ἕτερα, δῆλον ὅτι τῶν ἀρίστων οὐκ ἔστιν ὁ ἔπαινος ἀλλὰ μεῖζόν τι. τοὺς γὰρ θεοὺς οὐκ ἐπαινοῦμεν ἀλλὰ μακαρίζομεν, μακαρίζομεν δὲ καὶ τοὺς θειοτάτους τῶν ἀνδρῶν καὶ τῶν ἀγαθῶν τὰ θειότατα. τοιοῦτον δὲ καὶ ἡ εὐδαιμονία, διόπερ οὐδεὶς αὐτὴν ἐπαινεῖ ἀλλὰ μακαρίζει. λέγει δὲ καὶ Εὔδοξον καλῶς συνηγορῆσαι τῇ ἡδονῇ. λέγει γὰρ διὰ τοῦτο ἀρίστην εἶναι τῶν ἀγαθῶν αὐτὴν ἁπάντων, ὅτι ἀγαθὸν οὖσα οὐκ ἐπαινεῖται. οὐδεὶς γὰρ ἐπαινεῖ τοὺς ἡδομένους ἀλλὰ μακαρίζει· μακαριστὸν δή τι ἡγεῖται τὴν ἡδονὴν ἀλλ' οὐκ ἐπαινετόν, καὶ διὰ τοῦτο προέχειν τῶν ἄλλων ἀγαθῶν. καὶ τὸν θεὸν δὲ καὶ τἀγαθὸν διὰ τοῦτο εἴποι ἄν τις μακαριστὸν ἀλλ' οὐκ ἐπαινετόν, ὅτι οὐ ταῦτα πρὸς ἄλλο τι ἀναφέρεται, ἀλλὰ πρὸς αὐτὰ πάντα· καὶ γὰρ πρὸς τἀγαθόν, λέγω δὴ τὴν εὐδαιμονίαν, τἆλλα ἀναφέρεται ἀγαθά· τὰ γὰρ εἰς αὐτὴν φέροντα ἀγαθὰ λέγονται καὶ πρὸς τὸν θεὸν μάλιστα· ὅσα γὰρ ⟨ἂν⟩ ᾖ δυνατὸν ἐξομοιωθῆναι, ἀγαθοῦ τινος τυγχάνειν δοκεῖ.

Μετὰ δὲ ταῦτα διαιρεῖ ὁ Ἀριστοτέλης ἔπαινον καὶ ἐγκώμιον, ὅτῳ διαφέροντα τότε ἐλέγετο· νῦν μὲν γὰρ συγκέχυται τὰ ὀνόματα καὶ ἐπὶ ταὐτοῦ λαμβάνεται, τότε δὲ ὁ μὲν ἔπαινος ἐλέγετο τῆς ἀρετῆς εἶναι καὶ ὅλως τῆς ἕξεως, τὸ δὲ ἐγκώμιον ἑκάστου ἔργου καὶ σωματικοῦ καὶ ψυχικοῦ. λέγει δὲ τὸ σωματικὸν ἔργον, ὃ διὰ τὴν τοῦ σώματος ἀρετὴν γίνεται, οἷον δρόμος ἢ πάλη, ψυχῆς δὲ ὅσα διὰ φρόνησιν ἢ ἄλλην τινὰ ψυχικὴν ἀρετὴν πράττεται. εἰς ἕκαστον γὰρ ἔργον ἐγκώμιον ἐγράφετο καὶ ἐλέγετο. ἀλλὰ τὸ ταῦτα μὲν ἐξακριβοῦν ῥητορικῆς οἰκειότερον καὶ τοῖς περὶ τοὺς ἐπαίνους διατρίβουσιν ἁρμόττει, ἡμῖν δέ φησιν δῆλον εἶναι ὅτι ἐστὶν ἡ εὐδαιμονία τῶν τιμίων

1 πυρρόν N οὕτως Z: οὗτος N 2 ἀναφέρεσθαι (R): διαφέρεσθαι ZN 4 λέγοι Z²: λέγει ZN αὐτοῦ N 8 ἀναφορὰς N 9 post τῶν ἔργων add. τῶν ἄλλων N οἷον om. N 10 καλίστας Z 12 ὑμνοῖ scripsi: ὑμνεῖ libri 13 ἀναφορὰς N ὁ ἔπαινος ZN et Arist. Hª: ἔπαινος Arist. Kᵇ 16 τὰ NZ²: om. Z 17 cf. notam ad p. 5, 23 19 πάντων N οὖσα bis N 25 ἂν ᾖ scripsi: ᾖ ZN 26 an τῷ θεῷ addendum post ἐξομοιωθῆναι? 27 μετὰ δὲ ταῦτα — ἁρμόττει (34. 35) = *Class. Journal* XXVIII 317 29 ἔπαινος bis N 31 σωματικῶν N δρόμος Z: τρόμος N 33 γὰρ Z: οὖν N τότε post ἐλέγετο add. N

ἀγαθῶν καὶ τελείων· τὸ δ' ὡς ἀληθῶς ἀγαθόν τε καὶ τέλειον ἅπαν τίμιον. ἔοικε δέ, φησί, παντελῶς οὕτως ἔχειν καὶ διὰ τὸ εἶναι ἀρχή· πᾶσα γὰρ ἀρχὴ τίμιον. δοκεῖ δὲ ἐνταῦθα τῷ ὀνόματι παραλογίζεσθαι· τίμιον γὰρ δοκεῖ ἡ ἀρχή, καθ' ἣν ἄρχουσί τινες, οἷον θεοί γονεῖς καὶ οἱ ἐν ταῖς πόλεσι βασιλεῖς· λέγω δὲ βασιλεῖς, ἀλλ' οὐ τοὺς νόμῳ. ἡ δὲ εὐδαιμονία λέγεται πολιτικὴ ἀρχὴ ὡς αἴτιον· εἰ μὴ ἄρα ὅτι τῶν μεγίστων ἀγαθῶν αἰτία ἡμῖν ἐστιν, ὥσπερ καὶ ὁ ἄρχων καὶ ὁ βασιλεύων διὰ τοῦτο τίμιον λέγεται.

Ἐπεὶ δέ ἐστιν ἡ εὐδαιμονία ψυχῆς ἐνέργεια κατ' ἀρετὴν τελείαν, ἴσως ἄν τις ἀπορήσει πῶς οὐκ ἔστι τῶν ἐπαινετῶν, ὥσπερ ἥ τε ἀρετὴ ἐπαινετὸν καὶ αἱ κατὰ ταύτην ἐνέργειαι. ἢ οὐκ ἔστιν ἁπλῶς ἡ εὐδαιμονία ἀρετὴ οὐδὲ ἐνέργειά τις μία κατ' ἀρετήν; ἐνεργεῖ ⟨δὲ⟩ ἐν βίῳ τελείῳ συμπραττούσης τῆς ψυχῆς πρὸς τὸ ἀνεμποδίστως τὸ ἀγαθὸν ἐνεργεῖν κατὰ τὴν ἀρετήν· μείζων ἄρα ἡ εὐδαιμονία· τοῦτο γὰρ ἤδη μεῖζον ἢ κατὰ τὸ ἐπαινετόν· μακάριον γὰρ καὶ ἡ εὐδαιμονία καὶ ὡς ἀληθῶς τίμιον. οὔσης δὲ τῆς εὐδαιμονίας, καθάπερ εἴρηται, ἐνεργείας κατ' ἀρετὴν τελείαν, ἐπισκεπτέον ἂν εἴη περὶ ἀρετῆς. καὶ ὁ κατ' ἀλήθειαν δὲ πολιτικὸς περὶ ἀρετὴν μάλιστα γεγένηται· βούλεται γὰρ τοὺς πολίτας ἀγαθοὺς εἶναι. ὥστε εἰ τῆς πολιτικῆς τέλος ἐστὶν ἡ εὐδαιμονία, ἡ δὲ πολιτικὴ τῶν πολιτῶν τὴν ἐπιμέλειαν ποιεῖται ὅπως ἐνάρετοι ὦσιν, ὡς διὰ τῆς ἀρετῆς περιεσομένου τοῦ τέλους καὶ τῆς εὐδαιμονίας, ἁρμόσαι ἂν τῇ παρούσῃ μεθόδῳ ἡ περὶ ἀρετῆς θεωρία· καὶ γὰρ ἡ ἠθικὴ πολιτική τίς ἐστιν. σκεπτέον δὲ περὶ ἀρετῆς ἀνθρωπίνης, οὐχὶ τῆς θείας· καὶ γὰρ εὐδαιμονίαν ζητοῦμεν τὴν ἀνθρωπίνην. δῆλον δὲ ἐκ τούτων ὅτι ἡγεῖται ὁ Ἀριστοτέλης καὶ ἀρετὴν καὶ εὐδαιμονίαν ἄλλην θεοῦ εἶναι, ἄλλην δὲ ἀνθρώπου. ἀρετὴν δὲ λέγομεν ἀνθρώπου οὐ τὴν τοῦ σώματος ἀλλὰ τῆς ψυχῆς· ἡ μὲν γὰρ σωματικὴ ἀρετὴ ἴσως τοῖς ἀλόγοις οἰκειοτέρα· πολὺ γὰρ ἐρρωμενεστέρα καὶ κρείττων ἐστὶ τῶν ἀνθρωπίνων· ἀνθρώπου δὲ ἴδιος ἡ περὶ τὸν λόγον ἢ τὰ ἐν τῇ ψυχῇ. διόπερ καὶ τὴν εὐδαιμονίαν τὴν ἀνθρωπίνην ψυχῆς ἐνέργειαν λέγομεν ἀλλ' οὐ σώματος. εἰ δὲ ταῦτα οὕτως ἔχει καὶ ἔστιν ἀνθρώπου ἀρετὴ ἐν ψυχῇ, δέοι ἂν εἰδέναι πως τὸν πολιτικὸν περὶ ψυχῆς ὥσπερ καὶ τὸν ὀφθαλμὸν ἰασόμενον ἢ καὶ ὅλον σῶμα εἰδέναι δεῖ περὶ τοῦ σώματος· οὕτω γὰρ καὶ τὴν ἀρετὴν περιποιήσεται τὴν τοῦ σώματος τὴν οἰκείαν οἷον ὑγίειαν καὶ εὐαισθησίαν. καὶ τὸν πολιτικὸν οὖν εἰδέναι δεῖ περὶ ψυχῆς, μέλλοντα τὴν ἀρετὴν αὐτῇ περιποιεῖν. διόπερ οὐδὲ τῶν αὐτῶν ἕνεκεν τῷ πολιτικῷ περὶ ψυχῆς

1 τελείων Z: τιμίων N ἀγαθὸν—ἅ Z²: lac. ZN 4 θεοὶ ἢ γονεῖς N 5 ad οὐ τοὺς νόμῳ Z² in marg.: τοὺς οἴκοθεν ὡς δεῖ βασιλεύσαντας καὶ μὴ διὰ τὸν νόμον ἡ δὲ Z: ἢ N 8 ἐνέργεια libri et Arist. Mb: ἐνέργειά τις Arist. vulg. 9 ἀπορήσῃ N: an ἀπορήσειε ut p. 42,13? 10 αἱ Z: ἡ N 11 δὲ addidi: ἀρετὴν ἐνεργεῖ libri τελίῳ N 13 ἡ εὐδαιμονία Z: εὐδαίμων N 15 τελείαν scripsi: τελείας Z: τέλος N 16 καθ' N 18 πολιτῶν N: πολιτικῶν Z 25 τῆς ψυχῆς libri et Arist. Ha: τὴν τῆς ψυχῆς Arist. vulg. 27 ἀνθρώπου δὲ Z: ἀλλ' οὐδὲ N τὰ scripsi: τὰς ZN 31 ὅλον scripsi: οἷον libri 32. 33 ἀναισθησίαν N 34 ἕνεκα N πολιτικῷ Z²: φυσικῷ ZN

θεωρήσει οὔτε ὁ σοφὸς οὔτε ὁ φυσικός· ὁ μὲν γὰρ φυσικὸς ἕνεκεν αὐτῆς τῆς θεωρίας γινώσκει τὰ περὶ ψυχὴν ἅπαντα καὶ ἀκριβῶς τὰ περὶ αὐτὴν ζητεῖ. ὁ δὲ πολιτικὸς οὐ τῆς θεωρίας ἕνεκεν ἀλλὰ κατ' ἀναφορὰν τὴν ἐπὶ τὴν ἀρετὴν καὶ χάριν τῆς ἀρετῆς καὶ οὐδὲ ἐπὶ πλέον ἀκριβοῖ ἀλλ' ἐφ' ὅσον αὐτῷ ἱκανὸν τὴν τῆς ψυχῆς γνῶσιν ποιεῖσθαι. εἰρῆσθαι δέ φησιν ὡς πολιτικῷ ἱκανῶς ἐν ἐξωτερικοῖς λόγοις περὶ ψυχῆς, οἷον ὅτι τὸ μὲν ἄλογον αὐτῆς, τὸ δὲ λόγον ἔχον. τὸ δὲ ἄλογον διττόν· τὸ μὲν γάρ ἐστι φυσικόν, οἷον τὸ αἴτιον τοῦ αὔξεσθαι καὶ τρέφεσθαι, ὃ ἐν τοῖς φυτοῖς ἐστι καὶ ἐμβρύοις καὶ τελείοις. τῆς δὲ τοιαύτης δυνάμεως, λέγω δὲ τῆς θρεπτικῆς, ἡ ἀρετὴ οὐκ ἰδία ἀνθρώπου διὰ τὸ καὶ ἐν ἄλλῳ αὐτὴν εἶναι καὶ ὅτι ἐν τοῖς ὕπνοις ἐνεργεῖ μᾶλλον ἡ τοιαύτη δύναμις, ὅτε ἥκιστα ὁ ἀγαθὸς καὶ ὁ κακὸς διάδηλοι (ὁ γὰρ ὕπνος ἀργία), πλὴν εἰ μὴ κατὰ μικρὸν ὁ σπουδαῖος καὶ ὁ εὐδαίμων διαφέρει τοῦ ἐναντίου, λέγω δὴ κατὰ τὰς φαντασίας. τὸ μὲν οὖν τοιοῦτον ἄλογον ἀφείσθω. ἔστι δέ τις καὶ ἄλλη δύναμις τῆς ψυχῆς ἄλογος καλουμένη, μετέχουσα μέντοι πῃ λόγου διὰ τὸ πεφυκέναι πείθεσθαι τῷ λόγῳ. ἔοικε δὲ ὁμώνυμον εἶναι τὸ ἄλογον· οὐ γὰρ ταὐτὸν τῇ θρεπτικῇ καὶ παθητικῇ δυνάμει τῆς ψυχῆς τὸ ἄλογον, ἀλλὰ τῇ μὲν θρεπτικῇ τὸ κατὰ μηδένα τρόπον μετέχειν τοῦ λόγου, τῇ δὲ παθητικῇ τὸ μὴ ἰδίου λόγου μετέχειν, ἀλλὰ τοῦ ἐν τῷ λογικῷ μορίῳ τῆς ψυχῆς, ὅταν αὐτῷ πείθηται. ἴσως δὲ καὶ τοῦ τῶν ζῴων ἀλόγου καὶ παθητικοῦ διαφέρει τὸ τῶν ἀνθρώπων, οὐ τοσοῦτον μὲν ὅσον τοῦ θρεπτικοῦ διαφέρειν ἔοικε (κοινωνεῖ γὰρ καὶ τὸ ἐκείνων παθητικὸν τῷ ἡμετέρῳ, διότι θυμοῦ καὶ ἐπιθυμίας μετέχει καὶ ὅλως ἡδονῆς καὶ λύπης), διαφέρει δὲ ᾗ οὐκ ἔστιν ἐπιπειθὲς τῷ λόγῳ. ὁ δὲ Ἀριστοτέλης βουλόμενος δεῖξαι, οἵα τίς ἐστιν ἡ τοῦ παθητικοῦ δύναμις, λεγομένου δὲ ἀλόγου, καὶ πῶς ἐπιπειθὴς εἶναι λέγεται τῷ λόγῳ, ἐκ τοῦ ἐγκρατοῦς καὶ ἀκρατοῦς δείκνυται· τοῦ γὰρ ἐγκρατοῦς καὶ ἀκρατοῦς φησιν ἐπαινοῦμεν τῆς ψυχῆς τὸ λόγον ἔχον· ἔστι δέ τι ἐν αὐτοῖς ἄλλο παρὰ τὸν λόγον, ὃ μάχεται καὶ ἀντιτείνει τῷ λόγῳ· προδηλότατον δέ ἐστιν ἐν τῷ ἐγκρατεῖ· καίπερ γὰρ νοσοῦν καὶ ἀντιτεῖνον ὅμως ἀκολουθεῖ καὶ πειθαρχεῖ τῷ λόγῳ· ταὐτὸν δὲ καὶ ἐπὶ τοῦ ἀκρατοῦς· τὸ γὰρ ἀντιτείνειν καὶ ἀπειθεῖν δηλοῖ ὅτι ἕτερόν ἐστιν. καὶ μὴν ὅτι πέφυκε πείθεσθαι φανερόν· αἰτιώμεθα γὰρ αὐτὸ τὸ παθητικόν, διότι μὴ πείθεται καὶ ἄγεται ὑπὸ τοῦ λόγου τρόπον τινὰ ἆκον καὶ ἀναγκαζόμενον· τὸ δὲ τοῦ σώφρονος καὶ τοῦ ἀνδρείου καὶ ὅλως τοῦ ἐναρέτου πλὴν τοῦ ἐγκρατοῦς ὁμοφωνεῖ τῷ λόγῳ. καὶ δήλη ἐντεῦθεν ἡ δια-

1 οὔτε ὁ corr. ex ἢ Z: ἢ N αὐτῆς N 4 πλεῖον N 5 πολιτικῷ Z corr. ex πολιτικοί: πολιτικοὶ N 7 ἔχον corr. ex ἔχων N 9 τελίοις N δὲ (ante τῆς) N: δὴ Z 10 ὅτι om. Z 11 ἐνεργεῖ ex ἐνεργεῖν Z 12 μὴ libri et Arist. Mb: πῃ Arist. vulg. 13 οὖν om. Z 15 πῃ ex corr. Z[1] 16 καὶ — θρεπτικῇ (16) NZ[2]: om. Z 18 τὸ μὴ Z: τοῦ μὲν N 20 ἀλόγων N παθητικοῦ Z: παθητικῶν οὐ N 22 παθητικὸν Z[2] in marg.: θρεπτικὸν NZ 23 ᾗ Z: ὅτι N τῷ om. Z 26 ἐνδείκνυται N 27 ἔχων N τι Z: lac. N 28 μάχεται καὶ libri et Arist. LbOb: μάχεταί τε καὶ Arist. vulg. ἐγκρατῇ Z 30 δῆλον N

φορὰ καὶ τοῦ ἐγκρατοῦς καὶ τοῦ σώφρονος· πᾶν γὰρ ἄλογον διττόν, ὡς εἴρηται· τὸ δὴ ἐπιπειθὲς τῷ λόγῳ, οἷον τὸ ὀρεκτικὸν καὶ παθητικόν, ταύτῃ λέγεται μετέχειν λόγου, ᾗ κατήκοόν ἐστιν αὐτοῦ, ὡς καὶ τοῦ πατρός φαμεν ἔχειν τινὰ λόγον οὐ τῷ πείθεσθαι τοῖς μαθηματικοῖς ἀλλὰ τῷ ἔχειν ἀπόδειξιν καὶ λόγον μαθηματικοῦ τινος θεωρήματος. οὕτω δὲ τὸ λογικὸν μετέχει λόγου ὡς ἔχειν ἐν αὐτῷ λόγον. ὅτι δὲ πείθεταί πως ὑπὸ τοῦ λόγου τὸ ἄλογον, μηνύει καὶ ἡ νουθέτησις καὶ πᾶσα ἐπιτίμησις καὶ παράκλησις. ἐπιτίμησις μὲν ἐπίπληξις σφοδρά τις φόβον ἐμβάλλουσα πρὸς ἐκκοπὴν τῆς ἀλόγου ὁρμῆς, νουθέτησις δὲ μετὰ παρακλήσεως ἐπίπληξις πραεῖα ἐφ' ἁμαρτήμασι γινομένη, παράκλησις δὲ προτροπή, κυρίως μὲν ἡ ἐπ' ἀγαθά, κοινότερον δὲ καὶ ἡ ἐφ' ὁτιοῦν προτροπή, ὥστε εἰκότως φαμὲν ἐπιτίμησιν εἶναι μετὰ παρακλήσεως τὴν νουθέτησιν, πλὴν ἥ γε νουθέτησις καὶ ἡ παράκλησις πᾶσα τὸ ὀρεκτικὸν καὶ ὁρμητικὸν τῆς ψυχῆς, ὅταν ἐφ' ἃ μὴ δεῖ ὁρμᾷ, τρέπειν ἐπὶ τὸ δέον βούλεται οὐκ ἂν εἰ μὴ πεφυκὸς ἦν πείθεσθαι τῷ λόγῳ. διορίζονται δὲ καὶ αἱ ἀρεταὶ κατὰ τὴν διαφορὰν τῶν μορίων τούτων τῆς ψυχῆς· ἃς μὲν γὰρ λέγομεν διανοητικὰς καὶ ἐν τῷ λογικῷ μορίῳ, οἷον σοφίαν καὶ φρόνησιν, τὰς δὲ ἠθικάς, ὅσαι ἐν τῷ ὀρεκτικῷ καὶ ὁρμητικῷ, οἷον σωφροσύνην καὶ ἐλευθεριότητα. οὐδέποτε γὰρ τὸ ἦθος ἐπαινοῦντες λέγομεν σοφὸς ἄνθρωπος, ἀλλ' ὅτι πρᾶος ἢ σώφρων· πλὴν καὶ ὁ σοφὸς ἐπαινετός, οὐ κατὰ τὸ ἦθος, ἀλλὰ κατὰ τὴν ἐπιστήμην· πᾶσαι γὰρ αἱ ἀρεταὶ ἐπαινεταί, ἡ δὲ σοφία ἀρετή.

---

2 οἷον τῶ N 5 δὲ καὶ τὸ N 6 ἑαυτῷ N: αὐτῷ Z ὅτι δὲ — ἡ δὲ σοφία ἀρετή (21) = Hermae V 97 7. 8 ἐπιτίμησις καὶ παράκλησις libri et Arist. Mb: ἐπιτίμησίς τε καὶ παράκλησις Arist. vulg. 8 ἐπίπληξις — δὲ (9) om. N 9 ἐπίπληξιν Z 10 ἐφ'] ἐπὶ libri ἁμαρτήματι Rose 11 ὅτο οὖν ZN 14 βούλεται Z: βάλεται N post ἂν excidisse πειθαρχοῦν coni. Diels 19 σώφρον N

ΕΙΣ ΤΟ Β̅ ΤΩΝ ΗΘΙΚΩΝ ΑΡΙΣΤΟΤΕΛΟΥΣ

p. 1103a14 Διττῆς δὲ τῆς ἀρετῆς οὔσης ⟨ἕως⟩ καθάπερ εἰρήκαμεν.

Ἐπειδὴ τῆς ψυχῆς δύο μέρη εἰσί, τὸ μὲν λόγον ἔχον, τὸ δ' οὔ, διττὴ καὶ ἡ ἀρετή, ἡ μὲν τοῦ λόγου ἔχοντος, ἡ δὲ τοῦ ἀλόγου. καλεῖται δὲ ἡ μὲν τοῦ λόγον ἔχοντος διανοητική· διάνοια γὰρ καὶ νοῦς καλεῖται τὸ λόγον ἔχον τῆς ψυχῆς· ἡ δὲ τοῦ ἀλόγου ἠθική, ἐπειδὴ τὸ ἦθος ἐν ἐκείνῳ γίγνεται τῷ μορίῳ, ὥσπερ εἴρηται πρότερον. δῆλον δὲ καὶ ἐξ ὧν ὀλίγον ὕστερον ἐρεῖ· τὸ γὰρ ἔθος μικρὸν παρατρέψαντες ἦθος λέγομεν. σχεδὸν δὲ πᾶσαι αἱ ἐν τούτῳ τῷ μορίῳ λεγόμεναι ἀρεταὶ δι' ἔθους παραγίνονται. ἡ μὲν οὖν διανοητικὴ τὸ πλεῖον ἐκ διδασκαλίας ἔχει τὴν γένεσιν καὶ τὴν αὔξησιν, ἡ δὲ ἠθικὴ ἐξ ἔθους παραγίνεται. δῆλον δὲ τοῦτο τοῖς ἑκάστην σκοποῦσι τῶν ἀρετῶν τῶν τε διανοητικῶν καὶ τῶν ἠθικῶν. διανοητικαὶ δέ εἰσι σοφία καὶ φρόνησις· ἡ μὲν οὖν σοφία ἐπιστήμη ἐστίν, πᾶσα δὲ ἐπιστήμη ἐκ διδασκαλίας. καὶ μὴν οὐδὲ τὰ φύσει συνεστῶτα, περὶ ὧν ἡ σοφία ἐπισκοπεῖ, ἐξ ἔθους ἄν τις γνοίη, ἀλλὰ δεῖ πάντως διδασκαλίας ἢ εὑρέσεως, ὁμοίως δὲ καὶ τὰ κατὰ τὴν πρώτην φιλοσοφίαν. εἰ δ' ἄρα μελέτης τινὸς δεῖ ἐν τῷ μανθάνειν, τοῦτο δ' εἰ βούλεταί τις καλεῖν ἔθος, καλείτω. ἀλλά τό γε κυρίως ἔθος ἐστὶ τὸ ἐθίζεσθαι καλοῖς ἐπιτηδεύμασι. καὶ μὴν ἡ φρόνησις διὰ πολλῆς ἐμπειρίας παραγίνεται καὶ διδασκαλίας· λόγος γάρ ἐστιν ὀρθὸς καὶ ἤτοι ἀπόδειξίς τις ἢ ἀποδείξει ὅμοιον. ἡ μὲν οὖν πρώτη φιλοσοφία πάντως ἀποδείξει χρῆται, ἡ δὲ φρόνησις συλλογισμῷ ὁμοίως τῇ ἀποδείξει. πᾶσα δὲ ἀπόδειξις καὶ πᾶς συλλογισμὸς ἀποδεικτικὸς ἢ ἐγγὺς ἀποδείξει διδασκαλία πώς ἐστιν. ὅτι μὲν οὖν αἱ διανοητικαὶ διὰ μαθήσεως γίνονται δῆλον· αἱ δὲ ἠθικαὶ τὸ πλεῖστον ἀπὸ τοῦ ἔθους ἔχουσι τὴν γένεσιν καὶ τὴν αὔξησιν· ἐθιζόμενοι γὰρ

---

1 εἰς τὸ βῆτα τῶν ἠθικῶν Ἀριστοτέλους Z: τὸ δεύτερον τῶν Ἠθικῶν Ἀριστοτέλους N rubro 1 καὶ ἡ ἀρετή (4) = *Classical Journal* XXIX 104 2 ἕως addidi 4 ἄλογον N 8 ἦθος Z²: τὸ ἦθος ZN 9 μορίῳ N: λόγῳ Z 11 τοῖς ἑκάστην corr. Z²: ταῦτα μὲν οὖν ZN 14 οὐδὲ scripsi: οὔτε libri 16 τὰ om. N

ἄνθρωποι τοῖς ἀκολάστοις ἀκόλαστοι γίνονται, ἐθιζόμενοι δὲ τοῖς δικαίοις δίκαιοι καὶ τοῖς ἀνδρείοις ἀνδρεῖοι. ταύτας δὲ ὁμολογουμένως τελειοῖ τὰς ἀρετὰς ἡ φρόνησις καὶ ὁ κατ' αὐτὴν λόγος. ὅτι δὲ ἐξ ἔθους τὸ πλεῖστον αὐτῶν ἐστι, μαρτύριον τὸ πολλοὺς εἰδότας τὸν ὀρθὸν λόγον μὴ δύνασθαι πράττειν τὰ καλά, ἡττωμένους ὑπὸ τῶν ἡδονῶν καὶ λυπῶν. τοῦτο δ' αὐτοῖς συμβαίνει διὰ τὸ μὴ εἰθίσθαι καλῶς.

Ἐπεὶ δὲ ὡμολόγηται ἐξ ἔθους παραγίνεσθαι τὴν ἀρετήν, ἐκ τούτων φησὶν δῆλον εἶναι, ὅτι οὐδεμία τῶν ἠθικῶν ἀρετῶν φύσει ἡμῖν ἐγγίνεται. ἵνα δὲ δῆλον γένηται, πῶς λέγει μὴ παραγίνεσθαι φύσει, διαιρετέον ποσαχῶς τὸ φύσει. φύσει γὰρ λέγεται ὑπάρχειν ὅσα ἀεὶ συνυπάρχει, οἷον φύσει πᾶν τὸ βαρὺ κάτω πέφυκε φέρεσθαι καὶ τὸ κοῦφον ἄνω· καθ' ἕτερον δὲ τρόπον λέγεται φύσει καὶ ὃ μὴ ἐξ ἀρχῆς μὲν συνυπάρχει, ἀπὸ δέ τινος χρόνου παραγίνεται ὡς ἐπὶ τὸ πλεῖστον, μηδὲν ἡμῶν πολυπραγμονούντων μήτε δι' ἔθους μήτε διὰ διδασκαλίας, οἷον ὀδόντων φύσις καὶ γενείων. ἄλλως δὲ λέγεται φύσει, οὗ ἐπιδεκτικοί ἐσμεν· οὕτως καὶ τὰ ἐναντία τῷ αὐτῷ γίνεται φύσει, οἷον νόσος καὶ ὑγίεια τῷ δεκτικῷ σώματι. ἔτι δὲ λέγεται φύσει, πρὸς ὃ μᾶλλον τὸ δεκτικὸν πέφυκε καὶ πρὸς ὃ ἔχει ἀπὸ τῆς φύσεως ἀφορμὰς μᾶλλον. οὕτως δὲ καὶ ἡ ὑγίεια μὲν φύσει, ἡ δὲ νόσος παρὰ φύσιν γίνεται, στέρησίς τις οὖσα τῆς ὑγιείας καὶ διὰ τὸ τὴν φύσιν συστῆσαι τὸ σῶμα μᾶλλον πρὸς ὑγίειαν ἢ πρὸς νόσον. τὸν αὐτὸν δὲ τρόπον καὶ ἀρετὴ μᾶλλον κατὰ φύσιν ἐστίν, παρὰ φύσιν δὲ ἡ κακία, καὶ ὅλως τὸ μὲν εὖ κατὰ φύσιν μᾶλλον, τὸ δὲ κακὸν παρὰ φύσιν. τοσαυταχῶς δὴ λεγομένου τοῦ φύσει, ἔοικεν εἰληφέναι τὸ φύσει ὡς μὲν ἐκ τοῦ παραδείγματος κατὰ τὸ πρῶτον σημαινόμενον. φησὶ γὰρ καὶ τὸν λίθον κάτω φύσει φέρεσθαι καὶ διὰ τοῦτο μὴ ἐθίζεσθαι ἄλλως. ἔστι δέ πως καὶ κατὰ τὸ δεύτερον· οὐδὲ γὰρ οὕτως ἡ ἀρετὴ ἡμῖν παραγίνεται ὡς γένειον καὶ ὀδόντες, μηδὲν ἡμῶν πολυπραγμονούντων, ἀλλ' ἐξ ἔθους καὶ διδασκαλίας. οὕτως μὲν οὖν οὐκ ἔστι φύσει ἡ ἀρετή, εἴη δ' ἂν φύσει κατὰ τὸ τρίτον καὶ μάλιστα κατὰ τὸ τέταρτον τῶν ῥηθέντων. καὶ γάρτοι ἐπιδεκτικοί ἐσμεν τῆς ἀρετῆς καὶ τῆς κακίας καὶ μᾶλλον ἀφορμὰς ἔχομεν πρὸς τὴν ἀρετήν· διό φησι πέφυκε μὲν ἡμῖν παραγίνεσθαι ἡ ἀρετή· οὔτε δὲ φύσει οὔτε παρὰ φύσιν, τὸ πεφυκὸς ἐκλαβὼν ἀντὶ τοῦ τετάρτου σημαινομένου τοῦ φύσει, ἵνα καὶ τῷ ὀνόματι αὐτὸ διαστήσῃ. ὅτι δὲ οὐ παραγίνεται ἡμῖν φύσει ἡ ἀρετὴ οὕτως ἐκ γενετῆς συνυπάρχουσα καὶ ἀμετάστατος, δῆλον. οὐδὲν γὰρ

2 ταύτας Z: τὰς N τελιοῖ N 3 δὲ om. N 6 ἰθεῖσθαι N 7 ἐκ τούτων — διαστήσῃ (32) = Hermae V 86—88 9 ἵνα δὲ δῆλον — τῆς ὑγιείας (19) = *Classical Journal* XXIX 104 διαιρετὸν N 10 ὑπάρχειν — ἐξ ἀρχῆς μὲν συνυπάρχει (12) Z: ἃ συνυπάρχειν N 14 διὰ om. Z 15 ἐπιδεκτικοὶ] ἐπιδεικτικοὶ ZN: *capaces* Felicianus 16 ὑγείας Z φύσει scripsi: φύσις ZN 17 δεκτὸν N πρὸς ἃ Rose 18 ὑγία Z 19 ὑγείαν N 20 τὸν δὲ αὐτὸν δὲ N 21 παρὰ φύσιν δὲ om. N 22 δὴ Z: δὲ N 24 κάτω om. N 25 καὶ om. N 26 μηδὲ N 27 φύσει (prius) corr. ex φύσις Z: φύσις N φύσει (alterum) corr. ex φύσις Z: φύσει N 29 ἐπιδεικτικοὶ N 30 παραγίνεσθαι ἡμῖν N φύσει corr. ex φύσις Z: φύσει N 32 αὐτῷ N διαστήσει N 33 οὕτως ὡς N

τῶν οὕτω φύσει ὑπαρχόντων ἄλλως ἂν ἐθισθείη, οἷον ὁ λίθος κατάρροπος ὢν οὐκ ἂν ἐθισθείη ἄνω φέρεσθαι, οὐδὲ τὸ πῦρ κάτω· οἱ δ' ἄνθρωποι μοχθηροῖς ἔθεσι χρώμενοι φαῦλοι γίνονται καὶ τὴν ἀρετὴν οὐ κτῶνται. ἔτι ὅσα φύσει παραγίνεται, τούτων φησὶ κομιζόμεθα τὰς δυνάμεις πρότερον, ὕστερον δὲ τὰς ἐνεργείας· δῆλον δὲ τοῦτο ἐπὶ τῶν αἰσθήσεων. τὰς δὲ ἀρετὰς λαμβάνομεν ἐνεργήσαντες πρότερον ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν, αἳ μὴ φύσει· οὐκ ἄρα τῶν φύσει παραγινομένων αἱ ἀρεταί.

Χρῆται δὲ καὶ ἄλλῃ τινὶ πίστει ἐνδόξῳ πρὸς τὸ προκείμενον, χρώμενος μάρτυσι τοῖς ἀρίστοις νομοθέταις· ἔργον γὰρ αὐτῶν ἵνα ἀγαθοὶ γένωνται ⟨οἱ πολῖται⟩· οὐδὲν δὲ ἔδει ἐθίζειν, εἰ τῶν φύσει παραγινομένων ἦν ἡ ἀρετή.

Τὸ δὲ ἑξῆς ἐπιχείρημα τὴν μὲν ἀρχὴν ἔχει εἰς τὸ προκείμενον, ὅτι οὐ φύσει αἱ ἠθικαὶ ἀρεταί· κατὰ βραχὺ δὲ ἄγει εἰς ἕτερον πρόβλημα· ζητεῖ γὰρ ἑξῆς, τίνες αἱ ἀρεταί εἰσι καὶ αἱ καλαὶ πράξεις. ὅτι δὲ οὕτως ἔχει, ἐξ αὐτῶν εἰσόμεθα τῶν λεγομένων. πρῶτον δὲ τὸ ἐκ τῶν αὐτῶν καὶ διὰ τῶν αὐτῶν τίνα ἔχει διαφορὰν θεασώμεθα· ἤτοι γὰρ ὡς ταὐτόν τι δυναμένοις χρῆται, ἢ ἴσως τὸ μὲν ἐκ τῶν αὐτῶν οὐ μόνον σημαίνει τὸ διὰ τῶν αὐτῶν ἐνεργειῶν ἐγγίνεσθαι τὴν ἀρετὴν καὶ φθείρεσθαι, ἀλλὰ τὰς αὐτὰς μὲν ἀρχὰς ἔχειν, μὴ μέντοι διὰ τῶν αὐτῶν γίνεσθαι. ἵνα δὲ σαφέστερον γένηται, πῶς χρῆται τῷ ἐκ τῶν αὐτῶν, προσέθηκε καὶ διὰ τῶν αὐτῶν. λέγει δέ, ὅτι καὶ διὰ τῶν αὐτῶν ἐνεργειῶν γίνεται πᾶσα ἀρετὴ καὶ φθείρεται· τῶν αὐτῶν δὲ ἐνεργειῶν τῷ γένει· αἱ γὰρ περὶ ἡδονὰς ἐνέργειαι αἵ τε καλαὶ καὶ αἱ μοχθηραὶ τῷ μὲν γένει εἰσὶν αἱ αὐταί, τῷ δὲ εἴδει διαφέρουσι. γίνεται δὲ ἐκ μὲν τῶν καλῶν ἐνεργειῶν τῶν περὶ ἡδονὰς ἡ σωφροσύνη, ἐκ δὲ τῶν φαύλων ἡ ἀκολασία· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων ἀρετῶν. προβιβάζει δὲ καὶ ἐκ τῶν τεχνῶν· ἐκ γὰρ τοῦ αὐτοῦ ἐνεργήματος ὄντος τῷ γένει, οἵ τε ἀγαθοὶ γίνονται κιθαρισταὶ καὶ οἱ φαῦλοι, καλῶς μὲν ἐθιζόμενοι ἐνεργεῖν ἀγαθοὶ κιθαρισταί, κακῶς δὲ κακοί· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν τὸ αὐτὸ συμβαίνει. ταῦτα δέ, ὥσπερ εἶπον, φέρει μὲν καὶ εἰς τὸ προκείμενον· εἰ γὰρ ἐκ τῶν ἐνεργειῶν καὶ τῶν ἐθῶν οἱ μὲν ἐνάρετοι γίνονται, οἱ δὲ φαῦλοι, φανερὸν ὡς οὐκ ἔστι φύσει οὔτε ἡ ἀρετὴ οὔτε ἡ κακία. ὁ δὲ τοῦτο μὲν οὐκέτι ἐπιφέρει· λαβὼν δὲ καθόλου τὰς ἐνεργείας ποιὰς ἀποδιδόναι καὶ ποιεῖσθαι δεῖ, τουτέστι καλὰς ἀλλὰ μὴ φαύλας διὰ τὸ ἀκολουθεῖν ταῖς ἐνεργείαις τὰς ἕξεις, ἐπήνεγκε τὸ ἐπεὶ οὖν ἡ παροῦσα πραγματεία οὐ θεωρίας ἕνεκά ἐστιν ὥσπερ αἱ ἄλλαι (σχεδὸν γὰρ πᾶσαι αἱ κατὰ φιλοσοφίαν πλὴν τῆς ἠθικῆς καὶ πολιτικῆς θεωρίας ἔχονται· τὴν δὲ ἠθικὴν μανθάνομεν, οὐχ ἵνα εἰδῶμεν τοὺς λόγους, ἀλλ' ἵνα ἀγαθοὶ γενώμεθα), ἀναγκαῖον εἶναί φησι

4 τούτων φησὶ scripsi: φύσει ἐκ τούτων ZN πρότερον ante κομιζόμεθα N 7 φύσεων N 10. 11 οἱ πολῖται addidi ex Arist. et Felic.: om. libri 11 δὲ Z: γὰρ N εἰ NZ²: ἡ Z ἦν Z: ἢ N 12 ἄγει εἰς NZ²: εἰσάγει εἰς Z 16 τι om. N 18 τὰς αὐτὰς scripsi: τοσαύτας ZN 23 γίγνεται N 26 ὄντος corr. ex ὄντως Z 27 οἱ φαῦλοι Vossianus: om. οἱ ZN 30 οἱ δὲ Z: αἱ δὲ N 34 ἐπήνεγκε τὸ Z, m. 2, ut videtur: om. N

σκέψασθαι τὰς ἕξεις. ἕξεις δὲ λέγει τὰς ἀρετὰς καὶ τὰς κακίας. καὶ οὕτω προάγων τὸν λόγον εἰσβάλλει εἰς τὸ ἕτερον πρόβλημα· ζητεῖ δὲ ποίας πράξεις δεῖ προαιρεῖσθαι· λέγει δὲ οὕτως.

p. 1103b31 Τὸ μὲν οὖν κατὰ τὸν ὀρθὸν λόγον ἕως μάλιστα δυνησόμεθα ὑπομένειν τὰ φοβερά.

Καθόλου δὴ λαμβάνει ἐκείνας τὰς πράξεις προαιρεῖσθαι δεῖν, ἃς κατὰ τὸν ὀρθὸν λόγον πράττομεν. τίς δέ ἐστιν ὁ ὀρθὸς λόγος, ὕστερον ῥηθήσεται καὶ πῶς ἔχει πρὸς τὰς ἄλλας ἀρετάς· δείξει δὲ ὅτι ὁ ὀρθὸς λόγος ἐστὶν ἡ φρόνησις, ἔχει δὲ πρὸς τὰς ἄλλας ἀρετὰς ἡ φρόνησις ὡς ἡγεμονική τις. δηλωθήσεται δὲ περὶ τούτου, ὅταν καὶ αὐτὸς λέγῃ. ἐκεῖνο δὲ ὑπομνηστέον, ὅτι τὸ κατὰ τὸν ὀρθὸν λόγον πράττειν οὐ μόνον τοῖς ἔχουσι τὰς τελείας ἀρετὰς προσνέμει, ἀλλὰ καὶ τοῖς μὴ ἔχουσι τὰς τελείας. πράττουσι γὰρ οὗτοι, ὡς ἂν ὁ ὀρθὸς λόγος ὑπαγορεύσειεν, οὐ μὴν ἔχοντες τὸν λόγον ἀποδεικτικὸν ἀλλὰ τὸν δοξαστικόν, ὅτι τοῦτο μὲν πρακτέον, τοῦτο δὲ οὐ πρακτέον, καὶ ὡς εἰπεῖν τὸ μὲν ὅτι παρειληφότες, τὸ δὲ διότι ἀγνοοῦντες. ῥηθήσεται δὲ περὶ τούτων ὕστερον· εἰπὼν δέ, ὅτι δεῖ πράττειν πάντα κατὰ τὸν ὀρθὸν λόγον, ἐνενόησεν ὅτι καθόλου μὲν τοῦτο εἴρηται, οὐκ ἀκριβῶς δέ· οὐ γὰρ οὕτω γνώριμον τίς ἐστιν ὁ ὀρθὸς λόγος ὡς ὅτι τὰ δὶς δύο τέσσαρα, ἀλλὰ τύπῳ μὲν λέγεται τὸ δεῖν κατὰ τὸν ὀρθὸν λόγον πράττειν, τίς δέ ἐστιν ὁ ὀρθὸς λόγος οὐχ οἷόν τε ἀκριβῶς διορίσαι· διὸ πάλιν ἀναμιμνήσκει, ὧν καὶ πρότερον εἶπεν, ὅτι δεῖ κατὰ τὴν ὕλην ἀποδέχεσθαι τοὺς λόγους. τὰ δὲ ἐν ταῖς πράξεσι καὶ τὰ συμφέροντα οὐδὲν ἑστηκὸς ἔχει. ἀλλὰ ταὐτὰ μὲν ποτὲ συμφέροντα ποτὲ δ' οὔ, οἷον τοῖσδε πολεμεῖν νῦν συμφέρει, ἄλλοτε δ' οὔ, καὶ ποτὲ μὲν εἰρήνην ἄγειν ἄλλοτε δ' οὔ· καὶ κατὰ τὰ καλὰ ὁ αὐτὸς λόγος· ὁτὲ μὲν ἀποδιδόναι τὴν παρακαταθήκην καλόν, ὁτὲ δ' οὔ. ἐξαλλάσσουσι δὲ ταῦτα οἱ καιροὶ καὶ τὰ πρόσωπα, πρὸς ἃ αἵ τε ἐνέργειαι καὶ οἱ τόποι καὶ αἱ χρεῖαι καὶ ὅσα τοιαῦτά ἐστιν. ὥσπερ οὖν οὐ τὰ ὑγιεινὰ οἷόν τε ὁρίσαι ἀκριβῶς διὰ τὸ ταὐτὰ ποτὲ μὲν ὑγίειαν ποιεῖν, ποτὲ δ' οὔ, οὕτω δὴ οὐδὲ περὶ τῶν κατὰ τὰς πράξεις, ἀλλ' ὄντος καὶ τοῦ καθόλου λόγου τοιούτου καὶ οἵου μὴ ἔχειν τὸ ἀκριβές, ἔτι μᾶλλον ὁ περὶ τῶν καθ' ἕκαστα λόγος οὐκ ἔχει τὸ ἀκριβές. οὔτε γὰρ τέχνῃ τινὶ οὔτε παραγγελίᾳ δυνατὸν εἰπεῖν περὶ τῶν καθ' ἕκαστα. ἀλλὰ δεῖ τοὺς πράττοντας παρακολουθοῦντας τοῖς καιροῖς καὶ τοῖς συμβαίνουσιν ὡς ἂν ἀπαιτῇ τὰ πράγματα οὕτως πράττειν, καθάπερ ἐπὶ ἰατρικῆς ἔχει καὶ κυβερνητικῆς. καὶ γὰρ αὗται οὔτε τοὺς καθόλου λόγους ἔχουσιν

1 λέγει] λέγουσι ZN: *appellat* Felic. 4 ἕως scripsi: ᾧ ZN μάλλιστα N 6 δὴ Z²: δεῖ ZN δεῖν Z²: om. ZN 7 πράττομεν scripsi: πράττεσθαι ZN 9 ἡγεμονική Z: ἡ γεωμετρική N 14 ἀλλὰ Z²: ἀλλὰ καὶ ZN 17 δὲ Z: δὲ corr. ex μὲν N 20 πρότερον] A 1 p. 1094b12 22 συμφέροντα Z²: συμφέρονται ZN 23 τοῖσδε insitivum mihi videtur 27 οἷόν τε NZ²: οἶοντω Z 28 ὑγείαν Z ποιεῖ N οὕτω δὴ Z: οὔτε δὲ N οὐδὲ Z²: οὐ NZ

ἀκριβεῖς οὔτε τοὺς καθ' ἕκαστα, ἀλλὰ δεῖ καὶ τὸν ἰατρὸν καὶ τὸν κυβερνήτην τοῖς καιροῖς παρακολουθοῦντα τὸν μὲν ἰᾶσθαι, τὸν δὲ κυβερνᾶν.

Ταῦτα δὲ εἰπὼν τὰ ἑξῆς ἅμα μὲν περὶ τῶν πράξεων λέγει τύπῳ, οἵας δεῖ προαιρεῖσθαι, ἅμα δὲ λανθάνων εἰσβάλλει εἰς τὸν περὶ ἀρετῶν καὶ κακιῶν λόγον. πρῶτον οὖν, φησί, θεωρητέον, ὅτι τὰ τοιαῦτα πέφυκεν ὑπὸ ἐνδείας καὶ ὑπερβολῆς φθείρεσθαι. τίνα δέ ἐστι τὰ τοιαῦτα, ὕστερον δηλοῖ λέγων ὥσπερ ἐπὶ τῆς ἰσχύος καὶ τῆς ὑγιείας· διὰ μέσου δὲ εἴρηκε δεῖ γὰρ ὑπὲρ τῶν ἀφανῶν τοῖς φανεροῖς μαρτυρίοις χρῆσθαι. εἰσὶ δὲ φανερώτεραι τῶν ψυχικῶν ἀρετῶν αἱ σωματικαί, οἷον ἰσχὺς καὶ ὑγίεια. ἐφ' ὧν ποιεῖται τὸν λόγον, τὰ ὑπερβάλλοντα γυμνάσια καὶ τὰ ἐλλείποντα λέγων φθείρειν τὴν ἰσχύν· ὁμοίως δὲ καὶ τὴν ὑγίειαν τὰ ἐλάττω καὶ πλείω τῶν ἱκανῶν σιτία φθείρει, τὰ δὲ σύμμετρα σώζει καὶ ποιεῖ καὶ αὔξει. τὸν αὐτὸν οὖν τρόπον καὶ ἐπὶ σωφροσύνης καὶ ἀνδρείας ἔχειν φησὶ καὶ τῶν ἄλλων ἀρετῶν. ὁ μὲν γὰρ ἀεὶ ἐνεργῶν οὕτως ὥστε ἀεὶ φοβεῖσθαι καὶ μηδὲν ὑπομένειν δειλὸς γίνεται, ὁ δὲ ἐθιζόμενος μηδὲν φοβεῖσθαι ἀλλὰ πρὸς πάντα βαδίζειν ἰταμῶς θρασύς, καὶ ἐπὶ τῶν ἄλλων ἀρετῶν ὅμοια παρέθηκε. φθείρεται γὰρ ἡ ἀνδρεία καὶ ἡ σωφροσύνη, φησίν, ὑπὸ τῆς ὑπερβολῆς καὶ τῆς ἐλλείψεως. φθείρεσθαι δὲ λέγει, οὐχ ὅτι ἤδη οὖσα φθείρεται, ἀλλὰ κατὰ τὸ κωλύεσθαι τὴν σύστασιν αὐτῶν καὶ ὑπὸ τῆς ὑπερβολῆς καὶ τῆς ἐλλείψεως φθορὰν ὠνόμασεν. οὐ μόνον δέ φησιν ὑπὸ τῶν αὐτῶν αἱ γενέσεις καὶ αὐξήσεις τῶν ἀρετῶν καὶ αἱ φθοραὶ ἀλλὰ καὶ ⟨αἱ⟩ ἐνέργειαι ἐν τοῖς αὐτοῖς γίνονται. δῆλον δὲ τοῦτο πρότερον ἐπὶ τῶν σωματικῶν ἀρετῶν· ἐξ ὧν γὰρ γίνεται ἡ ἰσχύς, περὶ ταῦτα καὶ ἐνεργεῖ μάλιστα· καὶ γὰρ γίνεται ἐκ τοῦ πολλὴν τροφὴν λαμβάνειν καὶ πολλοὺς κόπους ὑπομένειν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ψυχικῶν ἀρετῶν· ἐξ ὧν γὰρ γίνεται ἡ ἐνέργεια καὶ ἡ ἕξις, περὶ ταῦτα καὶ ἐνεργεῖν δύναται μάλιστα. ὡς δὲ τοῦτο ἔχει φανερῶς, αὐτὸς ἐπέξεισιν.

Ἐπὶ δὲ τούτοις λέγει σημεῖον δεῖν ποιεῖσθαι τῶν ἀρετῶν καὶ τῶν κακιῶν τὴν ἐπιγινομένην ταῖς ἐνεργείαις ἡδονὴν ἢ λύπην· ὁ μὲν γὰρ ἀπεχόμενος τῶν σωματικῶν ἡδονῶν καὶ χαίρων σώφρων, ὁ δὲ ἀπεχόμενος μὲν λυπούμενος δὲ ἀκόλαστός ἐστι, κἂν ὅτι μάλιστα ἀπέχηται. δῆλος γάρ ἐστιν δι' ἀνάγκην ἀπεχόμενος, οὐ διὰ προαίρεσιν. τὸ αὐτὸ καὶ ἐπ' ἐλευθεριότητί ἐστιν· ὁ μὲν γὰρ ἐλευθέριος πολὺ καὶ μᾶλλον χαίρει διδοὺς τοῦ

3 ἑξῆς NZ²: ἕξεις Z μὲν om. N 4 λανθάνον N 5 λόγων N ὑπὸ Arist.: ἀπὸ ZN 7 et 11 ὑγείας ZN 10 ὑπερβάλοντα Z 15 ἐθιζόμενος NZ²: ἐριζόμενος Z post ἐθιζόμενος addit ὁ δὲ αἰσχυνόμενος N μηδὲν scripsi ex Arist. et Feliciano: μηδένα ZN 16 πάντα Z: πάντας N ἰταμῶς NZ: ἰταμὸς Z² 17 ἀνδρία N ὑπὸ corr. ex ὑπὲρ Z (man. 1) 18 ἤδει N 20 ἐλλείψεως ex ἐλείψεως corr. Z² ὠνόμασαν N 21 αἱ αὐξήσεις N v. libros Arist. αἱ φθοραὶ libri et Arist. vulg.: om. αἱ Arist. Lb Nb Ob 22 αἱ addidi ex Arist.: om. libri et Arist. Kb 26 περὶ NZ: παρὰ Z² 28 hinc huius libri interciderunt lemmata 29 ἐπιγινομένην Z: ἐπιγινομένων N 31 ἐστι scripsi: ἔσται NZ²: δ' ἔσται Z κἂν N: καὶ Z 31. 32 δῆλος scripsi: δῆλον ZN 33 ἐλευθεριότητί scripsi: ἐλευθεριότητα ZN ἐλευθέριος scripsi: ἐλεύθερος ZN

λαμβάνοντος. ὁ δὲ διδοὺς μέν, ἀνιώμενος δὲ ἐπὶ τῇ δόσει οὐκ ἐλευθέριος ἀλλ' ἀνελεύθερος· ἐπὶ δὲ τοῦ ἀνδρείου εἶπεν, ὅτι ὑπομένων τὰ δεινὰ ⟨χαίρων⟩ ἢ μὴ λυπούμενός γε ἀνδρεῖος, εἰκότως προσθεὶς ἢ μὴ λυπούμενος· ἀγαπητὸν γὰρ ὑπομένοντας τὰ δεινὰ μὴ λυπεῖσθαι· καθόλου δέ, ὡς εἶπε, συνέζευκται ταῖς τῶν ἀρετῶν ἐνεργείαις ἡ ἐπ' αὐταῖς ἡδονή. εἶτά φησι περὶ ἡδονὰς γὰρ καὶ λύπας ἐστὶν ἡ ἠθικὴ ἀρετή, οὐ τοῦτο λέγων, ὅτι διά τοῦτό ἐστι περὶ ἡδονὰς καὶ λύπας, ἐπειδὴ ἀκολουθοῦσι ταῖς καλαῖς ἐνεργείαις αἱ ἐπ' αὐταῖς ἡδοναί· ἀλλὰ τοῦτο μὲν σημεῖον ἔθετο τῶν ἀρετῶν. εἰκότως δὲ ἀκολουθεῖν λέγεται ταῖς καλαῖς ἐνεργείαις τὰς ἐπ' αὐταῖς ἡδονάς, ἐπειδὴ περὶ ἡδονὰς καὶ λύπας ἐστὶν ἡ ἠθικὴ ἀρετή· τῆς γὰρ αὐτῆς ἐστι καὶ περὶ ἡδονὰς καὶ λύπας εἶναι τὸ προσῆκον μέτρον αἱρουμένων τῶν ἡδονῶν καὶ τῶν πόνων, καὶ ἀκολουθεῖν ταῖς ἐνεργείαις αὐταῖς τὴν ἡδονήν.

Ἀπορήσειε δ' ἄν τις πῶς ἐστι περὶ ἡδονὰς καὶ λύπας ἡ ἠθικὴ ἀρετή· οὐ γὰρ δὴ ἡ διανοητική· αὕτη γὰρ φανερὸν ὡς οὐκ ἔστι περὶ ἡδονὰς καὶ λύπας· ἡ δὲ ἠθικὴ πῶς ἂν εἴη περὶ ἡδονὰς καὶ λύπας; ἆρά γε ὥσπερ ὄργανα, καθάπερ ἂν εἴποι τις τὴν αὐλητικὴν εἶναι περὶ αὐλούς, τὴν δὲ τεκτονικὴν περὶ πέλεκυν ἢ πρίονα καὶ τὰ ἄλλα ὄργανα, ἢ μᾶλλον ὥσπερ ὑποκείμενον καὶ ὕλην, ὃν τρόπον ἡ μὲν μουσικὴ περὶ μέλος ἐστίν, ἡ δὲ γεωμετρία περὶ μέγεθος; ὄργανον μὲν οὖν τῆς ἀρετῆς φάναι τὴν ἡδονὴν καὶ τὴν λύπην οὐκ εὔλογον· ἐπ' οὐδὲν γὰρ χρῆται αὐτοῖς ὡς ὀργάνοις· μᾶλλον δὲ ἔοικεν εἶναι τῆς ἀρετῆς ὑποκείμενα οὕτως ὡς τῇ μουσικῇ τὰ μέλη· τὴν γὰρ ἐνέργειαν ποιεῖται περί τε πάθη καὶ πράξεις καὶ τὴν τούτων συμμετρίαν, καθάπερ μουσικὴ περὶ τὰ μέλη. τῶν οὖν ὑποκειμένων ἐστὶ καὶ ὕλης λόγον ἐχόντων τὰ πάθη. οὐ μόνον δὲ τὰ πάθη, ὥσπερ ἔφαμεν, ἀλλὰ καὶ αἱ πράξεις· ἐπεὶ γὰρ παντὶ πάθει ἕπεται ἡδονὴ καὶ λύπη, ὥσπερ προελθὼν ἐρεῖ, εἰκότως περὶ ἡδονὰς καὶ λύπας ἐστὶν ἡ ἠθικὴ ἀρετὴ ὥσπερ ὑποκείμενα.

Ἄξιον δὲ καὶ τοῦτο ζητῆσαι, πῶς λέγεται παντὶ πάθει ἕπεσθαι ἡδονὴν ἢ λύπην. ἔνιοι μὲν γὰρ ἡγήσαντο γενικώτατα εἶναι δύο ταῦτα πάθη κατὰ τὸν Ἀριστοτέλην, οὕτως δὲ γενικὰ ὥστε διαιρεῖσθαι τὸ μὲν πάθος εἰς δύο πάθη, ἡδονὴν καὶ λύπην, τὰ δ' ἄλλα πάντα πάθη εἰς ἡδονὴν ἀνάγεσθαι καὶ λύπην, οἷον ὀργὴν μὲν καὶ φόβον εἰς λύπην, θάρσος δὲ εἰς ἡδονήν, τὴν δὲ ἐπιθυμίαν κοινόν τι εἶναι ἐκ λύπης καὶ ἡδονῆς. κατὰ μὲν γὰρ τὴν ἔνδειαν λύπη πάρεστι τῷ ἐπιθυμοῦντι, κατὰ δὲ τὴν ἐλπίδα ἡδονή. ἂν δ' ᾖ παντε-

1 δόσει corr. ex διώσει N 2 ἐπὶ corr. ex ἐπεὶ N 3 χαίρων addidi ex Aristotele 5 ὡς εἶπε] A 9 p. 1099a16 εἶτα corr. ex ἦτα Z[2] 6 περὶ ἡδονὰς—ἐλπίδα ἡδονή (33) = *Classical Journal* XXIX 104. 105 11 εἶναι ante καὶ λύπας N; verba 7 ἐπειδὴ—λύπας εἶναι (11) bis praebet N, posteriore loco 7. 8 καλλαῖς, 9 ἐναρέτων, 8 ὑπ', 10 om. περὶ ἡδονὰς, 11 εἶναι post λύπας 12 αὐταῖς Z: αὐτῆς N 16 αὐλιτικὴν N 18 μὲν om. N 24 ἔφαμεν Z: ἔφημεν N 27 ἄξιον δὲ — μιμεῖσθαι (p. 47, 2) = Hermae V 97—103 28 ἢ Z: καὶ N ad verbum λύπην in marg. λείπει τινά adnotat Z; desunt quae subsequuntur ἔνιοι usque ad καὶ λύπην (30) δύο scripsi ex Feliciano: πέντε N πάθη] πάθει N 29 διαιρεῖσθαι scripsi (ex R): διακεῖσθαι N 33 δ' ᾖ Z: δηεῖς N

λῶς ἀπηλπικῶς τεύξεσθαι οὗ ἐπιθυμεῖ ὁ ἄνθρωπος, λύπη τῇ ἐπιθυμίᾳ ἕπεται ὡς γένος. οὗτος δὲ ὁ λόγος ἔχει μέν τινα πιθανότητα, ἔστι δὲ ἀμφισβητήσιμος· ἐπεὶ γὰρ ὁμολογεῖταί τις ἡδονὴ ἐν εἴδει τοῦ πάθους καὶ λύπη, οἷον ἐπειδὰν χαίρωμεν ἢ ἐπ' αὐτοῖς εὖ πράττουσιν ἢ ἐπὶ τοῖς φίλοις, ἡδονὴ λέγεται τὸ τοιοῦτον, καὶ λύπη δὲ ἡ ἐπὶ τοῖς ἰδίοις ἢ τοῖς τῶν φίλων κακοῖς, τίνι διαιρήσομεν τὴν γενικὴν ἡδονὴν καὶ λύπην τῶν εἰρημένων; εἰ γὰρ ὁ αὐτὸς λόγος ἐστὶ πάσης ἡδονῆς, ὅτι ἐστὶν ἡδονὴ ἐνέργεια τοῦ κατὰ φύσιν ἀνεμπόδιστος, οὐχ οἷόν τε εἰπεῖν δύο εἶναι ἡδονάς, τὴν μὲν γένος τὴν δὲ εἶδος, εἴπερ ταὐτὸν ὄνομα αὐτῶν καὶ ὁ αὐτὸς λόγος καὶ οὐκ ἔστιν ἴδιός τις ὁρισμὸς παρὰ τὸν εἰρημένον τῆς ἐν μέρει ἡδονῆς, εἰ μή τις ἐρεῖ κοινῶς μὲν πάσης ἡδονῆς εἶναι τὸν λόγον τὸν εἰρημένον, ὁμοίως δὲ καὶ λύπης τὸν ἐναντίον, τὴν δὲ ἐν εἴδει ἐνέργειαν τοῦ κατὰ φύσιν ἐπὶ ταῖς ἡμετέραις καὶ ταῖς τῶν φίλων εὐπραγίαις παρούσαις καὶ τὴν διαίρεσίν γε ποιήσεται, ἐκτιθέμενος τὴν ἡδονὴν καὶ τὴν λύπην γενικώτατα πάθη. τοῦ πάθους δύο εἴδη· τὸ μὲν ἡδονή, τὸ δὲ λύπη. τῶν δὲ ἡδονῶν αἱ μὲν ψυχικαί, αἱ δὲ σωματικαί, καὶ ὁμοίως τῶν λυπῶν· αἱ μὲν οὖν ψυχικαὶ τῇ ψυχῇ ἔχουσαι ἐνέργειαν τοῦ κατὰ φύσιν, αἱ δὲ σωματικαὶ διὰ τοῦ σώματος γινόμεναι τῆς ψυχῆς ἡδοναί· τῶν δὲ ψυχικῶν τὴν μὲν εἶναι ἐρεῖ ὁμωνύμως τῷ γένει καλουμένην ἡδονήν, διάχυσίν τινα οὖσαν ἐπὶ ταῖς ἡμετέραις καὶ ταῖς τῶν φίλων εὐπραγίαις ὡς παρόντων ἡμῖν ἢ τοῖς φίλοις τῶν ἀγαθῶν· αὕτη δὲ συνωνυμεῖ μὲν καὶ δέχεται τὸν λόγον τοῦ γένους· ἐνέργεια γάρ ἐστι καὶ αὕτη τοῦ κατὰ φύσιν ἀνεμπόδιστος· ὁμωνυμεῖ δέ, ᾗ ταὐτὸν ὄνομα ἔχει τῷ γένει. ἄλλο δὲ εἶδος τῆς ψυχικῆς ἡδονῆς θάρσος, ἡδονή τις οὖσα καὶ διάχυσις δι' ἐλπίδα τοῦ ἐν μηδενὶ δεινῷ ἔσεσθαι, ἢ κἂν γένηται κρατήσειν· καὶ τὰ ἄλλα δὲ ὅσα καθ' ἡδονὴν ψυχικὴν λέγεται πάθη ἡδοναὶ ψυχικαὶ ἂν εἶεν, ὧν τὰ μὲν ἄντικρυς ἡμαρτημένα ἐστί, τὰ δέ, ἂν μὲν ᾖ μεμετρημένα, οἰκεῖά ἐστι τῇ ἀρετῇ, ὑπερβάλλοντα δὲ οἰκεῖα τῇ κακίᾳ. ὁμοίως δ' ἔχει καὶ ἐπὶ ψυχικῆς λύπης. τὸ μὲν οὖν ὅλον ἐνέργεια τοῦ κατὰ φύσιν· ταύτης δὲ εἴδη ἥ τε ἔνδεια λεγομένη, λύπη οὖσα ἐπὶ ταῖς ἡμετέραις ἢ ταῖς τῶν φίλων δυσπραγίαις ὡς παρόντων ἤδη τῶν κακῶν· ἔτι δὲ καὶ ἡ ὀργὴ λύπη οὖσα ἐπὶ τῷ νομίζειν τι παρ' ἀξίαν πεπονθέναι μετ' ὀρέξεως τοῦ ἀντιλυπῆσαι τὸν λελυπηκότα· καὶ ὁ φόβος δὲ εἶδος λύπης διὰ προσδοκώμενον κακὸν γενομένης.

Ταῦτα μὲν ἱκανῶς λέγοιτο πρὸς τὸ εἶναι τὴν πρώτην διαίρεσιν τοῦ πάθους εἰς ἡδονὴν καὶ λύπην· ἀλλ' ἐπειδὴ δοκεῖ ἡ ἐπιθυμία μικτὸν ἐξ ἡδονῆς εἶναι καὶ λύπης, δόξει μὴ οἷόν τε γενικωτάτην εἶναι ἡδονὴν καὶ λύπην. δεῖ γὰρ θάτερον πᾶν εἶδος πάθους ὑπὸ θάτερον αὐτοῦ τάττεσθαι, ἀλλ' οὐχὶ μικ-

1 ἀπελπικῶς ZN 6 τίνι Rose: *quomodo* Felic.: τίνα ZN: an τίνα ⟨τρόπον⟩? γενηκὴν N 10 παρὰ Z: περὶ N κοινῶς Z: κοινὸς N 13 γε] τε Rose ἐκτιθέμενος Rose: ὁ τιθέμενος ZN 16 λυπῶν scripsi: λοιπῶν ZN 19 ταῖς (ante τῶν φίλων) om. N 22 ᾗ Rose: ἢ ZN 23 διάχυσις corr. ex διάσχυσις Z 24 κράτησιν N λέγεται ψυχικὴν N ψυχικὴν ex ψυχικὸν Z 26 μὲν NZ²: om. Z οἰκεῖα (prius) — ὑπερβάλλοντα δὲ om. Rose ὑπερβάλλοντα Z²: ὑπερβάλλον ZN οἰκεῖα (alterum) ex οἰκεῖον corrigere voluit Z², sed α tantum mutavit in ν: οἰκεῖον ZN

τὸν ἐξ αὐτῶν εἶναι. ὥσπερ γὰρ τὸ ζῷον διαιρεῖται εἰς λογικὸν καὶ ἄλογον καὶ τὰ λοιπὰ [ζῷα] ἢ λογικά ἐστιν ἢ ἄλογα, ἐκ λογικῶν δὲ καὶ ἀλόγων οὐδέν, οὕτως εὔλογον ἔχειν ἐπὶ ἡδονῆς καὶ λύπης ἂν ᾖ πάθη γενικά. διὸ πειρῶνταί τινες λέγειν μὴ εἶναι αὐτὰ γένη, μηδὲ τὴν πρώτην διαίρεσιν τῶν παθῶν εἰς ταῦτα εἶναι, ἀλλὰ τὸν Ἀριστοτέλην λέγειν παρέπεσθαι αὐτὰ τοῖς πάθεσιν οὕτως ὡς τῇ μὲν ὑγιείᾳ παρέπεται ἡ εὔχροια, τῇ δὲ νόσῳ ἡ δύσχροια· ἐπισκεπτέον δὲ περὶ τούτων. ἔχει δὲ ἡ ἐπιθυμία, ὥσπερ εἴρηται, μῖξίν τινα ἡδονῆς καὶ λύπης καὶ ὁ θυμός. καὶ γὰρ αὐτὸς δοκεῖ μεθ' ἡδονῆς γίνεσθαι καὶ λύπης· δηλοῖ δὲ καὶ Ὅμηρος λέγων "ὥστε πολὺ γλυκίων μέλιτος καταλειβομένοιο ἀνδρῶν ἐν στήθεσσι" καὶ τὰ ἑξῆς. ὅρα δὲ μὴ οὕτω βέλτιον ἄνωθεν λαβεῖν τί ποτέ ἐστι τὸ πάθος καὶ τίνα ἂν αὐτοῦ γένοιτο εἴδη· ἴσως γὰρ ἀληθῶς φανεῖται τῶν ἄλλων γενικώτατα ἡδονὴ καὶ λύπη· οἱ μὲν οὖν ἐκ τῆς Στοᾶς ᾠήθησαν πάθος εἶναι ὁρμὴν σφοδρὰν ἢ ὁρμὴν ἄλογον, λαμβάνοντες τὸ ὑπεναντίον τῷ ὀρθῷ λόγῳ οὐκ εὖ· οὔτε γὰρ πᾶν πάθος σφοδρὸν οὔτε πᾶν ὑπεναντίον τῷ λόγῳ, ἀλλά τινα οἰκεῖά ἐστιν ἀγαθῷ. τοὺς γοῦν ἀπειθεῖς καὶ σκληροὺς τὰ ἤθη ψέγομεν· καὶ ἅμα τὸ ὀρεκτικὸν μόριον τῆς ψυχῆς ἐξελεῖν μὲν παντελῶς ἀμήχανον [τῆς ψυχῆς]. κοσμῆσαι δὲ ὥσπερ καὶ τὸ λόγον ἔχον δυνατόν· εἴη δ' ἂν κεκοσμημένον ἐν τῇ τῶν παθῶν συμμετρίᾳ. ὅτι δὲ ἔστι τι ὀρεκτικὸν καὶ παθητικὸν τῆς ψυχῆς, σκεπτέον ἐν ἄλλοις· τῶν δὲ ἐκ τοῦ Περιπάτου τῶν μὲν παλαιῶν παρ' οὐδενὶ εὑρίσκομεν ὁρισμὸν τοῦ πάθους· τῶν δὲ ὕστερον Ἀνδρόνικος μὲν εἴρηκε πάθος εἶναι τῆς ψυχῆς κίνησιν ἄλογον δι' ὑπόληψιν κακοῦ ἢ ἀγαθοῦ, ἄλογον λαμβάνων οὐ τὸ ὑπεναντίον τῷ ὀρθῷ λόγῳ ὥσπερ οἱ ἐκ τῆς Στοᾶς, ἀλλὰ τὸ τοῦ ἀλόγου τῆς ψυχῆς μορίου κίνημα· Βόηθος δὲ τὸ πάθος τῆς ψυχῆς κίνησιν ἄλογον ἔχουσάν τι μέγεθος, ἄλογον μὲν λαμβάνων καὶ αὐτὸς τὴν τοῦ ἀλόγου τῆς ψυχῆς μορίου κίνησιν, τὸ δὲ μέγεθος προστιθείς, ἐπειδὴ γίνονταί τινες καὶ ἄλλαι κινήσεις τοῦ ἀλόγου τῆς ψυχῆς μετ' οἰκειώσεως τῆς πρός τινας καὶ ἀλλοτριώσεως βραχείας· τὰς οὖν μετὰ βραχείας οὐκ ἄξιον ἡγεῖτο ὀνομάζειν πάθη. οὐκ οἶδα δὲ ὅπως τοῦτο εἶπε· πᾶσα γὰρ κίνησις τοῦ παθητικοῦ μορίου τῆς ψυχῆς, ἂν μὴ λανθάνῃ, πάθος ἂν εἴη τοῦ σώματος, οὐ μόνον δὲ ἡ σὺν μεγέθει· τὸ δὲ κατ' ἀλλοίωσίν του ὥσπερ καὶ πᾶσα κίνησις σώματος οὐ κατ' ἀλλοίωσιν, ἂν μὴ λανθάνῃ, πάθος ὂν τοῦ σώματος πρόσκειται, ὅτι ταῦτα ἔοικεν ἡ κατὰ τὰ πάθη μεταβολὴ τῆς ψυχῆς. ὁ δὲ Ἀνδρόνικος εἰπών, δι' ὑπό-

2 ζῷα seclusi: *reliqua omnia* Felic. 3 ἐπὶ sic inconstanter libri cf. p. 45,15 πάθη γενικά N: γένη πάθους γενικά Z, γένη inserto a Z^2 5 Ἀριστοτέλην Z: Ἀριστοτέλη N 6 ὑγείᾳ N 7 δὲ (ante περὶ) Z: οὖν N 9 Ὅμηρος] Il. Σ 109 9 γλυκείων N 9. 10 μέλιτος Z^2: μέντοι ZN 15 ἀλλά τινα Z^2: om. ZN οἰκεῖα Z: οἰκεῖ N ἀγαθῷ corr. ex ἀγαθά Z: ἀγαθά N 16 ὀρεκτὸν N 17 ἐξελεῖν libri: ἐξελθεῖν Rose τῆς ψυχῆς inclusi κοσμῆσαι N: corr. ex κοσμεῖσαι Z: κοσμεῖσθαι Rose 18 λόγον Diels: λεχθὲν ZN 20 οὐδενὶ Z: οὐδὲν N 21 δὲ om. N μὲν om. N 22 ἄλογον Z^2: ἄλλο γὰρ ZN 24 βοηθὸς corr. ex βοηθεῖ Z^2: βοηθὴ N 28 τὰς οὖν μετὰ βραχείας Z^2: om. NZ πάθη Z: πάθει N 30 πάθος Z: πάθη N 31 του Rose: τοῦ Z: ἐπὶ τοῦ N οὐ fort. delendum 32 ὂν Rose: ἂν NZ

ληψιν ἀγαθῶν ἢ κακῶν γίνεσθαι τὸ πάθος. πρῶτον μὲν ἴσως ἠγνόησεν. ὅτι γίνεταί τινα πάθη ἐξ αὐτῆς τῆς φαντασίας χωρὶς συγκαταθέσεως καὶ ὑπολήψεως· καὶ γὰρ κατὰ τὴν αἴσθησιν αὐτήν, ὅτε ἡδὺ ἢ λυπηρὸν φανῇ, ἐνίοτε γίνεται πάθος τῆς ψυχῆς· ὥστε οὐ μόνον μετὰ τὰς ὑπολήψεις ἀλλὰ καὶ πρὸ τῶν ὑπολήψεων τὰ πάθη γίνονται. μηνύουσι δὲ τοῦτο μάλιστα αἱ ἐπιθυμίαι. ἰδὼν γάρ τις πολλάκις ἐν ἐπιθυμίᾳ ἐγένετο καλοῦ ἢ καλοῦ, οὐδέποτε ὑπολήψεως πρότερον γενομένης. ἔτι πολλάκις γίνονται οὐ πάντως ὑπολήψεως γινομένης ὅτι ἀγαθὸν πάρεστιν, οἷον ἐπειδὰν ὑπὸ εὐτραπέλου λόγου κινῆται τῆς ψυχῆς τὸ ἄλογον· οὐ γὰρ ὑπολαμβάνομεν τότε ἀγαθόν τι ἡμῖν παρεῖναι, ἀλλ' ὅλως ὑφ' ἡδέος κινούμεθα. ἔστι δ' ὅτε καὶ τῇ ὑπολήψει τοῦ ἀγαθοῦ ἀκολουθεῖ τὸ ἥδεσθαι, τῇ δὲ ὑπολήψει τοῦ κακοῦ ἀκολουθεῖ τὸ λυπεῖσθαι, κινουμένης δηλονότι τῆς ψυχῆς, ὡς τοῦ μὲν ἀγαθοῦ ἡδέος ὄντος, τοῦ δὲ κακοῦ λυπηροῦ. μήποτε οὖν ἢ τὸ πάθος κίνησις τοῦ ἀλόγου τῆς ψυχῆς ὑφ' ἡδέος ἢ λυπηροῦ· ἐάν τε γὰρ μετὰ φαντασίαν ἀκολουθήσῃ τὸ πάθος, ἐάν τε μετὰ ὑπόληψιν, πάντως ὡς ἐπὶ ἡδεῖ ἢ λυπηρῷ γίνεται, ὃ καὶ μηνύει γενικώτατα πάθη ὄντα τήν τε ἡδονὴν καὶ τὴν λύπην. γενικὰ δὲ πάθη οἱ μὲν ἐκ τῆς Στοᾶς ἔφασαν εἶναι ἡδονὴν καὶ λύπην φόβον ⟨καὶ⟩ ἐπιθυμίαν· γίνεσθαι μὲν γὰρ τὰ πάθη ἔφασαν δι' ὑπόληψιν ἀγαθοῦ καὶ κακοῦ, ἀλλ' ὅταν μὲν ὡς ἐπὶ παροῦσι τοῖς ἀγαθοῖς κινῆται ἡ ψυχή, ἡδονὴν εἶναι, ὅταν δὲ ὡς ἐπὶ παροῦσι τοῖς κακοῖς, λύπην· πάλιν δὲ ἐπὶ τοῖς [μέλλουσι] προσδοκωμένοις ἀγαθοῖς ἐπιθυμία συμβαίνει, ὄρεξις οὖσα ὡς φαινομένου ἀγαθοῦ, κακῶν δὲ προσδοκωμένων τὸ συμβαῖνον πάθος φόβον ἔλεγον εἶναι.

Ἄξιον δὲ ἀπορῆσαι, τί δήποτε τὸν μὲν φόβον παρειλήφασιν ὡς πάθος γενικόν, καίπερ εἶδος λύπης ὄντα. ἔστι γὰρ ὁ φόβος λύπη ἐπὶ προσδοκωμένῳ κακῷ, καὶ οὐχ οἱῳδήποτε· οὐ γάρ φαμεν φοβεῖσθαι τὸν προσδοκῶντα πενίαν, ἀλλὰ μάλιστα δοκεῖ φόβος εἶναι καὶ κυρίως, ὅταν τῶν πρὸς κίνδυνον τὸν περὶ σωτηρίαν φερόντων κακῶν ἡ προσδοκία ᾖ. τὸ δ' ἀντικείμενον αὐτῷ πάθος παρῆκαν, λέγω δὲ τὸ θάρσος κατὰ προσδοκίαν γενόμενον τοῦ μηδὲν ἔσεσθαι κακόν, ἢ κἂν γένηται κρατήσειν αὐτοῦ. ὑπὸ γὰρ τοιαύτης τινὸς ὑπολήψεως γίνεται τὸ θάρσος, οὐκ αὐτῆς τῆς προσδοκίας ὄντος πάθους, ἀλλὰ τοῦ ἐπακολουθοῦντος κινήματος ἐν τῷ λόγῳ. τὴν δὲ ἐπιθυμίαν

2 αὐτῆς Z: αὐτοῦ N 3 αὐτὴν Z: αὐτὸ N 4 ὥστε Rose: ὅτι ZN μόνον Z: μέρος N 6 καλοῦ ἢ καλοῦ Z: καλοῦ ἢ κακοῦ N 7 γίνονται] fort. κινοῦνται 8 εὐτραπελίας N κινῆται scripsi: κινεῖται ZN 10 ὑφ' ἡδέος scripsi: (ὑφ' ἡδέας Voss.: *a voluptate ac iucunditate* Felician:) ὑφ' ἰδέας ZN 12 ἡδέος NZ²: ἡδεὸν Z 13 ὑφ'] ὑπὸ ZN 15 μηνύει corr. ex μηνόει N 16 ante οἱ μὲν N praebet αὐτῆς ἐστὶν καὶ περὶ ἡδονάς, postea deleta 17 καὶ post φόβον add. Diels 19 κινεῖται N ἡ ψυχὴ Z²: τῇ ψυχῇ ZN ἡδονὴν Z: ἡδονὴ N 20 πάλιν Z²: πᾶσα Z: πᾶσι N μέλλουσι delevi 21 φαινομένου Z: φαιρομένου N 22 πάθος φόβον Z²: πάθος λύπην φόβον ZN: *dolorem cum subsequi dicebant, qui timor diceretur* Felic. 23 παρειλήφασιν Z²: παρειλήφαμεν ZN 25 φαμὲ N 26 δοκεῖ] δ corr. ex φ N 27 τὸν περὶ scripsi: τῶν περὶ NZ: τῶν παρὰ Z² φέροντων Z: ἀναφερόντων N 28 αὐτῷ corr. ex αὐτὸ N θάρσος] θράσος ZN 31. p. 46,1 τὴν δὲ ἐπιθυμίαν τιθέντες τὴν ὀργὴν Z² in marg.: τὴν δὲ ὀργὴν τιθέντες ZN

τιθέντες τὴν ὀργὴν παρῆκαν· λέγουσι μὲν γὰρ αὐτὴν ἐπιθυμίαν εἶναι. ἔστι δὲ οὐκ ἐπιθυμία. ἀλλ᾽ ὑπὸ τὸ αὐτὸ γένος· ὀρέξεις γὰρ ἄμφω, ἀλλ᾽ ἡ μὲν ἐπιθυμία τοῦ ἡδέος ψιλῶς, ἡ δὲ τοῦ ἀντιλυπῆσαι· ἴσως δὲ οὐδὲ ἀεὶ τοῦ ἀντιλυπῆσαι· οἱ γοῦν πατέρες ὀργιζόμενοι τοῖς υἱέσιν οὐκ ὀρέγονται τοῦ ἀντιλυπεῖν. μήποτ᾽ οὖν κοινῶς ἐστι καὶ ὀργὴ κίνησις τῆς ψυχῆς ὑπὸ τοῦ ἠδικηκέναι δοκοῦντος. καὶ ἄλλα δὲ πλείω ἄν τις ἔχοι περὶ τούτων λέγειν. ὁ δὲ Πλάτων τὰ μὲν πολλὰ φαίνεται δηλῶν τὰ ἀνωτάτω πάθη ἡδονὴν καὶ λύπην ἔν τε ἄλλοις καὶ ἐπειδὰν λέγῃ ʽδύο γὰρ αὗται πηγαὶ μεθεῖνται ῥεῖν᾽. περὶ ἡδονῆς λέγων καὶ λύπης ὡς ἐν τούτοις τοῖς πάθεσι γενικοῖς οὖσι τῶν ἄλλων παθῶν ἁπάντων ⟨*⟩· ἔστι δ᾽ ὅτε καταριθμεῖται πάθη ἕξ. ἡδονὴν λύπην φόβον θάρσος ἐπιθυμίαν θυμόν, τὰ γνωριμώτατα ὡς ἐμοί γε δοκεῖ καταριθμούμενος. τάχα δὲ οὐκ ἄλογον γενικώτατα μὲν φάναι ἡδονὴν καὶ λύπην. ἡδονὴν μὲν ἐνέργειαν τοῦ κατὰ φύσιν ἀνεμπόδιστον. λύπην δὲ ὅταν ἐμποδίζηται τὸ κατὰ φύσιν ἐνεργεῖν, εἰς δὲ ταῦτα τὴν τῶν παθῶν ἀναγωγὴν ποιεῖσθαι. εἶναι δὲ τούτων εἴδη τήν τε ἐν μέρει λεγομένην ἡδονὴν καὶ τὴν ἐν μέρει λύπην ὁμώνυμον τοῖς γένεσι, τὴν μὲν οὖν διάχυσιν ἐπὶ τοῖς παροῦσιν ἡδέσι, τὴν λύπην δὲ σύγχυσιν ἐπὶ τοῖς παροῦσι λυπηροῖς· πάλιν δὲ θάρσος μὲν ἡδονήν τινα διὰ προσδοκίαν τοῦ μηδὲν ἔσεσθαι δεινὸν ἤ, κἂν γένηται, κρατήσειν τοῦ δεινοῦ· φόβον δὲ λύπην διὰ προσδοκίαν δεινῶν. πρὸς δὲ τούτοις ἀριθμεῖν εἰώθασι τὰ πάθη τὴν φιλίαν καὶ τὸ μῖσος, φιλίαν λαμβάνοντες οὐ τὴν τῶν ἀντιπεπονθότων εὔνοιαν (αὕτη γὰρ ἤδη διάθεσίς τις). ἀλλὰ τὴν κατὰ τὸ φιλεῖν γινομένην κίνησιν τῆς ψυχῆς, ᾗ ἀντίκειται ἡ κατὰ τὸ μισεῖν κίνησις. ἀνάγεται δὲ τὸ μὲν φιλεῖν εἰς τὴν ἡδονήν· οἰκείωσις γάρ τις ἰδία γίνεται πρὸς τὸ φιλούμενον· τοὐναντίον δὲ ἐν τῷ μισεῖν ἀλλοτρίωσις καὶ λύπη ἐν τῷ ὁρᾶν καὶ ἀκούειν τοῦ μισουμένου ἢ ὅλως ὁπωσοῦν ἐντυγχάνειν τῷ μισουμένῳ. συναριθμοῦνται δ᾽ ἐν τοῖς πάθεσι καὶ χάρις καὶ ὀργή, ὧν ἡ μὲν χάρις εἰς ἡδονὴν ἀνάγεται, κίνησις οὖσα τῆς ψυχῆς ὀρεκτικὴ τοῦ ἀμείψασθαι τὸν εὐεργετήσαντα· ἀνάγκη δὲ ἅμα τῷ ὀρέγεσθαι τῆς τοιαύτης ἡδονήν τινα εἶναι· ἡ δὲ ὀργὴ λύπης εἶδος, ἥπερ ἐστὶ λύπη δι᾽ ὑπόληψιν τοῦ ἠδικῆσθαι νομίζειν. εὕροι δ᾽ ἄν τις καὶ τὰ ἄλλα πάθη εἰς ταῦτα ἀναγόμενα, οἷον νέμεσιν μὲν καὶ φθόνον καὶ ἔλεον εἰς λύπην· ἔτι δὲ πρὸς

---

2 αὐτὸ N: αὐτὸν Z ὀρέξεις Z: ὄρεξις N 5. 6 ἠδικηκέναι NZ²: ἠδικέναι Z 6 ἔχοι Rose: ἔχει ZN 7 πολλὰ φαίνεται NZ²: φαίνεται πολλὰ Z 8 λέγῃ] Plat. Legg. I p. 636 D αὗται om. Z μεθεῖνται ῥεῖν emendavit ante δύο N: μεθ᾽ ἑτέρου εἰς ἕτερον ῥεῖ post πηγαὶ ZN ante ῥεῖν quod Platonis vulgata exhibet φύσει ignorat etiam Simplicius Phys. f. 249v Ald. 9 ἐν Rose: δέον ZN: δὲ ἐν corr. Z² 10 lac. indicavi Diels καταριθμεῖται] καὶ ἀριθμεῖται Rose 11 φόβον θάρσος Z: καὶ θάρσος N 12 οὐκ Z²: om. ZN 13 λύπην Z: λύπη N 14 δὲ corr. Z²: γὰρ NZ 15 εἴδη corr. ex εἴδει N μέρη N 16 μέρει corr. ex μέρη Z² 17 σύγχυσιν corr. ex σύγχησιν N 18 τινα Z²: τιμᾶ Z: τιμῶ N 20 συναριθμεῖν εἰώθασι τοῖς πάθεσι Rose ex Feliciani *annumerare his affectibus etiam solent* 21 εὔνοιαν Z: ἄνοιαν N 22 τὴν κατὰ τὸ φιλεῖν NZ²: τὴν τὸ κατὰ φιλεῖν Z 26 τῷ om. a Z addit Z² 28 εὐεργετήσαντα Z: εὐεργήσαντα N 30 ἠδικῆσθαι corr. ex ἠδικεῖσθαι N

τούτοις ζῆλον τὸν κατὰ ζηλοτυπίαν τιθέμενον· ζηλοτυπία γάρ τις καὶ κατὰ τὸ ζηλοῦν καὶ μιμεῖσθαι.

* *

*

Δείκνυσι δὲ αὐτὸ ἐπὶ παραδείγματος· οὐ γὰρ εἴ τῳ δέκα μναῖ πολὺ ἢ δύο ὀλίγον, τούτῳ προστάξει ὁ ἀλείπτης ἓξ μνᾶς κατὰ τὴν ἀριθμητικὴν ἀναλογίαν, ἀλλ' ἐπεὶ τὸ μὲν πολὺ τὸ δὲ ὀλίγον καὶ ἐν πάσῃ δὲ ἐπιστήμῃ τὸ μέσον οὐχ ἕν ἐστιν ἀλλὰ τὸ πρὸς ἕκαστον οἰκεῖον, οἷον ὁ σκυτοτόμος οὐχ ἕν τι ἡγεῖται μέσον ὑπόδημα ἀλλὰ πρὸς μὲν ἐμὲ μέσον ἐστὶ τὸ ἁρμόζον τῷ ποδὶ τῷ ἐμῷ, ὑπερβάλλον δὲ τὸ μεῖζον, ἐλλεῖπον δὲ τὸ ἐνδέον τοῦ ἐμοῦ ποδός, σοὶ δὲ μέσον τὸ σοὶ ἁρμόζον καὶ ἑκάστῳ ὁμοίως· καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν ὁ αὐτὸς λόγος. εἰ δὴ πᾶσα τέχνη τὸ αὑτῆς ἔργον πρὸς τὸ ἑκάστῳ οἰκεῖον μέσον ἀποβλέπουσα ποιεῖ, ἡ δὲ ἀρετὴ πάσης τέχνης ἀκριβεστέρα καὶ ἀμείνων ἐστίν, ὥσπερ καὶ ἡ φύσις (καὶ γὰρ ἡ φύσις ἀμείνων τῆς τέχνης, μιμεῖται γὰρ ἡ τέχνη τὴν φύσιν, ἡ δὲ ἀρετὴ ἔτι ἀμείνων, ἔστι γὰρ ἡ ἀρετὴ τελειότης φύσεως καὶ κατωρθωμένη φύσις), εἰ ταῦθ' οὕτως ἔχει, ἡ ἀρετὴ τοῦ μέσου ἂν εἴη στοχαστικὴ τοῦ πρὸς ἡμᾶς· λέγω δέ, φησί, τὴν ἠθικὴν ἀρετήν· αὕτη γάρ ἐστι περὶ πάθη καὶ πράξεις, ἐν οἷς ἔστιν ὑπερβολὴ καὶ ἔλλειψις καὶ τὸ μέσον. φανερὸν δὲ ποιεῖ διὰ τούτων, ὅτι ἡ διανοητικὴ ἀρετὴ οὐκ ἔστι μεσότης· οὐ γὰρ δεῖ μέσως μὲν εἰδέναι, ὑπερβαλλόντως δὲ μή, ἀλλ' ἐφ' ὅσον οἷόν τε εἰδέναι ἄριστα ἂν ἔχοι· ἡ δὲ μεσότης περὶ τὰ πάθη καὶ τὰς πράξεις ἐστίν, ἐκλεκτικὴ οὖσα τοῦ ἐν αὐτοῖς πρὸς ἡμᾶς μέσου, οἷον ἐν πάθεσιν ἔσται φοβηθῆναι καὶ μᾶλλον καὶ ἧττον, ὧν ἑκάτερον οὐκ εὖ, καὶ μέσον, ὅπερ ἐστὶ τῆς ἀρετῆς· τὸ δὲ μέσον ἀφορίζεται τῷ ὅτε δεῖ ἡσθῆναι καὶ ἐφ' οἷς ἢ κατὰ τοὺς ἄλλους τοὺς εἰρημένους διορισμούς. ὁμοίως δὲ καὶ περὶ τὰς πράξεις ἐστὶν ὑπερβολὴ καὶ ἔλλειψις καὶ μέσον, οἷον ἀναλῶναι χρήματα καὶ καθ' ὑπερβολὴν ἔστιν, ὅταν πλέον τις τοῦ δέοντος δαπανᾷ καὶ κατ' ἔλλειψιν, ὅταν ἐνδεέστερον τοῦ δέοντος ἀναλώσῃ, καὶ τὸ μέσον, ὅταν καὶ ὅσον δεῖ καὶ ὁποῖον δεῖ καὶ κατὰ τοὺς ἄλλους διορισμοὺς ἀναλώσῃ, ὅπερ ἤδη ἀρετῆς. μεσότης τις ἄρα ἤδη ἐστὶ καὶ ἡ ἀρετὴ διὰ τοῦτο, ἐπειδὴ στοχαστική ἐστι τοῦ μέσου. ἔτι τὸ μὲν ἁμαρτάνειν πολλαχῶς ἔστιν. ὅτι ἡ κακία ἐν ὑπερβολῇ ἐστι καὶ ἐλλείψει, ἡ δὲ ἀρετὴ ἐν μεσότητι τῇ πρὸς ἡμᾶς πειρᾶται καὶ δι' ἄλλων διδάσκειν· τὸ μὲν γὰρ ἁμαρτάνειν, φησί, πολλαχῶς ἐστι, τὸ δὲ κατορθοῦν μοναχῶς. ὅτι δὲ τὸ ἁμαρτάνειν πολλαχῶς, μαρτυροῦσι [καὶ οἱ Πυθαγόρειοι, τοῦ μὲν

---

2 post μιμεῖσθαι spatium 21 fere litterarum N, 15 Z: ⟨λείπει⟩ πολὺ καὶ ἐν τῷ ἀντιγράφῳ in marg. Z[2] 9 τὸ ἁρμόζον Z: τῷ ἁρμόζον N 11 σοὶ δὲ scripsi: ἢ δὲ ZN 12 τὸ αὑτῆς Z: πρὸς τὸ αὑτῆς N 16 ἔχει corr. ex ἔχῃ Z 17 δὲ Z: δὴ N 20 μεσότης ex μεσότις Z 22 μεσότης ex μεσότις Z 27 ἀναλῶναι Z: ἀναλῶσαι N 28 δαπανᾷ Z[2]: lac. Z: δῶ N 28. 29 ἀναλώσῃ N: ἀναλώῃ Z 29 καὶ τὸ — ἀναλώσῃ (30) NZ[2]: om. Z 30 ἀναλώσει N: ἀναλώῃ Z[2] ἤδη (post ὅπερ) Z[2]: εἴδῃ ZN μεσότης ex μεσότις Z ἐστὶ om. N 32 ὅτι ἡ Z: ὅτι καὶ ἡ N 34 φησί — ἁμαρτάνειν (35) om. Z

ἀπείρου εἰπόντες τὸ κακόν, τὸ δ' ἀγαθὸν τοῦ πεπερασμένου. διὸ τὸ μὲν ἁμαρτάνειν ῥᾴδιον· πολλαχῶς γὰρ ἔστιν ἀποτυγχάνειν καὶ ἐπὶ τὰ δεξιὰ βάλλοντι τοῦ σκοποῦ καὶ ἐπὶ τὰ ἀριστερὰ καὶ ὑπὲρ αὐτὸν καὶ ἐνδοτέρως· τὸ δὲ κατορθοῦν τῷ ἐπιτυγχάνειν τοῦ σκοποῦ· μοναχῶς δὲ ἔστιν ἐπιτυγχάνειν τοῦ σκοποῦ. καὶ ἐκ τούτου οὖν φανερόν, ὅτι τῆς μὲν κακίας ἡ ὑπερβολὴ καὶ ἡ ἔλλειψις, τῆς δ' ἀρετῆς ἡ μεσότης. ἡ μὲν γὰρ μεσότης μία, ἡ δὲ ὑπερβολὴ καὶ ἡ ἔλλειψις δύο τρόποι κακιῶν· ἔτι δὲ ἐν ἑκάστῃ ὑπερβολῇ πολλαχῶς ἔστιν ὑπερβάλλειν, ἐπιτεινομένης τῆς ὑπερβολῆς καὶ ἀνειμένης· ὁμοίως καὶ ἐν ἑκάστῃ ἐλλείψει, εἴτε ἔλαττον ἢ μᾶλλον τῆς ἐλλείψεως γινομένης· κατὰ δὲ τὴν μεσότητα μοναχῶς ἔστι κατορθοῦν. ἓν γὰρ ὥσπερ εἴρηται τὸ μέσον.

Ἔστιν ἄρα ἡ ἀρετὴ ἕξις προαιρετική, ἐν μεσότητι οὖσα, τῇ πρὸς ἡμᾶς, ὡρισμένῃ λόγῳ. ὅτι δὲ ὁ ὁρισμὸς ὀρθῶς ἀποδέδοται, δῆλον. καὶ γὰρ ἕξις οὖσα δέδεικται καὶ προαιρετική, εἴτε προαίρεσίς ἐστιν εἴτε μή· δέδεικται δὲ καὶ ἐν μεσότητι οὖσα οὐ κατὰ τὸ πρᾶγμα ἀλλὰ τῇ πρὸς ἡμᾶς· τὸν δὲ ὅρον τῆς μεσότητος ἔχομεν παρὰ τοῦ λόγου, ᾧ ὁρίζεται μήτε πλεῖον εἶναι μήτ' ἔλαττον· ὁ γὰρ λόγος εὖ ὑπαγορεύει τὰ ἐν ταῖς πράξεσι. ταῦτα μὲν οὖν ἀποχρώντως ἔχει εἰς τὸν τῆς ἀρετῆς λόγον, τὰ δ' ἄλλα ὥσπερ ἐξηγητικά ἐστι τῶν ἐν τῷ ὁρισμῷ. εἶπε γὰρ αὐτὴν ἐν μεσότητι εἶναι τῇ ὡρισμένῃ λόγῳ. καὶ ἐπεξηγεῖται ποίῳ λόγῳ· τῷ τοῦ φρονίμου καὶ ᾧ ἂν ὁ φρόνιμος ὁρίσειεν. πάλιν δὲ ἐπεὶ μεσότητι εἴρηκεν, ὑπομιμνήσκει ὡς ἐστι μεσότης διὰ τὸ μεταξὺ εἶναι δύο κακιῶν τῆς τε καθ' ὑπερβολὴν καὶ τῆς κατ' ἔλλειψιν· πῶς δ' ἐστὶν ἡ μὲν καθ' ὑπερβολήν, ἡ δὲ κατ' ἔλλειψιν. καὶ τοῦτο ὑπομιμνήσκει. ὑπερβολαὶ γὰρ καὶ ἐλλείψεις αἱ κακίαι τῷ τὰς μὲν ἐλλείπειν, τὰς δὲ ὑπερβάλλειν ἔν τε τοῖς πάθεσι καὶ ταῖς πράξεσιν, ἡ δὲ ἀρετὴ τὸ μέσον καὶ αἱρεῖται καὶ εὑρίσκει.

Ὃ δὲ ἑξῆς ἐπιφέρει ἔχει τινὰ ἀπορίαν· φησὶ γὰρ κατὰ μὲν τὴν οὐσίαν καὶ τὸν λόγον τὸν τὸ τί ἦν εἶναι λέγοντα μεσότητα εἶναι τὴν ἀρετήν· κατὰ δὲ τὸ ἄριστον καὶ τὸ εὖ ἀκρότητα. ἢ μήποτε τοῦτο μὲν αὐτῇ ὑπάρχει, τὸ δὲ εἶναι καὶ ἡ οὐσία αὐτῆς κατὰ τὴν μεσότητα εὑρίσκεται. ὥσπερ γὰρ καὶ ἐν ταῖς ἀποδείξεσι τὸ κυριώτατον ἡ αἰτία, ὅς καὶ μέσος ὅρος ἐστίν, οὕτως καὶ ἐν τοῖς ὁρισμοῖς, εἴ τις παραλαμβάνειν δύναιτο, δι' ἣν τοιοῦτόν ἐστι τὸ ὁριστόν, τὸ εἶναι αὐτῷ τί ποτέ ἐστιν ἀποδώσει. εἴρηται δὲ

3 αὐτὸν scripsi: αὐτὰ ZN ἐνδοτέρω N 4 post σκοποῦ addendum videtur ὁμοίως ἔχει vel similia 5. 6 ὑπερβολλὴ N 6 τῆς δ' — ἔλλειψις (7) om. Z 7 κακιῶν N: κακῶν Z 13 ὀρθῶς N: ὀρθὸς Z 14 εἴτε μὴ N: ἤτε μὴ Z 15 ἀλλὰ τῇ N: ἀλλ lac. Z, addit ὰ Z² 19. 20 τῆς ὡρισμένοις λόγοις N 20 φρονήμου N 21 πάλιν Z: πᾶσι N ἐπεὶ Z: ἐπὶ N μεσότητι corr. ex μεσοτήτει Z 22 μεσότης ex μεσότις Z 23 ἐλλείψην Z: corr. Z² 24 ὑπερβολὴ γὰρ καὶ ἔλλειψις N 25 καὶ ταῖς πράξεσι libri et Arist. Kb: καὶ ἐν ταῖς πράξεσι Arist. vulg. 28 τὸν τὸ τί Z et Arist. Kb: τὸν τί Arist. vulg. ἦν om. Z 29 τοῦτο μὲν N: τοῦ Z explente lacunam Z² 30 αὐτῇ scripsi: αὕτη ZN post οὐσία haec addit N ἂν εἴποι γάρ τις τῆς ἀρετῆς εἶναι οὐσίαν καὶ τὴν κατὰ τὸ εὖ ἀκρότητα αὐτῆς om. N

περὶ τούτων ὑπ᾽ αὐτοῦ ἐν τοῖς Ὑστέροις ἀναλυτικοῖς. ἔστι δὲ αἰτία τοῦ εἶναι ἀρετὴν ἑκάστην ἡ ἐν τοῖς πάθεσι καὶ ταῖς πράξεσι μεσότης. τὸ δὲ εἶναι ἀκρότητα τὴν κατὰ τὸ εὖ ἔοικε τοῖς ὑπ᾽ αὐτοῦ λεγομένοις συμπερασματικοῖς ὅροις, οἷον τί ἐστι τετραγωνισμός· ὁ μὲν τοιοῦτος ὁρισμὸς ʽμέσης εὕρεσις᾽ ἀποδίδωσι τὴν αἰτίαν, καθ᾽ ἣν τετραγωνίζεται, ὁ δὲ εἰπὼν τετραγωνισμὸν εἶναι τὸ ἴσον εὑρεῖν ἑτερομήκει τετράγωνον συμπέρασμα εἴρηκε. δείξας γὰρ ὁ γεωμέτρης τῷ ἀπὸ τῆς μέσης τῶν περιεχουσῶν τὸ ἑτερόμηκες πλευρῶν ἴσον τὸ ὑπὸ τῶν πλευρῶν περιεχόμενον ἐποίσει συμπέρασμα· ἴσον ἄρα εὕρηται τετράγωνον τῷ δοθέντι ἑτερομήκει. τοιοῦτον δὲ καὶ ἐπὶ τῶν τῆς ἀρετῆς ὁρισμῶν ἐστιν· ὁ μὲν γὰρ εἰπὼν μεσότητα εἶναι καὶ ἐν πάθεσι καὶ πράξεσι τὴν οὐσίαν αὐτῆς εἴρηκε καὶ δι᾽ ὅ ἐστιν ἀρετή, ὁ δὲ εἰπὼν ἀκρότητα κατὰ τὸ εὖ ὥσπερ συμπέρασμα λέγει. ἐπεὶ γάρ ἐστι μεσότης ἐν πάθεσι καὶ πράξεσιν, εἴη ἂν ἀκρότης κατὰ τὸ εὖ.

Οὐ πᾶν δέ φησι πάθος οὐδὲ πᾶσαν πρᾶξιν ἐπιδέχεσθαι τὴν μεσότητα. ἔνια μὲν γὰρ τῶν παθῶν ἐπιδέχεται μεσότητα, ὅταν ᾧ δεῖ καὶ ἐφ᾽ ὅσον δεῖ καὶ πρὸς οὓς δεῖ καὶ κατὰ τοὺς ἄλλους γίνηται διορισμούς· ἢ γάρ ἐστι καθ᾽ ὑπερβολήν, ὅταν ἐπὶ πλεῖον ἤδη γίνηται ἢ πρὸς οὓς οὐ δεῖ ἢ ὅλως κατὰ παράβασίν τινα τῶν διωρισμένων περὶ τῆς μεσότητος· τὸν αὐτὸν δὲ τρόπον καὶ ἡ κατ᾽ ἔλλειψιν ὀργὴ ἡμαρτημένον ἐστὶ τῷ ἐνδεῖν τοῦ προσήκοντος μέτρου. καὶ μὴν ἐπὶ τῶν πράξεών εἰσί τινες ἐπιδεχόμεναι μεσότητα καὶ ὑπερβολὴν καὶ ἔνδειαν. οἷον ἐπὶ δόσει χρημάτων· καὶ γὰρ ἐπὶ πλέον δοῦναι ἔστιν, ὅπερ τῆς καθ᾽ ὑπερβολὴν κακίας ἔργον, καὶ ἐπ᾽ ἔλαττον, ὅπερ τῆς κατ᾽ ἔλλειψιν, καὶ μέσως, ὅπερ μόνης τῆς ἀρετῆς ἔργον ἐστίν. ἐν μὲν οὖν τοῖς τοιούτοις πάθεσι καὶ ταῖς τοιαύταις πράξεσίν ἐστι καὶ ἡ ὑπερβολὴ καὶ ἡ μεσότης καὶ ἡ ἔνδεια· ἔνια δὲ πάθη καὶ ἔνιαι πράξεις οὐκ ἐπιδέχονται τὸ μέσον, ἀλλ᾽ εὐθύς, ὥς φησιν, ὠνόμασται τὸ πάθος ἢ ἡ πρᾶξις μετὰ τῆς φαυλότητος συνειλημμένα· οἷον ἐν μὲν πάθεσιν ἐπιχαιρεκακία φθόνος ἀναισχυντία, ἐν δὲ πράξεσι μοιχεία κλοπὴ ἀνδροφονία. οὐ γὰρ ἔστιν εἰπεῖν τὸν μέν τινα εἶναι μέσον φθόνον καὶ ἐπαινετόν, τὸν δέ τινα ὑπερβάλλοντα καὶ τοῦτον ψεκτόν, ἀλλ᾽ ἁπλῶς ὁ φθόνος κακόν· ὁμοίως καὶ ἐπιχαιρεκακία καὶ ἀναισχυντία. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν εἰρημένων πράξεων ἔχει· οὔτε γὰρ ἐν τῇ μοιχείᾳ οὔτε ἐν τῇ ἀνδροφονίᾳ οὔτε ἐν τῇ κλοπῇ κατορθοῦν οὐδέποτε ἔστιν οὔτε δὲ εὖ ἢ τὸ μέσον ἐπαινετὸν ἐν

---

1 ἐν τοῖς Ὑστέροις ἀναλυτικοῖς] B 10 p. 93b29 2 μεσότης ex μεσότις Z 3 ἀκρότητα Z: ἀκρότατον N λεγομένοις] superscripsit Z²: ἐν τοῖς περὶ ψυχῆς intelligens B 2 p. 413a16 5 εὕρεσις Z²: εὑρέσεως ZN 6 ἑτερομήκοι N 7 τῷ Z: τὸ N 8 ἐποίσει Z: ἐποίησε N 11 καὶ (ante δι᾽) om. Z 12 ὥσπερ συμπέρασμα Z: ὥσπερ σύμπαν N 15 ἔνια N: τὸ Z 16 καὶ (ante κατὰ) om. N ἢ γὰρ Z²: ἡ ZN 17 διορισμοὺς post γίνηται add. N 21 post δοῦναι addit χρημάτων N, mox ipsa delevit 23 μέσως scripsi: μέσης ZN 24 τοῖς Z: τῆς N ἡ (ante ὑπερβολὴ) om. N 26 συνειλημμένα μετὰ τῆς φαυλότητος Aristoteles 27 ἐπιχαιρεκακία Aristoteles: ἐστὶ χαιρεκακία ZN 28 ἀναισχυντία φθόνος collocat Arist. μοιχία ZN 29 φθόνον ex φθόνῳ N 30 φθόνος Z: φόνος N 31 καὶ (ante ἀναισχυντία) om. Z τῶν Z: τὸν N 33 δὲ ZN: an τὸ scribendum?

αὐτοῖς ἐν τῷ ἣν δεῖ καὶ ὅτε δεῖ καὶ ὡς δεῖ μοιχεύειν, ἀλλ' ἁπλῶς τὸ ποιεῖν ὁτιοῦν κακὸν καὶ ἀδίκημά ἐστιν. οὐ δεῖ δὲ ταράττεσθαι ὑπὸ τῶν λεγόντων τινὰς μοιχείας ἐπαινετάς, οἷον εἴ τις τυράννου γυναῖκα διαφθείρας τούτῳ τῷ τρόπῳ προσελθὼν καὶ ἀποκτείνας τὸν τύραννον ἐλευθερώσειε τὴν πατρίδα· οὐ γάρ ἐστι μοιχεία τοῦτο, ἀλλὰ νῦν ἐμφαίνει κατὰ τοὔνομα ἡ μοιχεία τὴν ἀκολασίαν καὶ τὴν ἧτταν τῶν ἡδονῶν καὶ τὴν παρανομίαν. καθάπερ καὶ ἡ ἀνδροφονία οὐ λέγεται τὸ ὅπως ἀποκτεῖναί τινα· ἀποκτεῖναι γὰρ ἄν τις δικαίως καὶ ἐπαινετῶς, οἷον πολέμιον λῃστήν· ἀλλ' ἐν τῷ ὀνόματι τῆς ἀνδροφονίας παρείληπται τὸ ἀδίκως καὶ παρανόμως ἀποκτεῖναι.

† Χεῖρον δὲ εἰς τὸ μὴ εἶναι μεσότητα μηδεμίαν ἐν ταῖς εἰρημέναις πράξεσι, μεταβαίνει ἐπὶ τὰς μοχθηρὰς ἕξεις, ἐκ τούτων ἐνδεικνύμενος τὸ προκείμενον αὐτῷ. ὥσπερ γὰρ περὶ τὸ ἀδικεῖν καὶ ἀκολασταίνειν καὶ δειλαίνειν οὐκ ἔστιν ὑπερβολὴ καὶ ἔλλειψις καὶ μεσότης, ἀλλ' ὅλη ἡ τοιαύτη ἕξις ἡμαρτημένη ἐστίν, οὕτως οὐδ' ἐν ταῖς εἰρημέναις πράξεσιν ἔνεστιν ὑπερβολὴ καὶ μεσότης καὶ ἔνδεια. ζητεῖται δὲ πῶς εἶπε περὶ τὸ ἀδικεῖν καὶ δειλαίνειν μὴ εἶναι μεσότητα καὶ ὑπερβολὴν καὶ ἔλλειψιν. εἰ γάρ εἰσιν ἀνέσεις καὶ ἐπιτάσεις ταῖς κακίαις, εἴη ἂν καὶ ἐπίτασις καὶ ἄνεσις ἐν τῇ δειλίᾳ, ὁμοίως καὶ ἐν τῇ ἀκολασίᾳ, ὥστε οὐδὲν κωλύει ὑπερβολῆς ὑπερβολὴν εἶναι ἄλλην ἄλλης μᾶλλον· καὶ ἐλλείψεως ἔλλειψιν. ἢ διχῶς λέγεται ἡ ὑπερβολὴ καὶ ἡ ἔλλειψις ἡ ἐν ταῖς κακίαις. ἡ μὲν ἐν αὐτῇ τῇ κακίᾳ ὥστε ἄλλην ἄλλης ὑπερβάλλειν μᾶλλον καὶ ἄλλην ἄλλης μᾶλλον ἐνδεῖν, ἄλλως δὲ λέγεται ἡ ὑπερβολὴ καὶ ἡ ἔλλειψις ὡς πρὸς τὴν μεσότητα καὶ ἀρετήν. κατὰ μὲν οὖν τὸ πρότερον τῶν ῥηθέντων ἐνδέχεται ὑπερβάλλεσθαι ἄλλην ὑπ' ἄλλης κακίας καὶ ἐπιτείνεσθαι μᾶλλον καὶ ἀνίεσθαι, ὡς δὲ πρὸς τὴν μεσότητα σκοποῦντι οὐκ ἔστι τῆς ὑπερβολῆς τὸ μὲν ὑπερβολὴ τὸ δὲ ἔλλειψις. ἔσται γὰρ οὕτως τις, φησί, μεσότης καὶ ἀρετὴ ἐν αὐτῇ τῇ κακίᾳ· τοῦτο δὲ ἀδύνατον. κατὰ δὴ τοῦτον τὸν λόγον οὔτε ὑπερβολὴ ὑπερβολῆς ἔσται οὔτε ἔλλειψις ἐλλείψεως, ἵνα μὴ μεσότητες ὦσιν ἐν ταῖς κακίαις. ἔτι δὲ καὶ ἐκ τῶν ἀρετῶν δῆλον· ὥσπερ γὰρ τῆς σωφροσύνης καὶ τῆς ἀνδρείας καὶ ὅλως τῆς ἀρετῆς μεσότητος οὔσης οὐκ ἔστιν ἐν αὐτῇ τῇ μεσότητι τὸ μὲν ὑπερβολὴ τὸ δὲ ἔλλειψις τὸ δὲ μέσον, διὰ τὸ ⟨τὸ⟩ μέσον εἶναι ἄκρον κατὰ τὸ εὖ καὶ ὡρίσθαι· τοῦτο δὲ εἰ ἔχει οὕτως, οὐδὲ τῶν κακιῶν ἐστι μεσότης οὐδ' ὑπερβολὴ καὶ ἔλλειψις, ἀλλ' ὡς ἂν πράττηται τὰ κατὰ τὴν κακίαν, ἁμαρτάνεται, καὶ τῶν ἐφ' ἑκάτερα μερῶν

---

1 ὅτε Z: ὅταν N 2 δὲ om. N 4 τὸν om. Z 5 μοιχία Z 6 μοιχία Z 7 ὅπως ZN: ὅλως Z²: *quomodocumque* i. e. ὁπωσοῦν recte Felicianus ἀποκτεῖναι Z²: ἀποκτείνῃ ZN 10 an ἐπιχειρῶν? 11 μεταβαίνει ex μεταμαίνει Z 12 δηλαίνειν N: ἀσελγαίνειν Z 13 ἕξις N: ἕξ Z 16 μεσότης corr. ex μεσότις Z ζειτεῖται corr. in ζητεῖται Z 16. 17 καὶ ἐπιτάσεις Z: ἐπὶ ταύταις N 17 καὶ (ante ἐπίτασις) om. Z 19 ἔλλειψις ex ἔλειψις corr. Z² 20 ἄλλης Z: ἄλλως N ὑπερβάλλειν ex ὑποβάλλειν corr. Z² 21 ἄλλης scripsi: ἄλλως ZN ἡ om. N ante ὑπερβολὴ et ἔλλειψις 23 ὑπερβάλλεσθαι Z: ὑπερβάλλειν N ἄλλης Z: ἄλλως N καὶ ἐπιτείνεσθαι] καὶ ἐπὶ Z² in albo 25 τις Z: τε N 25. 26 μεσότης ex μεσότις Z 27 μὴ Z²: om. NZ 29 ἀνδρίας Z 31 τὸ (ante μέσον) addidi εἰ ἔχει οὕτως scripsi: εἰ καὶ ἔτι εἰ καὶ οὕτως ZN: εἰ καὶ οὕτως Z²

τῆς ἀρετῆς τὸ μὲν ὑπερβολή ἐστι πᾶν, τὸ δ' ἔλλειψις. εἰ δὲ ταῦτα οὕτως ἔχει, οὐδὲν θαυμαστὸν καὶ τὰς εἰρημένας πράξεις μοιχείαν καὶ κλοπὴν μὴ ἔχειν τὸ μέσον ἀλλ' ὅλην εἶναι τὴν πρᾶξιν κακήν. ὁμοίως δὲ καὶ τὰ λεχθέντα πάθη, ὅπως ἂν γίνηται, ἡμαρτημένα εἶναι, φθόνον ἐπιχαιρεκακίαν ἀναισχυντίαν. ἆρ' οὖν πάθη μέν ἐστιν οὐκ ἐπιδεχόμενα τὸ εὖ, ὁμοίως δὲ καὶ πράξεις, πάθη δὲ ἕτερα οὐκ ἔστιν οὐδὲ πράξεις καὶ τὸ φαῦλον ὅλως οὐκ ἐπιδεχόμεναι; ἢ οὐκ ἄπορον καὶ τοιαῦτα εὑρεῖν οἷον νέμεσιν μὲν καὶ αἰδῶ, πάθη ἐπαινετά, ἀριστείας τυραννοκτονίας, πράξεις ἐπαινετὰς συνειλημμένον ἐχούσας τὸ εὖ ἐν τῷ ὀνόματι;

Ἐπεὶ δὲ καθόλου εἴρηται περὶ ἀρετῆς, ὅτι τίς ἐστι μεσότης, ἐν δὲ τοῖς περὶ τὰς πράξεις λόγοις οἱ μὲν κοινότεροι καθόλου εἰσίν, ὥς φησιν, οἵ δ' ἐπὶ μέρους ἀληθινώτεροι (περὶ γὰρ τὰ καθ' ἕκαστα αἱ πράξεις), βούλεται καθ' ἑκάστην ἀρετὴν καὶ κακίαν εἰπὼν δεῖξαι μεσότητα μὲν τὴν ἀρετήν, τῶν δὲ κακιῶν τὴν μὲν ὑπερβολὴν τὴν δὲ ἔλλειψιν. διὰ τί δὲ λέγει κοινοτέρους εἶναι τοὺς λόγους ἐν τοῖς πρακτικοῖς, γένοιτ' ἂν ὧδε γνώριμον· ἐν μὲν γὰρ ταῖς ἐπιστήμαις οἱ καθόλου λόγοι οὐ δείκνυνται διὰ τῶν καθ' ἕκαστα οὐδὲ ἐκ τῶν ἐπὶ μέρους, λέγω δὲ ἐν ταῖς κυρίως ἐπιστήμαις, ἀλλὰ διὰ τῶν καθόλου. ὁ γὰρ γεωμέτρης, ὅτι αἱ τοῦ τριγώνου τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι, οὐ δείκνυσιν ἐκ τῶν καθ' ἕκαστα τριγώνων ἐπαγωγῇ χρώμενος, οἷον ἐπεὶ τόδε τὸ τρίγωνον δυσὶν ὀρθαῖς ἴσας ἔχει τὰς τρεῖς καὶ τόδε καὶ ἕκαστον τῶν ἐν μέρει, διὰ τοῦτο καὶ καθόλου ἀληθὲς πᾶν τρίγωνον δυσὶν ὀρθαῖς ἴσας ἔχειν τὰς τρεῖς γωνίας· ἀλλ' ἀποδείξει κέχρηται καθολικῇ καὶ δείκνυσι τοῦθ' οὕτως ἔχειν. ἐν δὲ τοῖς πρακτικοῖς ἡ τοῦ καθόλου πίστις ἐκ τῶν ἐν μέρει, ὡς ἔστιν ἰδεῖν καὶ ἐπὶ ἰατρικῆς. ὅτι γὰρ τὸ θερμαντικὸν ἀνίησι καὶ χαλᾷ, ἐκ τῶν ἐν μέρει πιστοῦται. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν κατὰ τὰς ἀρετάς· ὅτι γὰρ μεσότης, οὐκ ἐξαρκεῖ καθόλου εἰπεῖν, ἀλλὰ καὶ ἐφ' ἑκάστης ἀρετῆς ἐπιόντα χρὴ δεικνύναι μεσότητα αὐτήν· εἰ δὲ μή, κενοὶ γίνονται οἱ καθόλου λόγοι, μὴ ἐφαρμόττοντες τοῖς ἐν μέρει καὶ καθ' ἕκαστα· καὶ γὰρ αἱ πράξεις ἐν τῷ καθ' ἕκαστά εἰσι· διὰ δὴ τοῦτο. ἐπὶ κεφαλαίων διέγραψε τὰς ἀρετὰς καὶ τὰς ἐφ' ἑκάτερα ἑκάστης αὐτῶν κακίας. καὶ δεῖ ὑπογεγράφθαι· τοῦτο γὰρ ἔοικε βούλεσθαι. ἅμα δὲ καὶ λόγῳ διὰ βραχέων περὶ ἑκάστης αὐτῶν ἐπέξεισι. περὶ μὲν οὖν φόβους καὶ θάρρη, πάθη ὄντα, μεσότης ἀνδρεία ἐστίν, αἱρουμένη τὸ μέσον ἐφ' ἑκατέρων τῶν παθῶν· ὁ δὲ κατὰ τὴν ὑπερβολὴν τεταγμένος τὰ μὲν πολλὰ εἴωθε λέγεσθαι θρασύς, νῦν δέ τινας δύο λέγει τοὺς ὑπερβάλλοντας, τὸν μὲν τῷ μὴ φοβεῖσθαι ἀνώνυμον

1 ἐστι N: ἢ Z: corr. ἦ Z² 2 μοιχίαν Z 6 ἐπιδεχόμεναι scripsi: ἐπιδεχόμενα libri 8 τυραννοκτονίαν N 11 κοινότεροι ZN et Arist. $K^b L^b M^b N^b$: κενώτεροι Arist. vulg. et Aspasius fortasse ipse cf. v. 27 οἵ δ' Z: οὐδ' N 12 ἀληθεινότεροι N 13 βούλεται Z: βούλονται N μὲν om. Z 15 τοὺς ⟨καθόλου⟩ Diels 20 ἐπεὶ Z: ἐπὶ N ἴσας Z: corr. ἴσας Z² 22 ἔχειν scripsi: ἔχει ZN 23 δείκνησι Z: corr. Z² 24 ὡς ἔστιν ἰδεῖν Z²: lac. Z: ὥσπερ ἔχει N 26 μεσότης — ἐπιόντα (27) om. a Z add. Z² 29 τῷ Z: τοῖς N 32 οὖν om. Z et Arist. K^b 33 ἐφ'] ἐπὶ ZN 35 τῷ μὴ Z: τὸ μὴ N

όντα, τὸν δὲ τῷ θαρρεῖν ὑπερβάλλοντα θρασύν. πῶς δὲ ἀνώνυμον λέγει τὸν τῇ ἀφοβίᾳ ὑπερβάλλοντα; ἡ μὲν γὰρ κακία ἀφοβία, αὐτὸς δὲ ἄφοβος λέγεται· ἢ ὡς οὐκ ὠνομασμένου πρότερον; διὰ γὰρ τὸ μηδὲ εἶναί τινας τοιούτους οὐδ' ὠνόμασται ἡ τοιαύτη κακία οὐδ' ὁ κατ' αὐτὴν μοχθηρός. εἴη δ' ἂν οὗτος ὁ μηδὲν ὅλως φοβούμενος μηδὲ τὰ μέγιστα καὶ ὑπὲρ ἄνθρωπον, οἷον σεισμῶν ὑπερβολὴν ἢ κεραυνῶν. τὰ μὲν δὴ πολλὰ καὶ ὁ ἀνδρεῖος ἄφοβος· ὁ δὲ κατὰ τὴν κακίαν τεταγμένος μαινόμενός τις ὡς εἰπεῖν καὶ οὐδὲ πρὸς τὰ ὑπὲρ ἄνθρωπον ἐνδιδούς. δοκεῖ μὲν οὖν καὶ ὁ θρασὺς ἄφοβος εἶναι, πλὴν διαφοράν γέ τινα ἔστιν αὐτῶν εὑρεῖν, ὅτι ὁ μὲν θρασὺς καὶ ἰτητικός τίς ἐστιν ἐπὶ τὰ δεινά, ὁ δὲ ἄφοβος ἐν αὐτῷ μόνῳ νοεῖται τῷ μὴ φοβεῖσθαι. ἴσως δὲ ὁ μὲν θρασὺς καὶ ἄφοβος, ὁ δὲ ἄφοβος οὐ πάντως θρασὺς οὐδὲ ἰτητικός. οὐκέτι δὲ κατὰ τὴν ἔλλειψιν δύο ἀντέθηκε· τὸν μὲν τῷ ἀφόβῳ ἐνδέοντα τῇ ἀφοβίᾳ, τὸν δὲ τῷ θρασεῖ ἐνδέοντα τῷ θαρρεῖν, ἀλλ' ἕνα ἐποίησε τῶν κατὰ τὴν ἔλλειψιν τὸν δειλόν, ὑπερβάλλοντα μὲν τῷ φοβεῖσθαι, ἐλλείποντα δὲ τῷ θαρρεῖν. καίτοι εἰ καὶ ἴσως δυνατὸν ἦν ἐπινοεῖν, πάντως ὁ ἐλλείπων τῷ θαρρεῖν ὑπερβάλλει τῷ φοβεῖσθαι καὶ ὁ ὑπερβάλλων τῷ φοβεῖσθαι ἐλλείπει τῷ θαρρεῖν. ἴσως δὲ καὶ διὰ τοῦτο ἓν ἀντέθηκεν ὡς δυνατὸν μὲν καὶ μίαν ἔλλειψιν ποιεῖν καὶ μίαν ὑπερβολήν· δυνατὸν δὲ καὶ δύο ὑπερβολὰς καὶ δύο ἐλλείψεις, εἴ τις ἐπινοεῖν βούλοιτο.

Τὴν δὲ σωφροσύνην περὶ ἡδονὰς καὶ λύπας φησὶν εἶναι μεσότητα, οὐ περὶ πάσας ἀλλὰ τὰς σωματικάς, καὶ οὐ περὶ τὰς σωματικὰς ἁπάσας ἀλλὰ τὰς δι' ἀφῆς, οἷον τὰς διὰ βρώσεως καὶ πόσεως καὶ ἀφροδισίων· ἧττον δὲ περὶ λύπας. ἡ γὰρ ἐνέργεια τοῦ σώφρονος περὶ ἡδονάς ἐστιν αἱρουμένου τὸ ἐν αὐταῖς μέσον. τοσοῦτον δὲ λέγεται περὶ τὰς λύπας [αὐτὸν] εἶναι ὅσον οὐ λυπεῖται ἐπὶ τῇ ἀπουσίᾳ τῶν ἡδονῶν· ὑπερβολὴ δὲ ἡ ἀκολασία, ἡ δὲ ἔλλειψις ἀνώνυμος διὰ τὸ μὴ γίνεσθαι ἐλλείποντάς τινας, λεγέσθω δὲ ἀναισθησία.

Ἐπεὶ δὲ ὁ ἐλευθέριος περὶ δόσιν καὶ λῆψιν χρημάτων τὸ μέσον αἱρούμενος, ἐν ἑκατέρῳ καὶ τῶν ἄκρων, θάτερος περὶ ἄμφω ἐστὶν ἁμαρτητικός. ἐναντίως δέ φησιν ὑπερβάλλουσι καὶ ἐλλείπουσιν· ὁ μὲν γὰρ ἄσωτος ἐν μὲν προέσει ὑπερβάλλει, ἐν δὲ λήψει ἐλλείπει, ὁ δ' ἀνελεύθερος τοὐναντίον. ἐνίοτε δ' ἁπλῶς ὑπερβολὴ μὲν λέγεται ἡ ἀσωτία, ἔλλειψις δὲ ἡ ἀνελευθερία· καὶ οὐκ ἀλόγως. ἔστι μὲν γὰρ περὶ ἀμφότερα, ὥσπερ εἴρηται, ὁ ἐλευθέριος, περὶ δόσιν καὶ λῆψιν, μᾶλλον δὲ περὶ δόσιν, καὶ περὶ τοῦτό ἐστιν ἡ προηγουμένη αὐτοῦ ἐνέργεια, ἡ δὲ λῆψις ἐξ ὑποθέσεώς ἐστιν αὐτῷ, εἰ ἐν χρείᾳ εἴη πολλῇ. περὶ ὃ οὖν ἐστιν ἡ προηγουμένη τοῦ ἐλευθερίου ἐνέργεια, ὑπερβάλλει μὲν ὁ ἄσωτος, ἐλλείπει δ' ὁ ἀνελεύθερος.

1 τῷ θαρρεῖν Z: τὸ N λέγει] λέως Z: corr. Z² 2 τῇ ἀφοβίᾳ NZ²: τῆς ἀφοβίας Z 3 an ὠνομασμένος? 5 σεισμὸν N 6 δὴ Z²: δὲ Z: γὰρ N 7 πρὸς τὰ Z: τὰ N ὑπὲρ Z²: ὑπὸ ZN 13 τῶν N: τὸν Z 16 ὑπερβάλλων Z: ὑπερβάλλον N 18 μίαν Z: μὴ N 21 τὰς (post περὶ) (R): τῆς ZN 23 τὸ scripsi: τοῦ ZN 24 αὐτὸν Z²: αὐτὰς ZN: ego seclusi 26 γενέσθαι N 27 ἐλεύθερος N 28 ἁμαρτητικός N: ἁμαρτικὸς Z 30 προέσει ex προαιρέσει N 35 περὶ ὃ Z: περιὸν N 36 ὁ ἄσωτος Z: ὡς ὁ ἄσωτος N

Ὅσα δὲ περὶ ἀρετῶν ἑξῆς ἢ κακιῶν διαλέγεται, ἐπεὶ ὕστερον ἐρεῖ ἀκριβέστερον, ὑπερκείσθω εἰς τότε. τοσοῦτον δὲ νῦν ἐπισκεπτέον πῶς περὶ ὀργὴν μεσότητα καὶ ὑπερβολὴν καὶ ἔλλειψιν ἀνωνύμως εἶναι πρότερον λέγει. καίτοι ἡ πραότης καὶ ὁ πρᾶος καὶ ὑπὸ Πλάτωνος καὶ ὑπὸ τῶν ἄλλων τότε φιλοσόφων ὠνομάζετο· καὶ ἡ ὀργιλότης δὲ καὶ ὁ ὀργίλος κατὰ τὴν ὑπερβολὴν τεταγμένος παλαιὸν ὄνομα, ἴσως δὲ καὶ ἡ ἀοργησία παρ' αὐτοῦ ὠνόμασται, καίτοι ἀόργητοί τινες ἀεὶ ἐλέγοντο ὑπὸ τῶν Ἑλλήνων. εἰ μὴ ἄρα ἡ μὲν πραότης ἔκειτο ἐπὶ τοῦ ἡσύχου ἢ ἀοργήτου, ἐπὶ δὲ τοῦ μέσως ἔχοντος πρὸς ὀργὰς καὶ ὅτε μὲν δεῖ ὀργιζομένου καὶ ὡς δεῖ καὶ κατὰ τοὺς ἄλλους διορισμούς, πάλιν δὲ μὴ ὀργιζομένου, ὅτε μὴ προσήκει, αὐτὸς ἔθετο τὸ τοῦ πρᾴου ὄνομα καὶ πραότητα ὠνόμασε τὴν τοιαύτην ἀρετήν. πάλαι δὲ ὀργίλος μὲν ὠνομάζετο κατὰ τὴν φυσικὴν ἐπιτηδειότητα καὶ δύναμιν. αὐτὸς δὲ ἤνεγκε τοὔνομα ἐπὶ τὸν ἔχοντα τὴν ἕξιν, καθ' ἣν ὑπερβαλλόντως κατέχεται ὑπὸ ὀργῆς· τὴν δὲ ἔλλειψιν ἀοργησίαν ὠνόμασε. καὶ γὰρ οὐδ' ἂν εὕροιμεν ἐπὶ τῶν ἄλλων κακιῶν παρωνομασμένας αὐτὰς ἀπὸ τῶν παθῶν διὰ τὸ τὰς δυνάμεις παρωνομάσθαι, οἷον ἐπὶ τῆς ἀνδρείας ὁ μὲν ἐλλείπων δειλὸς καλεῖται, ὁ δὲ ὑπερβάλλων θρασύς. οὗτος δὲ δοκεῖ μὲν ἀπὸ τοῦ θάρσους ὠνομάσθαι. οὐ μὴν ἔχει οὕτως· μεταβέβληκε γὰρ τοὔνομα καὶ θρασὺς ὀνομάζεται. ἐπὶ δὲ τῆς σωφροσύνης οὐχὶ ἡδονικὸς λέγεται ὁ ὑπερβάλλων ἀλλ' ἀκόλαστος, ὁ δὲ ἐλλείπων ἀναίσθητος. ἔχει δὲ καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. ἐπὶ δὲ τῆς πραότητος ἀνωνύμων οὐσῶν τῶν κατὰ τὰς ὑπερβολὰς καὶ ἐνδείας ἕξεων, παρωνόμασεν αὐτὰς ἀπὸ τῶν παθῶν.

Μετὰ δὲ ταύτας λέγει τρεῖς εἶναι μεσότητας, ἐχούσας μέν τινα κοινωνίαν πρὸς ἀλλήλας, διαφερούσας δ' ἀλλήλων· λέγει δὲ αὐτὰς πάσας περὶ λόγων καὶ πράξεων κοινωνίαν εἶναι. διαπορεῖται δὲ τοῦτο εἰ μὴ περὶ πάσας τὰς ἀρετὰς ἔστι τὸ περὶ λόγων καὶ πράξεων κοινωνίαν εἶναι. ἢ τῶν λοιπῶν ἀρετῶν αἱ ἐνέργειαι πλὴν τῆς δικαιοσύνης γίνοιντ' ἂν καὶ καθ' ἑαυτὸν τῷ ἐναρέτῳ, οἷον ὁ σώφρων οὐ μόνον ἐν τῇ πρὸς ἄλλον κοινωνίᾳ χρῆται τῷ σωφρονεῖν ἀλλὰ καὶ πρὸς αὑτὸν ἐν διαίτῃ ἐν ἀμπεχόνῃ τοῖς ἄλλοις τοῖς κατὰ τὸν βίον. ἔστι δὲ καὶ ἐν πράξεσιν ἄνευ τοῦ λέγειν δυνατὸν χρῆσθαι τῇ σωφροσύνῃ· ὁμοίως δὲ καὶ ἐπὶ ἀνδρείας καὶ ἐλευθεριότητος καὶ τῶν ἄλλων ἀρετῶν. καὶ γὰρ πρὸς αὑτὸν ἐλευθέριος ⟨ὁ⟩ ὡς δεῖ ἀναλίσκων εἰς ἑαυτόν ἢ ἀνδρεῖος ὁ μὴ φοβούμενος μηδὲ ταραττόμενος ῥᾳδίως ὑπὸ τῶν προσδοκωμένων δεινῶν ἢ κακῶν. ἡ δὲ δικαιοσύνη ἐστὶ μὲν ἐν κοινωνίᾳ πάντως, ἀλλ'

2 τοσοῦτον δὲ — ὀνομάζεται (18) = *Class. Journal* XXIX 109 πῶς περὶ Z: πῶς δὲ περὶ N 4 τῶν ἄλλων τότε Z: τῶν ἄλλων τῶν τότε N 6 καὶ om. Z ἀοργισία N 7 μὴ Z: μὲν N 8 ἔχοντος scripsi: ἔχοντας ZN 9 ὀργιζομένου Z: ὀργιζομένους N 10 πάλιν Z: πᾶσι N τὸ om. N 11 πάλαι scripsi: πάλιν Z: πᾶσι N 12 ἐπιτηδιότητα N 15 αὐτὰς αὐταῖς ZN: delevit αὐταῖς Z[2] 17 θάρσους Hase: θράσους ZN 18 ὠνομάζεται Z ἐπὶ ex ἐπεὶ N 20 ἀναίσθητος corr. ex ἀνέσθητος Z 25 διαπορρεῖται N 26 καὶ Z: καλεῖ N 28 σώφρων ex σώφρον N 29 αὑτὸν] αὐτὸν libri 30 ἔστι Z: ἔτι N καὶ (R): ἢ ZN 31 ἐπὶ Z: περὶ N 32 αὑτὸν] αὐτὸν ZN ὁ inserui 24 κακῶν ἢ δεινῶν N ἐν Z: τῇ N

ἔστι καὶ μὴ λέγοντα χρῆσθαι αὐτῇ. αἱ δὲ λεγόμεναι νῦν τρεῖς ἕξεις πάντως ἐν κοινωνίᾳ λόγων εἰσὶ καὶ πράξεων· δῆλον δ' ἐξ αὐτῶν· ὀνοματοποιεῖ δὲ τὰ πολλὰ καὶ ἐκ τοῦδε δὲ φανερὸν ἔσται. ὄντος δὲ τοῦ ἀληθοῦς τιμίου καὶ τῆς ἀληθείας συγγενεστάτης τῇ φιλοσόφῳ φύσει. εἰσί τινες περὶ αὐτὴν κατορθωτικοὶ καὶ λόγῳ καὶ ἔργῳ, οἱ δὲ ἁμαρτητικοί. καλεῖ δὲ τὴν μὲν ἀρετὴν ἀλήθειαν μεσότητα οὖσαν καὶ τὸν κατ' αὐτὴν ἀληθῆ τινα, τὰ ὑπάρχοντα αὐτῷ ἐν τῇ πρὸς τοὺς πέλας ὁμιλίᾳ καὶ λόγῳ καὶ ἔργῳ ἐνδεικνύμενον, ὁποῖα τυγχάνει ὄντα, οὔτε ἐπὶ τὸ πλέον ἐξαίροντα οὔτε ἐπὶ τὸ ἔλαττον, διὰ τὸ φιλεῖν καὶ περὶ πολλοῦ ποιεῖσθαι τὴν ἀλήθειαν. τῶν δὲ κακιῶν τὴν μὲν ὑπερβολὴν προσποίησιν ἐπὶ τὸ μεῖζον καὶ λόγῳ καὶ ἔργῳ οὖσαν, ὀνομάζει δὲ αὐτὴν ἀλαζονείαν καὶ τὸν ἔχοντα ἀλαζόνα, πρότερον ὀνομαζομένων ἀλαζόνων τῶν προσποιουμένων μαντείαν ἢ σοφίαν ὥσπερ οἱ σοφισταὶ προσεποιοῦντο καὶ ὅλως τῶν γοήτων τοῦτο ἐχόντων τὸ ὄνομα. οὗτος δὲ [πάντας] τοὺς ἐπὶ τὸ μεῖζον τὰ αὐτῶν λέγοντας ἅπαντας ἀλαζόνας ὠνόμασε καὶ τὴν κακίαν ἀλαζονείαν, τοὺς δὲ ἐπὶ τὸ ἔλαττον τὰ αὐτῶν κατάγοντας τῷ λόγῳ καὶ προσποιουμένους ἐλάττω ἔχειν τῶν ὑπαρχόντων αὐτοῖς (μοχθηροὺς μὲν καὶ αὐτούς· πᾶσα γὰρ ἡ περὶ τὸ ψεῦδος σπουδὴ μοχθηρία) εἴρωνας ὠνόμασε καὶ τὴν κακίαν εἰρωνείαν· δοκεῖ δέ τισι μὴ εἶναι κακία ἡ εἰρωνεία· τὸν γὰρ Σωκράτην εἴρωνά φασι γεγονέναι· μήποτε δὲ οὐκ ἦν εἴρων ὁ Σωκράτης. τεκμήριον δὲ τὸ μηδένα τῶν ἑταίρων αὐτοῦ οὕτως αὐτὸν ὀνομάζειν ἀλλὰ τοὺς πολλοὺς διαμαρτάνοντας αὐτοῦ, οἷον Θρασύμαχον ἢ Μένωνα. ἀλλ' ἔλεγε, ὡς ἔοικεν, αὐτὸν μηδὲν εἰδέναι παραβάλλων τὴν ἀνθρωπίνην σοφίαν πρὸς τὴν τοῦ θεοῦ. ταῦτα γὰρ καὶ ἐν τῇ τοῦ Πλάτωνος Ἀπολογίᾳ εἴρηται. ἴσως δὲ καὶ τὸ φορτικὸν φυλαττόμενος καὶ ἐπαχθές, οὐ διὰ τὴν πρὸς τὸ ψεῦδος φιλίαν, ἐπ' ἔλαττον ἔλεγε περὶ ἑαυτοῦ. ὅπερ οὐκ ἔστιν εἰρωνεία. ἢ δύο τρόποι εἰρωνείας, ὁ μὲν ἐπίψογος προσπεποιηκότος τινὸς καὶ ᾠκειωμένου τῷ ψεύδει, ὁ δὲ χαριεντισμῷ ὅμοιος, φυλαττομένου τινὸς τὸ ἐπαχθὲς ἐπὶ τοῖς λόγοις. ταῦτα μὲν ὅπως ἔχει σκεπτέον.

Τῶν δὲ λοιπῶν δυοῖν μεσοτήτων περὶ τὸ ἡδὺ ἀμφοτέρων οὐσῶν, ἡ μέν ἐστι περὶ τὸ ἐν παιδιᾷ, μέσως τοῦ σπουδαίου παίζοντος καὶ ἀλύπως τοῖς συγγινομένοις. καλεῖται δὲ ἡ τοιαύτη ἀρετὴ εὐτραπελία καὶ ὁ ἔχων αὐτὴν εὐτράπελος, ἡ δ' ὑπερβολὴ βωμολοχία, ὑπερβαλλόντως τινὸς χρωμένου τῷ γελοίῳ καὶ οὔτε ὡς δεῖ οὔτε πρὸς οὓς δεῖ, ἀλλὰ παραβαίνοντος πάντας τοὺς εἰρημένους διορισμούς. τὴν δὲ ἔλλειψιν ἀγροικίαν ὠνόμαζεν, οἷα γένοιτ' ἂν

1 ἔστη N 4 φιλοσώφω Z 5 καὶ λόγῳ] καὶ om. Z ἁμαρτηκοὶ N καλεῖ— λόγοις (27) = *Classical Journal* XXIX 109. 110 6 καθ' αὐτὴν ZN 8 ἐξαίρονται N 9 δὲ om. N 10 οὖσαν Z[2]: om. ZN 10. 11 αὐτὴν NZ: mut. in αὐτὸς Z[2] 11 ὀνομαζόμενον N 12 σοφίαν Z: κακίαν N 13 πάντας delevi 14 αὐτῶν ZN λέγοντα N 14. 15 ἀλαζονίαν N 15 κατάγοντας Diels: καταγνόντας ZN 19 Σωκράτης ex Σωκράτους N 20 αὐτὸν Z[2]: om. ZN 21 Μένωνα N cf. Plat. rep. I p. 377 A et Men. p. 98 B 22 εἰδέναι Hase: εἶναι NZ: *nihil esse nihilque scire* Felic.; vide tamen Apol. p. 41 E et Conv. p. 216 E 23 Πλάτωνος Ἀπολογίᾳ] p. 21 D 26 προσπεποιηκότος Diels: προσπεπονθότος ZN 27 ἐπὶ Z: ἐν N 29 τῶν — ἀμφοτέρων bis Z, deletis prioribus 34 ὠνόμαζεν Z: ὠνόμασεν N

ἀνθρώπου φεύγοντος πᾶσαν παιδιάν. ἄλλη ἐστὶ μεσότης περὶ τὸ ἡδὺ ἐν παντὶ βίῳ, ἥτις ἐστὶ φιλία, ἄλλως χρωμένου τοῦ φίλου φίλῳ κατὰ τὸ ἡδὺ καὶ κατὰ τὸν καιρὸν καὶ ὡς δεῖ. ἡ δὲ ἐπὶ πλέον προσποίησις τῆς φιλίας βουλομένου τινὸς ἀεὶ καὶ ἐν παντὶ ἡδέως φαίνεσθαι, εἰ μὲν οὐδενὸς ἕνεκεν, ἀρέσκεια λέγοιτ' ἂν καὶ ὁ κατ' αὐτὴν ἄρεσκος, εἰ δ' ἕνεκεν κέρδους καὶ ὠφελείας, κόλαξ καὶ ἡ κακία κολακεία· ὁ δὲ ἐλλείπων δύσερις καὶ δύσκολος.

Μετὰ δὲ ταῦτα λέγει μεσότητας εἶναί τινας ἐν ψιλοῖς τοῖς πάθεσιν, ἐπαινετὰς μέν, ἀρετὰς δ' οὐ λέγων εἶναι. ἡ μὲν γὰρ ἀρετὴ περὶ πάθη καὶ πράξεις, οἷον ἀνδρεία περὶ φόβους καὶ θάρρη, ἀλλὰ καὶ ἐν τῷ ἀγωνίζεσθαι καὶ πράττειν τὰ τοῦ ἀνδρείου ἔργα. αἱ δὲ λεγόμεναι νῦν μεσότητες ἐν αὐτοῖς τοῖς πάθεσι μόνον εἰσίν, οὐκ ἐν ταῖς πράξεσιν, οἷον αἰδὼς καὶ ὁ αἰδήμων μέσος, καταπλὴξ δὲ ὁ ἅπαντα αἰδούμενος ὑπερβάλλων τις τῷ πάθει, ὁ δὲ ἐλλείπων τῷ αἰδεῖσθαι ἀναίσχυντος. καὶ ἡ νέμεσις δὲ παθητικὴ μεσότης, λύπη τις οὖσα ἐπὶ ταῖς παρ' ἀξίαν εὐπραγίαις τῶν μοχθηρῶν. ὑπερβολὴ δὲ φθόνος ἐπὶ πᾶσι λυπουμένου εὖ πράττουσιν, ὅπερ γοῦν τοῦ φθονεροῦ. κατὰ δὲ τὴν ἔλλειψιν τάττει τὸν ἐπιχαιρέκακον, τοσοῦτον φάσκων αὐτὸν τοῦ λυπεῖσθαι ἐπ' ἀλλοτρίαις συμφοραῖς ἀπέχειν, ὥστε καὶ χαίρειν. μήποτε δὲ κατὰ τὴν ἔλλειψιν ὁ τοιοῦτος ᾖ, ἀλλ' ὁ μὴ λυπούμενος ὅλως ἐπὶ μηδενὶ τῶν εὖ πραττόντων, μηδ' ἂν τύχῃ ἀνάξιος ὤν, ὁ δὲ ἐπιχαιρέκακος ἤτοι ὁ αὐτὸς τῷ φθονερῷ· τοῦ γὰρ αὐτοῦ λυπεῖσθαι ἐπὶ ταῖς εὐπραγίαις τῶν πέλας καὶ χαίρειν ἐπὶ τοῖς κακοῖς αὐτῶν. ἢ μήποτε ἔστιν ἐπινοῆσαι μεσότητά τινα τῇ νεμέσει ἀνάλογον τοῖς κατ' ἀξίαν συμβαίνουσι τῷ μοχθηρῷ, χαίροντός τινος ἀνωνύμου ὄντος καὶ τῆς κατ' αὐτὸν ἕξεως· τοῦ δ' ὑπερβάλλοντος, ἐπιχαιρεκάκου ὄντος ὡς καὶ ταῖς τῶν μοχθηρῶν εὐπραγίαις καὶ ταῖς τῶν ἀγαθῶν ὁμοίως χαίρειν· τοῦ δὲ κατὰ τὴν ἔλλειψιν ἐπὶ μηδενὶ χαίροντος, μηδ' ἂν ἄξιος ὢν τύχῃ τῶν συμβαινόντων αὐτῷ δυσχερῶν. περὶ μὲν οὖν τούτων ἐπιστήσειεν ἄν τις· περὶ δὲ δικαιοσύνης ὕστερον ἐρεῖν ἐπαγγέλλεται καὶ περὶ τῶν λογικῶν ἀρετῶν.

Ἀντικεῖσθαι μὲν οὖν φησι τὰς τρεῖς διαθέσεις ἀλλήλαις, τήν τε ἀρετὴν μεσότητα οὖσαν τῇ ὑπερβολῇ καὶ τῇ ἐλλείψει καὶ ταύτας ἀλλήλαις τε καὶ τῇ μέσῃ ἕξει· ὅμως δὲ ἀντικειμένων τούτων πλείστην εἶναι τοῖς ἄκροις ἐναντιότητα πρὸς ἄλληλα ἢ πρὸς τὸ μέσον. τοῦτο δὲ ἀπορεῖται, εἰ ὀρθῶς εἴρηκε. δοκεῖ γὰρ ἡ ἀρετὴ μάλιστα ἐναντία τῇ κακίᾳ εἶναι· οὕτω μὲν οὖν σκοποῦντι πλείστη ἐναντίωσις τῆς ἀρετῆς ἐστι καὶ τῆς κακίας. εἰ δὲ αὐτήν τις σκοποίη τὴν ἐν τῇ κακίᾳ ὑπερβολὴν καὶ ἔλλειψιν, πλείστη ἂν εὑρεθείη ἡ διάστασις τῶν κακιῶν πρὸς ἀλλήλας ἢ πρὸς τὴν ἀρετήν. τεκμήριον δέ ἐστιν,

2 ἥτις Z: εἴτις N 4 ἀρέσκια N 5 λέγοιτ' ἂν corr. ex λέγειτ' ἂν N καὶ post κέρδους om. N 9 περὶ φόβους Z: καὶ περὶ φόβους N 10 μεσότητες ex μεσότηταις Z 13 ἀναίσχυντος ex ἀνέσχυντος Z παθητικὴ N: παθητὴ Z 15 ὅπερ γοῦν Z: ὁπωσοῦν N 18 ᾖ mut. in ἦν Z 24 εὐπραγίαις ex εὐπραγείαις N καὶ ante ταῖς om. N: superscr. Z 26 οὖν om. Z 32 ἄλληλα Arist.: ἀλλήλας ZN 35 πλείστη ZN ut Arist. vulg. 36 κακιῶν N: κακῶν Z

ὅτι κατὰ τὴν ὑπερβολὴν καὶ τὴν ἔνδειαν πολὺ ἐναντιώτερον πρὸς ἀλλήλας ἔχουσιν ἢ πρὸς τὸ μέσον, οἷον ὁ ἄσωτος ἐναντιώτερον τὸν ἀνελεύθερον φαντάζεται· † φαντάζεται μὲν γὰρ ἑκατέρῳ τῶν ἄκρων ὁ ἀνελεύθερος ὁ κατὰ τὸ ἐναντίον ἄκρον τεταγμένος, ἀλλ' ἀνειμένος μᾶλλον. τῷ μὲν γὰρ ἀσώτῳ δοκεῖ ἀνειμένος ὁ ἀνελεύθερος εἶναι, τῷ δὲ ἀνελευθέρῳ ἀνειμένος ὁ ἄσωτος. ὁ δὲ Ἀριστοτέλης τρισὶν ἐπιχειρήμασιν εἰς τὸ τοιοῦτον χρῆται, ἑνὶ μὲν ἐκ παραβολῆς· ὡς γὰρ τὸ μέγα τοῦ μικροῦ πλέον ἀφεστάναι φαμὲν ἢ ἄμφω τοῦ ἴσου, οὕτως καὶ ἡ ὑπερβολὴ τῆς ἐνδείας πλέον ἀφέστηκε τῆς μεσότητος. ἔτι ἐκ τοῦ πρὸς τὸ μέσον τοῖς ἄκροις ὁμοιότητα εἶναι. ἀλλήλοις δὲ πᾶσαν ἀνομοιότητα. τρίτον ἐκ τοῦ ὁρισμοῦ τῶν ἐναντίων· ἐναντία γὰρ ὁρίζεται τὰ πλεῖστον ἀλλήλων ἀπέχοντα· πλεῖστον δὲ ἀφέστηκεν ἡ ὑπερβολὴ τῆς ἐλλείψεως. τὰ δ' ἑξῆς δῆλα.

Σημειωτέον δὲ ὅτι εὐλόγως εἶπε πρὸς ἃ εὐκατάφοροί ἐσμεν. ταῦτα ἐναντιώτερα εἶναι καὶ τῇ ἀρετῇ. ἃ γὰρ ἡμῖν ἐναντιώτερά ἐστι, ταῦτα καὶ τῇ ἀρετῇ. ἐναντιώτερα δὲ ἡμῖν πρὸς ἃ εὐκατάφοροί ἐσμεν κατὰ τὴν ψυχήν, ὥσπερ καὶ ἐναντιώτερα τῷ σώματι νοσήματα πρὸς ἃ εὐκατάφορόν ἐστι τὸ σῶμα.

Ὅτι δὲ τὸ μέσον λαβεῖν δύσκολον, παρέθετο παράδειγμα οὐ τῶν πρὸς ἡμᾶς τι μέσων ἀλλὰ τῶν κατ' αὐτὸ τὸ πρᾶγμα. κύκλου γὰρ τὸ μέσον λαβεῖν οὐ παντὸς ἀλλὰ τοῦ εἰδότος. εἰ γὰρ ἐν τοῖς τοιούτοις λαβεῖν τὸ μέσον δύσκολον, ἐν οἷς τὸ μέσον ἓν καὶ ταὐτὸ πᾶσι, πολὺ χαλεπώτερον ἐν τοῖς πρακτοῖς, ὅπου μέσον ἐστὶ τὸ ἑκάστῳ ἁρμόττον. ἃ δ' εἴρηκεν οὕτως ὅτι μὲν οὖν ἐστιν ἡ ἠθικὴ ἀρετὴ μεσότης καὶ πῶς καὶ τἆλλα, τὰ μὲν ἄλλα δῆλα· τὸ πῶς γὰρ φέρει ἐπὶ τὸ πρὸς ἡμᾶς μέσον αἱρεῖσθαι, ἀλλὰ μὴ τὸ κατὰ τὸ πρᾶγμα. ὃ δ' ἐπὶ τῇ τελευτῇ εἴρηκεν, ὡς οὐκ ἔστι ῥᾴδιον διορίσαι ὁ ἐπὶ πόσον καὶ μέχρι τίνος παρεκβαίνων ἐπὶ τὸ μᾶλλον ἢ ἐπὶ τὸ ἧττον ψεκτός, ἕπεται τοῖς ἀεὶ λεγομένοις ὑπ' αὐτοῦ. ὅτι οὐδὲν τῶν πρακτῶν ἀκριβῶς ἔστι διορίσαι, ἀλλὰ τύπῳ· οὐδὲ γὰρ ἄλλο οὐδὲν τῶν αἰσθητῶν. ὅθεν καὶ οἱ σωρεῖται παρεληλύθασι. μέχρι γὰρ πόσου ὁ πλούσιός ἐστιν; εἴ τις θείη ὁ μέχρι δέκα ταλάντων, ἀνερωτῶσιν· 'εἰ δὲ δραχμήν τις ἀφέλῃ οὐκέτι πλούσιος; εἰ δὲ δύο;' οὐκ ἔστι γὰρ τῶν τοιούτων οὐδέν, ἐπειδὴ αἰσθητά ἐστιν. ἀκριβῶς διορίσαι καὶ τὸν πένητα καὶ τὸν πλούσιον. καὶ ἐπὶ τοῦ φαλακροῦ δὲ ἐρωτῶσιν· 'εἰ παρὰ μίαν τρίχα φαλακρὸς γίνεται, τί δὲ παρὰ δύο, τί δὲ παρὰ τρεῖς;' ὅθεν φαλακροὶ ἐλέγοντο οἱ λόγοι καὶ σωρεῖται. ἐπὶ γὰρ σωροῦ τὸ αὐτὸ

---

2 ἀνελευθέριον ZN 3 φαντάζεται — ἀνελεύθερος corrupta ἀνελεύθερος Z: ἀνελευθέριος N 5 ἀνελευθέριος ZN ἀνελευθέρῳ ZN 9 ὁμοιότητα NZ²: ὁμοιότηταν Z 13 ἃ γὰρ — τῇ ἀρετῇ (14) om. Z 15 ἐναντιώτερα δὲ N: ἐναντιώτερον δὲ Z ἡμῖν Z: ὑμῖν N 19 μέσων scripsi: μέσον ZN τὸ (ante πρᾶγμα) om. N τὸ μέσον Arist.: τι μέσον ZN 20 οὐ παντός — λαβεῖν Z² in marg. 22 πρακτοῖς Z: πρακτικοῖς N 25. 26 διορῆσαι N 26 πόσον Arist.: τόσον ZN 28 διορῆσαι N τύπῳ Z: τόπῳ N 29 πόσου om. Z 30 οὐκέτι scripsi: οὐκ ἔστι ὁ ZN 33 παρὰ (ante μίαν) Z: περὶ N παρὰ (ante δύο) ex περὶ Z: περὶ N 33. 34 παρὰ (ante τρεῖς) ex περὶ Z: περὶ N

ἠρώτων, εἰ παρ' ἕνα πυρὸν ἐλαττοῦται ὁ σωρός, εἶτα εἰ παρὰ δύο καὶ κατὰ τὰ ἑξῆς· καὶ οὐκ ἔστιν εἰπεῖν πότε πρώτως οὐκέτι σωρός ἐστι διὰ τὸ μηδὲν τῶν αἰσθητῶν ἀκριβῶς λαμβάνεσθαι, ἀλλὰ πλάτει καὶ τύπῳ. οὕτως οὖν καὶ ἐπὶ τῶν πράξεων ἔχει καὶ τῶν παθῶν. οὐ γὰρ ἔστιν εἰπεῖν ὁ ἐπὶ πόσον ὀργισθεὶς μέσον ὀργίζεται ἢ ὑπερβάλλει ἢ ἐλλείπει διὰ τὸ τὴν παρὰ τὸ σμικρὸν ἐπὶ πλέον παρέκβασιν ἢ ἐπὶ τὸ ἔλαττον λανθάνειν. διὸ δεῖ φρονήσεως γνωριζούσης ἐν τοῖς πάθεσι καὶ ταῖς πράξεσι τὸ μέσον.

---

1 παρὰ δύο Z: περὶ δύο N 2 πότε om. N 5 ἢ ὑπερβάλλει Z: καὶ ὑπερβάλλει N παρὰ τὸ σμικρὸν Z: περὶ τὸ σμικρὸν, τὸ corr. ex τῶν N 6 διὸ δὴ N 7 ταῖς πάθεσι N

ΕΙΣ ΤΟ Γ̄ ΤΩΝ ΗΘΙΚΩΝ ΑΡΙΣΤΟΤΕΛΟΥΣ

p. 1109b30 Τῆς ἀρετῆς δὲ περὶ πάθη ἕως τὸ τιθέναι ἀκούσια.

Ἡ μὲν πρόθεσις περὶ ἀκουσίου καὶ ἑκουσίου εἰπεῖν· πρῶτον δὲ λέγει, ὅτι ἀναγκαία ἡ περὶ αὐτῶν θεωρία τοῖς περὶ ἀρετῆς ἐπισκοποῦσι καὶ ὅλως τῷ πολιτικῷ καὶ νομοθετικῷ. ἐπεὶ γὰρ ἡ ἀρετὴ περὶ πάθη καὶ πράξεις, ἐν οἷς τὸ μὲν ἑκούσιον ἐπαινεῖται, ἂν καλῶς γένηται, τὸ δ' ἀκούσιον συγγνώμης τυγχάνει, ἐνίοτε δὲ καὶ ἐλέου, ἀναγκαῖον τῷ περὶ ἀρετῆς ἐπισκοποῦντι περὶ ἑκουσίου καὶ ἀκουσίου διορίσαι. ἐν μὲν οὖν ταῖς πράξεσιν ὁμολογουμένως ἐστὶ τὸ ἑκούσιον καὶ ἀκούσιον, ἐν δὲ τοῖς πάθεσι πῶς ἂν εἴη; δοκεῖ γὰρ ἀκούσια εἶναι τὰ πάθη· ἢ τὸ διαθεῖναί πως οὕτως ἑαυτὸν καὶ ἔθεσι καὶ λόγῳ, ὥστε μὴ πάσχειν κακῶς ἑκούσιον; καὶ ταύτῃ λέγοιτ' ἂν τὰ πάθη ἑκούσια ἐνίοτε· ἀκούσια δέ πως ἂν εἴη ἢ ἁπλῶς ἢ κατὰ τὴν ἑαυτῶν φύσιν. μήποτε δὲ οὐ περὶ τῶν παθῶν εἴρηκε τὸ ἑκούσιον καὶ ἀκούσιον, ἀλλὰ περὶ τῶν πράξεων. ἔτι τὰ πραττόμενα διὰ θυμὸν ἢ ὅλως διὰ πάθος ἑκούσια λέγεται, ὅταν εἰδὼς πράττῃ· ἀναγκαῖον δὲ καὶ τῷ πολιτικῷ καὶ νομοθετικῷ εἰδέναι περὶ ἑκουσίου καὶ ἀκουσίου· οὐ γὰρ μικρὸν μέρος τῆς νομοθεσίας τὸ περὶ τὰς τιμὰς καὶ περὶ τὰς κολάσεις, ἀλλ' ἐν ταῖς πόλεσι περὶ τοῦτ' ἐστι πᾶσα νομοθεσία. τὸ οὖν εἰδέναι τίνας μὲν δεῖ κολάζειν, τίσι δὲ νέμειν συγγνώμην καὶ πάλιν τίνας μὲν δεῖ τιμᾶν † εἰ καὶ ὅτι μάλιστ' ἂν ᾖ ἀγαθοῦ τινος [διὰ τὸ ἄκοντα εἰργάσθαι] τοῦ εἰδότος ἱκανῶς περὶ ἑκουσίου καὶ ἀκουσίου· ὥστε ἀναγκαία ἡ γνῶσις τῷ πολιτικῷ καὶ νομοθετικῷ.

1 γάμμα Z: τρίτον N 2 δὲ Z: δὴ N περὶ om. Z 3 μὲν Z²: om. ZN 5 καὶ (ante νομοθητικῷ) om. N 7 τῷ περὶ Z: τὸ περὶ N 10 πῶς Z: πῆ N 11 λόγῳ Z: λόγοις N τὰ om. Z 12 ἢ (post ἁπλῶς) Z²: om. NZ 14 τῶν bis Z, deleto altero πάθος Z: πάθη N 15 πραττεῖ N 15. 16 καὶ τῷ νομοθετικῷ N 17 τὰς κολάσεις] τὰς om. Z 19 συγνώμην Z εἰ καὶ Z: καὶ N ἄν τι ᾖ N: ἂν ᾖ Z 20 εἰργάσθαι Z: εἴργεσθαι N διὰ—εἰργάσθαι delevi, ad νέμειν συγγνώμην explicanda intrusa; sic fere redintegranda sententia videtur: καὶ ὅτι μάλιστ' ἂν εἴη ἀγαθοῦ τινος πολιτικοῦ εἰδότος

Ἄρχεται δὲ ἀπὸ τοῦ ἀκουσίου ὡς γνωριμωτέρου. δοκεῖ δὲ ἀκούσιον εἶναι τὸ βίᾳ ἢ δι' ἄγνοιαν. οὗτος δὲ οὐ δοκεῖ κυρίως ὁρισμὸς εἶναι, ἀλλὰ εἰδῶν μᾶλλον ἔκθεσις τῶν τοῦ ἀκουσίου. καθόλου δὲ οὐδὲ ὅροι δοκοῦσιν εἶναι οἱ κατὰ τὰς διαιρέσεις ταύτας ἀποδιδόμενοι, οἷον ὅτι ἐστὶ τὸ ὂν ὃ οἷόν τε παθεῖν ἢ ποιῆσαι. τούτῳ γὰρ τῷ τρόπῳ καὶ τὰ ὁμώνυμα ἔστιν ὁρίζεσθαι, οἷον κλείς ἐστιν ἤτοι ἡ τὰς θύρας ἀνοίγουσα ἢ ἡ περὶ τὸν αὐχένα· ἀλλ' ἀναγκαῖον ὅμως καὶ τοῖς τοιούτοις ἐνίοτε ὁρισμοῖς χρῆσθαι, ὅταν τοῦ κοινοῦ τῶν εἰδῶν μὴ ᾖ ῥᾴδιον λόγον λαβεῖν, ὥσπερ ἔχει καὶ ἐπὶ τοῦ βιαίου καὶ τοῦ δι' ἄγνοιαν. κοινὸν μὲν γὰρ αὐτοῖς τὸ ἀκούσιον καὶ δοκεῖ συνωνύμως αὐτῶν κατηγορεῖσθαι, ἐπειδὴ καὶ τὸ ἑκούσιον ἕνα ἔχει λόγον, ὡς ἔσται δῆλον ὀλίγον ὕστερον. οὐκ ἔστι δὲ ὅμως ἕνα τοῦ ἀκουσίου λαβεῖν λόγον. εἰπὼν δὲ ἀκούσια εἶναι τὰ βίαια ἢ δι' ἄγνοιαν, πρῶτον ὁρίζεται τὸ βίαιον, λέγων αὐτὸ βίαιον εἶναι οὗ ἡ ἀρχὴ ἔξωθεν, τοιαύτη οὖσα εἰς ἣν μηδὲν συμβάλλεται ὁ πράττων ἢ ὁ πάσχων· δοκεῖ δέ τισιν ἱκανῶς ἔχειν ὁ ὁρισμός, εἰ καὶ μόνον οὕτως ἀποδέδοται βίαιόν ἐστιν οὗ ἡ ἀρχὴ ἔξωθεν· τῶν μὲν γὰρ ἐφ' ἡμῖν ἐν ἡμῖν εἰσι καὶ αἱ ἀρχαί· καὶ γὰρ εἰ λαβών μέ τις μετέωρον φέροι ἐμοῦ προστάξαντος καὶ βουληθέντος, ἐν ἐμοὶ ἡ ἀρχή. ὅταν δ' ἔξωθεν ἡ ἀρχὴ καὶ βίᾳ μέ τις λαβὼν ἄγῃ, ἀκούσιον τὸ τοιοῦτον καὶ βίαιον. ἔοικε δὲ οὐκ ἀλόγως καὶ τὰ ἑξῆς προσκεῖσθαι· ἀμφισβητεῖται γάρ, ὡς προελθὼν λέγει, περὶ τῶν διὰ φόβον μειζόνων κακῶν τυράννοις ἢ ὅλως τοῖς κρατοῦσιν ὑπηρετησάντων τι τῶν αἰσχρῶν, περὶ ὧν ὀλίγον ὕστερον ἐπισκοπεῖ· καὶ δοκεῖ μᾶλλον ἑκούσια εἶναι. τὸ δὴ καθαρῶς βίαιον τοῦτό ἐστιν, ὅταν ἔξωθέν τε ἡ ἀρχὴ καὶ μηδὲν συμβάλληται ὁ πράττων ἢ ὁ πάσχων. δοκεῖ δὲ τὸ [καὶ] ὁ πράττων μὴ εὖ προσκεῖσθαι· ὅτῳ γὰρ ἂν βίαιόν τι συμβαίνῃ, κἂν μηδὲν αὐτὸς εἰς τοῦτο συμβάλληται, πάσχειν μὲν ἂν λέγοιτο, πράττειν δ' οὔ, οἷον εἰ, ὥς φησι, πνεῦμα κομίσαι ποί τινα ἢ ἄνθρωποι κύριοι ὄντες· τὸ γὰρ κομίζεσθαι καὶ τύπτεσθαι καὶ τὰ τοιαῦτα πάσχειν ἀλλ' οὐ ποιεῖν ἐστιν. ἢ καὶ πράττειν βίαιόν ἐστιν; οἷον εἰ ὠσθείς τις αὐτὸς ὤσειεν ἄλλον καὶ καταβάλοι ἄκων· ἄκων γὰρ καὶ βίᾳ ἔπραξεν, οὐδὲν εἰς τοῦτο συμβαλλόμενος. λέγεται δὲ καὶ ἐν τοῖς ἀψύχοις βίαιον, οἷον τὸ πῦρ δοκεῖ κάτω φέρεσθαι καὶ ἡ γῆ ἄνω. τὸ δὲ βίᾳ οὕτως λεγόμενον καὶ ἐπὶ τῶν ἐμψύχων πότερον ὁμώνυμόν ἐστιν ἢ συνώνυμον; δοκεῖ γὰρ ἴσως ὁμώνυμον εἶναι. τὸ μὲν γὰρ βίᾳ ἐν τοῖς ἄλλοις ἐστὶν ἡ παρὰ φύσιν κίνησις αὐτῶν ἢ ἡ μονή, ἐν δὲ τοῖς ἐμψύχοις οὐ

3 δὲ Z: γὰρ N 5 ὁρίζεσθαι Z: διορίζεσθαι N 6 κλεῖς ex κλῆς Z ἤτοι om. Z 7 ὅταν Diels: ὅτε ZN 8 ᾖ Z: εἴ N 9 αὐτοῖς N: αὐτῆς Z 11 ἀκούσια N et Arist.: ἀκούσιον N 12 τὰ Z: τὸ N βίαια ZN et Arist. vulg.: βίᾳ (Voss. et) Arist. Nb 13 εἰς ἣν libri: ἐν ᾗ Arist. 15 μόνον Z: ἂν N 16 μετέωρον Diels: μετέωρα ZN 17 φέροι ex φέρει ZN 18 βία ex βίαια Z 24 καὶ seclusi μὴ ante καὶ sed transpositum post πράττων Z συμβαίνει N: συμβαίνοι ex συμβαίνει Z κἂν Z: καὶ N 25 πάσχειν Z: πάσχει N 28 βίαιόν Z: βιαίως N ὠσθεὶς] ὠθεὶς ZN τις om. Z: add. Z²: pallidiore atramento N αὐτὸς NZ²: ταὐτὸς Z 29 καταβάλλοι N ἄκων post ἄλλον N καὶ om. N συμβαλλόμενος scripsi: συμβαλλομένου ZN 33. p. 60,1 οὐ πάντως N²Z: om. N¹

πάντως τὸ παρὰ φύσιν. βαδίζοι γὰρ ἄν τι ζῷον βιαζόμενον, οὐ παρὰ φύσιν αὐτῷ οὔσης τῆς βαδίσεως. ἢ τούτων οὕτως ἐχόντων οὐδὲν ἧττον ὁμώνυμόν ἐστι πᾶν τὸ βίαιον; ἐφαρμόττει γὰρ καὶ τῷ ἐν τοῖς ἀψύχοις βιαίῳ ὁ ἀποδοθεὶς λόγος. ἔστι γὰρ βίαιον, οὗ ἡ ἀρχὴ ἔξωθεν μηδὲν συμβαλλομένου τοῦ πράττοντος ἢ τοῦ πάσχοντος. τὸ μὲν οὖν ἔξωθεν εἶναι τὴν ἀρχὴν τῆς κινήσεως καὶ τοῖς κατὰ φύσιν κινουμένοις ἐστί, καίπερ μὴ κινουμένοις βίᾳ· οὐδὲ γάρ τι κάτω κινηθήσεται, μὴ τὴν ἀρχὴν τῆς κινήσεως παρ' ἄλλου λαβόν· τὸ δὲ λοιπὸν τοῦ ὁρισμοῦ μὴ σφόδρα δηλοῖ καὶ τὸ τοῖς βίᾳ κινουμένοις τῶν ἀψύχων ὑπάρχον· οὐδὲν γὰρ συμβάλλεται εἰς τὴν ἄνω κίνησιν ὁ λίθος, ὥσπερ εἰς τὸ κάτω φέρεσθαι συμβάλλεται ἡ φύσις αὐτοῦ. περὶ μὲν οὖν τούτων διορίσθω ταῦτα.

Ὁ δὲ Ἀριστοτέλης ἑξῆς τοῖς προειρημένοις ἀπορεῖ, εἰ ὅσα διὰ φόβον μειζόνων κακῶν πράττεται ἢ διὰ καλόν τι, ἀκούσιά ἐστιν. δοκεῖ δὲ τὸ μέν τι ὀρθῶς ἠπορῆσθαι τῶν ἐν τῷ λόγῳ, τὸ δ' εὐήθως· τὸ μὲν γὰρ ἀπορεῖν εἰ ὅσα διὰ φόβον μειζόνων κακῶν πράττεται ἑκούσιά ἐστιν ἢ ἀκούσια εὔλογον, τὸ δέ, εἰ ὅσα διὰ καλόν τι πράττεται, ταῦτα ζητεῖν εἰ ἑκούσια ἢ ἀκούσια, ἐστὶ γελοῖον. καὶ γὰρ ἐπαινεῖται καὶ ἑκούσια δοκεῖ τὰ δι' ἀρετὴν καὶ διὰ καλόν τι πραττόμενα. ἢ τὸ λεγόμενον τοιοῦτόν ἐστιν, εἰ ἑκούσια ὅσα διὰ φόβον μειζόνων κακῶν πράττεται μᾶλλον ἢ διὰ καλόν τι; εἰ γάρ τις προτιμᾷ τὸ μὴ πάσχειν τι φοβερὸν τοῦ καλόν τι πρᾶξαι, ἐπ' αὐτῷ ὂν ὑπομεῖναι τὸ ἀλγεινὸν ἐπὶ τῷ καλῷ, περὶ τούτου ἀμφισβητήσειεν ἄν τις, εἴτε ἄκων εἴτε ἑκὼν πεποίηκεν, οἷον εἰ τύραννος προστάττοι αἰσχρόν τι πρᾶξαι ἀπειλήσας γονέων καὶ τέκνων θάνατον· καὶ πράξαντος μὲν σώζοιντο, μὴ πράξαντος δὲ ἀποθνήσκοιεν· ὁ δὲ τοῦτο ὑπομένοι ἐπὶ τῷ καλῷ. ἀμφισβητεῖται γὰρ περὶ τοῦ τοιούτου, πότερον ἑκὼν ἢ ἄκων ποιεῖ, ὅταν ὑπομείνῃ τὰ αἰσχρὰ ἐπὶ σωτηρίᾳ τῶν φιλτάτων ἑαυτῷ παραμελήσας τοῦ καλοῦ· ὅπερ οὐκ ἐποίησεν ὁ Σωκράτης, ἀλλὰ τῶν τριάκοντα κελευσάντων ἄγειν ἐπὶ θάνατόν τινα τῶν πολιτῶν Λέοντα ὄνομα, ἵνα δὴ μὴ κοινωνήσῃ αὐτοῖς τῶν πράξεων, καταφρονήσας καὶ τῆς ἑαυτοῦ σωτηρίας καὶ τῶν τέκνων καὶ τῆς γυναικός, οὐχ ὑπηρέτησε τὸ προσταχθὲν διὰ τὸ καλὸν καὶ τὸ δίκαιον. περὶ δὴ τῶν τοιούτων ἀπορεῖται, ὅταν διὰ τὸν τοιοῦτον φόβον ἐνδούς τις ὑπομένῃ, εἰ δεῖ λέγειν αὐτὰ ἀκούσια.

1 βαδίζοι Z: βιάζοι N, βαδίζοι corr. a N² βιαζόμενον om. N 2 οὔσης Z: οὔσις N ὁμώνυμον scripsi: ἀνώνυμον ZN 3 τῷ Z: τὸ N βιαίῳ Z: βίαιον N 6 κατὰ φύσιν Z: ἐν τῇ φύσει N 7 λαβὸν ex λαβεῖν Z: λαβὸν ex λαβὼν N 8 βία ex μία Z 9 τὴν N: τὴν ex τὸ Z κίνησιν ex κίνησις Z 10 τὸ Z: τὴν N τουΐων N 10. 11 διωρίσθω N 13 ἀκουσία Z: ἀκούσιον N 14 τι (R): τοι ZN ἠπορεῖσθαι Z εὐήθως ex εὖ ἦθος N 15 εἰ (R): ἢ ZN κακῶν om. N 18 εἰ scripsi: ἢ ZN 20 πάσχειν τι scripsi: παντὶ ZN ὂν Z: ὧν N 22 ἑκὼν Z: ἀκὼν N οἷον εἰ — δίκαιον (30) = *Classical Journal* XXIX 110 προστάττοι ex προστάττει Z: προστάττει N 23 σώζοιντο ex σώζειντο ZN 26 ὅπερ οὐκ — δίκαιον (30) = *Hermae* V 103. 104 28 μὴ om. N αὐτοῖς om. Rose 29 τῆς ἑαυτοῦ Z: τοῖς ἑαυτοῦ N ὑπηρέτησαι N 31 ὑπομείνη N ἀκούσια ex ἑκούσια N

ἐοικέναι δὲ δοκεῖ ταῖς ἐν τοῖς χειμῶσιν ἐκβολαῖς. ἁπλῶς μὲν γὰρ οὐδεὶς ἂν ἐκβάλλοι τὰ ἐκ τῆς νεώς· ἐνίοτε δὲ ὑπομένει τοῦτ' ἐπὶ σωτηρίᾳ ἑαυτοῦ καὶ τῶν συμπλεόντων· καὶ γὰρ οὕτως τὰς αἰσχρὰς πράξεις καὶ μοχθηρὰς ἑκὼν μὲν οὐδεὶς ἂν ὑπομείνειεν ἐπιεικής· ἐνίοτε δὲ ὑπομένουσιν ἐπὶ σωτηρίᾳ ἑαυτῶν καὶ τῶν φίλων. μικτὰς μὲν οὖν εἶναί φησι τὰς τοιαύτας πράξεις ἐξ ἑκουσίου καὶ ἀκουσίου. ᾗ μὲν γὰρ ἔξωθεν ἡ ἀρχὴ τῆς πράξεως, οἷον τύραννος ἢ ὁ κρατῶν καὶ ἡ ἐκείνου ἀπειλή, ταῦτα ἀκούσια, ᾗ δ' ἐξὸν αὐτοῖς πᾶν ὁτιοῦν παθεῖν πρὸ τοῦ αἰσχρόν τι πρᾶξαι τὰ αἰσχρὰ τῷ μὴ παθεῖν τὰ φοβερὰ ὑπομένουσι, ταύτῃ δοκοῦσιν ἑκούσια εἶναι. ὅμως δὲ ἐοικέναι μᾶλλόν φησιν αὐτὰς ἑκουσίοις. αἱρεταὶ γάρ εἰσιν αἱ τοιαῦται πράξεις καὶ τὸ τέλος τῆς τοιαύτης πράξεως κατὰ τὸν καιρὸν κρίνεται, καθ' ὃν πράττεται. περὶ γὰρ οὐδεμιᾶς πράξεως καθόλου ἔστι διορίσασθαι. ἀλλὰ κρίνεται τότε ὅτε πράττεται διὰ τί ἐπράχθη καὶ πῶς ἐπράχθη. ἑκὼν δὲ τότε πράττει, ὅτε πράττεται, καὶ προτιμᾷ ἄλλο πρὸ ἄλλου καὶ συμβάλλεται εἰς τὸ πραχθῆναι οὐ μικρόν. καὶ γὰρ ἡ ἀρχὴ τοῦ κινεῖν τὰ μέρη τὰ αὐτοῦ, ἅπερ ἐστὶν ὄργανα τῇ ψυχῇ, ἐν αὐτῷ ἐστι τῷ πράττοντι, ὅτε ἐνεργεῖ τὰς πράξεις. οὐ γὰρ ἔοικε τῷ ὑπὸ πνεύματος κομισθέντι ποι ἢ ὑπὸ τῶν δησάντων ἀχθέντι· ἀλλὰ φέρε εἰπεῖν προστάξαντος τοῦ τυράννου ἀποκτεῖναί τινα τῶν πολιτῶν καὶ ἀπειλοῦντος αὐτῷ θάνατον ἂν μὴ ἀποκτείνῃ, ἀποκτίννυσιν αὐτὸν ἐπάγων τὴν χεῖρα τῷ ἀναιρουμένῳ· ὧν δὲ ἐπ' αὐτοῖς ἡ ἀρχὴ τοῦ πρᾶξαι καὶ μή, ἑκούσια δοκεῖ εἶναι τὰ τοιαῦτα· ἁπλῶς δὲ ἴσως λέγοιτ' ἂν ἀκούσια, ὅτι οὐδεὶς ἂν ἕλοιτο αὐτὰ καθ' αὑτά. ἔτι καὶ ἐντεῦθεν δῆλον ὅτι ἐστὶν ἑκούσια· ἐπαινοῦνται γὰρ ἐνίοτε ὅταν λυπηρόν τι ὑπομείνωσι μᾶλλον ἢ τὸν υἱὸν παρασχεῖν τῷ τυράννῳ εἰς ὕβριν· καὶ ἔτι μᾶλλον ἂν ἐπὶ σωτηρίᾳ τῆς πατρίδος. ἐπεὶ δ' εἶπε καὶ αἰσχρὰ ὑπομενητέον εἶναι, ἐνθυμητέον ὅτι μικρὰ αἰσχρὰ ὑπομενητέον ἀντὶ μεγάλων καλῶν, οἷον εἰ κελεύσειε τύραννος σπουδαῖον ἄνδρα ἐνδυθέντα στολὴν γυναικείαν φανῆναι τοῖς πολίταις, ἀπειλῶν, εἰ τοῦτο μὴ πράξει ἀναστατώσειν αὐτοῦ τὴν πατρίδα καὶ γονεῖς καὶ τέκνα· ὑπομενεῖ γὰρ τὸ προσταχθέν. ἂν δὲ ἀνάπαλιν, ψέγονται, ἂν αἰσχρὰ ὑπομένωσιν ἐπὶ μηδενὶ καλῷ. εἰ δὲ ἔπαινος καὶ ψόγος ἀκολουθεῖ, δῆλον ὅτι ἑκούσιά ἐστι. ἐπὶ γὰρ τοῖς ἑκουσίοις ἔπαινος ἢ ψόγος. ἐνίοτε δὲ τοῖς πράξασί τι τῶν αἰσχρῶν συγγνώμη γίνεται, ὅταν ἃ μὴ δεῖ διὰ τοιαῦτα ποιήσωσιν ἃ ὑπερβάλλει τὴν ἀνθρωπίνην φύσιν, οἷον σφοδρὰς βασάνους καὶ ἀμηχάνους, καίοντός τινος καὶ τέμνοντος καὶ στρεβλοῦντος. ἔνια δέ φησιν οὐδὲ ἀναγκασθῆναι προσήκει ἀλλὰ πάντα μᾶλλον ὑπομενητέον ἢ πρᾶξαι τὰ αἰσχρά. μικρὰ μὲν

2 ἐκβάλλοι ex ἐκβάλλει N: ἐκβάλλει Z   σωτηρίαν N   7 ᾗ (R): εἰ ZN
9 τὰ ex ταῦτα Z   12 γὰρ (Voss.:) om. Z: duae fere litterae erasae N
14 πράττεται καὶ fortasse delenda   15 οὐ om. N   ἡ om. N: supra lineam Z²
17 κομισθέντι N: κομιζομένῳ Z² (κο Z¹)   ποῖ om. Z   19 ἐπάγων NZ²: ἐπάγει Z   23 τὸν υἱὸν Z²: τὸ νῦν ZN   23. 24 παρασχεῖν Z: πάσχειν N
26 ἄνδραι N   27 μὴ Z: μὲν Z   28 πράξει N: πράξῃ Z   32 συγνώμη Z, γ alt. add. Z²   33 σφοδρὰς Diels: σφοδρῶς ZN   βασάνους Diels: τὰς ἄγνους ZN: τυράννου Z² in marg.   ἀμηχάνους Diels: ἀμηχάνου ZN: ἀμηχάνως Z²
34 τινος N: τινα Z

γὰρ ἂν ἴσως ἀνάσχοιτο τῶν ἀγαθῶν παραβῆναι, μεγάλα δ' οὔ, ἀλλ' ἀνέξεται πρότερον στρεβλούμενος καὶ ἐν τούτοις τεθνήξεται, πρίν τι πρᾶξαι τῶν παντελῶς αἰσχρῶν. ἐνίοτε δὲ χαλεπώτατόν ἐστι τὸ κρῖναι, ὅταν ὥσπερ ἐν ζυγῷ ἰσόρροπα ἐφ' ἑκάτερα καὶ ἴσα δοκῇ εἶναι τὸ κακὸν πρᾶξαί τι καὶ μή· καὶ δεῖ μεγάλης φρονήσεως ἀντιθεῖναι ποῖα ἀντὶ ποίων αἱρετέον. οὐκ ἔστι δὴ ὥσπερ περὶ τῶν ἄλλων πρακτῶν καθόλου περὶ τῶν τοιούτων διορίσαι, ἀλλὰ δεῖ τοῖς καιροῖς καὶ τοῖς συμβαίνουσι παρεπόμενον κρίνειν ἱκανῶς. ἔτι δὲ χαλεπώτερον τοῦ κρῖναι τὸ ἐμμεῖναι τοῖς γνωσθεῖσιν· ἐνίοτε γάρ τις εἵλετο μὲν ὑπομεῖναι τὰ δεινὰ μᾶλλον ἢ πρᾶξαι τὰ αἰσχρά. γενόμενος δὲ ἐν ταῖς βασάνοις μετέθετο· καὶ προείλετο μὲν ἰδεῖν τὸν υἱὸν ἀποθνήσκοντα μᾶλλον ἢ ποιῆσαί τι τῶν ἀνοσίων, ἰδὼν δὲ τὸν υἱὸν ἀγόμενον οὐκ ἀντέσχεν, ἀλλὰ μετέβαλε τὴν γνώμην. διὸ καὶ ἔπαινος ἐνίοτε γίνεται περὶ τοὺς μὴ ἀναγκασθέντας καὶ ψόγοι περὶ τοὺς ἐνδόντας ταῖς ἀνάγκαις. λεκτέον δὲ βίαια ἁπλῶς μὲν καὶ κυρίως, ὅταν ἡ αἰτία ἐν τοῖς ἐκτὸς ᾖ, μηδὲν συμβαλλομένου τοῦ πράττοντος· οἷα δ' ἔφαμεν εἶναι τὰ μικτά, καθ' αὑτὰ μὲν ἀκούσια, διότι οὐδεὶς ἂν αὐτὰ ἕλοιτο τῶν ἐπιεικῶν, τότε δὲ ὅτε πράττεται ἀντὶ τῶνδε· λέγων δὲ περὶ τούτων ἃ καθ' αὑτὰ μὲν ἀκούσια, ἑκούσια δὲ τότε, μᾶλλον ἑκούσια καὶ οὐκ ἀκούσια αὐτά φησιν εὐλόγως. τὸ γὰρ καθ' αὑτὰ ἀκούσια αὐτὰ εἶναι ἴσον τῷ καθόλου· ἐν δὲ τοῖς πρακτοῖς ὁ περὶ τῶν καθόλου λόγος κενός, αἱ γὰρ πράξεις ἐν τοῖς καθ' ἕκαστα· ταύτῃ δ' ἦν ἑκούσια· ὥστε ἐν οἷς τὴν ἰσχὺν μάλιστα αἱ πράξεις ἔχουσι τοῦ εἶναι ἑκούσιοι ἢ ἀκούσιοι, κατὰ τοῦτο οὖσαι ἑκούσιοι μᾶλλον ἂν εὐλόγως ἢ ἀκούσιοι λέγοιντο. ἢ τὸ ἁπλῶς οὐ τὸ καθόλου σημαίνει; ἀλλ' ὅτι αὐταὶ ἐφ' ἑαυτῶν ἄνευ περιστάσεως τῆς ἐν τῷ τότε καιρῷ ἀκούσιοί εἰσι. φοβερῶν δὲ ἐπικειμένων μᾶλλον ἑκούσιοι. καὶ γὰρ αἱ πράξεις ἐν τοῖς καθ' ἕκαστα ἑκούσιοι, ὅταν ἑκὼν τότε πράττῃ ὁ πράττων.

Γελοῖοι δ' εἰσὶν οἱ λέγοντες βίαια εἶναι ὅσα ὑπὸ τῶν ἡδέων τινὲς ἀχθέντες ποιοῦσι. φασὶ γὰρ ὑποπίπτειν τῷ ὁρισμῷ τοῦ βιαίου· ἔξωθεν γὰρ ἡμῶν ὄντα τὰ ἡδέα ἀναγκάζει ἡμᾶς. οὗτος δ' ὁ λόγος πάντα ποιεῖ τὰ ἀδικήματα βίαια· σχεδὸν γὰρ πάντες δι' ἡδονὴν ἀδικοῦσιν οἱ ἄνθρωποι. γελοῖον δὲ τὸ μὴ αὑτὸν μᾶλλον αἰτιᾶσθαι εὐθήρατον ὄντα ὑπὸ τῶν ἡδέων, ἀλλὰ τὰ ἡδέα· ἐπ' αὐτῷ οὖν καὶ τὸ ἄγεσθαι καὶ τὸ μή. δηλοῦσι δὲ καὶ οἱ σώφρονες καὶ οἱ ἐγκρατεῖς· ἐπεὶ κατά γε τοῦτον τὸν λόγον οὐδὲ τοὺς καλὰ πράττοντας ἑκόντας φαίη τις ἂν πράττειν· ἀναγκάζεσθαι γὰρ ὑπὸ τῶν καλῶν. εἰ δ' αὑτόν τις αἰτιᾶται, εὔλογον καὶ τῶν αἰσχρῶν αὑτόν τινα αἰτιᾶσθαι ἀλλὰ μὴ τὰ ἡδέα.

---

1 ἂν ἴσως Z: ἴσως ἂν N 4 δοκῇ] δοκεῖ ZN 5 δὴ Z: δεῖ N 6 περὶ (post ὥσπερ) NZ^2: om. Z 7 δὲ Z: καὶ N 9 ἵλετο N 10 ταῖς N: τοῖς Z 13 περὶ om. Z: add. Z^2 λεκτέον δὲ Z: λεκτὸν δὴ N βίαια NZ^2: βιαα Z 17 δὲ περὶ Z^2: δ' ἐπὶ ZN 19 πρακτοῖς Z: περιπρακτοῖς N 22 post ἀκούσιοι Z λέγοιντο, mox deletum 24 τῆς ex τοῖς Z 26 ἑκὼν NZ^2: ἐκ τῶν Z 27 βίαια NZ^2: βία Z 31 μὴ Z: μὲν N αὑτὸν ZN: αὐτὸν Z^2 32 οὖν καὶ Z: οὖν N δηλοῦσι — ἐγκρατεῖς (33) om. Z 34 ἀναγκάζεσθαι N: ἀναγκάζεται Z 35 τινα scripsi: τις ZN

Τὸ μὲν οὖν βίαιον τί ἐστιν εἴρηται· τὸ δὲ δι' ἄγνοιάν φησι πάντως εἶναι οὐχ ἑκούσιον· εἴδη δὲ τοῦ δι' ἄγνοιαν εἶναι δύο· τὸ μὲν ὁμώνυμον τῷ ἀνωτάτω γένει, καλεῖται δὲ ἀκούσιον. ὅταν γὰρ δι' ἄγνοιάν τις ποιήσῃ τι τῶν μὴ δεόντων καὶ μετὰ ταῦτα μαθὼν μετανοῇ καὶ λυπῆται, τότε ἀκούσιον φαίνεται ὡς ἀληθῶς τὸ πραχθέν. ὅταν δὲ γνοὺς μὴ μεταμελῆται μηδὲ λυπῆται, ἐνίοτε δὲ καὶ ἀσμενίζῃ, ἀκούσιον μὲν οὐ ῥητέον· ἔοικε γὰρ ἑκόντος αὐτοῦ γεγονέναι εἰ καὶ ὅτι μάλιστα ἠγνόησεν. ἐπεὶ δὲ ἀγνοήσας ἔπραξε, καὶ δεῖ αὐτῷ ἄλλο ὄνομα τίθεσθαι, ἀλλ' οὐχὶ τὸ ἀκούσιον (οὐκ εὐποροῦμεν δὲ ἄλλου ὀνόματος, καλείσθω οὐχ ἑκούσιον), ἔοικε δὴ ἡ πᾶσα διαίρεσις τοιαύτη εἶναι· ληπτέον γὰρ αὐτήν, ἐπειδὴ καὶ δυσθεώρητός ἐστι, διὰ τὰς ἐνούσας αὐτῷ ὁμωνυμίας τῶν γενῶν πρὸς τὰ εἴδη ὧν ἐστιν ἀνωτάτω ἀκούσιον, ὃ ταὐτόν πώς ἐστι τῷ οὐχ ἑκουσίῳ· τοῦ δ' αὖ ἀκουσίου ἢ οὐχ ἑκουσίου τὸ μὲν βίᾳ, τὸ δὲ δι' ἄγνοιαν. τοῦ δὲ δι' ἄγνοιαν τὸ μὲν ἑκούσιον, τὸ δὲ οὐχ ἑκούσιον, ὧν ἑκάτερον ὁμώνυμον τῷ γένει, τὸ μὲν τῷ οὐχ ἑκουσίῳ, τὸ δὲ τῷ ἀκουσίῳ. εἴποι ἂν οὖν τις καὶ τὰ ὑπὸ τὴν ἄγνοιαν οὐχ ἑκούσια καὶ ἀκούσια κατὰ τὸ ἀνωτάτω οὐχ ἑκούσιον καὶ ἀκούσιον, ὡς δὲ πρὸς ἄλληλα συγκρινόμενα τοῦ δι' ἄγνοιαν εἴδη, καθ' ἣν εἶπε διαφορὰν ὁ Ἀριστοτέλης τὸ μὲν ἔσται ἀκούσιον, τὸ δὲ οὐχ ἑκούσιον.

Ἕτερον δέ φησιν εἶναι καὶ τὸ δι' ἄγνοιαν πράττειν, οὗ ἀρχὴ τῆς πράξεως καὶ αἰτία ἡ ἄγνοια· οὐ λέγεται δὲ δι' ἄγνοιαν πεποιηκέναι, ἀλλ' ἀγνοῶν ἐνίοτε πράττει ὁ μεθύων τι πράξας ἢ ὀργιζόμενος· τῆς γὰρ πράξεως τῷ μὲν ἀρχὴ ἡ μέθη, τῷ δὲ ἡ ὀργή. διὰ μέθην οὖν ἂν λέγοιτο πεποιηκέναι, καὶ ὁ ἕτερος δι' ὀργήν, δι' ἄγνοιαν δὲ οὐδέτερος· ἀγνοῶν δ' ὅμως ποιεῖ ἃ ποιεῖ. εἰ μὲν οὖν τις δι' ἄγνοιάν τι ποιεῖ καὶ ἀγνοῶν ποιεῖ, εἰ δ' ἀγνοῶν οὐ πάντως δι' ἄγνοιαν. τάχα δ' ἂν λέγοιτο εὐλόγως ὁ διὰ μέθην πράξας οὐ δι' ἄγνοιαν πεποιηκέναι, οὐ μόνον ὅτι αἰτίαν ἔχει τῆς πράξεως τὴν μέθην, ἀλλὰ διότι οὐκ ἀγνοῶν ἦλθεν ἐπὶ τὴν μέθην καὶ ἐξὸν μὴ ἐπὶ τοσοῦτον πιεῖν ὥστε μεθυσθῆναι, ὅμως ἔπιεν· ἑκὼν οὖν ἐμεθύσθη, ὥστε καὶ ἑκὼν ἔπραξε τὰ ἐν τῇ μέθῃ καὶ οὐ δι' ἄγνοιαν. τὰ δ' αὐτὰ λεκτέον καὶ ἐπὶ τοῦ δι' ὀργὴν πράξαντος· ἐπ' αὐτῷ γὰρ ἦν ἐπιμεληθῆναι ἑαυτοῦ, ὅπως μὴ δι' ὀργὴν προαγόμενος ποιῇ τὰ δεινὰ καὶ παράνομα.

Ἃ δ' ἑξῆς λέγει, δυνατὸν μὲν ὡς ἀκόλουθα λαμβάνειν τοῖς προειρημένοις, δυνατὸν δὲ καὶ ὡς αὐτό τι καθ' αὑτό. φησὶ γὰρ πάντα τὸν μοχθηρὸν ἀγνοεῖν

1 πάντως Z[2]: παντοῖον NZ 3 γέννει N ποιήσει N 4 μετανοεῖ Z 5 ὅταν Z: lac. N μεταμελεῖται N 6 λυπῆται ZN ἀσμενίζῃ ex ἀσμενίζει N ἔοικε Z: ἔοι . . . N ἑκόντος Z: ἑκόντως ex ἑκώντως N 8 αὐτῷ Z: . . . . . τῷ N 9 καλείσθω Z: καλλήσθω ex καλλείσθω N; δὲ fort. add. 10 ἐνούσας NZ[2]: αἰνούσας Z 11 τῶν—ὧν Z[2] in marg.: τῶν ὧν . . . . . . εἴδη Z: τῶν ὧν πρὸς τὰ εἴδη N 12 δ' αὖ Z[2]: δὴ ZN 14 ἑκάτερον N: ἑκατέρων Z ὁμώνυμον N: ὁμωνυμιῶν Z 15 εἴπει N 16 τὸ Z: τῷ N 18 ἔσται] εἶναι Diels 20 post ἄγνοια Z[2] in marg.: τοῦ ἀγνοοῦντος 26 τὴν om. Z 27 τὴν om. N 28 ὅμως om. N 31 προαγόμενος Z: πρασσόμενος Z ποιῇ ex ποιεῖ Z: ποιεῖ Z 32 ἃ δ' ἑξῆς—ἔλαθεν (p. 65,24) = *Classical Journal* XXIX 111. 112

ἃ δεῖ πράττειν καὶ ὧν ἀφεκτέον καὶ διὰ τὴν τοιαύτην ἄγνοιαν ἀδίκους καὶ κακοὺς γίνεσθαι. πάντες γὰρ ἄνθρωποι σχεδὸν ἐφίενται τοῦ ἀγαθοῦ· τὰ δὲ ἄδικα ἐνίοτε οὐκ ἀγνοοῦσι μὲν ἄδικα ὄντα, ἀπατώμενοι δὲ καὶ ἡγούμενοι ἑαυτοῖς ὠφέλιμα εἶναι, πράττειν αἱροῦνται. οὐ μέντοι τὸ ἀκούσιον κατὰ τοῦτο λέγεται· οὐδέ φαμεν ἄκοντας ποιεῖν διὰ τὸ ἀγνοεῖν τὰ συμφέροντα καὶ διὰ τὴν ἐν τῇ προαιρέσει ἄγνοιαν καὶ τὴν καθόλου. λέγει δὲ ἐν προαιρέσει ἄγνοιαν, ὅταν τις προαίρεσιν ἔχῃ μοχθηρὰν δι' ἄγνοιαν τοῦ συμφέροντος. τὴν δ' αὐτὴν καὶ καθόλου καλεῖ ἄγνοιαν, ὅτι μὴ περὶ ἕν τί ἐστι, μηδὲ περὶ μίαν πρᾶξιν ἡ τοιαύτη ἄγνοια, ἀλλὰ καθόλου τὸν οὕτως ἀγνοοῦντα λέληθε τὰ συμφέροντα ἅπαντα. οὐ δὴ διὰ τὴν τοιαύτην ἄγνοιαν ἀκούσια λέγεταί τινα ἁμαρτήματα· τεκμήριον δέ· συγγνώμης τυγχάνουσιν οἱ ἀκούσια πεποιηκότες καὶ παρὰ τῶν νόμων καὶ παρὰ τῶν δικαζόντων, ἡ δ' ἐν τῷ ἤθει ἄγνοια μισεῖται· καὶ εἰκότως. αἴτιοι γὰρ αὐτοὶ αὑτοῖς οἱ ἄνθρωποι τῆς τοιαύτης ἀγνοίας, μὴ ἐπιμελόμενοι τοῦ διαγινώσκειν τὰ ὡς ἀληθῶς συμφέροντα τίνα ἐστὶ καὶ ὅτι ἡ κακία καὶ ἡ ἀδικία πάντων χρημάτων βλαβερώτατον τῷ ἔχοντι. ταῦτα δέ, ὡς ἔφην, δύναται μὲν καὶ ἕπεσθαι τοῖς προειρημένοις. ὁ γὰρ μοχθηρὸς λέγοιτ' ἂν ἀγνοεῖν μὲν ἃ ποιεῖ· οὐ μέντοι δι' ἄγνοιαν πράττει τὴν ἐν ταῖς πράξεσιν· ἀλλ' εἴπερ ἄρα, δι' ἄγνοιαν τὴν καθόλου ἢ τὴν ἐν τῇ προαιρέσει, ἥτις ἐστὶ τοῦ συμφέροντος· δύναται δὲ καὶ καθ' αὑτό τι εἶναι θεώρημα πρὸς τοὺς λέγοντας ἀκούσια τὰ ἁμαρτήματα· ἕκαστον γὰρ ἀγνοοῦντα τὸ αὑτῷ συμφέρον ἁμαρτάνειν. πρὸς γὰρ τοὺς οὕτως ἀναφαινομένους λέγεται, ὅτι ἀγνοοῦσι μὲν ὡς ἀληθῶς οἱ μοχθηροὶ τὸ συμφέρον αὑτοῖς· οὐ μὴν διὰ τὴν τοιαύτην ἄγνοιαν τὸ ἑκούσιον λέγεται, ἀλλὰ διὰ τὴν καθ' ἕκαστα καὶ περὶ ἃ ἡ πρᾶξις· αὕτη γάρ ἐστι τυγχάνουσα ἐλέου καὶ συγγνώμης καὶ τὰ διὰ τὴν τοιαύτην ἄγνοιαν πραττόμενα.

Διορίζει δὲ καὶ τίνα ἐστίν, ἐν οἷς ἡ ἄγνοια· ἔστι δ' αὐτὰ ἢ τίς ἐστιν ⟨ἢ τί⟩ ἢ περὶ τί ἢ ἐν τίνι ἢ τίνι πράττει ἢ ἕνεκα τίνος καὶ πῶς. σημαίνει δὲ τὸ τίς, τίς ὁ πράττων, ὅπερ οὐκ ἄν τις ἀγνοήσειε μὴ μαινόμενος· οὐδεὶς γὰρ ἂν ἑαυτὸν ἀγνοήσειε πράττων μὴ μαινόμενος. τὸ δὲ τί ἐστι τὸ πραττόμενον, ὅπερ ἐκπεπτωκέναι ⟨λέγουσιν⟩ αὐτούς, ὡς ὁ Αἰσχύλος τὰ μυστικά· ἔλεγε μὲν γὰρ οὐχ ὡς μυστικά, ἔλαθε δὲ εἰπὼν μυστικά· καὶ δεῖξαί τις βουλόμενος τὸν καταπέλτην τῷ φίλῳ καὶ τοῦτο πρᾶξαι βουλόμενος ἀφεὶς ἐπάταξεν αὐτόν, ἄλλο οὖν πράττων ἄλλο ἔπραξεν· ἠγνόει οὖν ὃ ἔπραξε. τὸ δὲ περὶ τί καὶ ἐν τίνι ἐφ' ἓν ἔοικε φέρειν. διὸ καὶ οὕτως· ἐπεὶ ἓν περὶ τί καὶ ἐν τίνι, οἷον εἰ ἀγνοοίη περὶ τίνα πράττει. εἰ γὰρ τὸν υἱὸν οἰηθεὶς πολέμιον εἶναι ἀποκτείνοι, περὶ ὃν ἡ πρᾶξις ἠγνόησε. δυνατὸν μὲν οὖν ἐστι φάναι,

1 τοιαύτην om. Z 3 ὄντα Z: εἶναι N 4 ὠφέλημα N μέντοι τὸ Z: μέντοι κατὰ τὸ N 7 ἔχῃ] ἔχει ZN 10 δὴ NZ²: δεῖ Z 14 ἐπιμελώμενοι N τοῦ ὡς ἀληθῶς γινώσκειν τὰ N 15 βλαβερώτερον NZ²: βλαβερώτατον Z 16 γὰρ Z: δὲ N 17 πράττει Z: πράττειν N 18 εἴπερ NZ²: ὥσπερ Z 20 αὐτῶ Z²: αὐτῷ ZN 21 ἀναφαινομένους Z: ἀποφερομένους N 22 αὐτοῖς libri 23 τοιαύτην — καὶ τὰ διὰ τὴν (24) om. N 26 αὐτὰ scripsi: αὐτὴ ZN 27 ἢ τί addidi ἢ τινὶ Z: ἢ τίνη N 30 ἐκπεπωκέναι N λέγουσι addidi αὐτούς etiam Arist. vulg. 36 ἀποκτείνῃ N post πρᾶξιν add. ἐστιν N

τὸ ἐν τίνι τόπῳ ἔπραξεν ἀγνοεῖν, οἷον ἐν ἱερῷ· οὐκ ἔοικε δὲ ἐπὶ τοῦτο φέρειν· φανερὸν δ' ἔσται ὀλίγον ὕστερον. τὸ δὲ τίνι. ὅταν ἀγνοῇ τις τὸ ὄργανον· ἀγνοεῖ γὰρ ᾧ ἔπραξε πῶς εἶχεν· ἔβαλε μὲν γάρ τις τὸ δόρυ ἐπὶ τὸν πλησίον ὡς ἐσφαιρωμένον, ἔλαθε δ' αὐτὸν λελογχωμένον· καὶ ἔβαλε μέν τις ὡς κίσσηριν, ἦν δὲ λίθος. τὸ δὲ ἕνεκα τίνος, εἰ ἄλλου μὲν ἕνεκα πράξειεν, ἄλλο δ' ἀποβαίη, ὡς ὁ τὸ φάρμακον δοὺς ἐπὶ σωτηρίᾳ, ἀγνοήσας ὅτι θανάσιμον ἦν· καὶ ἐπὶ σωτηρίᾳ μὲν ἔπαισε τὸν ἐξεστηκότα ἑαυτοῦ ἵνα ἀνανήψῃ· ἔλαθε δ' ἀποκτείνας, οὐκ ἐπὶ τοῦτο παίσας. τὸ δὲ πῶς, εἰ αὐτὸς ᾤετο ἠρέμα παίειν, ἔπαισε δὲ σφοδρῶς ὥσπερ οἱ γυμναζόμενοι. περὶ πάντα δὴ ταῦτα φησὶ τῆς ἀγνοίας οὔσης, ἐν ταῖς καθ' ἕκαστα πράξεσι πάντα μὲν ἑξῆς οὐδεὶς ἂν ἀγνοήσειε, τουτέστιν οὐ συμβήσεταί ποτε ἀγνοῆσαι αὐτὸν καὶ τί πράττει καὶ ἐν τίνι πράττει καὶ πῶς καὶ τἆλλα, ἔτι δὲ ἑαυτόν, εἰ μή που εἴη μαινόμενος, ἓν δέ τι ἀγνοῆσαι αὐτόν, οὐδὲν καινὸν καὶ ὁ τούτων τι ἀγνοήσας, ἄκων δοκεῖ πεποιηκέναι καὶ μάλιστά φησιν ἐν τοῖς κυριωτάτοις· κυριώτατα δ' εἶναι δοκεῖ, ἐν οἷς ἡ πρᾶξις καὶ τὸ οὗ ἕνεκα· ὅτι δὲ τὸ οὗ ἕνεκα κυριώτατόν ἐστιν ἐν τῇ ἀγνοίᾳ δῆλον. κυριώτατον γὰρ ἐν τῷ ἀγνοεῖν ὃ μάλιστα φαίη τις εἶναι δι' ἄγνοιαν· τοῦτο δὲ τὸ οὗ ἕνεκα. ὅταν γὰρ φαίνηταί τις ἄλλου μὲν ἕνεκεν πράξας, οἷον ἀγαθοῦ καὶ ὠφελίμου, τοῖς τοιούτοις ⟨* * *⟩ διὸ καὶ οἱ ἀπολογούμενοι ἐπὶ τοῦτο μάλιστα εἰώθασι καταφεύγειν τὴν προαίρεσιν αὐτῶν ἀξιοῦντες ἐξετάζειν καὶ τίνος ἕνεκα ἔπραξαν, πότερα σῶσαι βουλόμενοι ἢ ἀποκτεῖναι. σχεδὸν γὰρ καὶ τἆλλα πάντα τὰ δι' ἄγνοιαν εἰς τοῦτο ἀνάγεται. καὶ γὰρ ὁ τὸ τί ἔπραξεν ἀγνοήσας εἰς τοῦτο ἀνάγει. οἷον ὅτι ἐξέπεσεν αὐτὸν λέγοντα τίνος ἕνεκεν ἔλεγε· πότερον ἵν' ἐξαγγείλῃ τὰ μυστικὰ ἢ οὔ, ἀλλ' ἄλλο τι λέγων ἔλαθεν ἐξαγγείλας. καὶ ὁ τὸ ὄργανον ἀγνοήσας εἰς τοῦτο ἀνάγει τίνος ἕνεκεν ἔβαλεν, ὅτι ᾤετο ἐσφαιρῶσθαι τὸ δόρυ, ἦν δὲ λελογχωμένον· καὶ ὁ ἠρέμα μὲν οἰόμενος πλήττειν, σφόδρα δὲ πλήττων, τὸ τίνος ἕνεκα ἔπραξε προτεῖναι ἄν, οἷον ὅτι γυμνασίου καὶ ἀκροχειριζόμενος. κυριώτατον οὖν ἐν τοῖς δι' ἄγνοιαν τὸ οὗ ἕνεκα· ἔτι δ' ἐν οἷς ἡ πρᾶξις· τὸ δ' ἐν οἷς ἡ πρᾶξις ταὐτὸν λαμβάνει τῷ περὶ ὃν ἡ πρᾶξις· καὶ διὰ τοῦτο ἔφαμεν τὸ περὶ τί ἢ ἐν τίνι ἐκ παραλλήλου εἰρῆσθαι. κύριον δὲ τοῦτο διὰ τὸ καὶ αὐτὸ μάλιστα ἐμφαίνειν τὴν ἄγνοιαν, οἷον ὅτι πολέμιον οἠθεὶς εἶναι ἀλλ' οὐ φίλον ἀπέκτεινεν.

Εἰπὼν δὲ περὶ τοῦ ἀκουσίου ταῦτα, μέτεισιν ἐπὶ τὸ ἑκούσιον. οὐχ ὥσπερ δὲ δύο εἴδη εἰσὶ τοῦ ἀκουσίου τό τε βίᾳ καὶ τὸ δι' ἄγνοιαν αὐτὸν πεποιηκέναι, ἀλλ' ἵνα ἑκὼν ᾖ εἰργασμένος, τοῦτον καὶ μὴ βιασθέντα καὶ μὴ δι' ἄγνοιαν

2 ὀλίγον NZ²: ὀλείγον Z ἀγνοεῖ Z 3 ἔβαλε Z²: ἔβαλλε ZN 4 ἔβαλλε ZN 6 ἀποβαίνῃ Z: ποβαίνῃ man. 2 ὡς Z: οἷον ὡς N 7 ἀνανίψῃ N 8 ᾤετο scripsi cf. 25: ὡς τὸ NZ 10 ἕκαστα Z: ἕκαστον N πάντα — οὐδὲν καινὸν καὶ (13) om. N 11 ἀγνοῆσαι] σαι add. Z² 12 ἔτι δὲ scripsi: ἔτι τε Z 15 οἷς scripsi ex Arist.: ᾧ ZN ἕνεκεν N 17 τοῦτο δὲ Z²: οὐ τὸ δὲ Z: οὐ τόδε N τὸ om. N 18 ὠφελίμου Z: ὠφελείας N lacunam indicavi 19. 20 προαίρεσιν Z² in albo 22 ἀνάγῃ N 23 ἔλεγε Z: ἔλεγον N 25 τίνος NZ²: om. Z 30 δὲ τοῦτο Z: δὲ καὶ τοῦτο N 35 εἰργασμένος N: ἐργασμένος δὲ Z τοῦτον Z: τοῦτο N

πεποιηκέναι· δι' ὅπερ εἷς λόγος ἐστὶ τοῦ ἑκουσίου, οὗ ἡ ἀρχὴ ἐν αὐτῷ τῷ πράττοντι εἰδότι τὰ καθ' ἕκαστα· ἐν γὰρ τούτῳ τῷ ὁρισμῷ περιείληπται καὶ τὸ μὴ βίᾳ πράττειν καὶ τὸ μὴ δι' ἄγνοιαν τὸν ἑκουσίως πράξαντα. ἐπεὶ δὲ τὰ διὰ θυμὸν ἢ ἐπιθυμίαν πραχθέντα τὴν ἀρχὴν ἔχει ἐν αὐτῷ τῷ πράξαντι καὶ εἰδότι τὰ καθ' ἕκαστα, δοκεῖ δὲ ἀκούσια εἶναι, οὐκ ὀρθῶς φησὶν ὑπολαμβάνειν τοὺς οἰομένους ἀκούσια τὰ διὰ θυμὸν ἢ ἐπιθυμίαν· οὐδὲν γὰρ τῶν ἄλλων ζῴων ἑκουσίως πράξει, οὐδ' οἱ παῖδες· κατὰ γὰρ ἐπιθυμίαν πράττουσι καὶ διὰ θυμόν, οὐ κατὰ λογισμόν. ἀλλὰ μὴν ἑκουσίως πράττουσι καὶ τἆλλα ζῷα καὶ οἱ παῖδες· οὐκ ἄρα ἀκούσια τὰ διὰ θυμὸν ἢ ἐπιθυμίαν. ὅτι δὲ ἑκουσίως οἱ παῖδες καὶ τὰ ἄλλα ζῷα πράττουσι, δῆλον· ἀκουσίως γὰρ δοκεῖ ἔνια ποιεῖν καὶ πάσχειν, οἷον ἐπειδὰν ἄκοντα ἄγηται δεθέντα· εἰ δ' ἀκουσίως τινὰ πάσχει ἢ ποιεῖ τὰ παρὰ τὴν ὁρμὴν αὐτῶν, ὅσα κατὰ τὴν ἐν αὐτοῖς ὁρμὴν καὶ ὄρεξιν ποιεῖ, ἑκουσίως ποιεῖ. ἔτι δὲ ἄτοπον ὅσα μὲν καλὰ πράττομεν δι' ἐπιθυμίαν ἢ θυμὸν ἑκούσια λέγειν, οἷον εἴ τις θυμωθεὶς τύραννον ἀποκτείνειε καὶ ἐλευθερώσειε τὴν πατρίδα, ἢ εἴ τις ἐπιθυμήσειε καλοῦ τινος ἐπιτηδεύματος καὶ μαθήματος· τὰ δ' αἰσχρὰ ὅσα ἂν πράττωμεν δι' ἐπιθυμίαν ἢ θυμὸν ἀκούσια λέγειν, ⟨ἄτοπον δὲ ἀκούσια λέγειν⟩ ὧν δεῖ ὀρέγεσθαι. δεῖ δὲ καὶ ὀργίζεσθαι ἐπί τισι καὶ ἐπιθυμεῖν τινων· ἔτι δέ φησι τὰ μὲν ἀκούσια λυπηρὰ εἶναι. ἀνιᾶται γὰρ πᾶς ὁ ἄκων τι ποιήσας· τὰ δὲ κατ' ἐπιθυμίαν πραττόμενα ἡδέα· οὐκ ἄρα ἀκούσια τὰ κατ' ἐπιθυμίαν πραττόμενα ἡδέα. δύναιτο δ' ἄν τις καὶ ἐπὶ τῶν κατὰ θυμὸν πραττομένων τὸν αὐτὸν λόγον ποιεῖσθαι. δοκεῖ γὰρ καὶ τὰ κατὰ θυμὸν πραττόμενα ἡδέα εἶναι· ὁ γὰρ ἀνύων τὰ κατὰ θυμὸν τὰ πολλὰ ἥδεσθαι εἴωθεν· ἐπεὶ δὲ ἀμφισβητήσιμόν ἐστι τὸ τοιοῦτον, οὐκ ἐπὶ θυμοῦ εἴρηκεν αὐτὸ ὁ Ἀριστοτέλης· ἔτι δὲ τί διαφέρει τὰ διὰ θυμὸν ἢ ἐπιθυμίαν ἁμαρτηθέντα τῶν κατὰ λογισμόν; ἢ διὰ τί τὰ μὲν κατὰ λογισμὸν ἁμαρτηθέντα οὐκ ἐροῦμεν ἀκούσια, τὰ δὲ κατ' ἐπιθυμίαν ἢ θυμὸν ἐροῦμεν ἀκούσια; ὅτι μὲν γὰρ φευκτὰ πάντα δῆλον. ἀλλ' εἰ τὰ κατὰ λογισμὸν ἁμαρτηθέντα ἑκούσια, ὅτι ψυχῆς λογισμὸς μόριόν τι ἀνθρώπου, ὁμοίως ἔχει καὶ ἐπὶ τῶν ἄλλων. καὶ γὰρ τὸ θυμοειδὲς καὶ ἐπιθυμητικὸν μόριά τινα ψυχῆς ἀνθρώπου. ἀνθρώπου οὖν ἁμαρτήματα καὶ τὰ ὑπὸ τοῦ ἀλόγου τῆς ψυχῆς ἁμαρτηθέντα· καὶ ἄτοπον δὴ τὸ τιθέναι αὐτὰ ἀκούσια.

p. 1111b4 Διωρισμένου δὲ τοῦ ἑκουσίου ἕως ἀλλ' εἰ ταὐτόν ἐστι καὶ δόξῃ τινί.

Τῷ περὶ ἑκουσίου καὶ ἀκουσίου λόγῳ ἕπεται ὁ περὶ προαιρέσεως· εἶδος

1 ἑκουσίου (R): ἀκουσίου ZN 6 ἢ ἐπιθυμίαν ZN et Arist. KbOb: ἢ δι' ἐπιθυμίαν Arist. vulg. 9 οὐκ ἄρα — παῖδες om. Z 11 ἄγηται om. N 13 αὐτοῖς Z: αὐτῷ N καὶ om. N 17 πράττομεν N 17. 18 ἄτοπον δὲ ἀκούσια λέγειν addidi ex Aristotele 18 δὲ καὶ om. N ὀργίζεσθαι scripsi ex Aristotele: ὀρέγεσθαι ZN 19 φησι Z² in marg.: οὐχὶ ZN 24 θυμοῦ ex θυμεῖ Z 25 τί NZ²: om. Z 26 λογισμὸν ex λογισμῶν N 27 τὰ δὲ — ἀκούσια om. Z 33 διωρισμένου ZN: διωρισμένων Arist. ἑκουσίου Z: ἑκουσία N 34 δόξῃ τινί scripsi ex Arist. p. 1112a13 cf. p. 70,16: καὶ δόξειεν ἄν τινι ZN 35 ἑκουσίῳ καὶ ἀκουσίῳ ZN λόγῳ corr. ex λέγομεν Z

γάρ τι ἑκουσίου ἡ προαίρεσις. αἵρεσις γάρ τις ἡ ἀρετὴ καὶ ἡ κακία. ἔτι δὲ τὰ ἤθη μᾶλλον κρίνεται ἐκ τῆς προαιρέσεως ἢ τῆς πράξεως. πράξεις μὲν γὰρ ἄν τις τὰ καλὰ καὶ διὰ τύχην καὶ δι' ἄλλο τι οἰκονομούμενος, οἷον ὁ τὴν παρακαταθήκην ἀποδούς, ἵνα ἄλλη αὖθις πιστευθῇ ἢ διὰ δέος, ἵνα μὴ ἐλεγχθεὶς δῷ δίκην. ὁ δὲ κατὰ προαίρεσιν πράξας μεγίστην βάσανον δέδωκε τοῦ ἤθους· ἔστι δὲ ἡ προαίρεσις ἑκούσιον μέν, οὐ ταὐτὸν δὲ τῷ ἑκουσίῳ, ἀλλ' ἐπὶ πλέον καὶ γενικώτερον τὸ ἑκούσιον· τοῦ μὲν γὰρ ἑκουσίου καὶ οἱ παῖδες καὶ τἄλλα ζῷα κοινωνεῖ, προαιρέσεως δ' οὔ· λογικὸν γάρ τι ἡ προαίρεσις καὶ μετὰ λόγου. ἔτι τὰ ἐξαίφνης ἑκούσια, κατὰ προαίρεσιν δ' οὔ. οἷον τὰ διὰ θυμὸν ἄφνω πραχθέντα. τῶν γὰρ μὴ κατὰ προαίρεσιν ποιούντων ἀλλ' ἑκουσίως μόνον τὰ μὲν τῷ μὴ πεφυκέναι οὐ ποιεῖ κατὰ προαίρεσιν, ὥσπερ τὰ ἄλογα ζῷα, τὰ δὲ τῷ πεφυκέναι μέν, μήπω δὲ εἶναι καιρὸν αὐτοῖς τοῦ προαίρεσιν ἔχειν, ὥσπερ τὰ παιδία, τὰ δὲ πέφυκε μὲν καὶ ἔχει καιρὸν προαιρέσει χρῆσθαι, ἀλλὰ τῷ ἄφνω πεποιηκέναι οὐ πράττοι ἂν κατὰ προαίρεσιν, ὡς οἱ διὰ θυμὸν πράττοντες ἄφνω πρὶν βουλεύσασθαι καὶ προελέσθαι· λέγουσι γὰρ ὅτι οὐ κατὰ προαίρεσιν ἔπραξαν, ἀλλὰ κατὰ θυμὸν ἢ κατὰ ἄλλην τινὰ αἰτίαν. ὅτι μὲν δὴ γένος τὸ ἑκούσιον τῆς προαιρέσεως δῆλον· εἰ μὲν γάρ τι προαίρεσις, καὶ ἑκούσιον, εἰ δὲ ἑκούσιον, οὐ πάντως προαίρεσις. μετὰ ταῦτα ζητεῖ τί ἐστι προαίρεσις· ἐπεὶ δὲ οἱ μὲν αὐτὴν λέγουσιν ὄρεξιν, οἱ δὲ δόξαν, δείκνυσιν ὅτι οὐδέτερον τούτων, διελόμενος τὴν ὄρεξιν εἰς τὰ εἴδη αὐτῆς ἐπιθυμίαν θυμὸν βούλησιν. καὶ πρῶτον ὅτι οὔτε ἐπιθυμία οὔτε θυμός· θυμὸς μὲν γὰρ καὶ ἐπιθυμία κοινὸν καὶ τοῖς ἀλόγοις ζῴοις καὶ τοῖς παισί, προαίρεσις δ' οὐ κοινόν.

Ἔτι ἐκ τοῦ ἀκρατοῦς καὶ ἐγκρατοῦς δείκνυσιν· ὁ μὲν γὰρ ἀκρατὴς ἐπιθυμῶν πράττει, προαιρούμενος δ' οὔ· οὐκ ἄρα ταὐτὸν ἐπιθυμία καὶ προαίρεσις. ἄξιον δὲ ζητῆσαι πῶς λαμβάνει τὴν προαίρεσιν ἔν τε τῷ ἀκρατεῖ καὶ τῷ ἐγκρατεῖ. δόξει γὰρ προαίρεσιν λέγειν τὸν ἄνευ ὀρέξεως λογισμόν, ἐπειδὴ ὁ ἐγκρατὴς κατὰ λογισμὸν μὲν ποιεῖ, κατ' ἐπιθυμίαν δ' οὔ· καίτοι λέγεται ἡ προαίρεσις ὄρεξις εἶναι βουλευτική, ὡς ὕστερον διασαφηνισθήσεται. οὐκ ἀγνοητέον οὖν, ὅτι ὁ ἐγκρατὴς κατὰ προαίρεσιν ποιεῖ· καὶ γὰρ λογισάμενος τὸ συμφέρον καὶ τῆς βουλήσεως, ἥτις καὶ αὐτὴ ὄρεξίς ἐστιν, ἀκολουθούσης τῷ λογισμῷ· ὁ δὲ ἀκρατὴς παρὰ ταύτην ποιεῖ. ἀκολουθῶν τῇ ἐπιθυμίᾳ. ἔστι δὲ καὶ ἐπιθυμίας ἐγκρατῆ τινα εὑρεῖν καὶ ἀκρατῆ, τὸν μὲν κατὰ τὴν εἰρημένην προαίρεσιν πράττοντα. τὸν δὲ παρὰ τὴν εἰρημένην· ὥστ' εἶναι

1 τις N: τι Z 2 κρίνεται Z: φαίνεται N ἢ N: παρὸ ἢ Z, deleto παρὸ 3 οἰκοδομούμενος N 4 ἄλλη scripsi: ἄλλην ZN δέος Z: δέου N 5 βάσανον N: βεῖαν Z: πεῖραν Z² 6 δὲ (ante τῷ) om. N 8 οἱ om. N et Arist. λογικὸν — οὔ (10) om. Z, add. in marg. Z² 9 καὶ om. N κατὰ om. Z 13 προαίρεσιν — καιρὸν (14) add. in marg. Z¹ vel Z² 14 πράττοι Z²: πράττει ZN 21 αὐτῆς Z: αὐτοῖς N 24 ἀκρατοῦς καὶ ἐγκρατοῦς Z: ἐγκρατοῦς καὶ ἀκρατοῦς N 27 τὸν Z: τὴν N 28 ἐγκρατὴς Z: ἀκρατὴς N 30 ἐγκρατὴς Z: ἀκρατὴς N 31 βουλήσεως Z: βουλεύσεως N 32 δὲ ἀκρατὴς Z: δ' ἐγκρατὴς N 33 ἐγκρατῆ Z: ἐγκρατοῦς N εὑρεῖν N: ἐρεῖν Z ἀκρατῆ Z: ἀκρατοῦς N

κατὰ τὸν αὐτὸν λόγον τὴν προαίρεσιν ἕτερον οὐ μόνον ἐπιθυμίας ἀλλὰ καὶ θυμοῦ· ὁ δὲ Ἀριστοτέλης ἠρκέσθη δεῖξαι ἐπὶ τοῦ κατὰ τὴν ἐπιθυμίαν ἐγκρατοῦς καὶ ἀκρατοῦς ὅτι ἕτερον ἡ ἐπιθυμία καὶ ἡ προαίρεσις.

Ἔτι φησὶ προαιρέσει μὲν ἡ ἐπιθυμία ἐναντιοῦται, οἷον ἐν τῷ ἐγκρατεῖ, ἐπιθυμία δὲ ἐπιθυμίᾳ οὔ. ἔστι δὲ τοῦτο ἀμφισβητήσιμον· φαίνεται γὰρ πολλάκις καὶ ἐπιθυμία ἐπιθυμίᾳ μάχεσθαι, οἷον ἐπειδάν τις χρήματα ἐπιθυμῇ λαβεῖν παρά τινος, πάλιν δὲ αἰσχύνης οὔσης ἐν τῷ λαμβάνειν δόξης ἐπιθυμῇ· μάχη γὰρ ἐνταῦθα τῶν ἐπιθυμιῶν φανερά ἐστι καὶ ἀντισπᾶται ὁτὲ μὲν ὑπὸ ταύτης, ὁτὲ δὲ ὑπὸ τῆς ἑτέρας. ἢ μήποτε ἐναντία ἐστὶν οὐ τὰ ποτὲ ἀλλὰ τὰ ἀεὶ οὕτως ἔχοντα πρὸς ἄλληλα, ὡς τὸ λευκὸν καὶ τὸ μέλαν καὶ τὸ ἀγαθὸν καὶ τὸ κακόν; ταῦτα γὰρ οὐ ποτὲ μὲν ἐναντία, ποτὲ δὲ οὔ, ἀλλ' ἀεί. οὕτως δὴ ἡ μὲν ἀγαθὴ προαίρεσις πρὸς τὴν μοχθηρὰν ἐπιθυμίαν ἀεί ἐστιν ἐναντία· ἡ δ' ἐπιθυμία τῆς δόξης καὶ ⟨ἡ⟩ τῶν χρημάτων οὐκ ἀεί εἰσιν ἐναντίαι. ὁ γοῦν σοφιστὴς ἀμφοτέρας ἔχει οὕτως ἐναντίας. ταὐτὸν δὲ εὑρεθήσεται καὶ ἐπὶ τῶν ἄλλων ἐπιθυμιῶν. εὐλόγως οὖν λέγεται, τὸ μὴ εἶναι ἐπιθυμίαν ἀεὶ ἐναντίον ἐπιθυμίᾳ. ἐπεὶ οὖν ἡ μὲν ἐπιθυμία ἐπιθυμίᾳ οὐκ ἐναντιοῦται, ἡ δὲ προαίρεσις τῇ ἐπιθυμίᾳ, οὐκ ἔστι ταὐτὸν προαίρεσις καὶ ἐπιθυμία.

Ἔτι ἡ μὲν ἐπιθυμία ἡδέος ἐστὶν ἐπιθυμία καὶ ἐπιλύπου. πᾶν δὲ τὸ ἐνδεές, καθὸ ἐνδεές, ἐπίλυπον· ἡ δὲ ἐπιθυμία ἐνδεές· ἡ δὲ προαίρεσις οὔτε τοῦ ἡδέος ἐστὶ προαίρεσις ἀλλὰ τοῦ ἀγαθοῦ, οὔτε ἐπιλύπου. ἔτι δὲ ἧττον τὸν θυμὸν εἴποι ἄν τις προαίρεσιν εἶναι· ἥκιστα γὰρ δοκεῖ τὰ κατὰ τὸν θυμὸν πράττεσθαι κατὰ προαίρεσιν. οἱ γοῦν κατὰ θυμὸν πράξαντες τοῦτο μάλιστα ἀπολογοῦνται ὅτι οὐ κατὰ προαίρεσιν· τὰ γὰρ κατὰ προαίρεσιν μετὰ βουλεύσεως πράττεται, τὰ δὲ μετὰ θυμοῦ οὐ μετὰ βουλεύσεως.

Ὅτι μὲν οὖν οὔτε ἐπιθυμία οὔτε θυμός ἐστιν ἡ προαίρεσις δῆλον· ὅτι δὲ οὐδὲ βούλησις ἑξῆς δείκνυσι· σύνεγγυς μὲν γάρ τι φαίνεται ἡ βούλησις τῇ προαιρέσει, οὐκ ἔστι δὲ προαίρεσις. σύνεγγυς δὲ φαίνεται, ἐπειδὴ πρῶτον μὲν ἐν τῷ λογικῷ ἐστι μορίῳ τῆς ψυχῆς, ὅπου τὸ κυριώτατον τῆς προαιρέσεως, ἔπειθ', ὅτι μέρος ἐστὶ τῆς προαιρέσεως. ὅταν γὰρ ὁ νοῦς βουλευσάμενος συναινέσῃ καὶ ἕληται, ἡ βούλησις, ὄρεξις οὖσα, συνεξορμᾷ αὐτῷ. καὶ μὴν συνήθως εἰώθαμεν χρῆσθαι τῷ βούλεσθαι τῷ προαιρεῖσθαι ὡς ταὐτὸν σημαίνοντι. ἀντὶ γὰρ τοῦ προαιροῦμαι γεωργεῖν ⟨* * *⟩ καὶ βούλησιν ἔχει ἀγαθήν·

1 κατὰὐτον αὐτὸν N, correctum tamen, ut videtur, in κατὰ τὸν αὐτὸν   3 ἡ (ante ἐπιθυμία) om. N   4 προαίρεσις μὲν τῇ ἐπιθυμίᾳ Z   5 ἐπιθυμία δὲ ἐπιθυμίᾳ Arist. Kb: ἐπιθυμία δὲ ἐπιθῦ Z: ἐπιθυμία δὲ ἐπιθυμίας N: ἐπιθυμίᾳ δὲ ἐπιθυμία Arist. vulg.   7 ἐπιθυμεῖ Z: ἐπιθυμεῖν N   9 μήποτε Z²: μήποτε τά τ' Z: μήποτε τὰ N   13 ἡ (post καὶ) addidi   16 ἀεὶ ἐναντίον ἐπιθυμία Z: ἐπιθυμία ἐναντίον N ἡ (R): εἰ ZN   19 ἐνδεές (post τὸ) NZ²: ἔνδεον Z   20 ἐπιλύπου ex ἐπίλυπος Z: ἐπίλυπος N   21 εἴποι Z: εἴπει corr. in εἴπῃ N   κατὰ τὸν Z in marg.

23 ὅτι οὐ N: οὔτε Z   28 λογικῷ N: λογιστικῷ Z   30 συναινέσει N: συναιν(ε) Z   31 βούλεσθαι scripsi: βουλεύεσθαι ZN   32 post γεωργεῖν lacunam indicavi cf. Felicianum: *cum dicimus, eligo seu propono agrum colere, id est volo et voluntatem sane ille habet bonam idest electionem et propositum*

ἐλελήθει δὲ ὡς ἔοικε καὶ ἡ χρῆσις τῶν ὀνομάτων διὰ τὸ σύνεγγυς ἀλλήλοις εἶναι τὴν βούλησιν καὶ τὴν προαίρεσιν. ὅτι δὲ οὐκ ἔστι ταὐτόν· προαίρεσις μὲν γὰρ οὐδεμία τῶν ἀδυνάτων ἐστίν. οὐδεὶς γὰρ λέγεται προαιρεῖσθαι θνητῶν θεὸς εἶναι, εἰ μὴ παντελῶς ἠλίθιος εἴη. ἡ γὰρ προαίρεσις τῶν δυνατῶν βούλησις, βούλησις δέ ἐστι καὶ τῶν ἀδυνάτων· λέγομεν γὰρ πολλάκις ὅτι βουλοίμην ἂν βασιλεύειν, καὶ ἐβουλόμην ἀθάνατος εἶναι· προαιρεῖσθαι δ' οὐδεὶς ἂν φαίη. διὸ προαίρεσις μὲν οὐδεμία τῶν οὐκ ἐφ' ἡμῖν. προαιρούμεθα γὰρ τὰ ἐφ' ἡμῖν ὄντα· βούλησις δὲ καὶ περὶ τὰ μηδαμῶς ἂν πραχθέντα.

Ἔτι ἡ μὲν βούλησις τοῦ τέλους ἐστίν· βουλόμεθα γὰρ ὑγιαίνειν· ἡ δὲ προαίρεσις τῶν πρὸς τὸ τέλος. ἵνα γὰρ ὑγιαίνωμεν, προαιρούμεθα τόδε πράττειν.

Μετὰ ταῦτα δείκνυται ὅτι οὐδὲ δόξῃ ταὐτόν ἐστι προαίρεσις. ἡ μὲν γὰρ δόξα περὶ πάντα ἐστὶ καὶ τὰ ἀίδια καὶ τὰ ἀδύνατα, οὐ μόνον περὶ τὰ ἐφ' ἡμῖν, οἷον δόξαν ἔχομεν περὶ τῆς διαμέτρου, ὅτι ἀσύμμετρος τῇ πλευρᾷ· αὕτη μὲν αἰδίου δόξα, ἀδυνάτου δέ, ἐπειδάν τις ἔχῃ δόξαν, ὅτι ἄπειρός ἐστιν ὁ κόσμος· ἔχομεν δὲ καὶ περὶ τῶν ἐφ' ἡμῖν, οἷον ὅτι ἀγαθόν ἐστι τὸ γεωργεῖν, ἢ καὶ ὅτι ἴσως γεωργήσει. ἡ προαίρεσις δ' ἐστὶ περὶ μόνων τῶν ἐφ' ἡμῖν. οὔτε δὲ περὶ τῶν αἰδίων οὔτε περὶ τῶν ἀδυνάτων. οὐδένα γάρ φαμεν προαίρεσιν ἔχειν περὶ τοῦ τὴν διάμετρον ἀσύμμετρον εἶναι τῇ πλευρᾷ ἢ περὶ τοῦ ἄπειρον εἶναι τὸν κόσμον.

Ἔτι ἡ μὲν δόξα τῷ ψευδεῖ καὶ τῷ ἀληθεῖ διαιρεῖται· τῆς γὰρ δόξης φαμὲν τὴν μὲν εἶναι ἀληθῆ τὴν δὲ ψευδῆ. ταὐτὸν μὲν οὖν ἴσως τῇ δόξῃ παντάπασιν οὐδεὶς λέγει τὴν προαίρεσιν. τινὶ δὲ δόξῃ ταὐτὸν τάχα ἄν τις ὑπολάβοι, οἷον τῇ περὶ τῶν πρακτῶν. ἀλλ' οὐδὲ ταύτῃ ἐστὶ ταὐτόν· τῷ μὲν γὰρ προαιρεῖσθαι τἀγαθὰ ἢ τὰ κακὰ ποιοί ἐσμεν τὸ ἦθος· οἱ μὲν γὰρ ἀγαθοὶ λέγονται ὅσοι τἀγαθὰ προαιροῦνται, κακοὶ δὲ οἱ τὰ κακὰ προαιρούμενοι· τῷ δὲ δοξάζειν οὐκ ἐσμεν ποιοί. πολλοὶ γὰρ δόξαν ἔχουσιν ὥσπερ ἐλέχθη καὶ περὶ τῶν αἰδίων καὶ περὶ τῶν ἀδυνάτων, καὶ οὐκ εἰσι ποιοί. ἀλλ' οὐδ' ἂν περὶ τῶν πρακτῶν ἔχωσι δόξαν ἤδη ποιοί εἰσι τὸ ἦθος, οἷον ὁ δοξάζων ὅτι καλὸν ἡ δικαιοσύνη οὔπω ἀγαθός ἐστιν· ἐνδέχεται γὰρ αὐτὸν μὴ αἱρεῖσθαι τὴν δικαιοσύνην, ἀλλὰ μετὰ τὸ δοξάσαι ἂν καὶ ἕληται καὶ ἀποκλίνῃ πρὸς αὐτὴν καὶ ἔτι ὀρεχθῇ, τότε δίκαιός ἐστιν. ἔτι ὁ ἀκρατὴς δοξάζει μὲν ὀρθῶς, προαιρεῖται δὲ οὐ καλῶς. πρὸς δὲ τούτοις προαιρούμεθα μὲν λαβεῖν ἢ φυγεῖν, λαβεῖν μὲν τὰ φαινόμενα ἡμῖν ἀγαθά, φυγεῖν δὲ τὰ φαινόμενα ἡμῖν κακά· δοξάζει δὲ οὐδεὶς λαβεῖν ἢ φυγεῖν, ἀλλὰ δοξάζομεν τί ἐστιν ἕκαστον, οἷον τί ἀρετή, τί πλοῦτος, ἢ τίνι συμφέρει ἢ πῶς, οἷον ὅτι τοῖς μελαγχολικοῖς ἡ γλυκεῖα τροφὴ ὠφέλιμος καὶ τὸ ἠρέμα τρέφεσθαι

3 μὲν om. N 4 παντελῶς N: πάντως Z 6 βασιλεύειν Z: βουλεύειν N 10 ἡ (ante μὲν) Z: εἰ N 11 τὸ (R): om. ZN 18 γεωργήσει Z: γεωργήσῃ N δ' ἐστὶ περὶ μόνων Z: δὲ περὶ μόνων ἔστι N 19 ἡμῖν scripsi: ἡμῶν ZN 22 ψευδεῖ ex ψευδῆ N 30 περὶ om. N 32 αἱρεῖσθαι Z: εἱρῆσθαι N 37 τίνει N 38 μελαχολικοῖς N ὠφελειμὸς Z

ἀλλὰ μὴ ἀθρόως, ὧν οὐδὲν προαιρεῖσθαι λεγόμεθα ἀλλὰ δοξάζομεν. ἔτι ἡ μὲν προαίρεσις ἐπαινεῖται τῷ εἶναι οὗ δεῖ, οἷον ἡ τῶν ἀγαθῶν προαίρεσις πραγμάτων, ἡ δὲ δόξα τῷ ἀληθὴς εἶναι ἐπαινεῖται. καὶ προαιρούμεθα μέν, φησίν, ἃ μάλιστα ἴσμεν ἀγαθά, δοξάζομεν δὲ ἃ οὐ πάνυ ἴσμεν. περὶ δὲ τούτου ἀμφισβητήσειεν ἄν τις· οὐ γὰρ πάντες προαιροῦνται ἃ μάλιστα ἴσασιν ἀγαθά, ἀλλ' ἔνιοι ἠπάτηνται· οἱ γοῦν κακοὶ οὐκ ἴσασι κακὰ ἃ προαιροῦνται· ἆρ' οὖν τὸ λεγόμενόν ἐστιν, ὅτι οἱ ἄνθρωποι ἃ οἴονται μάλιστα εἰδέναι ἀγαθὰ ὄντα, ταῦτα προαιροῦνται; δοξάζουσι δὲ ἃ οὐ πάνυ ἴσασι· περὶ πολλῶν γοῦν δόξας ἔχομεν, ὁμολογοῦντες μὴ ἀκριβῶς εἰδέναι καί φαμεν δοξάζειν μέχρι νῦν οὕτως, καὶ ἂν ἄλλως φανῇ μεταθήσειν τὴν δόξαν· ἔτι οὐχ οἱ αὐτοὶ προαιροῦνται ἄριστα καὶ δοξάζουσιν, ἀλλ' ἔνιοι δοξάζουσι μὲν ἄμεινον, αἱροῦνται δὲ τὸ χεῖρον διὰ κακίαν, οἷον δόξαν μὲν ἔχει τις, ὅτι καλὸν ἡ δικαιοσύνη, προαιρεῖται δὲ τὴν ἀδικίαν. ὠφέλιμον αὐτὴν ὑπολαμβάνων καὶ σύμφωνον τῷ τοιούτῳ λογισμῷ ἔχων τὴν ὄρεξιν. οὐ δεῖ δὲ ταράττεσθαι εἰ προγίνεται πάσης προαιρέσεως πάντως δόξα ἢ παρακολουθεῖ· οὐδὲ γὰρ τοῦτο ζητοῦμεν, ἀλλ' εἰ ταὐτόν ἐστι τῇ δόξῃ, ἐπεὶ προγίνεταί γε ἡ δόξα, προγίνεται δὲ οὕτως, τῷ πρώτως τὸν λογισμὸν συγκατατίθεσθαι ὡς αἱρετῷ τινι, μετὰ δὲ ταῦτα τὴν ὄρεξιν παρακολουθεῖν τοῦ αὐτοῦ καὶ οὕτω γίνεσθαι προαίρεσιν· παρακολουθεῖ δὲ οὕτως ἐπεὶ προαιρεῖταί τις ὅτι οὐ πάντως δοξάζει περὶ αὐτοῦ ὡς περὶ ἀγαθοῦ.

p. 1112a13 Τί οὖν ἢ ποῖόν τί ἐστιν ἕως ὀρεγόμεθα κατὰ τὴν βούλησιν.

Ἐπειδὴ ἡ προαίρεσις μήτε θυμός ἐστι μήτε ἐπιθυμία μήτε βούλησις, ἀλλ' οὐδὲ δόξα, τί ἂν εἴη σκεπτέον. τὸ μὲν δὴ γένος αὐτῆς ἔχομεν· ἑκούσιον γὰρ φαίνεται, καὶ εἰ ἔοικε προαίρεσις ἑκούσιον εἶναι προβεβουλευμένον, καὶ οὐκ ἄν τις ἀπὸ σκοποῦ τοῦτον ἀποδώη λόγον τῆς προαιρέσεως· τὰ μὲν γὰρ ἄλογα ζῷα ἑκουσίως ποιεῖ μὴ βουλευσάμενα ἀλλὰ μόνῃ συνακολουθοῦντα τῇ ὀρέξει θυμῷ ἐπιθυμίᾳ· ὁμοίως δὲ καὶ τὰ παιδία· καὶ τῶν τελείων δὲ ἀνδρῶν τινες ἄφνω πολλὰ πράττουσι μὴ βουλευσάμενοι. ὧν οὐδὲν προαιρεῖσθαι λέγονται. ὁ δὲ βουλευσάμενος περί τινος καὶ συγκαταθέμενος ὡς αἱρετῷ συνακολουθούσης καὶ τῆς ὀρέξεως, προαιρεῖσθαι λέγεται αὐτό. διό φησιν εἶναι ἑκούσιον τὸ προβεβουλευμένον, τὴν προαίρεσιν ἐν τῷ προβεβουλεῦσθαι δηλῶν καὶ τὸ πρότερον δεῖν βεβουλεῦσθαι καὶ συμβαίνειν τὸν λογισ-

1 ἀλλὰ δοξάζομεν Z: ὅταν δοξάζωμεν N 2 τῷ N: τὸ N 3 ἀληθὴς scripsi (cum Arist. Mb): ἀληθὲς ZN 6 ἠπάτηνται ex ὑπάτηνται Z ἴσασι N 8 ταῦτα Z: τοιαῦτα N 10 μετάθησίν N 10. 11 οὐχὶ αὐτοὶ N 13 ὑπολαμβάνω ex ὑπολαμβάνον N 14 ταράττεσθαι Z προγίνεται Z: προγί N 18 παρακολουθεῖ N 19 προαίρεσιν Z: προαίρεσιν Z: προαιρέσει N 25 ἔοικε Z[2]: μέντι ZN 26 ἀποσκοποῦ Z: ἄνευ σκοποῦ N ἀποδώη sic ZN 30 τινος Z: τινα N 31 αἱρετῷ ex αἱρετοῦ Z: αἱρετοῦ N 32. 33 προβεβουλεῦσθαι Z: προβεβουλευμένον N

μόν, εἶτ' ἐπακολουθεῖν τὴν ὄρεξιν· τὸ γὰρ πρότερον τινός ἐστι πρότερον καὶ δῆλον ὅτι προβεβούλευται πρὸ τῆς ὀρέξεως· ἅμα δὲ καὶ ἐν τῷ ἑκουσίως συνεμφαίνει τὴν ὄρεξιν· ἀεὶ γὰρ τὸ ἑκούσιον μετὰ τῆς ὀρέξεως. διό φησιν· ἡ γὰρ προαίρεσις μετὰ λόγου καὶ διανοίας, οὐκ ἐκ ψιλῆς τῆς ὀρέξεως, τὸ δὲ ἑκούσιον ἐνίοτε μόνῃ τῇ ὀρέξει γίνεται. δηλοῖ δὲ καὶ τοὔνομα τὸ τῆς προαιρέσεως· δηλοῖ γὰρ τὸ ἄλλο πρὸ ἄλλων αἱρεῖσθαι. ὅταν γάρ τις βουλεύηται, πότερον τόδε ἢ τόδε αἱρετὸν ἢ καὶ περὶ πλειόνων τὴν σκέψιν ποιησάμενος ἐφ' ἕν τι ἀποκλίνῃ, καὶ συναινέσῃ ὡς αἱρετόν, ἔτι δὲ ἔχῃ συνεξορμῶσαν τὴν ὄρεξιν, ἐκεῖνο δοκεῖ πρῶτον τῶν ἄλλων πάντων αἱρεῖσθαι περὶ ὧν ἐβουλεύσατο.

Μετὰ ταῦτα ζητεῖ περὶ τίνων βουλεύονται οἱ ἄνθρωποι καὶ ποῖά τινά ἐστιν τὰ βουλευτά. οὐ γὰρ περὶ πάντων βουλεύονται οὐδὲ πᾶν ὁτιοῦν βουλευτόν. πρῶτον δὲ τίθεται βουλευτὸν εἶναι οὐ περὶ οὗ ἂν βουλεύσαιτο ὁστισοῦν, οἷον ὁ μαινόμενος, ἀλλὰ περὶ οὗ ὁ κατὰ φύσιν ἔχων· βουλεύσαιτο γὰρ ἄν τις μαινόμενος καὶ πῶς ἵνα νοεῖ ποιήσῃ καὶ πῶς εἰς τὸν οὐρανὸν ἀναβῇ. ἀλλ' οὐδὲν τούτων βουλευτόν. ἐπισκεπτέον δὴ τίνα ἐστὶ τὰ βουλευτά. τῶν δὴ πραγμάτων τὰ μέν ἐστιν αἴδια καὶ ἀεὶ ὡσαύτως ἔχοντα, οἷον ὁ κόσμος· ἀγέννητος γὰρ καὶ αἴδιος, καὶ ἡ διάμετρος ἀσύμμετρος τῇ τοῦ τετραγώνου πλευρᾷ. περὶ δὴ τῶν τοιούτων οὐδεὶς βουλεύεται, οὐδὲ πῶς ἂν γένοιτο ἡ διάμετρος σύμμετρος, ἀλλ' εἴπερ ἄρα, ζητεῖ εἰ ἀσύμμετρός ἐστι, βουλεύεται δὲ οὐδαμῶς. ἄλλα δ' ἐστὶν, ἃ οὐκ ἀεὶ μέν ἐστι, γίνεται δὲ ἀεὶ ὡσαύτως, οἷον ἀνατολὴ ἄστρων καὶ δύσις καὶ τροπαί· τούτων γὰρ οὐδὲν μὲν ἀεί ἐστι, γίνεται δὲ ὡσαύτως ἀεί· οὐδὲ περὶ τῶν τοιούτων βουλή ἐστιν. ἐξ ἀνάγκης δ' εἴτε φύσει ἢ διά τινα ἄλλην αἰτίαν τὰ τοιαῦτά φησι γίνεσθαι ὡσαύτως, ἀνάγκην λέγων οὐ τὴν βιαστικήν· οὐδὲν γὰρ τῶν ἐν τῷ οὐρανῷ βίᾳ γίνεται· ἀλλ' ἀνάγκην ὠνόμακε τὴν πρόνοιαν τοῦ ἀεὶ ὡσαύτως κινοῦντος διὰ τὸ πάντῃ πάντως κινεῖν καὶ μηδέποτε ἄλλως ἐνδέχεσθαι. ἀναγκαῖον γὰρ λέγεται τὸ μὴ ἐνδεχόμενον ἄλλως ἔχειν. τῇ τοιαύτῃ γοῦν ἀνάγκῃ αἱ κινήσεις τῶν ἄστρων καὶ αἱ ἀνατολαὶ καὶ δύσεις καὶ τροπαὶ ἢ φύσει ἢ κατὰ φύσιν· κατὰ φύσιν γὰρ κινεῖται τὰ ἐν τῷ οὐρανῷ ἢ καὶ ἀμφοτέροις· τῇ γὰρ φύσει τῶν φερομένων συμφωνοτάτη ἐστὶν ἡ τοῦ κινοῦντος πρόνοια. ἔνια δέ ἐστιν ἃ γίνεται μὲν κατὰ φύσιν, ἀτακτοτέραν δέ, οἷον αὐχμοὶ καὶ ὄμβροι. οὐδὲ περὶ τούτων βουλεύονται ἄνθρωποι. ἄλλα δέ ἐστιν ἃ ὡς ἔτυχε συμβαίνει, οἷον τὰ ἀπὸ τύχης· δῆλον δὴ ὅτι οὐδὲ περὶ τούτων εἰσὶ βουλαί· οὐδεὶς γὰρ βουλεύεται περὶ θησαυροῦ εὑρέσεως. ἀλλ' αἱ βουλαὶ γίνονται περὶ τῶν ἀνθρωπικῶν καὶ οὐ περὶ πάντων. οὐ γὰρ βου-

---

1 καὶ Z^2 in albo: ὥστε N   2 δὲ om. N   ἑκουσίῳ N   3 συμφαίνει N   5 ὀρέξι N   6 πρὸ ex πρὸς Z   8 ἀποκλίνει Z   14 περὶ οὗ Z: corr. ex περὶ ὧν N   15 ἵνα νοεῖ N: ἵν' ἃ νοεῖ Z   16 δὴ Z: δεῖ N   17 ὡς αὔτως ZN   γὰρ ἀγέννητος γὰρ, deleto priore γὰρ N   18 ἀσύμμετρος Z^2: om. ZN   τετραγόνου Z   19 βούλεται Z   γένοιτο Diels: γένηται ZN   22 οὐδὲ Z: ἡ δὲ N   26 κινεῖν ex κοινεῖν N   28 αἱ (ante ἀνατολαὶ) om. N   30 συμφωνοττάτη Z: συμφωνητάτη N   34 εἰσὶ Z: αἱ N   βουλεύεται NZ^2: βούλεται Z

λεύονται Λακεδαιμόνιοι πῶς ἂν Σκύθαι καλῶς πολιτεύσαιντο. ἀλλὰ πάντες ἄνθρωποι βουλευόμεθα πρῶτον περὶ τῶν ἐφ' ἡμῖν· ταῦτα δέ φησι καὶ ἐπίλοιπα. αἰτίαι γάρ εἰσι τῶν ὄντων πάντων καὶ γινομένων ἀνάγκη καὶ φύσις καὶ τύχη· πρὸς δὲ τούτοις καὶ νοῦς καὶ πᾶν τὸ δι' ἀνθρώπου· τοῦτο δέ ἐστιν ἐπιθυμία θυμὸς βούλευσις καὶ ὅλως ἡ ὄρεξις· καὶ γὰρ ταῦτα ἐν ἀνθρώπῳ ὄντα πολλῶν γίνονται αἴτια. ἐπειδὴ οὖν πέφηνεν οὐ γινομένη βούλευσις οὔτε ὧν ἡ φύσις οὔτε ὧν ἡ τύχη, λείπεται τὴν βουλὴν γίνεσθαι ὧν νοῦς ὁ ἀνθρώπινος αἴτιος γίνεται καὶ ὄρεξις ἡ ἀνθρωπίνη· ὧν γὰρ δυνάμεθα αἴτιοι γίνεσθαι περὶ τούτων σκοποῦμεν, διόπερ καὶ τῶν τεχνῶν αἱ μὲν ἀκριβεῖς καὶ αὐτάρκεις· λέγονται δ' ἀκριβεῖς μὲν ὅσαι ἂν δι' ἀναγκαίων ἀναγκαῖον συμπεραίνωνται, αὐτάρκεις δὲ ὧν ἐστιν ὡρισμένα τὰ θεωρήματα καὶ μηδὲν δέονται μήτε βουλεύσεως περὶ αὐτῶν μήτε τύχης· σχεδὸν δὲ αἱ αὐταὶ καὶ ἀκριβεῖς καὶ αὐτάρκεις, οἷον γεωμετρία καὶ ἀριθμητική· τῶν γὰρ τοιούτων καὶ ὥρισται τὰ θεωρήματα· καὶ οὐδεὶς βουλεύεται περὶ τοῦ τριγώνου, εἴτ' ἔχει τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ἢ πῶς ἕξει. περὶ ὧν γὰρ βουλευόμεθα, ἐφ' ἡμῖν καὶ ποιῆσαι καὶ μὴ ποιῆσαι· οὐκ ἔστι δὲ ἐφ' ἡμῖν ποιῆσαι τὰς τοῦ τριγώνου γωνίας μὴ εἶναι δυσὶν ὀρθαῖς ἀλλ' οὐδὲ τύχης οὐδὲν εἰς τοῦτο δεῖ, ἀλλ' ὥρισται τὰ θεωρήματα ἐξ αἰδίου. ἀλλ' οὐδὲ ἡ γραμματικὴ βουλεύεται πῶς γραπτέον. οὐκ ἀκριβεῖς δὲ οὐδὲ αὐτάρκεις τέχναι, ὅσαι μὴ ἔχουσι τὸ ἀναγκαῖον ἀλλὰ τὸ ὡς ἐπὶ τὸ πολὺ καὶ δέονται τύχης, οἷον ἰατρικὴ καὶ χρηματιστική· οὔτε γὰρ ὁ ἰατρὸς ἔχει ὡρισμένον θεώρημα ὡς πάντως ἐκ τοῦ τοιοῦδε ἰασόμενος, ἀλλ' ὅτι ὑπὸ τῆς τοιαύτης διαίτης ὡς ἐπὶ τὸ πολὺ ὠφελοῦνται οἱ τοιοῦτοι, οὔτε ὁ χρηματιστὴς ὅτι πάντως κερδανεῖ, ἀλλ' ὅτι ὡς ἐπὶ τὸ πολύ. δέονται δὲ καὶ τῆς τύχης. καὶ ἐν αὐταῖς δὲ ταύταις ἄλλαι ἄλλων ἀκριβέστεραι καὶ αὐταρκέστεραι· ἧττον γὰρ διηκρίβωται κυβερνητικὴ γυμναστικῆς καὶ τὸ πλεῖστον ἐπὶ τῇ τύχῃ ἐστί.

Μᾶλλον δέ φησι καὶ περὶ τὰς δόξας ἢ τὰς ἐπιστήμας. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἔδειξε βουλεύσεις γινομένας περὶ ὧν εἰσιν αἱ μὴ ἀκριβεῖς μηδὲ αὐτάρκεις τῶν τεχνῶν· μᾶλλον δέ φησι βουλὴν εἶναι, περὶ ὧν δόξας μόνον ἔχομεν ἢ περὶ ὧν τέχνας, οἷον ὁ περὶ ἰατρικῶν δοξάζων μᾶλλον βουλεύεται ἢ ὁ τὴν τέχνην ἔχων διὰ τὸ περὶ τοῦτον ὡρίσθαι μᾶλλόν πως τεχνικὰ θεωρήματα· καὶ ὅλως [ἢ] περὶ τῶν πρακτῶν περὶ ὧν δόξας ἔχομεν μᾶλλον

2 ἄνθρωποι βουλευόμεθα πρῶτον Z: ἔπειτα N 3 ἐπίλοιπα ZN: ἐστιν λοιπά Arist. ὄντων om. Z αἰτίαι ZN et Arist. KbMb: αἴτια Arist. vulg. 5 βούλησις N 6 γίνονται Z: γίνεται N 7 βούλησις Z 10. 11 ἀναγκαῖον ἀναγκαῖον N 14 ὥριστε N 15 γωνίας N: γωνίας ex τριγωνίας Z 17 τοῦ om. N 20 ἔχουσι scripsi: ἔχουσαι ZN 21 ὁ om. N 22 ἰατόμενος Z: ἰώμεθα N 23 διαίτης om. Z 24 κερδανεῖ Z corr. ex κερδαίνει: κερδαίνει N 26 κυβερνιτική N 27 τύχῃ ex τύχει N 28 δόξας ZN et Arist. Nb et corr. Lb: τέχνας Arist. vulg. 30 βουλὴν Z[2]: βουλὴ ZN 31 μόνον om. Z ὁ NZ[2]: om. Z 32 τοῦτον Z[2]: τούτων ZN ὡρεῖσθαι N 33 ad ὅλως in marg. Z[2]: ἴσως οὕτως· καὶ ὅλως ἐπὶ τῶν πρακτῶν περὶ ὧν δόξας ἔχομεν βουλευόμεθα ἢ περὶ ὧν τὰς τέχνας ἡ delevi

βουλευόμεθα ἢ περὶ τῶν ὑπὸ τὰς τέχνας· πλεῖον γὰρ διστάζομεν δοξάζοντες ἢ τὰς τέχνας ἔχοντες· γράφεται δὲ καὶ οὕτως· μᾶλλον δὲ καὶ περὶ τὰς τέχνας ἢ τὰς ἐπιστήμας. ὡς τεχνῶν μὲν λεγομένων τῶν ποιητικῶν, ἐπιστημῶν δὲ τῶν θεωρητικῶν. δῆλον δὲ ὅτι αἱ μὲν θεωρητικαὶ οὐ δέονται βουλεύσεως, αἱ δὲ ποιητικαὶ μᾶλλον· βουλευόμεθα δὴ περὶ τῶν ὡς ἐπὶ τὸ πολύ, ἀδήλων δὲ πῶς ἀποβήσεται. περὶ τῶν γνωρίμων πῶς ἀποβήσεται οὐδεὶς ἔτι βουλεύεται ἀλλὰ περὶ τῶν ἀδιορίστων· διόπερ καὶ συμβούλους παρακαλοῦμεν, ὅταν μεγάλα ᾖ, δηλαδὴ ἀπιστοῦντες αὑτοῖς ὡς οὐχ ἱκανοῖς οὖσιν.

Ἔτι βουλευόμεθα οὐ περὶ τῶν τελῶν, ἀλλὰ τῶν πρὸς τὰ τέλη. θέμενοι γὰρ ἑαυτοῖς τὰ τέλη, πάντες βουλεύονται πῶς ἂν αὐτῶν τύχοιεν, οἷον θέμενος ἑαυτῷ ὁ στρατηγὸς νίκην βουλεύεται πῶς νικήσει, καὶ ὁ ἰατρὸς τὴν ὑγίειαν σκοπεῖ πῶς περιποιήσει, καὶ καθόλου ὁ βουλευόμενος πῶς τεύξεται τοῦ προκειμένου τέλους ζητεῖ. πλειόνων μὲν οὖν φαινομένων τρόπων διὰ τίνος ῥᾷστα καὶ μάλιστα τεύξονται τοῦ τέλους ἐπισκοποῦσιν. οἷον στρατηγὸς νικᾶν βουλόμενος βουλεύεται· προφαίνεται δὴ δυνατὸν νικῆσαι καὶ πεζικῇ καὶ ἱππικῇ καὶ ναυτικῇ χρησάμενος δυνάμει· μετὰ ταῦτα ζητεῖ μετὰ τίνος ῥᾷστα καὶ ἀκινδυνότατα περιέσται καὶ ὃν ἂν εὕρῃ τοιοῦτον τῶν τρόπων ἐκεῖνον προτιμᾷ. ἐὰν δὲ εἷς ᾖ τρόπος, εἴτε προκριθεὶς πάντων, εἴτε καὶ ἐξ ἀρχῆς φανείς, πῶς διὰ τούτου ἔσται τὸ τέλος ζητοῦμεν, οἷον πῶς ἔσται διὰ τοὺς ἱππικοὺς ἡ κατόρθωσις ἡ τοῦ πολέμου, κἀκεῖνο διὰ τίνος, οἷον τὸ ἱππικὸν τίνα τρόπον κτησόμεθα, φέρε ὅτι χρημάτων δεῖ εἰς τοῦτο· τὰ δὲ χρήματα πόθεν ἔσται; οὐκοῦν συνεισφορᾶς γενομένης παρὰ τῶν πολιτῶν. ἐπειδὰν δὲ δόξῃ τοῦτο, ἐντεῦθεν ἄρχονται τῆς πράξεως, ὃ ἐστι μὲν ἔσχατον ἐν τῇ εὑρέσει τῇ κατὰ τὴν σκέψιν, πρῶτον δ' αἴτιον ἐν τῇ πράξει. καὶ ἔοικε τὸ γινόμενον ἀναλύσει διαγράμματος, ἣν ποιοῦνται οἱ γεωμέτραι.

Ζητεῖ μὲν οὖν ὁ βουλόμενος καὶ ἀναλύει τὸν εἰρημένον τρόπον. οὐ μὴν ταὐτὸν ζήτησις καὶ βούλευσις, ἀλλ' ἐπὶ πλέον ἡ ζήτησις· ζητοῦμεν γὰρ καὶ περὶ τῶν μαθηματικῶν, οἷον εἰ ἡ διάμετρος σύμμετρος, καὶ περὶ τῶν αἰδίων, οἷον εἰ ὁ ἥλιος σφαῖρά ἐστι· βουλευόμεθα δὲ περὶ τῶν ἐφ' ἡμῖν, ἃ ὅταν ζητῶμεν ὡς εἴρηται ἀναλύομεν καὶ τὸ ἔσχατον ἐν τῇ ἀναλύσει πρῶτον ἐν τῇ γενέσει τῆς πράξεως ποιούμεθα. βουλευόμενοι δέ, ἂν μὲν ἀδυνάτῳ ἐντύχωσιν, ἀφίστανται, ἂν δὲ δυνατῷ ἐγχειροῦσι πράττειν. ταῦτα δὲ πρόσκειται εἰς τὸ γνωριμώτατα εἶναι, ὅτι περὶ τῶν ἐφ' ἡμῖν βουλευόμεθα·

1 βουλευόμεθα ἢ Z[2]: βουλευομένη Z: βουλευόμενοι N πλεῖον — τέχνας (2) N in marg. δοξάζοντες οἱ ZN: δόξᾳ (sic) ἢ Z[2] 4 βουλεύσεως] βουλ Z, ῆς add. in albo Z[2]: βούλευσιν N 5 αἱ δαὶ N 7 συμβούλους (R): συμβούλου ZN 8 αὑτοῖς] αὐτοῖς ZN 9 post ἀλλὰ exhibet περὶ Arist. τῶν Z[2]: om. ZN 12 ὑγείαν Z βουλευόμενος (R): βουλευσάμενος ZN 14 μάλιστα ZN: κάλλιστα Arist. 15 στρατηγὸς Z: στρατηγεῖ N 16 καὶ ναυτικῇ καὶ ἱππικῇ N 17 εὕροι N 18 τὸν τρόπων N ἐκείνη ex ἐκείνων N ᾖ om. N 19 καὶ om. Z 22 παρὰ Z: περὶ N 23 δὲ om. Z 27 οὖν om. Z 30 εἰ om. N βουλόμεθα N δὲ om. Z 32 ἀδυνάτοις N 33 δυνατοῖς N

ἂν γὰρ ἀδύνατα ἡμῖν φαίνηται, οὐκέτι οὔτε βουλευόμεθα οὔτε ἐγχειροῦμεν αὐτοῖς. δυνατὰ δ' ἐστὶν ἃ δι' ἡμῶν γένοιτ' ἄν· συμπεριειληφέναι δέ φησιν ἐν τῷ δι' ἡμῶν καὶ τὰ διὰ τῶν φίλων. ὅτι δὲ ὃ δυνατόν, δι' ἡμῶν, φανερόν· ἡ γὰρ ἀρχὴ ἐν ἡμῖν, τουτέστιν ἡ ἀρχὴ τοῦ πράττειν ἡμᾶς. λαμβάνει γὰρ νῦν ἀρχὴν τὴν κινοῦσαν· τῶν δὲ ἐφ' ἡμῖν ἐν ἡμῖν ἡ κινητικὴ ἀρχή. ζητοῦμεν δὲ βουλευόμενοι ὁτὲ μὲν ὄργανα, ὁτὲ δὲ τὴν χρῆσιν αὐτῶν, οἷον ὁτὲ μὲν ὁ ἰατρὸς ζητεῖ, πῶς ἂν αὐτῷ γένοιτο τὰ ὄργανα τὰ ἰατρικά, ὁτὲ δὲ πῶς αὐτοῖς χρήσεται. ὁμοίως δὲ καὶ ἐν τοῖς πρακτοῖς ὁτὲ μὲν ζητοῦμεν δι' οὗ ἔσται ὀργάνου, οἷον ὁ στρατηγός, πότερα δι' ἱππικῆς ἢ διὰ πεζικῆς δυνάμεως ἢ πῶς ἂν χρήσαιτο τῇ πεζῇ δυνάμει ζητεῖ. ἐκ δὲ τῶν εἰρημένων φανερόν, ὅτι ἄνθρωπος ἀεὶ ἀρχὴ τῶν ἰδίων πράξεων καὶ οὐκ ἐξ ἀνάγκης ὥρισται πάντα οὐδ' εἵμαρται· εἰ γὰρ βουλεύεται καὶ ζητεῖ καὶ αἱρεῖται, δῆλον ὅτι ἐπ' αὐτῷ ἐστιν· εἰ δὲ μή, ἀναιρεῖται πᾶσα βουλὴ καὶ σκέψις ἡ περὶ τῶν πρακτῶν. ἕκαστος οὖν ἄνθρωπος ἀρχὴ καὶ αἴτιος ὧν πράττει· ἐπεὶ δὲ βουλεύεται περὶ τῶν ἑαυτοῦ πράξεων, αἱ δὲ πράξεις ἄλλων ἕνεκεν, ἕνεκα γὰρ τοῦ τέλους καὶ τοῦ ἀγαθοῦ, δῆλον ὡς οὔτε ἐστὶ βουλευτὸν τὸ τέλος ἀλλὰ τὰ πρὸς τὰ τέλη καθόλου· οὐδὲ δὴ περὶ τῶν καθ' ἕκαστα καὶ αἰσθητῶν βουλευόμεθα, οἷον εἰ ἄρτος τοῦτο ἢ ἐπέφθη ὡς δεῖ· περὶ γὰρ ὧν τὴν αἴσθησιν ἔχομεν ἐναργῆ, οὐ βουλευόμεθα εἰ τοιαῦτά ἐστιν, ἀλλ' ἀρχὴν ἔχομεν τὴν αἴσθησιν· εἰ δὲ βουλευόμεθα περὶ τῶν τοιούτων, εἰς ἄπειρον ἥξομεν. ἂν γὰρ μὴ ὦσί τινες ἀρχαὶ πισταὶ καὶ ἐναργεῖς, ἀνάγκη ἄλλο δι' ἄλλου πιστοῦσθαι, καὶ τοῦτ' ἐπ' ἄπειρον. εἴρηται δὲ τοῦτο καὶ ἐν τοῖς Ἀναλυτικοῖς. τὸ δὲ βουλευτὸν καὶ τὸ προαιρετὸν ἁπλῶς μὲν οὖν οὐκ ἔστι ταὐτόν· γενικώτερον γάρ τί ἐστι τὸ βουλευτόν, οὐ μὴν ἀνάπαλιν. περὶ πολλῶν γοῦν βουλευόμενοι οὐχ αἱρούμεθα πάντα, ἀλλ' ἕν τι αὐτῶν βουλευτὸν προαιρετὸν ὂν ἐκ τῆς βουλῆς προεκρίθη· διό φησι τὸ προαιρετὸν ἀφωρισμένον ἤδη εἶναι. μέχρι μὲν γὰρ βουλευόμεθα περί τινος ἀοριστοῦμεν περὶ αὐτοῦ, ὅταν δὲ προελώμεθα, ὁρίζομεν ὅτι πρακτέον ἐστί καὶ παυόμεθα τῆς βουλῆς. παύεται γάρ φησιν ἕκαστος ζητῶν πῶς πράξει, ὅταν εἰς αὑτὸν ἀναγάγῃ τὴν ἀρχήν, τουτέστιν ὅταν εὕρῃ ἑαυτὸν δυνάμενον αἴτιον γενέσθαι καὶ ἐπ' αὐτῷ ὂν πρᾶξαι καὶ ἀναγάγῃ οὐ μόνον εἰς αὑτόν, ἀλλ' αὐτοῦ εἰς τὸ ἡγούμενον, τουτέστιν εἰς τὸν νοῦν. ὅταν γὰρ νοήσῃ ὅτι πρακτέον, ὅπερ ὁ νοῦς ἐβουλεύσατο καὶ εἵλετο, παύεται τῆς σκέψεως συνεξορμώσης τῷ λογισμῷ καὶ τῆς ὀρέξεως. τούτου δὲ παράδειγμά φησιν εἶναι τὰς ἀρχαίας πολιτείας ἃς Ὅμηρος ἐμιμεῖτο· πεποίηνται γὰρ αὐτῷ οἱ βασιλεῖς

1 ἂν — βουλευόμεθα NZ²: om. Z φαίνεται N οὔτε (prius) scripsi: οὐδὲ ZN 3 τῷ Z: τοῖς N ὃ om. ZN: add. Z² 4 ἡμᾶς Z ex ἡμῖν: ἡμῖν N 9. 10 διὰ πεζικῆς ἢ ἱππικῆς N 10 ἢ πῶς Z: ὅπως N χρήσαιτο ex χρήσετο N 15 βούλεται N 16 ἕνεκεν Z: ἕνεκα N οὔτε] an οὐκ scribendum? 18 οἷον — βουλευόμεθα (19) om. N ἢ ἐπέφθη Arist.: εἰ ἐπέφθη Z 21 ἕξομεν N ἄλλο Z: ἄλλη N 23 Ἀναλυτικοῖς] post. B 3 p. 90b26 οὖν delet Z 30 αὑτὸν] αὐτὸν ZN 31 αὐτῷ Z: αὐτῶν N 32 νοήσῃ (Voss.): ὅσῃ ἢ ZN; εὕρῃ Z² in marg. 33 τῆς Z: εἶναι N 33. 34 συνεξορμῶσις N

ἃ προείλοντο ἀπαγγέλλοντες τῷ δήμῳ. εἰκάζει δὲ ὡς ἔοικεν ὁ Ἀριστοτέλης τοὺς μὲν βασιλεῖς τῷ λογιστικῷ τῆς ψυχῆς καὶ βουλευτικῷ, τὸν δὲ δῆμον τῇ ὀρέξει· ἐπειδὰν οὖν οἷον βουλευσάμενος ὁ βασιλεὺς νοῦς καὶ συγκαταθέμενος ἀνακοινώσηται οἷον δήμῳ τῇ ὀρέξει, ἡ δ' ἐπιψηφίσηται καὶ συνεξορμήσῃ, προαίρεσις τὸ τοιοῦτον.

Ἐπειδὴ οὖν ἐστι τὸ προαιρετὸν βουλευτὸν καὶ ὀρεκτὸν τῶν ἐφ' ἡμῖν ὄντων, καὶ ἡ προαίρεσις ἂν εἴη βουλευτικὴ ὄρεξις τῶν ἐφ' ἡμῖν. δηλοῖ δὲ πῶς λαμβάνει τὸν λόγον τοῦτον τῆς προαιρέσεως· οὐ γὰρ ὡς ἀκριβῆ ὁρισμόν· οὐ γάρ ἐστι γένος τῆς προαιρέσεως ἡ βούλευσις οὐδ' ἡ ὄρεξις, ἀλλὰ τὸ ἐξ ἀμφοῖν ὥσπερ σύνθετον· διό φησιν ἐκ τοῦ βουλεύσασθαι γὰρ κρίναντες ὀρεγόμεθα κατὰ τὴν βούλησιν· γράφεται δὲ καὶ βούλευσιν, ὡς ἂν ἀρχούσης μὲν τῆς βουλεύσεως, ἑπομένης δὲ τῆς ὀρέξεως, ἐκ δὲ τούτου γενομένης τῆς προαιρέσεως. ἔοικε δὴ τῷ τοιούτῳ λόγῳ ζῷόν ἐστι σῶμα ἔμψυχον· καὶ γὰρ ἐκεῖ οὐκ ἔστι τὸ σῶμα γένος τοῦ ζῴου, ἀλλὰ τὸ λεγόμενον τοιοῦτόν ἐστιν, ὅτι τὸ ζῷόν ἐστιν, ὃ ἐκ σώματος καὶ ψυχῆς συνέστηκεν.

Ἡ μὲν οὖν προαίρεσις τύπῳ εἴρηται· οὐ γὰρ ἀκριβής ἐστιν ὁ ὁρισμός, ὡς ἐδείχθη, ἀλλ' ὑπογραφῇ ἔοικε μᾶλλον· εἴρηται δὲ καὶ περὶ ποῖά ἐστιν, ὅτι περὶ τὰ πρακτά, καὶ ὅτι τῶν πρὸς τὰ τέλη εἰσὶν αἱ προαιρέσεις ἀλλ' οὐχὶ τῶν τελῶν. ἡ δὲ βούλησις ὅτι μέν ἐστι τοῦ τέλους εἴρηται. ἐπεὶ δ' οἱ μὲν τοῦ ἀληθῶς ἀγαθοῦ ἐφίενται, οἱ δὲ τοῦ φαινομένου ἀγαθοῦ, δοκεῖ [δὲ] ἡ βούλησις ἐνίοις μὲν τοῦ ἀγαθοῦ εἶναι ἁπλῶς, ἐνίοις δὲ τοῦ φαινομένου ἀγαθοῦ. συμβαίνει δὲ τοῖς μὲν βουλητὸν λέγουσι τὸ ἀγαθὸν μὴ φύσει εἶναι βουλητόν, ὃ βούλεται καὶ ὁ φαῦλος, τοῖς δὲ τὸ φαινόμενον ἀγαθὸν βουλητὸν λέγουσι, μὴ εἶναι φύσει τι βουλητόν. εἰ δὲ τοῦτο μὴ ἀρέσκει τὸ μὴ εἶναι φύσει τι βουλητόν, ἆρα φατέον ἁπλῶς μὲν εἶναι βουλητὸν τὸ ἀγαθόν, ἑκάστῳ δὲ τὸ φαινόμενον ἀγαθόν; διὰ τί δὲ οὐκ ἀρέσκει; ἴσως γὰρ εἴποι τις μηδὲ εἶναι φύσει τι βουλητόν, ἀλλ' ἀγαθὸν μὲν εἶναι τὸ φύσει· βουλητὸν δὲ ὃ ἕκαστος βούλεται, ὥσπερ αὐτὸς λέγει· καθάπερ καὶ ὑγιεινὸν τὸ μέν ἐστι ὃ τῷ κατὰ φύσιν διακειμένῳ ἁρμόττει, οἷον σιτία καὶ ποτὰ ὑγιεινά φαμεν τὰ οἰκεῖα τοῖς κατὰ φύσιν διακειμένοις σώμασι· τὸ δὲ ὑγιεινὸν οὐκ ἔστι ἁπλῶς, ὃ ἁρμόττει τοῖς νοσοῦσιν· ὁμοίως δὲ καὶ πικρὰ καὶ γλυκέα καὶ θερμὰ καὶ βαρέα τὰ μέν ἐστιν ἁπλῶς καὶ ἃ τοῖς κατὰ φύσιν διακειμένοις φαίνεται τοιαῦτα, τὰ δὲ οὐχ ἁπλῶς ἃ τοῖς νοσοῦσιν, οὕτω καὶ βουλη-

1 προείλοντο Arist. KbMb: προείλαντο N: προέλοιντο Z (ἕλοιντο suppl. Z2) et Arist. vulg. 4 ἀνακοινώσειται N ἐπιψηφίσῃ N 8 λαμβάνει NZ2: om. Z τοῦτον om. Z 11 βούλευσιν corr. ex βούλεσιν Z: βούλευσιν N et Arist. vulg.: βούλησιν Arist. Mb 13 δὴ Z: δεῖ N 16 lemma interiit ἡ μὲν Arist.: εἰ μὲν ZN τύπῳ Z: τύπος N ἀκριβεῖς N ὁ om. Z 17 εἴρεται N 20 ἀληθοῦς corr. ut vid., ex ἀληθῆς Z 20 δὲ (post δοκεῖ) seclusi 21 δὲ Z: δὴ N 23. 24 ἀγαθὸν βουλητὸν ZN et Arist. KbLbMbOb: ἀγαθὸν τὸ βουλητὸν Arist. vulg. 24 βουλητὸν ex βούλησιν corr. Z: βούλησιν N τοῦτο Z: ταῦτα N 25 βουλητόν (prius) ex βούλησιν Z: βούλησιν N 25. 26 τὸν ἀγαθὸν N 30 τοῖς Z: τῆς N σώμασι ex σώματα Z 31 ἁπλῶς ὃ scripsi: ἁπλῶς δὲ ὃ Z 31 ὃ — ἁπλῶς (32) om. N πικρὰ ex πυκρὰ Z 33 φαίνεται N: φαίνεται Z, νον Z2 33. p. 76,1 βουλητὸν οὕτως ἁπλῶς N

τὸν ἁπλῶς μέν ἐστιν, ὃ βουληθείη ἂν ὁ σπουδαῖος· τοῦτο δέ ἐστι τὸ ἀγαθόν· ἑκάστῳ δὲ τὸ φαινόμενον ὃ οὐκ ἔστιν ἁπλῶς βουλητόν, ὅταν ὁ φαῦλος βούληται. ἐν παντὶ γὰρ πράγματι ὁ σπουδαῖος κρίνει ἕκαστα ὀρθῶς καὶ κανών ἐστι τῆς ἑκάστου φύσεως· καθ' ἑκάστην γὰρ ἕξιν καὶ ψυχικὴν καὶ σωματικὴν ἴδια φαίνεται καλὰ καὶ ἡδέα, διαφέρει δὲ ἐν ἑκάστοις τὸ δοκοῦν. τῷ μὲν γὰρ σπουδαίῳ τἀληθὲς καταφαίνεται, τῷ δὲ φαύλῳ τὸ τυχόν· ἀπατῶνται δὲ οἱ πολλοί, ὥς φησι, διὰ τὴν ἡδονὴν καὶ τὴν λύπην· τὴν μὲν γὰρ ἡδονὴν ὡς ἀγαθὸν διώκουσι, τὴν δὲ λύπην ὡς κακὸν φεύγουσιν.

Ἐπεὶ δὲ ⟨* * *⟩ προαιρετά ἐστι τὰ [τὸ] πρὸς τὸ τέλος, πᾶσαι γὰρ αἱ περὶ αὐτὰ πράξεις ἄγουσι πρὸς τὴν εὐδαιμονίαν, ἑκούσιοι ἄρα. ἐκ δὲ τούτου φανερόν, ὅτι ἐφ' ἡμῖν ἡ ἀρετή· εἰ δ' ἡ ἀρετὴ ἐφ' ἡμῖν, καὶ ἡ κακία· ἐν οἷς γὰρ ἐφ' ἡμῖν τὸ πράττειν, καὶ τὸ μὴ πράττειν ἐφ' ἡμῖν· εἰ γὰρ τὸ μὴ πράττειν οὐκ ἐφ' ἡμῖν ἀλλὰ κατηναγκασμένον, δῆλον ὡς καὶ τὸ πράττειν κατηνάγκασται· εἰ γὰρ κατηνάγκασται τὸ πράττειν, ⟨οὐδ'⟩ ἐφ' ἡμῖν ἔσται τὸ μὴ πράττειν· δῆλον οὖν ὅτι ἐν οἷς τὸ πράττειν ἐφ' ἡμῖν, καὶ τὸ μὴ πράττειν ἐφ' ἡμῖν· ὥστε εἰ τὸ πράττειν καλὸν ὁτιοῦν ἐφ' ἡμῖν ἐστιν, καὶ τὸ μὴ πράττειν αἰσχρὸν ὂν ἐφ' ἡμῖν. εἰ δὲ ἐφ' ἡμῖν τὰ καλὰ πράττειν καὶ τὰ αἰσχρά, ὁμοίως δὲ καὶ τὸ μὴ πράττειν, τοῦτο δ' ἦν τὸ ἀγαθοῖς καὶ κακοῖς εἶναι, ἐφ' ἡμῖν ἂν εἴη τὸ ἐπιεικέσιν εἶναι καὶ φαύλοις. ἐφ' ἡμῖν οὖν οὐ μόνον ἡ ἀρετὴ ἀλλὰ καὶ ἡ κακία. τὸ δὲ λέγειν φησὶν οὐδεὶς ἑκὼν πονηρὸς οὐδ' ἄκων μακάριος, τὸ μὲν ἀληθὲς ἔοικεν εἶναι, τὸ δὲ ψεῦδος. μακάριος μὲν γὰρ οὐδεὶς ἄκων, πονηρὸς δὲ ἑκών· ἡ γὰρ μοχθηρία ἑκούσιον. δοκεῖ δ' αὐτῷ ἡ εὐδαιμονία ἐνέργεια εἶναι κατ' ἀρετήν· ἔστι δὲ ἡ ἀρετὴ ἑκούσιον αἵ τε κατ' αὐτὴν ἐνέργειαι. εἰ δέ τις ἄλλως οἴεται, ἀμφισβητεῖν αὐτὸν δεῖ πρὸς τὰ λεχθέντα νῦν καὶ οὐχ ὁμολογητέον τὸν ἄνθρωπον ἀρχὴν εἶναι τῶν ἑαυτοῦ πράξεων. δοκεῖ δὲ τὰ μὲν ἄλλα ζῷα ἀρχαὶ εἶναι γενέσεως ἕκαστον τοῖς ἐξ αὐτῶν γινομένοις. πράξεων δ' οὐδαμῶς· οὐδενὶ γὰρ μέτεστιν αὐτῶν πράξεως· ὁ δ' ἄνθρωπος, ὥσπερ τέκνων γεννητὴς καὶ ἀρχὴ τῶν ἐξ αὐτοῦ γεννωμένων, οὕτως καὶ τῶν ἐξ αὐτοῦ πράξεων. ὧν δὲ ἀρχαὶ ἐν ἡμῖν, καὶ αὐτὰ ἐφ' ἡμῖν.

Μετὰ δὲ ταῦτα χρῆται σφόδρα ἐνδόξοις πίστεσι· καὶ γὰρ ἰδίᾳ ἕκαστος καὶ οἱ νομοθέται κολάζουσι τοὺς δρῶντας μοχθηρά. ὥστ' εἶναι τὸν λόγον τοιοῦτον σχεδόν· εἰ ἀκούσιον ἦν τὸ ἀδικεῖν, οὐκ ἂν ἐκόλαζον οἱ νομοθέται τοὺς τὰ κακὰ δρῶντας· κολάζουσι δέ, οὐκ ἄρα ἀκούσιον. εἰπὼν δὲ ὅτι κολάζουσιν οἱ νομοθέται, προσέθηκεν ὅσοι μὴ βίᾳ ἢ δι' ἄγνοιαν, ἧς μὴ αὐτοὶ

2. 3 βούλεται Z 3 ἕκαστα κρίνει Arist. 4 ἑκάστου Z: ἐφ' ἑκάστου N 9 lacunam indicavi προαιρετὰ corr. ex πρὸς αἱρετὰ Z^2 τὸ delevi 9. 10 αἱ περὶ αὐτὰ πράξεις sive Z^1 sive Z^2 in marg.: om. N 10 τὴν om. N 14 κατηναγκασται ex κατηναγκασθαι Z οὐδ' addidi 15 post ἔσται add. καὶ N 19 κακοῖς Arist.: καλοῖς ZN 22 μακάριος ZN et libri Aristotelis: μάκαρ Z^2 et Arist. vulg. 24 ἑκούσιον Arist.: om. ZN 25 αἵ τε] ἥ τε ZN ἄλλως Z: ἄλλος N 26 τὸν Z: τῶν N 27 αὐτῶν NZ^2: αὐτοῖς Z 33 ἐκόλαζων N

αἴτιοι. ἐνίοτε γὰρ τῆς ἀγνοίας αὐτοὶ ἑαυτοῖς αἴτιοι γίνονται, οἱονεὶ μεθυσθέντες. ἔτι τοὺς μὲν κολάζουσι, τοὺς δὲ τιμῶσιν, ἵνα τοῦ μὲν ἀδικεῖν κωλύσωσιν, ἐπὶ δὲ τὸ καλὰ πράττειν προτρέψωσιν. οὐδεὶς δ' οὔτε ἀποτρέπει ἀπὸ τῶν ἀκουσίων οὔτε προτρέπει ἐπὶ τὰ ἀκούσια· οὐ προτρέπουσι γοῦν μὴ θερμαίνεσθαι πυρὸς ὄντος πλησίον ἢ πεινῆν ἐσθίοντα. εἰ οὖν προτρέπουσι καὶ ἀποτρέπουσι, δῆλον ὡς ἐφ' ἡμῖν ἥ τε ἀρετὴ καὶ ἡ κακία. καὶ τοὺς ἀγνοοῦντας περὶ τῶν ἐν τοῖς νόμοις ἃ δεῖ ἐπίστασθαι καὶ μὴ χαλεπά ἐστι κολάζουσιν· ὁμοίως δὲ καὶ ἐν τοῖς ἄλλοις κολάζουσιν, ἃ δι' ἀμέλειαν δοκοῦσιν ἀγνοεῖν. ταῦτα δὲ λέγει, ἐπειδὴ ἔστι τινὰ νόμιμα ἐν ταῖς πόλεσιν, ἃ πάντας δεῖ ἐπίστασθαι, καὶ οὐδενὶ συγγνώμη ἀγνοήσαντι, οἷον τὸν πατέρα μὴ τύπτειν, μὴ ἱεροσυλεῖν, μὴ ἀνδροφονεῖν· τούτων γὰρ ἕκαστον ἀπηγόρευται ὑπὸ τῶν νομοθετῶν καὶ οὐδένα δεῖ ἀγνοεῖν. εἰ δέ τις φαίη ἀγνοῶν ὅτι κωλύεται ὑπὸ τῶν νομοθετῶν πεποιηκέναι, οὐκ ἂν τύχοι συγγνώμης· εἰ δέ τις ἀγνοοίη περὶ ἀγχιστευτικῶν δικαίων κληρονομικῶν συγγενικῶν ἢ περί τινος τοιούτου, συγγνωμονεῖται· τῶν γὰρ περὶ τοὺς νόμους διατριβόντων ἡ τῶν τοιούτων γνῶσις. ὁμοίως καὶ ἐπὶ τοῖς ἄλλοις οὐδεὶς τυγχάνει συγγνώμης οὐδ' ἂν δι' ἀμέλειαν ἀγνοῇ, οἷον ἐὰν μὲν ἐν πολέμῳ βάλλων τις τὸν πολέμιον τύχῃ τοῦ φίλου ἐν τῷ αὐτῷ τόπῳ ὄντος, ἀγνοῶν ὅτι ἐκεῖνος, συγγνωμονεῖται· οὐ γὰρ ἂν προσεδόκησεν· εἰ δὲ παρεστῶτα τὸν φίλον ῥαθύμως τι δρῶν ἔπληξεν, οὐκ ἐξετάσας ἀλλ' ἀμελήσας εἰδέναι, ἤδη κολάζουσι τὸν τοιοῦτον ὡς ἐξὸν αὐτῷ γνῶναι ὃς ἦν παρεστώς, ἠμέλησεν. ἔπειτα καὶ ὁ μὲν γυμναζόμενος τόξῳ ἔνθα μηδένα ᾤετο βαδιεῖσθαι τυχών τινος παρὰ προσδοκίαν, τύχοι ἂν συγγνώμης· ὁ δὲ ἔνθα εἰκὸς ἦν βαδιεῖσθαι πολλοὺς ῥαθύμως βάλλων καὶ ἀποκτείνας τινὰ ἥκιστα ἂν τύχοι συγγνώμης, ὡς ἐπ' αὐτῷ ὂν ἐπιμεληθῆναι καὶ φυλάξασθαι. ταῦτα δὲ πάντα λέγεται διὰ τὸ εἶναί τινων τὴν ἀρχὴν ἐν ἡμῖν, ἐφ' οἷς οὐδεμία συγγνώμη, ὁπότε καὶ τῶν δι' ἄγνοιαν, ἧς αἴτιοί τινες αὐτοὶ ἑαυτοῖς οὐ συγγνωμονοῦνται.

Ἀλλ' ἴσως φαίη ἄν τις περὶ τῶν δι' ἀμέλειαν ἁμαρτανόντων οἵους ἔφαμεν ἢ τοὺς τὰ ἐν τοῖς νόμοις ἀγνοοῦντας διὰ ῥαθυμίαν καὶ διὰ τοῦτο παραβαίνοντας, ἢ τοὺς ὅλως ἀδικοῦντας δι' ἀμέλειαν, ὧν ἠδύναντο εἰδέναι μὴ ἀμελήσαντες· τῶν δὴ τοιούτων ἴσως λέγοι ἄν τις αἰτίαν τὴν φύσιν τῆς ἀμελείας, φύσει γὰρ αὐτοὺς ἀμελεῖς εἶναι καὶ ῥαθύμους· ὁ δ' Ἀριστοτέλης οὔ φησι φύσεως ταῦτα εἶναι ἀλλ' ἐπ' αὐτοῖς ἐκείνοις τὸ τοιούτους γενέσθαι. ζῶντες γὰρ ἀνειμένως καὶ ῥαθύμως εἰς τοιαύτην ἕξιν κατέστησαν ὥστε

1 οἱωνεὶ N 2 τιμῶσιν ex τιμωροῦσιν Z: τιμωροῦσιν N τοὺς μὲν N 3 προτρέπωσιν N 5 ἐσθίοντα Diels: ἔτι θέλοντα ZN 7 περὶ ZN: τι Arist. 10 συγνώμη Z, similiterque peccatum 16. 18. 23. 26. 27 13 τύχοι ex τύχη Z: τύχη N 14 κληρονομιῶν N 15 περὶ scripsi: ἐπὶ NZ 17 οὐδ' Diels: οὔτ' ZN ἀγνοῇ ex ἀγνοεῖ N 18 φιλίου N 21 ὁ Z: εἰ N 22 τυχών τινος — βαδιεῖσθαι (23) bis N παρὰ om. N 23 τύχοι ex τύχη Z 24 post συγγνώμης N ὁ δὲ ἔνθα εἰκὸς ἦν repetit et delet ἧς Z: οἷς N 28 ἀμέλιαν N 30 ὅλως ἀδικοῦντας Z²: ὅλους ἀδικεῖν τινας NZ ἀμέλλειαν Z 31 post ἀμελήσαντες add. δὴ N 34 τοιαύτην NZ²: τὴν αὐτὴν Z

μηδενὸς ἐπιμελεῖσθαι ὧν χρὴ ἐπιμέλειαν ἔχειν. καὶ γὰρ τοῦ ἀδίκους ἢ ἀκολάστους εἶναι οὐ τὴν φύσιν αἰτιατέον, ἀλλ' ἑαυτὸν ἕκαστον· οἱ μὲν γὰρ ἀεὶ κακουργοῦντες γίνονται ἄδικοι ἐκ τῶν ἐνεργειῶν πορισάμενοι τὴν ἕξιν, οἱ δ' ἀεὶ ἐν πότοις καὶ τοῖς τοιούτοις διατρίβοντες ἀκόλαστοι. καὶ γὰρ ἐν ταῖς ἀγωνίαις οἱ περὶ ἕκαστα βουλόμενοι διαφέρειν μελετῶντες διατελοῦσι τὰ τῆς ἀγωνίας ἔργα ὡς ἐκ τῶν ἐνεργειῶν γινομένων τῶν ἕξεων· τὸ δὴ τοῦτ' ἀγνοεῖν παντελῶς ἀναισθήτου. ἄλογον δὲ καὶ τὸ λέγειν τὸν ἀδικοῦντα μὴ βούλεσθαι ἄδικον εἶναι ἢ τὸν ἀκολασταίνοντα ἀκόλαστον. τοῦτο δὲ οὐχ οὕτως λέγει, ὅτι ὁ ἄδικόν τι ποιῶν πάντως ἄδικος, ἢ ὁ ἀκόλαστον ἀκόλαστος· ὑπεναντίον γὰρ αὐτῷ λέγοι ἄν. ἐνδέχεται γὰρ καὶ ἄκοντα καὶ ἀγνοοῦντα ποιῆσαί τι τούτων, ἀλλὰ ἀδικοῦντα λέγει τὸν ἑκουσίως κακουργοῦντα καὶ ἀκολασταίνοντα τὸν ἑκουσίως τοῦτο δρῶντα· ἄλογον δὴ ὡς ἀληθῶς γίνεται τὸν ἑκουσίως ἀδικοῦντα λέγειν μὴ βούλεσθαι ἀδικεῖν ἢ τὸν ἑκουσίως ἀκολασταίνοντα λέγειν μὴ βούλεσθαι ἀκολασταίνειν· ἐπεὶ οὖν οὐδ' ἀγνοῶν, ἀλλ' ἑκὼν καὶ εἰδὼς ἔπραττε ταῦτα ἐξ ὧν πορίζεται τὴν ἕξιν τῆς ἀδικίας καὶ ἔσται ἄδικος, ἑκὼν ἂν εἴη ἄδικος.

Εἴποι δ' ἄν τις, εἰ ἐφ' ἡμῖν τὸ ἀδίκοις εἶναι, ἐφ' ἡμῖν καὶ τὸ παύεσθαι τῆς ἀδικίας, ὁπότε βουλόμεθα· οὐκ ἐφ' ἡμῖν δὲ τὸ παύεσθαι, οὐδ' ἄρα τὸ γίνεσθαι ἀδίκοις. ταῦτα δὲ οὐ συγχωρεῖ ὁ Ἀριστοτέλης, ἀλλ' ἐφ' ἡμῖν μέν φησιν εἶναι τὴν ἀδικίαν· ἑκόντες γὰρ ἐπιτηδεύουσιν τὰ ἄδικα, ἐξ ὧν ἄδικοι γίνονται· οὐ μὴν ὅταν βούλωνται ἄδικοι ὄντες παύσονται. καὶ γὰρ νοσεῖ μέν τις ἑκών, ὅταν ἀπειθῇ τοῖς ἰατροῖς, οὐκ ἀπαλλάττεται δὲ τῆς νόσου, ὅταν βούληται, ἐπειδὰν ἱκανῶς αὐτοῦ κατακρατήσῃ· καὶ ῥίψαι μὲν ἄν τις ἑαυτὸν ἑκὼν ἢ λίθον, οὐκ ἐφέξει δὲ αὑτὸν ἢ τὸν λίθον φερόμενον, ὅταν βούληται. οὐ μόνον δὲ αἱ τῆς ψυχῆς κακίαι ἑκούσιοι ἀλλ' ἐνίοτε καὶ αἱ τοῦ σώματος· τοῖς μὲν γὰρ διὰ φύσιν αἰσχροῖς οὐδεὶς ἐπιτιμᾷ, τοῖς δὲ δι' ἀγυμνασίαν. καὶ εἰ μέν τις ἄκων πηρωθείη τὴν ὄψιν, ἐλεεῖται, ἐὰν δ' ἐξ οἰνοφλυγίας πάθῃ τοῦτο, μισεῖται. εἰ οὖν αἱ ἐν τῷ σώματι κακίαι ὅσαι ἐφ' ἡμῖν ἐπιτιμῶνται, πολὺ μᾶλλον προσήκει τὰς ἐν τῇ ψυχῇ, αἳ πάντως ἐφ' ἡμῖν εἰσιν.

Ἀμφισβητοῦσι δέ τινες λέγοντες μὴ ἐφ' ἡμῖν εἶναι τὴν κακίαν. πάντας γὰρ ἐφίεσθαι τοῦ φαινομένου αὐτοῖς ἀγαθοῦ, τοῦ δὲ φαίνεσθαι τοιοῦτον ἢ τοιοῦτον μὴ εἶναι κύριον ἕκαστον, ἀλλ' ὥσπερ ἡ ὄψις τῷ μὲν ὀξυωπής ἐστι καὶ οἵα καθορᾶν ἀκριβῶς, τῷ δὲ ἀσθενεστέρα καὶ ἧττων διακρίνειν, οὐ δυνατοὶ γὰρ ὁρᾶν τὰ οὕτως φύσει ὄντα, ὄψιν τινὰ ὡς εἰπεῖν ἐν τῇ ψυχῇ ἔχον-

2 ἑαυτὸν Z: αὐτὸν N 3 πορισάμενοι Z² (cf. v. 15): γενόμενοι ZN 6 ὡς om. N 7 ἀναίσθητον N 7. 8 βούλεσθαι corr. ex βουλεύεσθαι Z 10 ὑπεναντία N 11 λέγειν N 11. 12 καὶ ante κακουργοῦντα add. N 14 οὐδ' Diels: οὔτ' ZN 18 τῆς ἀδικίας — παύεσθαι om. Z 19 μὲν om. N 21 βούλωνται ex βούλονται N 25 ἐνίοτε ZN: ἐνίοις Arist. 29 ὅσαι ἐ Z² in albo τὰς Z: τὰ N 29. 30 αἳ πάντως Z² in albo: αἵ τινες πᾶσαι N 33 ὥσπερ Z: εἴπερ N 34 ἧττω N 34. 35 οὐ δυνατοὶ Z: ἀδυνατοῖ N οὐ δυνατοὶ — τούτου (p. 79,1) sententiarum nexus turbatus

τες οἱ μὲν ὁρατικὴν τοῦ ὡς ἀληθῶς ἀγαθοῦ, οἱ δὲ παροράτικὴν τούτου. εἰ οὖν ἀκούσιος ἡ τοιαύτη δύναμις ἡμῖν ἐστι τῆς ψυχῆς καὶ φύσει ὑπάρχει, δῆλον ὡς οὐχ ἁμαρτάνουσιν οἱ μὲν τὸ τῷ ὄντι ἀγαθὸν μὴ ἡγούμενοι ἀγαθόν, οἱ δὲ τὸ κακὸν ὡς ἀγαθὸν ὁρῶντες· τούτῳ ἕπεται τὸ καὶ τὰς πράξεις συγγνώμης εἶναι ἀξίας, κἂν ὅτι μάλιστα φαῦλαι ὦσι. κατὰ γὰρ τὴν ἔφεσιν τοῦ φαινομένου αὐτοῖς ἀγαθοῦ πάντα πράττουσι οἱ ἄνθρωποι. ἔτι δὲ καὶ τὰ ἑξῆς, ὡς τοῖς λέγουσι μὴ κυρίους εἶναι ἡμᾶς τῆς φαντασίας δοκοῦντα προστίθησιν· εἰ γὰρ ἕκαστος ἑαυτῷ τῆς ἕξεώς ἐστιν αἴτιος, λέγει δὲ τῆς κακίας ἢ τῆς ἀρετῆς, ἔσται καὶ τῆς φαντασίας αἴτιος· κατὰ γὰρ τὴν φαντασίαν τοῦ ἀγαθοῦ πάντα πράττουσιν οἱ ἄνθρωποι, ἐξ ὧν καὶ αἱ ἕξεις γίνονται· οὐχὶ δὲ γ' ἐκ τῆς φαντασίας, ἀλλὰ κατὰ τὴν φύσιν ἕκαστος τὴν ἑαυτοῦ τὸ τέλος ὁρᾷ καὶ τὸ ἀγαθόν. συνηγορεῖ δὲ διὰ τῶν ἑξῆς τὸν ἐκείνων λόγον λέγων. λέγει γὰρ ὅτι τότε ἐστὶ δῆλον καὶ ὅτι εὐφυής, ᾧ τοῦτο πέφυκε· καὶ αὕτη δ' ἂν εἴη τελεία εὐφυΐα. πρὸς δὴ τοὺς οὕτω λέγοντας τοσοῦτον ἀπαντᾷ τὸ πρῶτον, ὅτι εἰ καὶ τὰ μάλιστα οὕτως ἔχει, οὐδὲν μᾶλλον ἡ ἀρετὴ τῆς κακίας ἀκούσιον· τὸ γὰρ φαινόμενον τέλος, ὁμοίως καὶ τῷ ἀγαθῷ καὶ τῷ κακῷ φαίνεται ἢ φύσει ἢ ὁπωσδήποτε· καὶ τὰ λοιπὰ πρὸς τοῦτο πράττομεν ὥστε εἰ ἡ ἀρετὴ ἑκούσιος, καὶ ἡ κακία· ἔστι δὲ ἡ κακία ἀκούσιος, καὶ ἡ ἀρετὴ ἄρα. εἴτε δὴ μὴ φύσει τὸ τέλος ἑκάστῳ φαίνεται, ἀλλὰ ψεύδονται οἱ τοῦτο λέγοντες (πρὸς γὰρ τὸ φανῆναι τοιοῦτον ἢ τοιοῦτον τὸ τέλος μεγάλη μοῖρα καὶ παρ' αὐτὸν ἕκαστον ἐξ ἀρχῆς ἢ ἃ δεῖ ἐπιτηδεύοντα ἢ ἃ μὴ δεῖ), εἴτε τὸ μὲν τέλος φύσει φαίνεται ὡς λέγουσι, τὴν δὲ ἀρετὴν τιθέασιν ἑκούσιον, ἐπειδὴ τὰ λοιπά, ὅσα εἰς τὸ τέλος φέρει καὶ τὸ τῷ ὄντι ἀγαθὸν ἑκόντες πράττουσιν οἱ ἐνάρετοι, καθ' ἑκάτερον τούτων εἴη ἂν καὶ ἡ κακία ὁμοίως ἑκούσιον. ταῦτα δὲ εἰπὼν ἤδη τὴν ἑαυτοῦ γνώμην σαφεστέραν ποιεῖ, δεικνὺς ὡς εἰσιν ἑκούσιοι αἱ ἀρεταὶ οὐ μόνον τῷ ἑκόντας ἡμᾶς διὰ τῶν καθ' ἑκάστην ἡμέραν ἐπιτηδευμάτων κτᾶσθαι αὐτήν, ἀλλὰ καὶ τῷ ἐκ τῶν ἐπιτηδευμάτων διορατικούς πως ἡμᾶς γίνεσθαι καὶ τούτου. λέγει γάρ, εἰ οὖν, ὥσπερ λέγεται, ἑκούσιοί εἰσιν αἱ ἀρεταί (καὶ γὰρ τῶν ἕξεων συναίτιοί πως αὐτοί ἐσμεν καὶ τῷ ποιοὶ εἶναι τὸ τέλος τιθέμεθα τοιόνδε), διὰ ταῦτα καὶ αἱ κακίαι ἑκούσιοι ἂν εἶεν. καὶ γὰρ τῶν κακῶν συναίτιοι γινόμεθα ἑαυτοῖς καὶ τῶν ἐπιτηδευμάτων καὶ τῷ ποιοὶ γίνεσθαι τέλος ἑαυτοῖς τιθέμεθα. οὐκ εἶπε δὴ πάντας ἁπλῶς αἰτίους ἑαυτοῖς εἶναι τῶν ἕξεων ἀλλὰ συναιτίους, ἴσως νέμων τι καὶ τῇ φύσει, βραχὺ δὲ καὶ δυνάμενον τυχεῖν

---

3 οὐχ Z supra lineam: om. N   ἀγαθόν (alterum) Z: ἀγαθοὶ N   4 τοῦτο corr. ex τούτω Z: τούτω N   τὸ (ante καὶ) Z: τῶ N   5 κἂν N: καὶ Z   6 δὲ om. N   7 τοῖς ex τῆς Z   8 ἐστιν om. Z: ἐστί πως Arist.   10 καὶ om. N   γίνονται Z: ἐγγίνονται N   11 γ' ἐκ Z²: γε ZN   12 τὸν (corr. ex τῶν) ἐκείνων λόγον Z: τῶν ἐκείνων λόγων N   13 εὐφυεῖς N   16 τῶ ἀγαθῶ ex τὸ ἀγαθὸν N   17 κακῶ Z: καλῶ N   καὶ τὰ Z: τὰ δὲ N   17. 18 πράττομεν ex πραττόμενα Z   21 δεῖ Z: δὴ N   23 τὸ (alterum) om. Z   26 τῶ Z: τοῦ N   28 διοριστικούς N   λέγει γὰρ N: λ . . ει . . . Z   30 καὶ Z²: om. ZN   ποιοὶ ZN: ποιοί τινες Arist.   τιθέμεθα τοιόνδε ZN: τοιόνδε τιθέμεθα Arist.   32 τῷ Z: τὸ N   τέλος scripsi: φαῦλον ZN   33 πάντας Z: πάντως N

ἐπανορθώσεως· ἴσως δὲ καὶ τῇ τύχῃ, τῷ ἐξ ἀρχῆς περιπεσεῖν μοχθηροῖς ἀνθρώποις· ἀλλ' ὅμως ἐν πᾶσι τούτοις τὸ πλεῖστον ἡμέτερόν ἐστι αἱρουμένων ἐπιτηδεύειν τὰ καλὰ ἢ τὰ αἰσχρά.

Κοινῇ μὲν οὖν περὶ τῶν ἀρετῶν εἴρηται, φησί, τὸ γένος ὅτι μεσότητες καὶ ὅτι ἕξεις. ἐπειδὴ δὲ ἀνάγκη. ἂν ὑπὸ δύο γένη ᾖ. ἢ ταὐτὰ ἢ θάτερον τῶν γενῶν ὑπὸ θάτερον εἶναι, ληπτέον ὅτι ἡ μεσότης ὑπὸ τὴν ἕξιν. τῶν ἕξεων δὲ αἱ μὲν μεσότητες, αἱ δ' οὔ. ἔτι εἴρηται, ὡς ὑφ' ὧν γίνονται ἕξεις, τούτων πρακτικαὶ καὶ καθ' αὑτάς. τὸ καθ' αὑτὰς πρόσκειται ἤτοι ἐπειδὴ ἐνδέχεται τὸν ἀνδρεῖον τὰ σωφρονικὰ ποιεῖν, ἀλλ' οὐχ ᾗ ἀνδρεῖος ἀλλ' ᾗ σώφρων (πράξει μὲν γὰρ πάντα τὴν τελείαν ἀρετὴν ἔχων ἀλλὰ καθ' αὑτὴν ἑκάστην τὰ αὑτῆς καὶ ἐξ ὧν ἐγένετο ἐνεργειῶν ἀνδρεῖος καὶ κατὰ τὸν τῆς ἀνδρείας λόγον. κατὰ συμβεβηκὸς μὲν γάρ ποτε ἐνεργήσει ὁ ἀνδρεῖος καὶ τὰ δίκαια, ἀλλ' οὐχ ᾗ ἀνδρεῖος ἀλλ' ᾗ συμβέβηκε τῷ ἀνδρείῳ καὶ δικαίῳ εἶναι· ἀντακολουθοῦσι γὰρ ἔνιαι τῶν ἀρετῶν)· ἢ ὅτι ἐνδέχεται καὶ τὰ μὴ οἰκεῖα τοῖς ἐξ ἀρχῆς ἐπιτηδεύμασι ποιῆσαι λόγου αἱροῦντος, ὡς ὁ σώφρων καθ' αὑτὴν μὲν τὴν σωφροσύνην, αἱροῦντος δὲ λόγου διαφθεῖραι ἂν τοῦ τυράννου τὴν γυναῖκα ἐπὶ σωτηρίᾳ τῆς πόλεως· τοῦτο δὲ ποιήσει κατὰ συμβεβηκός. καθ' αὑτὰ δὲ τὰ σώφρονα. ἔτι οὐχ ὁμοίως φησὶν ἑκουσίους εἶναι τὰς πράξεις καὶ τὰς ἕξεις. τῶν μὲν γὰρ πράξεων ἀπ' ἀρχῆς μέχρι τέλους πράξει καὶ παύσεται ἡνίκα ἂν αὐτῷ δοκῇ, τῶν δὲ ἕξεων τῆς μὲν ἀρχῆς κύριοί ἐσμεν, τῆς δὲ προσθέσεως οὐκέτι κύριοι. λανθάνει δὲ ἡμᾶς κατὰ βραχὺ ἡ πρόσθεσις γινομένη καὶ ἐνίοτε περαίτερόν τινες κακοὶ γίνονται ἢ ἐβούλοντο. πρόεισι μὲν γὰρ ἐνίοτέ τις ἐν μέθαις καὶ ἀκολασίαις, ὡς ἐν αὐτῷ ὂν μὴ κτήσασθαι τὴν ἕξιν, λανθάνει δὲ κατὰ βραχὺ κτώμενος τὴν ἕξιν ὥσπερ καὶ ἐπὶ τῶν ἀρρωστιῶν· ποιεῖ γάρ τις τὰ μὴ συμφέροντα οὐκ εἰδὼς ὅσον ἐπιδώσει τὸ ἀρρώστημα· κατὰ βραχὺ δὲ αὔξεται ἐφ' ὅσον οὐκ ἂν ἐβούλετο. οὕτως οὖν λεγόμεθα κύριοι εἶναι τῶν ἕξεων τῷ τῆς ἀρχῆς εἶναι κύριοι. οὐ μόνον δὲ ἡ κακία ἀλλὰ καὶ ἡ ἀρετὴ ἐκ τῶν ἐπιτηδευμάτων ἀμήχανος ἐν προσθέσει· καὶ λάθοι ἄν τις αὐτὸν ἐπιδιδοὺς πλεῖστον.

Μετὰ δὲ ταῦτα ἀρξάμενος περὶ τῶν ἀρετῶν ἑκάστης λέγει ἀπὸ τῆς ἀνδρείας ποιούμενος τὸν λόγον· ἡ ἀνδρεία λέγεται μεσότης περὶ φόβους καὶ θάρρη, οὐχ ὁμοίως ἔχουσα πρὸς ἑκάτερα τῶν παθῶν, ἀλλὰ τῷ μὲν θαρρεῖν ἐπὶ πλεῖον χρωμένη, τῷ δὲ φόβῳ ὡς ἥκιστα· καὶ μᾶλλον τῷ τὰ πολλὰ ἄφοβος εἶναι γνωρίζεται ὁ ἀνδρεῖος ἢ τῷ φοβεῖσθαι· οὕτως οὖν λέγεται περὶ θάρρη καὶ φόβους τῷ ἀμφοτέροις ὡς δεῖ χρῆσθαι καὶ τῷ μὴ ὁμοίως ἐφ'

5 ταυτὰ Z²: ταυτὸν ZN 6 ληπταίον N ἕξην N 8 πρακτικαὶ καὶ Z et Arist. KbOb: πρακτικαὶ αἱ N: πρακτικαὶ Arist. vulg. πρόκειται N 9 οὐχ ᾗ Z: οὐχὶ N 12 συμβεβηκὼς N 14 ἀντακ sequente spatio 7 fere litterarum N 15 λόγου Z: λόγῳ N 18 φησιν ante et post ἑκουσίους, sed alterum deletum N 18. 19 καὶ τὰς ἕξεις NZ²: om. Z 20 δοκεῖ N 22 περαίτερόν scripsi: *ulterius* Felicianus: παρ' ἑτέρων ZN 25 ὅσον Z: ὅτι N 29 λάθοι ἂν Z: λανθάνε N 30 ἑκάστης NZ²: om. Z 32 ἑκάτερον N μὲν om. Z

ἑκατέρῳ τῶν παθῶν διατρίβειν τὸν ἀνδρεῖον. ἐπειδὴ δὲ φοβούμεθα τὰ φοβερά, ἄξιον γνῶναι τὰ φοβερά, ἵν' ᾖ δῆλον πρὸς οἷον φοβερὸν ἀδεῶς ἔχων ὁ ἀνδρεῖος ἐπαινετός. ἔσται δὲ δῆλα διορισθέντος τοῦ φόβου· ὁρίζονται δὲ τὸν φόβον προσδοκίαν κακοῦ· κακὰ οὖν ἐστιν ἃ φοβούμεθα. περὶ ποῖα οὖν τῶν κακῶν καὶ τὸν τίνων φόβον ὁ ἀνδρεῖος ἀδεὴς καὶ ὁ δειλὸς μᾶλλον καταπίπτει; δῆλον ὅτι οὐ περὶ πάντα· οὔτε γὰρ περὶ ἀδοξίαν ἢ πενίαν ἢ νόσον ἢ ἀφιλίαν ἀδεὴς ὁ ἀνδρεῖος· ἔνια γὰρ δεῖ φοβεῖσθαι τούτων, καὶ αἰσχρὸν τὸ μὴ φοβεῖσθαι ἀδοξίαν. οὐ γὰρ ἀναίσχυντος ὁ ἀνδρεῖος ἀλλ' αἰδήμων καὶ τὸ κατ' αὐτὸν φυλάξεται τὴν ἀδοξίαν· ὁ δ' ἀεὶ καταφρονῶν ἀναίσχυντος λέγεται. εἴποι δ' ἄν τις ἴσως ὅτι καὶ ἀφιλίαν δεῖ φοβεῖσθαι πενίαν δ' οὔ, ἢ ὅλως τὰ ἐφ' ἡμῖν οἷον τὴν κακίαν, ἀλλ' ὅμως τοὺς ἀφόβους περὶ πενίαν οὐ λέγομεν ἀνδρείους. πολλοὶ γὰρ δειλοὶ ὄντες ἐν τοῖς πολεμικοῖς ἄφοβοί εἰσι πρὸς χρημάτων δαπάνην καὶ εὐθαρσῶς ἀναλίσκουσιν. ἀλλ' οὐδὲ εἴ τις φοβεῖται ὕβριν περὶ παῖδας ἢ γυναῖκας ἢ φθόνον [μέλλοντα] δειλὸς λέγεται· οὐδ' εἴ τις θαρρεῖ μέλλων μαστιγοῦσθαι, καθάπερ πολλὰ τῶν ἀνδραπόδων, ἀνδρεῖός ἐστιν. δῆλον οὖν ὅτι περὶ τὰ μέγιστα τῶν κακῶν ἀδεὴς ὁ ἀνδρεῖος· διὰ τοῦτο γὰρ δοκεῖ ὑπομενετικώτατος ⟨* * *⟩ τῶν κακῶν ἅτε πέρας ὢν τοῦ εἶναι· δεδίασι δὲ πάντες τὸ μὴ εἶναι. ἆρ' οὖν ἀνδρεῖός ἐστιν ὁ περὶ ὁντιναοῦν θάνατον ἀδεής, ἢ οὔ; οὐ γὰρ πάνυ τι λέγεται ἀνδρεῖος ὁ ἐν τοῖς κακίστοις ἢ ὁ ἐν τοῖς κατὰ θάλατταν κινδύνοις ἀδεὴς ἢ ἐν νόσῳ, ἀλλ' ὁ ἐν τοῖς καλλίστοις θανάτοις· τοιοῦτοι δέ εἰσιν οἱ ἐν πολέμῳ ὑπὲρ πατρίδος καὶ ὑπὲρ τῶν φιλτάτων. πάσῃ γὰρ ἀρετῇ τέλος τὸ καλόν· ὥστε καὶ ὁ ἀνδρεῖος τὸν ὑπὲρ τοῦ καλοῦ θάνατον αἱρεῖται καὶ πρὸς τοῦτόν ἐστιν ἀδεής· κυρίως δὴ ἀνδρεῖος ὁ περὶ τὸν καλὸν θάνατον ἀδεής· καὶ ὅσα θάνατόν φησιν ἐπιφέρει ὑπόγυα ὄντα· ὁ μὲν γὰρ ἀφόβως ἔχων πρὸς θάνατον ἐκ πολλοῦ προσδοκώμενον οὐδὲν ἴσως πράττει μέγα· ἐκλύεται γὰρ πρὸς τὸ δέος τῷ χρόνῳ· ὁ δὲ πρὸς τὸν ἐξ ὑπογύου θάνατον ἀδεῶς ἔχων τοῦ καλοῦ χάριν, ἐφ' ἕξεως ἔχει τὴν ἀφοβίαν. προηγουμένως μὲν οὖν ὁ ἀνδρεῖος πρὸς τὸν καλὸν θάνατον ἀδεῶς ἔχει· ἕπεται δὲ αὐτῷ τὸ καὶ ἐν θαλάττῃ καὶ νόσοις ἀδεεῖ εἶναι διὰ τὴν τῆς ψυχῆς παρασκευήν· οὐ μὴν κατὰ ταῦτα λέγεται ἀνδρεῖος ὁ ἐν θαλάττῃ ἀδεής. οὐ γὰρ κατὰ τὴν αὐτὴν αἰτίαν ἄφοβός ἐστι δι' ἣν οἱ θαλάττιοι. οἱ μὲν γὰρ ἀνδρεῖοι ἀπεγνωκότες τὴν σωτηρίαν, ἐνίοτε καὶ τὸν θάνατον δυσχεραίνοντες τὸν τοιοῦτον (οὐ γὰρ ἂν βούλοιντο μάτην ἀποθνήσκειν ἀλλά τι καλὸν πράξαντες) ὅμως φέρουσιν οὐκ ἀγεννῶς· οἱ δὲ θαλάττιοι οὐ φοβοῦνται διὰ τὴν ἐμπειρίαν εὐέλπιδες ὄντες. εἶτα πάλιν λέγει περὶ τῶν ἀνδρείων τῶν ἐν θαλάττῃ φερόντων μετρίως τὸν κίνδυνον ὅτι εἰώθασιν ἀνδρίζεσθαι ὅπου ἀλκή, τουτέστι γενναία πρᾶξις, ἢ καλὸν τὸ ἀποθανεῖν· ἐν δὲ ταῖς κατὰ θάλατταν φθοραῖς οὔτε ἀλκὴ οὔτε καλὸς ὁ

1 τὸν ex τῶν N   3 διορισθέντα N   5 δειλὸς in ras. N   7 γὰρ καὶ δεῖ Arist. 10 δ' οὐ Z: δὲ N   14 περὶ Z: παρὰ N   παῖδας καὶ γυναῖκα Arist.   μέλλοντα delevi   15 θαρρεῖ corr. ex βαρρεῖ Z   μαστηγοῦσθαι N   17 lacunam indicavi; intercidisse videntur fere τῶν δεινῶν· φοβερώτατον δὲ ὁ θάνατος   18 πέρα ZN 22 καὶ om. Z   23 καλοῦ Z: κακοῦ N   26 προσδοκωμένως N   29 τὸ καλὸν N

θάνατος, καὶ ὅμως φέρουσι μετρίως διὰ τὴν τῆς ψυχῆς ὡς ἔφαμεν παρασκευήν.

Τὸ δὲ φοβερὸν οὐ πᾶσιν εἶναί φησι τὸ αὐτό. δῆλον γὰρ ὡς οὐ τὸ αὐτὸ φοβερὸν τῷ ἀνδρείῳ καὶ τῷ θρασεῖ, ἀλλ' ὡς ἂν τύχῃ ἕκαστος ἔχων διαθέσεως, οὕτως καὶ φοβεῖται. τάχα δὲ καὶ ἄλλως ἔστι λαβεῖν τὸ ἄλλῳ ἄλλο εἶναι φοβερόν· τῷ μὲν γὰρ ἀδοξία φοβερόν, τῷ δὲ θάνατος, τῷ δὲ πενία, ἄλλῳ δὲ ἄλλο. ἔστι δὲ καὶ ὑπὲρ ἄνθρωπον, ἔφη, τὶ φοβερόν, οἷον σεισμῶν ὑπερβολαί, κεραυνῶν πτώσεις καὶ εἴ τινα τοιαῦτα· τὸ μὲν οὖν τοιοῦτον φοβερὸν παντὶ τῷ νοῦν ἔχοντι, ὥστε καὶ τῷ ἀνδρείῳ. τὰ οὖν ἀνθρώπινα φοβερὰ διαφέρειν φησὶ μεγέθει καὶ τῷ μᾶλλον καὶ τῷ ἧττον· ἔνια μὲν γὰρ σφόδρα φοβερά ἐστιν, ἔνια δὲ ἧττον, οἷον μεγάλη μὲν δύναμις πολεμίων καὶ ἄριστα παρεσκευασμένη μέγαν δύναται παρασχεῖν φόβον, ἡ δ' ἐλάττων κατὰ μέγεθος καὶ παρασκευὴν ἧττον' ἂν παράσχοι φόβον. ὁμοίως δὲ καὶ ποτὲ μὲν ἔστι σφόδρα θαρρεῖν, ὅταν φανερὸν ᾖ ὅτι κρείττους ἐσμέν, ποτὲ δὲ ἧττον· ἀλλ' ὅμως ὁ ἀνδρεῖος ἀνέκπληκτος. ἀνέκπληκτος δ' ὡς ἄνθρωπος. φοβηθήσεται μὲν γὰρ ἐπὶ βραχὺ καὶ τὰ μεγέθει ὑπερβάλλοντα τῶν ἀνθρωπίνων· ἀλλ' ὅμως ὑπομενεῖ αὐτὰ τοῦ καλοῦ ἕνεκα, καὶ θαρρήσει δὲ ὡς δεῖ καὶ ὅτε δεῖ. ἔστι δὲ τὰ φοβερὰ καὶ μᾶλλον φοβεῖσθαι καὶ ἧττον· καὶ γὰρ τῶν μὴ ἀνδρείων μηδὲ δειλῶν ἀλλὰ μέσων ἄλλος ἄλλου ταὐτὰ ἢ μᾶλλον ἢ ἧττον φοβεῖται. ἔστι δὲ καὶ τὰ μὴ φοβερὰ φοβεῖσθαι ὡς φοβερά, ὅπερ πάσχει ὁ δειλός. οὐχ ὥσπερ δὲ ἡ ἀρετὴ διορίζεται τούτοις τοῖς ἀριθμοῖς οἷς ἀεὶ διορίζομεν τὸ ὧν δεῖ πρακτικὴν εἶναι καὶ πρὸς οὓς δεῖ καὶ ὅτε δεῖ καὶ ἐφ' ὅσον δεῖ καὶ ὡς δεῖ καὶ οὗ ἕνεκα δεῖ, οὕτως καὶ ἡ κακία· ἀλλὰ κἂν ἕν τι τούτων παραβαίνῃ, κατὰ κακίαν ἤδη ἐστὶ τὸ γινόμενον· διό φησι γίνεσθαι τῶν ἁμαρτιῶν τῶν κατὰ τὴν δειλίαν τὴν μὲν ὅτι οὐ δεῖ, τὴν δὲ ὅτι οὐχ ὡς δεῖ· ἔστι δὲ τοῦ ὅτε παραβατικὴν εἶναι ἢ τινος ἄλλου τῶν τοιούτων· ὁμοίως δὲ καὶ περὶ τὰ θαρραλέα οἱ θαρσεῖς εἰσιν ἀπαντητικοὶ ἢ ὅτε οὐ δεῖ θρασυνόμενοι ἢ πρὸς οὓς ⟨οὐ⟩ δεῖ ἢ κατά τινα ἄλλον τῶν εἰρημένων διορισμῶν. ὁ μὲν οὖν ἅπαντας φυλάττων τοὺς εἰρημένους διορισμοὺς ἀνδρεῖος, μάλιστα δὲ τὸ οὗ ἕνεκα· πάσης γὰρ ἐνεργείας τέλος τὸ κατὰ τὴν ἕξιν, οἷον τῆς ἐν τῷ οἰκοδομεῖν ἐνεργείας τέλος τὸ κατὰ τὴν οἰκοδομικήν. οὕτως δὴ καὶ τῶν κατὰ τὴν ἀνδρείαν πράξεων τέλος τὸ κατὰ τὴν ἀνδρείαν· τέλος δὲ τῆς ἀνδρείας τὸ καλόν, ὥστε καὶ ταῖς κατὰ ταύτην πράξεσιν. ὁ οὖν ὑπομένων τὰ δεινὰ ἕνεκεν τοῦ καλοῦ ἀνδρεῖος. ὁρίζεται γὰρ ἕκαστον τῷ τέλει.

---

1 καὶ om. N 3 φησὶ corr. ex φασι Z: φασὶ N 6 εἶναι scripsi: ἐστὶ ZN 6 ἀδοξία Z: ἄδοξον N 8 καὶ Z: ἢ N 10 διαφέρει N μεγέθη N 11 ἐστιν NZ[2]: om. Z 12 μέγαν—φόβον scripsi: μέγεθος—φόβου ZN 13 ἧττον scripsi: ἧττον ZN 15 ἧττον Z: ἥττους N ἀνέπληκτος N utrubique 18 φοβεῖσθαι corr. ex φοβῆσθαι Z 19 ἄλλος corr. ex ἄλλου Z: ἄλλως N 20 φοβερὰ (prius) NZ[2]: φοβούμενα Z φοβεῖσθαι NZ: φοβεῖ suppl. Z[2] 21 ἀρετὴ διορίζεται Z (τη διορίζεται Z[2]): ἀρετὴ ἐν πᾶσιν ἐστὶν N 22 εἶναι N et Z[2] in albo καὶ ὅτε δεῖ om. N 23 ἕνεκα δεῖ] δεῖ om. Z καὶ ἡ] καὶ om. N 28 οὐ addidi 32 πράξεων τέλος τὸ κατὰ τὴν ἀνδρείαν om. N 33 οὖν Z: γοῦν N

τουτέστιν ἑκάστη πρᾶξις καλὴ δοκεῖ εἶναι διὰ τὸ τέλος ἢ αἰσχρά· ἂν μὲν γὰρ καλοῦ ἕνεκα γένηται, καλὴ καὶ ἡ πρᾶξις, ἂν δὲ αἰσχροῦ ἕνεκα γένηται, αἰσχρά. καὶ γὰρ ἡ ἀνδρεία καλόν, ἐπειδὰν τὸ τέλος αὐτῆς καλόν. τοὺς δὲ κατὰ τὴν αὐτῆς ὑπερβολήν, ὡς καὶ πρότερον εἶπε, λαμβάνει πλείονας, τὸν ἐν τῇ ἀφοβίᾳ ὑπερβάλλοντα, ὃν λέγει ἀνώνυμον· οὐ γὰρ εἰώθαμεν ἀφόβους τινὰς καλεῖν ὥσπερ θρασεῖς. εἴη δ' ἄν τις ἐν πᾶσι μαινόμενος, εἰ μηδὲ τὰ ὑπὲρ ἄνθρωπον φοβοῖτο. ὁ δὲ τῷ θαρρεῖν ὑπερβάλλων θρασύς· δοκεῖ δὲ καὶ ἀλαζὼν εἶναι. ἀλαζόνας δὲ καλοῦσι τοὺς προσποιητικοὺς τῶν μὴ ὑπαρχόντων. τοιοῦτος δὲ καὶ ὁ θρασύς· προσποιεῖται γὰρ ἀνδρεῖος εἶναι οὐκ ὤν· ἐν οἷς οὖν δύναται, μιμεῖται τὸν ἀνδρεῖον, διαμαρτάνων· θρασύνεται γὰρ πρὸ τῶν δεινῶν, ἐν δ' αὐτοῖς γενόμενος οὐχ ὑπομένει. διὸ καὶ εἰσὶν οἱ πολλοὶ αὐτῶν θρασύδειλοι. παράδειγμα δὲ τῶν τοιούτων καὶ Ὅμηρος πεποίηκε τοὺς βαρβάρους εἰπὼν "κλαγγῇ τ' ἐνοπῇ τ' ἴσαν"· θρασυνομένων γὰρ ὁ πρὸ καιροῦ θόρυβος· οἱ δ' ἀνδρεῖοι πρὸ τῶν δεινῶν ἡσύχιοι ὄντες, ὅταν ἐν τοῖς δεινοῖς γένωνται, τὸ θάρρος ἐνδείκνυνται. παράδειγμα δὲ καὶ τούτων οἱ Ἕλληνες, "οἳ δ' ἄρ' ἴσαν σιγῇ μένεα πνέοντες". δειλὸς δέ ἐστιν ὁ τῷ μὲν φοβεῖσθαι ὑπερβάλλων, ἐλλείπων δὲ τῷ θαρρεῖν· μᾶλλον δέ φησι καταφανής ἐστιν ἐν ταῖς λύπαις ὑπερβάλλων, τουτέστιν ἐν τῷ φόβῳ. λύπη γάρ τις ὁ φόβος· οὐχ οὕτω γὰρ λέγεται τὸ μὴ θαρρεῖν καὶ τὸ φοβεῖσθαι· τὸ μὲν γὰρ θαρρεῖν κατὰ τὸ τολμητικὸν εἶναι εἰς τοὺς κινδύνους λέγεται, ἔτι δὲ καταφρονεῖν τῶν ἐχθρῶν· τὸ δὲ λυπεῖσθαι δηλοῖ τὸν τῇ ψυχῇ καταπεπτωκότα καὶ δύσελπιν καὶ προσδοκῶντα μεγάλα κακά.

Καθάπερ οὖν εἴρηται, φησίν, ἡ ἀνδρεία μεσότης ἐστὶ περὶ θαρραλέα καὶ φοβερά, ἐν οἷς εἴρηται· οὐ γὰρ ὁ περὶ πάντα τὰ κακὰ ὡς ἐλέγετο θαρραλέως ἔχων καὶ ἀδεῶς ἀνδρεῖος, ἀλλ' ὁ πρὸς θάνατον ἀδεὴς τὸν ὑπὲρ τοῦ καλοῦ. διὰ γὰρ τὸ καλὸν ὑπομένει τὰ δεινὰ ὁ ἀνδρεῖος, καὶ ὅτι αἰσχρὸν τὸ μὴ ὑπομένειν· ἔνια δὲ φαντασίαν παρέχει ἀνδρείων, ἔτι δὲ δειλῶν καὶ ἀσθενῶν οἷον τὸ ἀποθνήσκειν φεύγοντα πενίαν ἢ ἔρωτα ἢ ἄλλο τι λυπηρόν· μαλακία γὰρ τὸ φεύγειν τὰ ἐπίπονα. ἀντίκειται μὲν οὖν ἡ μαλακία τῇ καρτερίᾳ, ἀλλ' ὅμως καὶ τοῦ ἀνδρείου ἐστὶν ἀλλοτρία. λέγει δὲ καὶ ἄλλας πέντε ἀνδρείας ὀνομάζεσθαι ὁμωνύμως τῇ κυρίως λεγομένῃ ἀνδρείᾳ· εἰσὶ δὲ τοῦ εἴδους τῶν ὁμωνύμων τοῦ καθ' ὁμοιότητα λεγομένου· ὅμοιαι γὰρ δοκοῦσιν εἶναι τῇ ἀνδρείᾳ, ἀλλ' ἡ μὲν μᾶλλον, ἡ δὲ ἧττον.

Πρῶτον δὲ ἐκτίθεται τὴν λεγομένην πολιτικὴν ἀνδρείαν· ὑπομένουσι γὰρ οἱ πολῖται τοὺς κινδύνους διὰ τὰ ἐκ τῶν νόμων πρόστιμα καὶ ὀνείδη καὶ διὰ

4 πρότερον εἶπε] B 7 p. 1107a33 5 ἀβόφους Z: corr. Z² 7 φοβοῖτο ex φοβεῖτο N 9 προσποιεῖται corr. ex προσποιῆται Z 10 οὖν Z: οὐ N 11 πρὸ N: πρὸς Z 12 Ὅμηρος] Il. Γ 2 13 κλαγγῇ ex κλανη Z 14 πρὸ NZ²: πρὸς Z οἱ Z: οὐ N 16 οἳ δ' ἄρ'] Hom. Il. Γ 8 ἄρ Z: ἄρα N 17 μὲν om. Z 18 τῷ Z: τὸ N 20 τὸ (ante τολμητικὸν) Z add. supra lin.: om. N 21 ἔτι δὲ] ἔτι add. Z²: μηδὲ N 22 δύσελπιν ex δύσελπην corr. Z² 23 ἀνδρία Z 26 ὑπὲρ N: ὑπὸ Z 27 παρέχει scripsi: παρέχειν ZN ἔτι NZ: ἔστι Z² δηλῶν N 28 ἔρωτα Z: θάνατον N

τὰς προκειμένας τοῖς καλῶς κινδυνεύσασι τιμάς. μάλιστα δ' αὕτη ὁμοία ἐστὶ τῇ δι' αἰδῶ, ἥ γε εἰ καὶ μή ἐστιν ἀρετὴ ἀλλ' ὅμοιόν τι ἀρετῇ· διάθεσις γάρ ἐστι παθητική. ὅτι δέ ἐστιν ἐπαινετή, λεχθήσεται ἐν τοῖς περὶ αὐτῆς λόγοις. οὐ μόνον δὲ δι' αἰδῶ γίνεται τὰ κατὰ τὴν πολιτικὴν ἀνδρείαν ἀλλὰ καὶ διὰ τιμῆς ὄρεξιν καὶ φυγὴν ὀνείδους, ὧν ἡ μὲν τιμὴ καλόν τι, τὸ δ' ὄνειδος αἰσχρόν. σχεδὸν οὖν καὶ ὁ κατὰ τὴν πολιτικὴν ἀνδρείαν ποιῶν διά [τε] τὸ καλὸν ποιεῖ, εἴπερ διὰ τιμὴν πράττει· ἡ δὲ τιμὴ καλὸν ἢ δι' αἰσχροῦ φυγήν, εἴπερ τὸ ὄνειδος αἰσχρόν. οὐ μὴν ὅ γε τῷ ὄντι ἀνδρεῖος διὰ τὴν τιμὴν ποιήσει ἢ φεύγων τὸ ὄνειδος, ἀλλὰ κἂν μὴ ἐλπίζῃ τιμηθήσεσθαι διὰ τὸ καλὸν αὐτὸ ποιήσει (τὸ δὲ καλόν ἐστι, ὅπερ καὶ ὁ λόγος ὑπαγορεύει) καὶ οὐ φεύγων τὸ ὄνειδος ἀλλὰ τὸ τῷ ὄντι αἰσχρόν· αἰσχρὸν δὲ μὴ ποιεῖν τὰ κατὰ τὸν λόγον. πλὴν ἔοικέ γε μάλιστα αὕτη ἡ πολιτικὴ ἀνδρεία, τῷ ὑπὸ τῶν ἀρχόντων ἀναγκαζομένους δρᾶν τὰ τῶν ἀνδρείων ἔργα ἢ ὅσοι διὰ φόβον θανάτου τοῦ ὑπὸ τῶν ἀρχόντων ἀναγκάζονται μέλλοντες κινδυνεύειν. τάξαι μὲν ἄν τις, ὥς φησιν, ὑπὸ τὴν πολιτικὴν ἀνδρείαν, ἐπειδὴ καὶ οὗτοι προστάγματι ἄρχοντος ὥσπερ νόμου ὄντος ὑπηρετοῦσι, χείρους δ' εἰσὶ τῶν προειρημένων· οἱ μὲν γὰρ δι' αἰδῶ καὶ τιμῆς ὄρεξιν πράττουσιν, οἱ δὲ διὰ φόβον. φεύγοντες οὖν τὸ λυπηρόν, οὐκ ἐφιέμενοι τοῦ ἐντίμου, κινδυνεύουσιν.

Ἄλλο δ' εἶδος ἀνδρείας, γενομένης ὁμωνύμου τῆς ὡς ἀληθῶς ἀνδρείας τῇ κατ' ἐμπειρίαν· δοκεῖ γὰρ ἡ περὶ ἕκαστον ἐμπειρία ἀνδρεία εἶναι. ἐν γοῦν θαλάττῃ οἱ ἔμπειροι τῆς θαλάττης ἀδεῶς φέρουσι τοὺς κινδύνους καὶ ἡνιοχοῦσιν ἀδεῶς οἱ ἔμπειροι ἡνιοχείας, καὶ ἐν ταῖς ἀγωνίαις δὲ ἀγωνίζονται ἀδεῶς οὗ ἂν τύχωσιν ἀγωνίσματος ἔμπειροι ὄντες. διὸ καὶ Σωκράτης ᾠήθη, φησί, τὴν ἀνδρείαν ἐπιστήμην εἶναι. ταῦτα δὲ λέγει, ὡς τοῦ Σωκράτους τοὺς ἐμπείρους τῶν δεινῶν καὶ ἐπιστήμονας αὐτῶν νομίζοντος. σκεπτέον δὲ εἰ οὕτως λέγουσιν οἵ τε ἄλλοι Σωκράτους ἑταῖροι περὶ ἀνδρείας καὶ ὁ ἐν τῷ Λάχητι τῷ Πλάτωνος Σωκράτης. τοιοῦτοι δέ φησιν ἄλλοι μὲν ἐν ἄλλοις, τουτέστιν ἔμπειροι καὶ διὰ τοῦτο ὑπομενητικοί. ἐν τοῖς πολεμικοῖς δὲ οἱ στρατιῶται· στρατιώτας δὲ λέγει τοὺς ἀεὶ μισθοφοροῦντας· οὗτοι γὰρ διὰ τὴν ἐμπειρίαν μένοντες πολλάκις ἐν ταῖς μάχαις δοκοῦσιν ἀνδρεῖοι εἶναι· ἃ δὲ ποιεῖ αὐτοὺς μένειν, ἐξηγεῖται· πρῶτον μὲν ἴσασι τὰ κενὰ τοῦ πολέμου· ἔστι γάρ τινα ἃ φοβερὰ μὲν δοκεῖ, ἔχει δὲ οὐδέν, ἃ λέγεται κενά· ἔπειτα ἐκ τῆς ἐμπειρίας καὶ φυλάξασθαι καὶ πατάξαι δύνανται ὥσπερ οἱ ἀγαθοὶ πύκται, καὶ τοῖς ὅπλοις χρῆσθαί εἰσιν ἔμπειροι· ἔτι δὲ αὐτοῖς τοῖς ὅπλοις ἄριστά εἰσι παρεσκευασμένοι. ὥσπερ οὖν ἀθληταὶ ἰδιώταις μά-

1 κινδυνεύσασι Z: κινδυνεύουσι N 2 δι' Diels: δ' ZN ἥ γε add. Z in marg.: om. N 3 λεχθήσεται Z: δοθήσεται N 4 λόγοις] Δ 15 p. 1128^{b}10 6 πολιτικὴν Z: lac. N 7 τε delevi 8 γε Z: τε N 9 ἐλπίζει N 11 ἀλλὰ τὸ N: ἀλλὰ Z 12 αὕτη Z corr. ex αὐτῇ τῷ Z: τὸ N 15 τάξαι Arist.: τάχα ZN: ἴσως· τάχα μὲν ὥσπερ ἄν τις φαί⟨η⟩ ὑπὲρ τῆς πολιτικῆς ἀνδρ⟨είας⟩ Z^2 in marg. ὑπὸ N: ὁ ὑπὲρ Z οὗτοι Z: οὗτος N 19 ἄλλο δ' εἶδος ἀνδρείας scripsi: ἀλλ' ὁ δειλὸς δ' ἀνδρεῖος ZN: ἴσως· ἄλλως ὁ δειλὸς δοκεῖ ἀνδρεῖος Z^2 in marg. ὁμωνυμίας N 23 ἀδεῶς om. Z Σωκράτης Z: ὁ Σωκράτης N et Arist. 27 λαχίτι N v. Plat. Lach. p. 195E, 196D 33 πατάξασθαι Z

χονται· καὶ γὰρ ἐν τοῖς τοιούτοις ἀγῶσι, τουτέστι τοῖς γυμνικοῖς, οὐχ οἱ ἀνδρειότατοι μαχιμώτατοί εἰσιν, ἀλλ' οἱ μάλιστα ἰσχύοντες καὶ τὰ σώματα ἄριστα ἔχοντες· ἢ περὶ τῶν στρατιωτικῶν εἴρηκε τὸ ἐν τοῖς τοιούτοις ἀγῶσι, τουτέστι τοῖς πολεμικοῖς, οὐχ οἱ ἀνδρειότατοί εἰσι μαχιμώτατοι καὶ τὰ ἑξῆς· οἱ πλεῖστοι γὰρ αὐτῶν στρατεύονται καὶ τοῖς σώμασιν ἰσχύοντες καὶ ἐν ἀκμῇ τῆς ἡλικίας· διὰ ταῦτα οὖν μένουσιν· οὐδεὶς δ' αὐτῶν διὰ τὸ καλόν. μάλιστα δὲ ἐλέγχονται οἱ στρατιῶται, ὅταν μέγας ὁ κίνδυνος γένηται καὶ λείπωνται πλήθεσιν ἢ παρασκευαῖς. πρῶτοι γὰρ φεύγουσι· τὰ δὲ πολιτικὰ μένοντα, φησίν, ἀποθνήσκει. ἐν οἷς ἐνδείκνυσιν, ὅτι πολὺ ἀμείνων ἡ πολιτικὴ ἀνδρεία τῆς δι' ἐμπειρίαν· ἔοικε δὲ καὶ αὕτη τῇ ἀνδρείᾳ. διὸ καὶ μένουσιν ὥσπερ οἱ ἀνδρεῖοι ἐν τοῖς κινδύνοις στρατιῶται καὶ οὔτε φοβοῦνται καὶ θαρροῦσιν ὥσπερ καὶ οἱ ἀνδρεῖοι, οὐ μέντοι διὰ τὸ καλὸν ἀλλὰ διὰ τὴν ἐμπειρίαν.

Τρίτον δὲ εἶδος τῆς καθ' ὁμωνυμίαν ἀνδρείας τὸ θυμικόν. καὶ γὰρ τὰ θηρία ἀνδρεῖα καλεῖται, ὅσα θυμοειδῆ καὶ φέρεται ὑπὸ θυμοῦ ἐπὶ τοὺς τρώσαντας· οἱ γὰρ ἀνδρεῖοι θυμοειδεῖς καὶ ἄγει μάλιστα πρὸς τοὺς κινδύνους ὁ θυμός· πράττουσι μὲν οὖν οἱ ἀνδρεῖοι διὰ τὸ καλόν, χρῶνται δὲ τῷ θυμῷ συνεργῷ· οἷον γὰρ ἐνθουσιᾶν ποιεῖ ὁ θυμὸς ἐν τοῖς κινδύνοις. ὁ μὲν οὖν ἀνδρεῖος μετὰ θυμοῦ· δραστικὸν γὰρ ὁ θυμός· οὐ μὴν ὁ μετὰ θυμοῦ δρῶν πάντως ἀνδρεῖός ἐστι· καθ' ὁμωνυμίαν δὲ δεῖ λαβεῖν τὸν τοῦ ἀνδρείου θυμόν, οὐχὶ ἔκστασίν τινα, ἀλλὰ τοῦ λόγου κελεύοντος συνεξορμῶντα τὸν θυμόν. οὐ γὰρ ὁμοίως πράττομεν ἄθυμοι ὄντες καὶ διεγείροντος ἡμᾶς τοῦ θυμοῦ· τὰ θηρία δὲ οὐ κυρίως ἀνδρεῖα ἢ διὰ φόβον ἐπιόντα ἢ διὰ λύπην τὴν ἐκ τῆς πληγῆς. ὅλως δὲ οἱ διὰ πάθος μόνον παρακινδυνεύοντες οὐκ εἰσιν ἀνδρεῖοι· ἐπεὶ οὕτως γε καὶ οἱ μοιχοὶ ἀνδρεῖοι ἂν ἦσαν δι' ἐπιθυμίαν τολμηρὰ δρῶντες. οὔτε οὖν οἱ δι' ἐπιθυμίαν οὔτε οἱ διὰ θυμὸν ἐπικίνδυνα ὑπομένοντες ἀνδρεῖοι ὡς ἀληθῶς, ἀλλ' οἱ διὰ τὸ καλόν. ἔοικε δὲ καὶ ἡ διὰ θυμὸν ἀνδρεία τῇ ὡς ἀληθῶς, ἐπεὶ καὶ ἡ αὐτῆς τῷ ὄντι ἐνέργεια μετὰ θυμοῦ καὶ ὅτι οἱ ἀνδρεῖοι θυμοειδεῖς. φυσικωτάτη δέ φησιν ἔοικεν εἶναι ἡ διὰ τὸν θυμὸν ἀνδρεία. ἴσως μὲν γὰρ πασῶν τῶν ὁμωνύμων κρείττων ἡ πολιτικὴ διὰ τὰ εἰρημένα· ἡ δὲ διὰ θυμὸν φυσική, ἐπειδὴ ὁ θυμὸς φυσικὸν καὶ δοκοῦμεν φύσει οἱ ἄνθρωποι ἐφίεσθαι τοῦ τιμωρεῖσθαι τοὺς ἀδικοῦντας ἡμᾶς, ὅπερ τοῦ θυμοῦ ἔργον ἐστί. φησὶ δὲ ὅτι προσλαβοῦσα ἡ τοιαύτη διάθεσις προαίρεσιν καὶ τὸ τοῦ καλοῦ ἕνεκα πράττειν, εἴη ἂν ἀνδρεία. ὁ γὰρ θυμοειδὴς προσλαβὼν προαίρεσιν καλὴν ἐξ ἔθους καὶ λόγον καὶ τὸ τοῦ καλοῦ ἕνεκα πράττειν τὰ ἐν τοῖς δεινοῖς εἴη ἂν ὡς ἀληθῶς ἀνδρεῖος.

Τέταρτον δὲ εἶδος τῆς καθ' ὁμωνυμίαν ἀνδρείας τὸ τῶν εὐελπίδων, οἳ διὰ ⟨τὸ⟩ πολλοὺς καὶ πολλάκις νενικηκέναι, ὥς φησι, θαρροῦσιν· ὅμοιοι δέ εἰσι καὶ οὗτοι τοῖς ἀνδρείοις, ἐπειδὴ καὶ οἱ ἀνδρεῖοι θαρροῦσιν ἐν τοῖς

2 ἀνδριότατοι N 7 ὅταν om. N ὁ om. Z 11 οἱ ἀνδρεῖοι — ὥσπερ (12) om. Z 16 θυμοειδεῖς — ἀνδρεῖοι (17) om. Z 22 διεγείροντος ex διεγεῖροντες Z 37 τετάρτη Z ὁμωνυμίαν ex ὁμωνύμου Z 38 τὸ add. ex Arist.: om. ZN ὅμοιοι ex ὁμοίως Z: ὁμοίως N

δεινοῖς· θαρροῦσι δὲ καὶ οἱ εὐέλπιδες, οὐ μὴν διὰ τὰ αὐτά, ἀλλ' οἱ μὲν εὐέλπιδες διὰ τὸ οἴεσθαι κρείττους εἶναι καὶ μηδὲν ἂν παθεῖν. ἐοικέναι δ' αὐτούς φησι τοῖς μεθυσκομένοις· καὶ γὰρ οἱ μεθύοντες εὐέλπιδες ὡς ἐπὶ τὸ πολὺ γίνονται, καὶ οὗτοι μεθύσκονταί πως ὑπὸ τῆς εὐελπιστίας καὶ διὰ τοῦτο θαρροῦσιν, ἐπεί, ἄν γέ τι συμβῇ αὐτοῖς παρὰ τὴν ἐλπίδα, φεύγουσιν. ὁ δὲ ἀνδρεῖος τὰ φοβερὰ ἀνθρώπῳ καὶ μάλιστα καὶ φαινόμενα ὑπομένει, ὅτι καλὸν τὸ ὑπομεῖναι, αἰσχρὸν δὲ τὸ μὴ ὑπομεῖναι. διὰ τοῦτο δὲ εἶπε τὰ φοβερὰ ἀνθρώπῳ, ἐπειδὴ τὰ ὑπὲρ ἄνθρωπον καὶ ἀνδρεῖος φοβεῖται, ὥσπερ εἴρηται πρότερον. εἰπὼν δὲ ὅτι τὸ ὑπομένειν τὰ φοβερὰ ἀνθρώπῳ ἀνδρείου ἐστίν, ὅταν διὰ τὸ καλὸν ὑπομένῃ, ἐπιφέρει· διὸ καὶ ἀνδρειοτέρου δοκεῖ εἶναι τὸ ἐν τοῖς αἰφνιδίοις φόβοις ἀτάραχον εἶναι, ἐνδεικνύμενος ὅτι ὁ τῷ ὄντι ἀνδρεῖος τῷ ἔχειν τὴν ἕξιν τῆς ἀνδρείας τοιοῦτός ἐστιν. ἡ δὲ ἕξις ἑτοίμους παρέχει πρὸς τὸ πράττειν τὰ κατ' αὐτήν, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων πράξεων ἔχει· καὶ γὰρ ῥητορεύει προχείρως ὁ τὴν ῥητορικὴν ἕξιν ἔχων, ἐκ παρασκευῆς δ' εἴποι ἂν καὶ ὁ μηδέπω ἔχων ἱκανῶς τὴν ἕξιν· οὕτως δὲ καὶ ὁ τὴν ἀνδρείαν ἔχων ῥᾳδίως ὑπομένει τὰ φοβερά, κἂν αἰφνίδια ᾖ, καὶ ταχέως γνωρίζεται ἃ δεῖ αὐτὸν καὶ πράττειν καὶ ὑπομένειν. πῶς δὲ λέγει ἀνδρειοτέρους εἶναι τοὺς τοιούτους; ἆρά γε ὡς οὔσης ἀνέσεως καὶ ἐπιτάσεως ἐν τῇ ἀνδρείᾳ καὶ ὡς ὄντων μὲν ἀνδρείων καὶ τῶν ἐκ παρασκευῆς ὑπομενόντων τοὺς κινδύνους, μᾶλλον δὲ τῶν τοὺς αἰφνιδίους ἀνεχομένων; ἢ διὰ τοῦτο προσέθηκε τὸ δοκεῖν; δοκεῖ μὲν γὰρ ἴσως ἀνδρειότερος εἶναι ὁ τὴν ἕξιν ἔχων, ἔστι δὲ μόνος οὗτος ὡς ἀληθῶς ἀνδρεῖος.

Ἐπὶ πᾶσι δὲ ἀριθμεῖ πέμπτον εἶδος ὁμωνύμου ἀνδρείας τὸ τῶν δι' ἄγνοιαν θαρρούντων, ὅταν οἴωνται μὲν ἄλλοις συμβάλλειν καὶ ἐλάττοσιν ἑαυτῶν, θαρροῦσι δὲ δι' αὐτὴν τὴν αἰτίαν. ἐοίκασι δὲ καὶ οὗτοι τοῖς ἀνδρείοις, διόπερ θαρροῦσιν ὥσπερ καὶ οἱ ἀνδρεῖοι, καί εἰσιν οὐ πόρρω τῶν εὐελπίδων, ὥς φησι. καὶ γὰρ οὗτοι διὰ τὴν ἄγνοιαν εὐέλπιδες γίνονται, χείρους δὲ αὐτῶν εἰσιν ἢ ἴσον οὐδὲν ἔχουσιν ἀξίωμα. οἱ μὲν γὰρ διὰ τὸ πολλάκις κατωρθωκέναι εὐέλπιδες μετὰ φρονήματός τινος ἐπίασι (διὸ καὶ μένουσί τινα χρόνον ἐν τοῖς κινδύνοις), οἱ δὲ δι' ἄγνοιαν ἀπατηθέντες, ἂν γνῶσιν ὅτι ἕτεροί εἰσι, πρὸς οὓς ἡ μάχη καὶ κρείττους αὐτῶν, ταχὺ φεύγουσιν, ὅπερ φησὶ παθεῖν Ἀργείους· ᾔεσαν γὰρ ὡς ἐπὶ Σικυωνίους καταφρονοῦντες αὐτῶν· ἦσαν δ' οὐ Σικυώνιοι ἀλλὰ Λακεδαιμόνιοι· ὡς δὲ περιέπεσον αὐτοῖς καὶ ἔγνωσαν Λακεδαιμονίους, ταχὺ ἔφυγον ἀποστραφέντες.

Περὶ θάρρη δὲ καὶ φόβους τὴν ἀνδρείαν οὖσαν, οὐχ ὁμοίως φησί

1 τὰ αὐτὰ N: ταῦτα Z 2 μηδὲν ἂν παθεῖν ZN: μηθὲν ἀντιπαθεῖν Arist. 5 ἐπεὶ — φεύγουσιν (6) om. Z γέ τοι N 8 εἶπε Z: οἱ περὶ N ὑπὲρ NZ[2]: ὑπ' Z 9 πρότερον] c. 10 p. 1115b11 τὸ om. N ἀνθρώπῳ (Voss.): ἀνθρώπου ZN 11 ἀταρα suppl. Z[2] 13 κατ' αὐτήν scripsi: καθ' αὐτήν ZN 14 πράξεων Z: ἕξεων N ῥιτορικὴν N 16 αἰφνίδια scripsi: αἰφνίδιον ZN 19 ἐν τῇ ἀνδρείᾳ N: ἀντὶ ἀνδρείας Z 23 ὁμωνύμου N: ὁμωνύμως Z 24 ἐλάττοσιν ex ἐλάττουσιν N 25 θαρροῦσι N: θρασῶσι Z: θαρσῶσι Z[2] 28 ἢ ἴσον] καθόσον Diels 30 οἱ δὲ Z: οὐδὲ N 32. 33 ἦσαν δ' οὐ Z: ἦσαν δὲ οἱ N 33 καὶ ἔγνωσαν] καὶ om. Z: καὶ ἔ insequente lacuna N

περὶ ἄμφω εἶναι ἀλλὰ μᾶλλον περὶ τὰ φοβερά, οὐ τῷ φοβεῖσθαι πλεονάκις ἢ θαρρεῖν, ὡς κατά γε τοῦτο μᾶλλον περὶ τὸ θάρρος ἡ ἀνδρεία ἐστὶν ἢ περὶ τὸν φόβον, ὅπερ προειρήκαμεν, ἀλλὰ τὸ ἐν τοῖς φοβεροῖς ἄφοβον εἶναι καὶ ἀτάραχον, ἅ ἐστι μὲν ἀμφότερα τοῦ ἀνδρείου, καὶ τὸ θαρραλέον καὶ τὸ ἄφοβον, ἀλλὰ μᾶλλον εἰδοποιεῖται ὁ ἀνδρεῖος τῷ ἄφοβος εἶναι ἐν τοῖς δεινοῖς· οὐχ οὕτως δὲ τῷ ἰτητικὸς εἶναι ἐπὶ τὰ δεινά, διὸ καὶ ἐπίλυπον δοκεῖ εἶναι ἡ ἀνδρεία· ὑπομενητικὴ γὰρ δεινῶν καὶ ἐπαινεῖται δικαίως. δυσκολώτερον γὰρ τὸ λυπηρὰ ὑπομένειν ἢ τῶν ἡδέων ἀπέχεσθαι, ὥστε κατά γε τοῦτον τὸν λόγον ἀξιέπαινος μᾶλλόν ἐστι τῆς σωφροσύνης. τὸ μὲν οὖν τέλος τῆς ἀνδρείας καλὸν καὶ ἡδὺ ἅμα. δοκεῖ δὲ ἀφανίζεσθαι, τουτέστιν ἀφανὲς γίνεσθαι τὸ ἡδὺ αὐτῷ ὑπὸ τῶν κύκλων. κύκλους δὲ λέγει τοὺς πόνους, οὓς ὑπομένουσιν ἐν τοῖς δεινοῖς οἱ ἀνδρεῖοι. ὁ μὲν οὖν θάνατος, φησί, καὶ τὰ τραύματα λυπηρὰ τῷ ἀνδρείῳ καὶ ἄκοντι ἔσται. λυπηρὰ μὲν λέγει τὰ ἐπίπονα· ἀνάγκη γὰρ ἄνθρωπον ὄντα πονεῖν μαχόμενον καὶ τιτρωσκόμενον, εἰ οὕτω τύχοι· ἄκοντι δέ, ὅτι αὐτὰ καθ' αὐτὰ οὐκ ἂν ὑπέμεινεν, οὔτε τοὺς πόνους· ὑπομένει δὲ αὐτά, ὅτι καλὸν ἢ ὅτι αἰσχρὸν τὸ μὴ ὑπομένειν· καὶ ὅσῳ ἂν μᾶλλον, φησί, τὴν ἀρετὴν ἔχῃ πᾶσαν καὶ εὐδαιμονέστερος ᾖ, λυπηθήσεται ἐπὶ τῷ θανάτῳ, ἂν μάτην γένηται δηλονότι καὶ μηδενὸς καλοῦ ἕνεκα. ἀλλ' οὐδὲν ἧττον, φησίν, ἀνδρεῖός ἐστιν ὑπομένων τὸν θάνατον διὰ τὸ καλόν, καὶ μᾶλλον, ὅτι ἀντὶ τῆς ἐν τῷ ζῆν εὐδαιμονίας αἱρεῖται τὸν ὑπὲρ τοῦ καλοῦ θάνατον. οὐ δὴ ἐν πάσαις ταῖς ἀρεταῖς τὸ ἡδέως ἐνεργεῖν ὑπάρχει· ἡ μὲν γὰρ κατ' ἐλευθεριότητα ἐνέργεια ἡδεῖα καὶ ἡ κατὰ σωφροσύνην καὶ ἡ κατὰ τὰς ὁμοίας, ἡ δὲ κατὰ τὴν ἀνδρείαν ἐπίπονος· πλὴν κατὰ τοσοῦτον ἡδεῖα, ὅσον ἡ ἀναφορὰ ἐπὶ τὸ τέλος ὂν καλὸν καὶ ἡδύ. στρατιώτας δ' οὐδὲν ἴσως κωλύει, φησί, μὴ τοὺς τοιούτους κρατίστους εἶναι καὶ τὰ ἑξῆς, ἐν οἷς ἐνδείκνυται ὅτι ἐγχωρεῖ στρατιώτας χρησίμους εἶναι, λέγω δὲ ὡς μισθοφόρους, ἀνδρείους μὲν μὴ ὄντας, ἑτοίμους δὲ πρὸς θάνατον. τοιούτων γὰρ μᾶλλον δέονται οἱ μισθούμενοι στρατιώτας. ἀνδρείους δὲ ἴσως οὐ δέονται μισθοφόρους γενέσθαι, πλὴν εἰ μὴ μεγάλη ἀνάγκη καὶ τύχῃ τινὶ καταληφθεῖεν. οὔ φησι δ' εἶναι χαλεπὸν ἐκ τῶν εἰρημένων λαβεῖν τί ἐστιν ἀνδρεία· εἴη δ' ἂν ὡς τύπῳ λαβεῖν ἕξις ὑπομενετικοὺς παρέχουσα κινδύνων καὶ θανάτων ἕνεκα τοῦ καλοῦ.

Μετὰ δὲ ταῦτα περὶ σωφροσύνης. τὴν σωφροσύνην καὶ τὴν ἀνδρείαν τῶν ἀλόγων μερῶν ἀρετὰς λέγει. ἡ μὲν γὰρ σωφροσύνη τοῦ ἐπιθυ-

1 ἄμφω Z ex corr. 2 ἐστὶν ἡ ἀνδρεία N 3 προειρήκαμεν] p. 80,32 4 τὸ — τὸ Z: τὸν — τὸν N 6 τῷ Z: τὸ N ἰτητικὸς ex ἰτατικὸς Z 7 ὑπομενητικὴ Z² in marg.: ὑπαινιτικὴ ZN 8 λυπηρὰ N, et Z in marg. pro δεινὰ 10 ἅμα suppl. Z² 11 ὑπὸ NZ²: ὑπὲρ Z κύκλων N et Z, sed expunctum a Z²: κύκλῳ Arist. κύκλους mut. in κύκλω Z² 12 οἱ Z: ἡ N 13 ἄκοντι NZ²: ἄκοντα Z 15 δὲ post αὐτὰ add. Z, idem delevit 16 ὑπομενεῖ Arist. 17 καὶ ὅσῳ Z: ἢ ὅσῳ N 19. 20 ὑπομένων Z²: ὑπομένειν Z: ὑπομένον N 20 τὸν N: τὸν ex τὰ Z 21 πάσαις ZN: ἁπάσαις Arist. 22 ἐλευθεριότητας N 25 ὂν Z: οὐ N μὴ Arist.: om. ZN 29 δέονται] an δεῖ? 30 εἰ μὴ Z: εἰμὶ Z 32 ὑπομενητικοὺς N 33 Μετὰ—σωφροσύνης prior lemmatis pars esse videtur δὲ ταῦτα Z: ταῦτα δὲ N: δὲ ταύτην Arist. ἀλόγων Z²: λοιπῶν ZN 34 λέγει ex λέγειν N

μητικοῦ ἐστιν ἀρετή, ἡ δ' ἀνδρεία τοῦ θυμοειδοῦς· μεσότητα δὲ αὐτήν φησι περὶ ἡδονάς· ἐπεὶ δὲ πρότερον αὐτὴν ἀπέδωκε μεσότητα, περὶ ἡδονὰς μόνον αὐτὴν εἶπε μεσότητα· ἧττον γάρ ἐστι περὶ λύπας. κατὰ τοσοῦτον γὰρ λέγεται περὶ λύπας εἶναι ὁ σώφρων, ὅσον μὴ λυπεῖται τῇ τῶν ἡδονῶν ἀπουσίᾳ, ἐπεὶ ἥ τε ἐνέργεια τῆς σωφροσύνης περὶ ἡδονάς ἐστι. περὶ ποίας δὲ ἡδονάς ἐστι μεσότης, δείκνυσι τρόπον τινὰ χρώμενος διαιρέσει τοιαύτῃ. τῶν ἡδονῶν αἱ μέν εἰσι σωματικαί, αἱ δὲ ψυχικαί· καὶ ψυχικαὶ μέν, ἐν αἷς αὐτὴ καθ' αὑτὴν ἥδεται ἡ ψυχή, σωματικαὶ δέ, ἃς ἥδεται διὰ τοῦ σώματος ἡ ψυχή, οἷον φιλοτιμία φιλομαθία. ἑκάτερον γὰρ τούτων φησὶ τῶν τε φιλοτίμων καὶ τῶν φιλομαθῶν χαίρειν μηδὲν πάσχοντος τοῦ σώματος, ἀλλὰ μᾶλλον τῆς διανοίας. πῶς δὲ λέγει πασχούσης τῆς διανοίας χαίρειν τοὺς φιλομαθεῖς ἢ τοὺς φιλοτίμους; οὐ γὰρ δὴ τὸ χαίρειν καὶ ἡδοναὶ ἐν τῇ διανοίᾳ, ἀλλ' ἐν τῷ παθητικῷ μορίῳ τῆς ψυχῆς. πότερον οὖν διάνοιαν εἶπεν ἀντὶ τοῦ ψυχὴν κοινότερον, ἢ τὸ λεγόμενον τοιοῦτόν ἐστιν, ὅτι ἑκάτερος τούτων χαίρει μὲν τῷ παθητικῷ μορίῳ τῆς ψυχῆς, οὐ τοῦ σώματος πάσχοντός τι, καθάπερ ἐπὶ τῶν σωματικῶν ἡδονῶν ἀλλὰ τῆς διανοίας; ἡ δὲ διάνοια τοιοῦτόν τι πάσχουσα ἐννοεῖ, ὅτι ἐπέτυχε οὗ ἐβούλετο· ἡ μὲν διάνοια τοῦ φιλομαθοῦς ὅτι ἐπέτυχε μαθήματος, ἡ δὲ τοῦ φιλοτίμου, ὅτι ἐπέτυχε τιμῆς. ταύτῃ δὲ τῇ κινήσει τῆς διανοίας, ἣν πάθος προσηγόρευσεν, ἐπακολουθεῖ ἡδονὴ ἐν τῷ παθητικῷ ὄντι μορίῳ τῆς ψυχῆς. οἱ δὲ περὶ τὰς ψυχικὰς ἡδονὰς ὄντες οὔτε σώφρονες οὔτε ἀκόλαστοι λέγονται· οὐδὲ γὰρ τοὺς φιλομύθους καὶ διηγητικοὺς λέγομεν ἀκολάστους ἀλλ' ἀδολέσχους· οὐδὲ περὶ λύπας ἐστὶ τὰς ψυχικὰς ἢ σωφροσύνη ἢ ἀκολασία· τοὺς γὰρ ἐπὶ χρημάτων ἀποβολῇ ἢ φίλου λυπουμένους ἢ ἐπὶ τῇ κτήσει χαίροντας οὔτε σώφρονας οὔτε ἀκολάστους λέγομεν. φαίνεται οὖν περὶ τὰς σωματικὰς εἶναι ἡ σωφροσύνη ἡδονάς, ἔστι δὲ οὐ περὶ πάσας τὰς σωματικάς. ἵν' οὖν δῆλον γένηται, περὶ τίνας ἐστί, διαιρετέον τὰς σωματικάς. ἔστι δὴ εἴδη τῶν σωματικῶν ἡδονῶν, ὅσα καὶ τῶν αἰσθήσεων. ὅσαι γὰρ αἱ αἰσθήσεις, τοσαῦται καὶ αἱ σωματικαὶ ἡδοναί, αἱ μὲν δι' ὄψεως, αἱ δὲ δι' ἀκοῆς, αἱ δὲ διὰ τῶν ἄλλων αἰσθήσεων. οὐκ ἔστι δὴ περὶ τὰς δι' ὄψεως ἡδονὰς ἡ σωφροσύνη οὐδ' ἡ ἀκολασία· οἱ γὰρ χαίροντες χρώμασι καὶ σχήμασι καὶ γραφαῖς οὔτε σώφρονες οὔτε ἀκόλαστοι λέγονται, καίτοι ἔστι ἐπὶ τούτων ὡς δεῖ χαίρειν καὶ καθ' ὑπερβολὴν καὶ κατ' ἔλλειψιν· ἀλλ' οὔτε εἰς σωφροσύνην ἀναφέρεται τὸ ὡς δεῖ οὔτε εἰς ἀκολασίαν τὸ καθ' ὑπερβολὴν οὔτε τὸ κατ' ἔλλειψιν εἰς τὴν παρακειμένην τῇ σωφροσύνῃ, ἣν ἀναισθησίαν ἐνίοτε ὀνομάζει. ἐπειδὴ οὖν ἔστι καὶ ἐν ταῖς περὶ τὴν ὄψιν ἡδοναῖς τὸ ὡς δεῖ χαίρειν, δόξει τις καὶ ἀρετὴ

---

2 πρότερον] B 7 p. 1107b5 4 σώφρον N 6 τρόπον N: idem corr. ex πρῶτον Z διαιρέσει Z: διαιρέσῃ N 9 φιλομαθία ZN et Arist. Kb: φιλομαθεία Arist. vulg. φησὶ N: φασι Z 13 ψυχὴν N: τὴν ψυχὴν Z 14 κοινότερον ex κοινώτερον N 16. 17 πάσχουσα Z: πάσχει N 17 οὗ ἐβούλετο Z: οὗ ....λετο N 20 δὲ Z: δὴ N 24 φίλου Z: φίλων N λοιπουμένους N 26 ἡδονὰς ante ἡ σωφροσύνη N 29 αἱ δὲ δι' ἀκοῆς—ὄψεως (30) NZ²: om. Z διά om. N 32 λέγοντε N 33 post ἔλλειψιν addit εἰς τὴν παρακειμένην τῇ σωφροσύνῃ expuncta statim N 36 ἀρετὴ scripsi: ἀρετὴν ZN

εἶναι. τὸ γὰρ ὡς δεῖ ἀρετῆς καὶ τὸ καθ' ὑπερβολὴν καὶ ἔλλειψιν κακίαι τινές· τίς οὖν ἡ περὶ τὰ ὁράματα ἀρετὴ καὶ τίνες αἱ κακίαι εἰπεῖν οὐ ῥᾴδιον. πότερον οὖν οὐδ' εἰσὶν ἀρεταὶ ἀλλὰ καὶ ἐν τοῖς μέσοις ἀνθρώποις αἱ τοιαῦται ἕξεις γίνονται καὶ αἱ μὲν ἔχουσαι τὸ μέτρον ἐπαινεῖται, αἱ δὲ παρὰ τὸ μέτρον ψέκται, ἢ τῇ φρονήσει ἐπακολουθοῦσιν αἱ μεμετρημέναι ἕξεις, τῇ δ' ἀφροσύνῃ αἱ διημαρτημέναι καὶ ἄμετροι; ἢ μᾶλλον τῇ σωφροσύνῃ;. καθ' αὑτὴν μὲν γάρ, φησίν, ἐστίν, ὡς προελθὼν ἐρεῖ, περὶ τὰς διὰ τῆς ἁφῆς ἡδονάς. παρακολουθεῖ δὲ τῷ σώφρονι τὸ καὶ ὁρατικῷ εἶναι τῶν ὁρατῶν μέχρις οὗ δεῖ καὶ ὧν δεῖ καὶ κατὰ τοὺς ἄλλους διορισμούς, τῷ δ' ἀκολάστῳ τὸ ἄπληστον ἐν πᾶσι, τῷ δ' ἀναισθήτῳ τὸ ἐλλείπειν ἐν πᾶσι. περὶ τούτων σκεπτέον· ταῦτα γὰρ λεκτέον καὶ περὶ τῶν κατὰ τὴν ἁφὴν καὶ περὶ τῶν κατὰ τὴν ὄσφρησιν. αὐτὸς μέντοι ἐν τοῖς ἑξῆς ἐπέξεισιν, ὅτι οὐκ ἔστιν ἡ σωφροσύνη οὐδ' ἡ ἀκολασία περὶ τὰς κατὰ τὴν ἀκοὴν ἡδονὰς οὐδὲ περὶ τὰς κατὰ τὴν ὀσμήν· τοὺς γὰρ χαίροντας, φησί, θυμιαμάτων ὀσμαῖς ἢ ῥόδων ἢ μήλων οὐ λέγομεν ἀκολάστους, τοὺς δὲ χαίροντας σφόδρα ταῖς τῶν ὄψων ὀσμαῖς ἢ ταῖς τῶν μύρων, διότι ἀνάμνησις αὐτοῖς γίνεται τῶν ἐπιθυμημάτων. μύροις μὲν χαίρουσιν ἀναμιμνησκόμενοι τῶν ἑταιρῶν, ὄψων δ' ὀδμαῖς ἐννοοῦντες τὴν κατὰ τὴν βρῶσιν ἡδονήν· ἐπεὶ καὶ κατὰ τὰς ἄλλας τὰς προειρημένας αἰσθήσεις ἐνδέχεται κατὰ συμβεβηκὸς χαίρειν τὸν ἀκόλαστον· ἰδὼν γὰρ τὴν ἑταίραν ἢ τὸ ὄψον χαίρει ἐννοῶν τὴν ἀπόλαυσιν καὶ ἀκούσας φθεγγομένης τῆς ἑταίρας ἢ τῶν περὶ ὄψου διηγημάτων. αὕτη δ' οὐκ ἔστιν ἁπλῶς κατ' ὄψιν ἡδονὴ ἢ κατ' ἀκοήν, ἀλλ' ὅταν ἐπὶ μηδὲν ἄλλο ἀναφέρων χαίρῃ ἀλλ' ἐπὶ τὸ ὁρατὸν ἢ τὸ ἀκουστόν, ὅπερ πάσχει κατὰ τὴν ὄψιν, ὁ χαίρων αὐτοῖς τοῖς χρώμασιν ἢ τοῖς σχήμασι, κατὰ δὲ τὴν ἀκοὴν ὁ χαίρων αὐτοῖς τοῖς μέλεσι. παραπλησίως δὲ ἔχει καὶ ἐπὶ τῆς ὀσφρήσεως· καθ' αὑτὰς γάρ εἰσιν ἡδεῖαι ὀσμαί, ὅταν ἐπὶ μηδὲν ἄλλο ἀναφέρων τις ἥδηται ἢ ἐπὶ τὴν ὀσμήν, οἷαί εἰσιν αἱ ἀπὸ τῶν ἀνθῶν, κατ' ἀναφορὰν δὲ τὴν ἐπὶ τὰ βρώματα κατὰ συμβεβηκός εἰσιν ἡδεῖαι. διὸ καὶ τοὺς ἄλλους ἀνθρώπους, οἳ μήτε σώφρονες μήτε ἀκόλαστοι λέγονται, ἴδοι ἄν τις χαίροντας ταῖς τῶν βρωμάτων ὀδμαῖς, ὅταν πεινῶσιν, ὅταν δὲ μὴ πεινῶσι, μηκέτι χαίροντας ὡς οὐχ ἑπομένης καθ' αὑτὴν τῇ ὀσμῇ τῆς ἀπὸ τῶν βρωμάτων ἡδονῆς, ἀλλὰ κατὰ συμβεβηκός. φησὶ δὲ μηδὲ τοῖς ἄλλοις ζῴοις κατὰ ταύτας εἶναι τὰς αἰσθήσεις ἡδονήν (λέγω δ' ὄψιν ἀκοὴν ὄσφρησιν) πλὴν κατὰ συμβεβηκός· οὐ γὰρ οὕτω χαίρουσι ταῖς ὀδμαῖς τῶν λαγωῶν οἱ κύνες ὡς οἱ ἄνθρωποι τῇ τῶν ἀνθῶν, ἀλλὰ κατ' ἀνάμνησιν τῆς βρώσεως· οὐδ' ὁ λέων τῇ φωνῇ τοῦ βοὸς οὕτως χαίρει ὡς ὁ ἄνθρωπος τῷ μέλει, ἀλλὰ χαίρει μὲν ὁ λέων τῇ ἐδωδῇ

4 γίνονται Z: ἐγγίνονται N   παρὰ NZ^2: περὶ Z   7 ἡδονάς] ονὰς suppl. Z^2
8 σώφρονῆ N   9 καὶ om. Z   13 ἀκοὴν ἡδονὰς NZ^2: ἡδονὰς ἀκοὴν Z
14 μὲν ante γὰρ add. Z^2 16 ἐπιθυμημάτων N et Arist. K^b: ἐπιθυμιμάτων Z: ἐπιθυμητῶν Arist. vulg.   17 ἀναμιμνησκόμενοι ex ἀναμεμνησκόμενοι N   18 βρῶσιν ex βρόσιν Z^2 τὰς post ἄλλας om. N   20 φεγγομένης Z   22 χαίρει Z
23 κατὰ μὲν τὴν ὄψιν N   27 δὲ om. N   29 χαίρωντας N   31 ὀσμῇ Z: ὀδμῇ N   συμβεβηκῶς N   34 αἱ κύνες Arist.   35 λέων corr. ex λέγων Z
36 χαίρει om. N   ὁ om. N   ἀλλὰ — μέλιτι (p. 90,1) bis N

τοῦ βοὸς [οὕτω χαίρει ὡς ἄνθρωπος τῷ μέλιτι], ὅτι δ' ἐγγύς ἐστι, διὰ τῆς φωνῆς ᾔσθετο· οὐδ' εὑρὼν ἔλαφον οὕτως χαίρει ὡς σχήμασιν ὁ ἄνθρωπος ἢ τοῖς σώμασιν, ἀλλ' ὅτι βορὰν ἔχει. διὰ τοῦτό φησι μὴ εἶναι διὰ τῶν εἰρημένων αἰσθήσεων ἡδονὴν τοῖς ἄλλοις ζῴοις, ὅτι οὐ κατὰ ψιλὰ τὰ ὁρατὰ ἢ τὰ ἀκουστὰ ἢ τὰ ὀσφραντὰ ἡδοναὶ αὐτοῖς γίνονται, ἀλλὰ κατ' ἀνάμνησιν ἀφροδισίων ἡδονῶν μόνον μετέχουσι τὰ λοιπὰ ζῷα· περὶ τὰς τοιαύτας δὲ ἡδονάς ἐστι ἡ σωφροσύνη καὶ ἀκολασία, ὧν καὶ τὰ λοιπὰ ζῷα κοινωνεῖ· αὗται δ' εἰσὶν αἱ δι' ἁφῆς καὶ γεύσεως. διὸ ἀνδραποδώδεις καὶ θηριώδεις φαίνονται κοιναὶ οὖσαι καὶ τοῖς ἀλόγοις καὶ τοῖς ἀνδραπόδοις. φαίνονται δέ, φησί, καὶ τῇ γεύσει ἐπὶ μικρὸν ἢ μηδὲν χρῆσθαι· τοῦτο δὲ ἤτοι περὶ μόνων λέγει τῶν ἀκολάστων ἢ καὶ περὶ τῶν σωφρόνων, ὡς τῶν μὲν σωφρόνων μετρίως χαιρόντων ταῖς ὀσμαῖς, τῶν δ' ἀκολάστων καθ' ὑπερβολήν· λέγω δὲ ὀσμαῖς ταῖς ἀπὸ τῶν βρωμάτων ἢ ποτῶν· διὸ καὶ μᾶλλον δοκεῖ περὶ τῶν ἀκολάστων λέγεσθαι· ἔστι μὲν γὰρ τῆς γεύσεως ἡ κρίσις· ἤδη δὲ ἕξιν τινὲς τοιαύτην πεποίηνται, ὥστε διαγνώσκειν ἐκ τῶν ὀδμῶν τοὺς οἴνους, τὸν αὐστηρὸν καὶ γλυκύν, καὶ ὅλως τὰς διαφορὰς αὐτῶν, καὶ τὰ ὄψα ἀρτύουσιν ὀσμώμενοι, ὥστε ἐνδέχεται διὰ τὴν αὐτὴν ἕξιν καὶ αὐταῖς χαίρειν ταῖς ὀδμαῖς τὸν ἀκόλαστον ὑπερβαλλόντως. ἀλλ' ὅμως φησὶν ὅτι οὐκ αὐταῖς καθ' αὑτὰς χαίρουσιν, ἀλλὰ τῇ ἀπολαύσει, ἥτις πᾶσα δι' ἁφῆς ἐστι καὶ ἐν σιτίοις καὶ ἐν ποτῷ καὶ τοῖς ἀφροδισίοις λεγομένοις. τὸ δὲ λεγομένοις προσέθηκεν, εὐλάβειαν φιλοσόφῳ πρέπουσαν εὐλαβηθείς· οὐ γὰρ αὐτὸς ὀνομάζει αὐτά, φησίν, ἀφροδίσια ἀλλ' ὠνομασμένοις χρῆται. εἰπὼν δὲ κοινοτάτην εἶναι πᾶσι τοῖς ζῴοις αἴσθησιν, καθ' ἣν ἡ ἀκολασία (κατὰ γὰρ τὴν ἁφήν, ἥτις κοινὴ πᾶσιν ἐστὶ τοῖς ζῴοις), ἐπιφέρει· καὶ δόξειεν ἂν δικαίως ἐπονείδιστος εἶναι, ὅτι οὐχ ᾗ ἄνθρωποί ἐσμεν ὑπάρχει, ἀλλ' ᾗ ζῷα. τοῦτο δὴ ἔχει τινὰ ἀπορίαν· δοκεῖ γὰρ ἀκολασία καὶ ὅλως πᾶσα κακία ἴδιος εἶναι τοῦ ἀνθρώπου, τῶν δ' ἄλλων ζῴων οὐδὲν ἀκόλαστον, οὐδὲ γὰρ σῶφρον, ἀλλὰ καὶ ὅσα λέγομεν ἀκόλαστα διὰ τὸ ἀφροδισιαστικὸν μεταφέροντες λέγομεν. ἔοικεν οὖν τοῦτο λέγειν. ἐπονείδιστος ἡ ἀκολασία, ὅτι οὐχ ᾗ ἄνθρωποί ἐσμεν χαίρομεν ταῖς ποιητικαῖς αὐτῆς ἡδοναῖς, ἀλλ' ᾗ ζῷα. ποιητικαὶ μὲν γὰρ αὐτῆς ἡδοναὶ αἱ δι' ἁφῆς, αὗται δὲ κοιναὶ τοῖς ζῴοις. διὸ καὶ ἐπιφέρει· τὸ δὴ τούτοις χαίρειν καὶ μάλιστα ἀγαπᾶν θηριῶδες, δηλαδή· καὶ ἐπιφέρει, εἰλικρινῶς βουλόμενος δεῖξαι περὶ ποίας ἡδονάς ἐστιν ἡ ἀκολασία καὶ ἡ σωφροσύνη· οὐδὲ γὰρ περὶ τὰς δι' ἁφῆς πάσας· περὶ γὰρ τὰς ἐν τοῖς γυμνασίοις διὰ τρίψεως καὶ θερμασίας γενομένας ἡδονάς, αἳ δὴ ἐλευθεριώταταί εἰσι

1 οὕτω — μέλιτι delevi duce Feliciano μέλιτι ZN: μέλει Z² 2 οὐδ' Z: ὁ δ' N 3 an χρώμασιν? ἕξει Arist. 4 ψηλὰ N 5 ὁρατὰ Z: ὄργανα N 7 δὲ Z et Arist. LᵇMᵇ: δὴ N et Arist. vulg. ἐστι καὶ ἡ N ἡ ἀκολασία N et Arist. 10 γεύσει N et Arist.: ὀσφρήσει Z μηδὲν ZN: οὐθὲν Arist. 15 κρίσις corr. ex κρίσης N 19 αὑτὰς Diels: αὐταῖς ZN ἥτις Z: εἴ τις N 20 σιτίοις Z: σίτῳ N ποτῷ ZN: ποτοῖς Arist. 22 ὀνομάζειν N 23 κοινωτάτην N 25 ᾗ Z: οἱ N 26 ἔχειν N 28 σῶφρον NZ²: σώφρων Z 30 αὐτῆς Z: αὐταῖς N 32 μάλιστα ex μάλλιστα N 36 ἐλευθεριότατοι N

τῶν δι' ἁφῆς καὶ ἥκιστα κοιναὶ τοῖς ἄλλοις ζῴοις, οὐ γίνονται, ἀλλὰ περί τινα μέρη.

Ἑξῆς δὲ βουλόμενος τὰς τῶν ἀκολάστων διαφορὰς φανερὰς ποιῆσαι διαιρεῖ πρότερον τὰς ἐπιθυμίας αἷς ἀκολουθοῖεν ἂν καὶ ἡδοναί· καὶ ὅσα εἴδη ἐπιθυμίας, τοσαῦτα καὶ ἡδονῶν· ὥστ' εἰ φανεῖεν αἱ ἡδοναί, δῆλα ἔσται καὶ τὰ τῶν ἀκολασιῶν εἴδη. ἄλλαι γὰρ περὶ ἄλλην ἡδονὴν ἀκολασίαι. τῶν δὴ ἐπιθυμιῶν αἱ μὲν κοιναί, αἱ δ' ἴδιοι καὶ ἐπίθετοι· κοινὰς μὲν οὖν λέγει τὰς φυσικάς· αὗται δ' εἰσίν, ὡς προελθὼν λέγει, ὧν ἐνδεεῖς ὄντες ὀρεγόμεθα ἀναπληρώσεως, οἷον ἡ τῆς ξηρᾶς τροφῆς ἐπιθυμία καὶ τῆς ὑγρᾶς. εἴη δ' ἂν σὺν ταύταις καὶ ἡ τῆς εὐνῆς μάλιστα τοῖς ἡβῶσιν· ἰδίους δὲ καὶ ἐπιθέτους προσεπιμηχανᾶταί τινας ταῖς φυσικαῖς ἢ καὶ ὅλως παρὰ φύσιν· ἐπιθέτους δ' αὐτὰς ὀνομάζει, δι' ὃ πρόσκεινται καὶ οὐχ ὑπ' αὐτῆς εἰσιν εἰσηγμέναι τῆς φύσεως· εἴη ἂν οὖν ἡ διαίρεσις τοιαύτη τῶν ἐπιθυμιῶν· αἱ μὲν φυσικαὶ αἱ δ' ἴδιοι· τῶν δ' ἰδίων αἱ μὲν ἐν τοῖς φυσικοῖς νοσηματικαί τινων, αἱ δὲ παντελῶς παρὰ φύσιν. τὸ μὲν οὖν κυρίως φυσικόν ἐστιν ἁπλῶς ὀρέγεσθαι πλησμονῆς τὸν ἐνδεᾶ· ἐν δὲ τούτῳ ἐφ' ἓν φησιν ἁμαρτάνειν, ὅταν ὑπερεμπίπλασθαί τινος ὀρέγωνται οὐ πάντως πολυτελῶν βρωμάτων ἢ πομάτων ἐπιθυμοῦντες ἀλλ' ἐνίοτε καὶ τῶν τυχόντων. ὀλίγοι δ' εἰσὶν οἱ τοιοῦτοι καὶ ἀνδραποδωδέστατοι· καλοῦνται δὲ γάστριες. τῶν δ' ἰδίων ἡδονῶν αἱ μέν εἰσιν, ὡς ἔφαμεν ἐν ταῖς φυσικαῖς, οὐκ ἐπὶ τὸ πλέον οὖσαι ἁπλῶς· αὗται γὰρ εἴρηνται ὅτι ἐν αὐτῇ τῇ ὀρέξει τῆς πλησμονῆς οὐχ ὑπερβάλλουσιν. ἀλλὰ τῷ ἐπιτεταμένως ἔχειν περί τι καὶ σφοδρῶς, οἳ δὴ καὶ φιλοτοιοῦτοι λέγονται, οἷον φίλοινοι καὶ φιλογύναιοι καὶ φιλόψυχοι. διό φησι τὴν μὲν τῆς τροφῆς ὄρεξιν καὶ τῆς εὐνῆς φυσικὴν εἶναι, τὰς δὲ τοιάσδε ἢ τοιάσδε οὐκέτι παντὸς οὐδὲ τῶν αὐτῶν. διὸ φαίνεται ἡμέτερον εἶναι· δηλονότι οἱ μὲν ἁπλῶς ὀρέγονται ἀναπληρώσεως, οὐδὲν περιεργαζόμενοι περὶ τὴν τροφήν. οἱ δὲ πάντως πολυτελοῦς γλίχονται καὶ περὶ τὴν πολυτέλειαν ἐπτόηνται ὄψων ἢ οἴνων. † οἵτινες ἤδη ἡμέτερον τὸ ἢ νενοσηκέναι πρὸς ταῦτα ἢ μή· ἀλλ' ἔχειν γέ τί φησι φυσικὸν τὰς τοιαύτας· ἕτερα γὰρ ἑτέροις ἡδέα καὶ ἐνίοις γε τὰ τυχόντα ἡδίω ἐστὶ τῶν πολυτελῶν. δῆλον δ' ὅτι καὶ φύσει οἱ μὲν πρὸς τοὺς τοιούσδε ἡδέως ἔχουσι χυμούς, οἷον πρὸς τοὺς γλυκεῖς οἴνους ἢ αὐστηρούς. τοῦτο μὲν οὖν ἴσως φυσικόν, τὸ δ' ἐπτοῆσθαι περί τι καὶ σφοδρῶς ἔχειν ἤδη ἡμέτερον, πρὸς ὃ νῦν ἐφ' ἓν τὸ φυσικὸν ἔφησεν, εἰρημένων καὶ τούτων τῶν ἁμαρτιῶν ἐν τοῖς φυσικοῖς· ἢ ὅτι, ὥσπερ προείπομεν, φυσικὴ ἐπιθυμία ἐστὶ τῆς ἀναπληρώσεως· ἐν δὲ ταύτῃ τὸ ὑπερπληροῦσθαι ἁμάρτημα· αἱ δ' ἐπιτεταμέναι

3 ποιῆσαι suppl. Z^2 4 καὶ ὅσα Z: ὅσα γὰρ N 10 ἰδίως N 11 ἢ om. N παρὰ N: περὶ Z 13. 14 αἱ δ' ἴδιοι Z bis, sed alterum deletum 16 τὸν Z: τῶν N ἐνδεᾶ] ᾶ suppletum a Z^2 18 ἀνδραποδωδέστατοι Z^2: ἀνδραποδέστατοι NZ 19 γάστριες ZN et Arist. O^b: γαστρίμαργοι Arist. vulg. 21 οὐχ om. N 22 δὴ N: δὲ Z 24 τοιάσδε (post δὲ) NZ^2: om. Z οὐκ ἐπὶ παντὸς Z 26 πάντως Z: πάντες N πολυτελοῦς NZ^2: πολυτελεῖς Z 27 ἐπτώηνται N 27. 28 οἵτινες ἤδη ZN: ἤ τινος ἄλλου· διὸ φαίνεται Z^2: ᾤετο δ' ἤδη Diels 28 ἦν ἐνισηκέναι N οὐ μὴν ante ἀλλ' add. Z^2 29 ἡδέα Diels: ἡδίω ZN 33 τῶν om. Z 35 ὑπερπληροῦσθαι Z^2: ἀναπληροῦσθαι Z: ὑπερπληροῦν N ἐπιτεταγμέναι N

† καὶ νοεῖν γάρ τι καὶ διαθέσεως περὶ ὃ ἤδη ἴδιοι εἶεν φυσικαὶ μέν, παρεκβαίνουσι δέ πως τὴν φύσιν τῷ ἰδιόν τι εἶδος παρέχειν ἐπιθυμιῶν. ὅτι δ' οὕτως λέγει, προελθὼν σαφέστερον ποιεῖ· λέγει γὰρ περὶ τὰς ἰδίας τῶν ἡδονῶν πολλοὶ καὶ πολλαχῶς διαμαρτάνουσι.

Τῶν γὰρ φιλοτοιούτων λεγομένων ἕως καὶ ὡς οὐχ οἱ πολλοί χαίρουσιν. ἐν γὰρ τούτοις δύο εἴδη ὑπογράφει τῶν ἰδίων ἡδονῶν, τὸ μὲν ἕτερον τῶν χαιρόντων οἷς μὴ δεῖ, ὃ καὶ παντελῶς παρὰ φύσιν ἐστὶν καὶ οὐδὲ ὀνομάζειν ἄξιον· τὰ εἴδη ταῦτα τῶν ἀκολαστῶν· πολλὰ γάρ ἐστιν ὑφ' ἓν τὰ παρὰ φύσιν τῶν ἐπιθυμιῶν εἶδος τεταγμένων· ἄλλο δ' ἐστὶ τὸ μᾶλλον ἢ ὡς οἱ πολλοὶ χαίρειν ὡς δεῖ· μέτρον μὲν οἱ πολλοί εἰσι· σχεδὸν γάρ τι οἱ πολλοὶ φέροντες ἐπὶ τὸ μὴ ὑπερβάλλειν ἐν ταῖς ἡδοναῖς, οὐ μὴν ἀκριβοῦσιν. οἱ μὲν οὖν ἀκόλαστοι μᾶλλον ἢ χεῖρον ἢ ὡς οἱ πολλοὶ χαίρουσιν, οἱ δὲ σώφρονες ἄμεινον τῶν πολλῶν· τὸ δὲ μὴ ὡς δεῖ ἢ ὡς δεῖ τοιοῦτόν ἐστιν, ὅτι ὡς οὐ δεῖ ποιοῦσι τὸ μᾶλλον ἢ ὡς δεῖ· ὥσπερ οὖν τῶν ἐπιθυμιῶν δύο τὰ ἀνωτάτω εἴδη, τὸ μὲν κοινόν, τὸ δ' ἴδιον, τοῦ δ' ἰδίου τὸ μὲν ἐν τοῖς κατὰ φύσιν, οὕτως καὶ τῶν ἡδονῶν τοσαῦτα ἂν εἴη εἴδη ἀκολασίας καὶ αὗται παρέχονται διττὸν εἶδος. ἢ γὰρ τῶν παρὰ φύσιν ἡδονῶν ἐφίενται ἢ ἐν τοῖς κατὰ φύσιν μᾶλλον ἢ δεῖ καὶ οὐχ ὡς δεῖ αἱ νοσηματικαὶ γίνονται· ὑπὸ δὲ ταῦτα εἴδη πλείω, φιλοψία, φιλοινία καὶ ὅσαι τοιαῦται.

Ἡ μὲν οὖν περὶ τὰς ἡδονὰς ὑπερβολὴ ὅτι ἀκολασία, δῆλον, περὶ δὲ τὰς λύπας λέγεται εἶναι ἡ σωφροσύνη καὶ ἡ ἀκολασία οὐ τῷ ὑπομένειν καθάπερ ἀνδρεία, ἀλλ' ὡς ἤδη προείρηται πολλάκις, τῷ μὴ λυπεῖσθαι μὲν τῇ ἀπουσίᾳ τῶν ἡδονῶν ὁ σώφρων λέγεται, τῷ δὲ λυπεῖσθαι ὁ ἀκόλαστος. λυπεῖται γάρ, ὥς φησιν, ἀποτυγχάνων, καὶ ἐπιθυμῶν δὲ λυπεῖται· πᾶσα γὰρ ἐπιθυμία μετὰ λύπης. ὁ γὰρ ἡδονῆς σφόδρα ἐπιθυμῶν σφόδρα λυπεῖται. θαυμαστῷ δ' ἔοικε τὸ καὶ διὰ τὴν ἡδονὴν λυπεῖσθαι· ἔστι δ' οὐ θαυμαστόν· οὐ γὰρ ἔχων τις ἡδονὴν ἤδη λυπεῖται ἀλλ' ἐφιέμενος αὐτῆς καὶ ἡγούμενος αὐτὸν ἐνδεᾶ τῶν ἡδίστων εἶναι. οἱ δὲ περὶ τὰς ἡδονὰς ἐλλείποντες οὐ πάνυ γίνονται· οὔτε γὰρ ἀνθρωπικὴ οὔτε παντὸς ζῴου ἡ τοιαύτη ἀναισθησία. καὶ γὰρ τὰ ἄλλα ζῷα διακρίνει τὸ ἐν τῇ τροφῇ ἡδὺ καὶ λυπηρόν. ⟨εἰ δέ τῳ μὴ διαφέρει ἕτερον⟩ ἑτέρου πρὸς ἡδονήν, ἀψύχῳ ἔοικεν. ἔστι δὲ ἀνώνυμος διὰ τὸ μηδὲ γίνεσθαι, καλεῖ δὲ αὐτὸν ἐνίοτε ἀναίσθητον. ὁ δὲ σώφρων μέσως ἔχει περὶ πάντα· οὔτε γὰρ χαίρει οἷς ὁ ἀκόλαστος (ὁ μὲν γὰρ ταῖς ὑπερβολαῖς τῶν ἡδονῶν ἥδεται, ὁ δὲ ταῖς ὑπερβολαῖς δυσχεραίνει), οὔτε δὲ ὅλως οἷς μὴ δεῖ χαίρει. τὰς μὲν γὰρ ἐν ταῖς φυσικαῖς ἡδοναῖς ἀμετρίας οὐ προσίεται, τῶν δὲ παρὰ φύσιν οὐδὲ ἀκούειν ἀνέχεται οὐδὲ ἐπιθυμεῖ· ἀλλ' ἢ μετρίως τῶν αναγ-

1 καὶ νοεῖν — εἶεν corrupta; καὶ νοσηματικαὶ (cf. v. 18) διαθέσεις, περὶ ἃς ⟨ἂν⟩ ἤδη ἴδιοι εἶεν, temptat Diels νοεῖν γὰρ] ἴσως ἔχουσαι Z² in marg. μὲν πα suppl. Z² 2 ὅτι suppl. Z² 5 ὡς οὐχ Z et Arist. Nb: οὐχ ὡς N: οὐχ Arist. vulg. 6 εἴδη Z²: ἤδη Z: εἰδίων N 9 ἄλλοι N 12 ἢ (ante ὡς) om. Z 14 τὸ om. N 15 ἀνώτατα Z 17 τοῖς Z: τῷ N 18 αἱ Z: αἱ καὶ N 23 μὲν τῇ — λυπεῖσθαι om. Z 26 τὸ ex τῷ Z 30 τὰ om. Z εἰ — ἕτερον (31) Z² praemissis ἴσως λείπει: om. ZN 31 ἀψύχῳ Z²: ἀψύχου ZN οὔτε Diels: οὐδὲ ZN 34 δυσχαιραίνει N 36. p. 93, 1 τῶν ἀναγκαίων bis N

καίων καὶ ὅσα πρὸς ὑγίειάν ἐστι καὶ εὐεξίαν φέροντα, τούτων ὀρέγεται. μετρίως δὲ καὶ οὐχ ὥστε παρὰ τὸ καλὸν αὐτῶν τινος ἐφίεσθαι οὐδ' ὑπὲρ τὴν οὐσίαν· καὶ γὰρ τοῦτο οἰκεῖον τῷ σώφρονι μὴ ὑπὲρ τὴν οὐσίαν χρῆσθαι ταῖς ἡδοναῖς.

Ἔστι μὲν οὖν καὶ ἡ δειλία καὶ ἡ ἀκολασία τῶν ἑκουσίων· τὴν μὲν γὰρ ἡδονὴν ἑκόντες αἱρούμεθα, ἡ δὲ ἀκολασία τῷ μὴ αἱρεῖσθαι ἃς μὴ δεῖ ἡδονάς. ὑπὲρ δὲ τῆς ἡδονῆς καὶ τῆς λύπης ἄκοντες ἐξελαυνόμεθα καὶ διωκόμεθα· τοιοῦτον δὲ καὶ ἡ δειλία. καὶ ἡ μὲν λύπη ἐξίστησι τῶν κατὰ φύσιν καὶ φθείρει πως τὴν τοῦ ἔχοντος φύσιν, ἡ δὲ ἡδονὴ οὐδὲν ἔχει τοιοῦτον, ὥς φησιν. ἐξίστανται μὲν οὖν τινες καὶ ὑπὸ τῶν ἡδονῶν ἀλλ' οὐχ οὕτως ὥστε συγχεῖσθαι τὴν φυσικὴν κατάστασιν, ὅπερ δοκεῖ κατὰ τὴν ἀλγηδόνα μᾶλλον εἶναι καὶ τὸν πόνον· διὸ καὶ ἐπονειδιστότερον τόδε τοῦ ἧττον ἑκουσίου. ἔτι δὲ τὸ ἐθισθῆναι πρὸς τὸ κρατεῖν τῶν ἡδονῶν ῥᾷον· ἀκίνδυνοι γὰρ οἱ εἰθισμένοι ὥστε ἐπονείδιστον εἰκότως μᾶλλον τὸ μὴ ἐθίσαι ἑαυτὸν πρὸς τὸ μὴ ἀντέχειν ταῖς ἡδοναῖς, ἢ τὸ μὴ ἐθίσαι πρὸς ὑπομονὴν τῶν φόβων. ἔχει δέ τινα καὶ ἄλλην ἐναντίωσιν τὰ κατὰ τὴν δειλίαν πρὸς τὰ κατὰ τὴν ἀκολασίαν. ἡ μὲν γὰρ δειλία αὐτὴ ἄλυπος· οὐ γὰρ ἄχθεται ὁ τὴν ἕξιν ἔχων αὐτήν. τὰ δὲ καθ' ἕκαστον συμβαίνοντα ἐπ' αὐτῇ λυπηρὰ καὶ δεινά. ἐξίστανται γὰρ ἐν τοῖς δεινοῖς καὶ φοβούμενοι ἀνιῶνται καὶ δεινῶς ἀσχημονοῦσιν· ἀνάπαλιν δὲ ⟨τὰ κατὰ τὰς ἡδονάς·⟩ διὸ καὶ ἑκούσια φαίνονται· ἐπιθυμοῦντι γὰρ καὶ ἡδομένῳ γίνεται. ἡ δ' ἕξις λυπηρά· ἀνιῶνται γὰρ ἐπὶ τῇ ἀκολασίᾳ οἱ ἔχοντες αὐτὴν διὰ τὸ ἐπονείδιστον αὐτὴν σφόδρα εἶναι· διό φησιν οὐδεὶς γὰρ ἐπιθυμεῖ ἀκόλαστος εἶναι.

Τὸ δ' ὄνομα τῆς ἀκολασίας, ὥς φησι, φέρομεν καὶ ἐπὶ τὰς παιδικὰς ἁμαρτίας. λέγομεν γάρ τινας παῖδας ἀκολάστους, ὅσοι ἂν ἀπειθεῖς ὦσι τοῖς παιδαγωγοῖς καὶ πολλὰ ἁμαρτάνωσι παιδικὰ ἁμαρτήματα. πότερον δὲ ἀπὸ τῶν παίδων ἐπὶ τοὺς ἀκολάστους ἄνδρας τὸ ὄνομα μετενήνεκται ἢ ἀνάπαλιν, οὐδέν φησι διαφέρειν πρὸς τὸν νῦν λόγον. δῆλον δ' ὅτι τὸ ὕστερον ἀπὸ τοῦ προτέρου ὠνόμασται. ἀπὸ δὲ τούτου, ἔστι μέν πως εἰπεῖν, ἀπὸ τοῦ ἀκολάστου παιδὸς ἐπὶ τὸν ἄνδρα μετενήνεκται· πρότερον γὰρ τοῦ ἀνδρός· ἔστι δέ πως εἰπεῖν ἀπὸ τοῦ ἀνδρὸς ἐπὶ τὸν παῖδα· ἁπλῶς γὰρ πρότερον τὸ τελειότερον τοῦ ἀτελοῦς· τελειότερον δ' ὁ ἀνήρ. διαφέρει δ' οὐδὲν ὁπότερον οὖν ἀφ' ὁποτέρου μετενήνεκται. ἀλλ' ἔχει πολλὴν ὁμοιότητα. κεκολάσθαι μὲν γὰρ δεῖ πᾶν τὸ τῶν αἰσχρῶν ὀρεγόμενον καὶ πολλὴν ἔχον αὔξησιν· τοιοῦτον δὲ ἡ ἐπιθυμία· ὀρέγεται γὰρ πολλάκις τῶν αἰσχρῶν, κἂν μὴ κωλύηται

1 ὑγείαν N ὀρέγεται suppl. Z² 5 ἔστην N 6 αἱρούμεθα corr. ex ἐρούμεθα N 8 δὲ Z: γὰρ N φθείρει Z: φθείρεται N 12 πόνον Z: τόπον N τόδε τοῦ Z²: τό τε ZN 17 αὐτὴν Diels: αὐτῆς Z²: αὐτῶν ZN 19. 20 τὰ κατὰ τὰς ἡδονὰς Z² in marg. praemissis ἴσως λείπει: om. ZN 21 αὐτὴν Z: αὐτὸν N supra lin. 24 καὶ om. N 26 δὲ om. N 27 μετήνεγκται Z 28 διαφέρει N 30 μετήνεκται N 33 ἀφ' ὁποτέρου Z: ἀμφοτέρου N 34 γὰρ Z²: ὡς ZN ἔχον N: ἔχον ex ἔχων Z ἔχον αὔξησιν Arist. Kᵇ: αὔξησιν ἔχον Arist. vulg. 35 καὶ ἣν Z

καὶ κολάζηται, μεγάλην λαμβάνει τὴν ἐπίδοσιν· τοιοῦτον δὲ καὶ ὁ παῖς· κατ' ἐπιθυμίαν γὰρ ζῶσι καὶ τὰ παιδία καὶ πολλὴν ἐπίδοσιν ἔχουσι πρὸς ἑκάτερα, πρός τε τὸ εὖ, ἂν κολάζηται, καὶ πρὸς τὸ ἐναντίον, ἂν μένῃ ἀκόλαστα· καὶ πολλὴ ἐν τοῖς παισὶν ἡ τοῦ ἡδέος ὄρεξις. δεῖ οὖν ἔν τε τῷ παιδὶ εὐπειθῆ εἶναι τὴν ἐπιθυμίαν τῶν ἀρχομένων ὑπὸ παιδαγωγῶν ἢ διδασκάλων· οἰκεῖον γὰρ ἔχει λόγον· ἐν τε τῷ ἀνδρὶ δεῖ τὸ ἐπιθυμητικὸν ὡς ὑπὸ παιδαγωγῷ λόγον ἔχοντι τετάχθαι. καὶ ταύτῃ οὖν ἔοικεν ἡ κατὰ τοὺς παῖδας ἀκολαστότης τῇ κατὰ τοὺς ἄνδρας· ἐν ἀμφοτέροις γὰρ τῷ ἄρχοντι ἀπειθεῖ τὸ ἐπιθυμητικόν· δεῖ δ' εὐπειθεῖς εἶναι καὶ ὑπὸ τὸ ἄρχον τετάχθαι· εἰ δὲ μή, ἐπὶ πολὺ προέρχεται οὕτως ὥστ' ἐνίοτε ἐν τοῖς ἀνδράσι τὸν λογισμὸν ἐκκρούουσι, τουτέστιν ἄχρηστον ποιοῦσιν, αἱ σφοδραὶ καὶ πολλαὶ ἐπιθυμίαι· δεῖ δ' αὐτὰς μετρίας εἶναι καὶ τῷ λόγῳ μὴ ἐναντιοῦσθαι. τοῦτο γάρ ἐστι τὸ κεκολάσθαι καὶ τὸν μὲν παῖδα κατὰ τὸ πρόσταγμα τοῦ παιδαγωγοῦ ζῆν, τὸν δὲ ἄνδρα κατὰ τὸ πρόσταγμα τοῦ λόγου. τοῦ δὴ σώφρονος τὸ ἐπιθυμητικὸν σύμφωνόν ἐστι τῷ λόγῳ καὶ οὐ καταδυναστευόμενον ἄγεται ὥσπερ τὸ τοῦ ἐγκρατοῦς, ἀλλ' οὕτω πεπαίδευται, ὥστε ἐπιθυμεῖν ὧν δεῖ καὶ ὅσα κατὰ τοὺς ἄλλους διορισμούς· οὕτω δὲ καὶ ὁ λόγος τάττεται.

1 καὶ NZ²: om. Z τοιοῦτον Z: τοιοῦτος N 4 οὖν om. N 6 γὰρ Z: δὲ N τε scripsi: δὲ ZN 7 καὶ ταύτῃ scripsi: καὶ ταύτην N: κατὰ ταύτην Z 11 ἄχριστον ZN 13 κεκο(λλ)λᾶσθαι N: κεκολᾶσθαι Z 14. 15 ἐπιθυμιτικὸν Z 16 ἐγκράτους NZ²: ἐγκρατοῦ Z 17 τάττεται ZN: τάττει Arist.

ΑΣΠΑΣΙΟΥ ΦΙΛΟΣΟΦΟΥ ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΟ Δ ΤΩΝ ΗΘΙΚΩΝ ΑΡΙΣΤΟΤΕΛΟΥΣ

p. 1119b22 Λέγομεν δὲ ἑξῆς περὶ ἐλευθεριότητος ἕως καὶ ταῖς δόσεσιν ὑπερβάλλειν.

Τὸ θεώρημα τοῦτο ἁρμόττει εἰς τὸ εὑρίσκειν ἑκάστην ἀρετήν, περὶ ποῖά τινά ἐστι μεσότης. περὶ ἃ γὰρ ἐπαινεῖται ἑκάστη, περὶ ταῦτα αὐτῆς αἱ ἐνέργειαι· περὶ ἃ δὲ ἐνεργεῖ, περὶ ταῦτα μεσότης ἐστίν, οἷον ἡ σωφροσύνη ἐπαινεῖται περὶ τὴν χρῆσιν τῶν σωματικῶν ἡδονῶν· περὶ ταῦτα γὰρ αὐτῆς ἡ ἐνέργεια· καὶ μεσότης οὖν ἐστι περὶ ἡδονάς. ὁμοίως δὲ ἔχει καὶ περὶ τῶν ἄλλων ἀρετῶν. καὶ τῆς ἐλευθεριότητος οὖν ἐπαινουμένης περὶ δόσιν καὶ λῆψιν χρημάτων, δῆλον ὡς αἵ τε ἐνέργειαι αὐτῆς περὶ χρήματά εἰσι καὶ μεσότης ἐστὶ περὶ δόσιν καὶ λῆψιν χρημάτων. χρήματα δὲ λέγεται μὲν κοινῶς πάντα τὰ πράγματα, οἷον ἐπειδὰν λέγωμέν τι χρῆμα ἔπραξεν ἀντὶ τοῦ τι πρᾶγμα ἔπραξε, καὶ τὸ χρηματίζειν δὲ ἐντεῦθεν λέγεται· λέγεται δὲ χρήματα ἐξαιρέτως ὧν ἡ ἀξία νομίσμασι μετρεῖται, οἷον οἰκία καὶ ἀνδράποδα καὶ ἔπιπλα καὶ σκεύη καὶ βοσκήματα καὶ πάντα τὰ τοιαῦτα· πόσου γάρ ἐστι τούτων ἕκαστον ἄξιον ἔστι νομίσμασι μετρῆσαι. κατὰ δὲ τοῦτο τὸ σημαινόμενον οὐκ ἔστιν ἡ ἀρετὴ χρῆμα. οὐ γὰρ ἔστιν εἰπεῖν ὅσων χρημάτων ἐστὶν ἀξία· ὑπερβάλλει γὰρ πᾶν χρῆμα. ὁμοίως οὐδ' ἡ φιλία τιμητὸν χρῆμα, ἀλλ' ὑπερβάλλει χρημάτων τὴν ἀξίαν· ὁμοίως δὲ καὶ γονεῖς καὶ πατρὶς καὶ ἁπλῶς ὅσα ὑπερβάλλει τὴν τῶν χρημάτων κτῆσιν. δοκεῖ δὲ μὴ πάνυ ἱκανῶς ἀποδεδόσθαι ὁ τῶν οὕτω λεγομένων χρημάτων ὁρισμός· τὸ γὰρ νόμισμα αὐτὸ καὶ τὸ ἀργύριον οὐ μετρεῖται νομίσματι. σχεδὸν οὖν ὁ ἐντελὴς ὁρισμὸς οὗτός

1 δ N: Δέλτα Z 3 λέγομεν ZN et Arist. LbMb et pr Ha: λέγωμεν Arist. vulg. 3. 4 καὶ ταῖς δόσεσιν ὑπερβάλλειν ZN et Arist. LbMb (p. 1120b27): καὶ δαπάναις ὑπερβάλλειν Arist. vulg. 9 οὖν ἐστι scripsi: σύνεστι ZN ἡδονὰς — περὶ om. Z: add. Z (vel 1 vel 2) in marg. 11 περὶ χρήματά εἰσιν αὐτῆς Z 14 χρηματίζεσθαι N 17 νομίσμασι scripsi: χρήμασι ZN μετρῆσαι — χρῆμα (18) NZ²: om. Z συμβαινόμενον N 19 τιμητὸν χρήμασιν N 21. 22 ἀποδεδόσθαι ex ἀποδεδῶσθαι N

ἐστι· χρῆμα δ ἢ νόμισμά ἐστιν ἢ οὗ ἡ ἀξία νομίσματι μετρεῖται. λέγεται δὲ ἐξαιρέτως χρῆμα καὶ τὸ νόμισμα αὐτὸ [χρῆμα], οἷον ἐπειδὰν λέγωμεν χρήματα ἐδάνεισεν ὁ δεῖνα. τριχῶς οὖν τὸ χρῆμα· ὧν δῆλον τίνι κέχρηται ὁ Ἀριστοτέλης· τῷ γὰρ δευτέρῳ τῶν λεχθέντων τρόπῳ.

Φησὶ δὲ καὶ τὴν ἀνελευθερίαν καὶ τὴν ἀσωτίαν περὶ χρημάτων εἶναι ὑπερβολὰς καὶ ἐλλείψεις. οὐκ ἀλόγως δὲ κοινῇ περὶ ἀμφοτέρων εἶπεν ὡς εἰσιν ὑπερβολαὶ καὶ ἐλλείψεις. ἀλλ' ἐπειδὴ ἑκατέρα αὐτῶν ἄμφω ὑπάρχει. ἥτε γὰρ ἀσωτία ὑπερβάλλει μὲν τῇ δόσει, ⟨τῇ δὲ λήψει ἐλλείπει, ἡ δ' ἀνελευθερία ἐλλείπει μὲν τῇ δόσει⟩ ὑπερβάλλει δὲ τῇ λήψει. καὶ γὰρ ἑκατέρας αὐτῶν ὑπερβολῆς οὔσης καὶ ἐλλείψεως ὅμως τὴν μὲν ἀσωτίαν ἐνίοτε ὑπερβολὴν λέγειν εἴωθε, τὴν δ' ἀνελευθερίαν ἔλλειψιν, ἐπειδὴ ἡ ἐλευθεριότης εἰδοποιεῖται μᾶλλον κατὰ τὴν μεμετρημένην δόσιν· ἐν δὲ ταύτῃ ὑπερβάλλει μὲν ὁ ἄσωτος, ἐλλείπει δὲ ὁ ἀνελεύθερος. ὡς πρὸς τὰς τῆς ἐλευθεριότητος οὖν προηγουμένας ἐνεργείας ὑπερβολὴ μέν ἐστιν ἡ ἀσωτία, ἔλλειψις δὲ ἡ ἀνελευθερία. ἁπλῶς μὲν οὖν σκοποῦντι καὶ εἰλικρινῶς τὴν ἑκατέρας οὐσίαν, καὶ φύσιν τῆς τε ἀνελευθερίας καὶ τῆς ἀσωτίας, φαίνεται ἡ μὲν ἀνελευθερία ἕξις τις εἶναι σπουδαστικὴ μᾶλλον ἢ δεῖ περὶ χρήματα, ἡ δ' ἀσωτία ἕξις φθαρτικὴ τῶν ὄντων χρημάτων· διὸ καὶ ἄσωτος καλεῖται ὁ ταύτην ἔχων τὴν ἕξιν, οἷον ἄσωτός τις ὢν καὶ δι' αὐτὸν ἀπολλύμενος· δοκεῖ μὲν γὰρ τὸ ζῆν διὰ τῶν χρημάτων εἶναι, ὁ δὲ ταῦτα καταφθείρων ἀπόλλυσί πως καὶ ἑαυτόν. ἁπλῶς μὲν οὖν, καθάπερ εἶπον, εἰδοποιεῖται ἑκατέρα τῶν κακιῶν κατὰ τὸν εἰρημένον τρόπον, οἱ δ' ἄνθρωποι τὰ πολλὰ καλεῖν εἰώθασιν ἀσώτους οὐ τοὺς ὁντιναοῦν τρόπον τὴν οὐσίαν διαφθείροντας ἀλλὰ τοὺς ἀκρατεῖς καὶ εἰς ἀκολασίαν δαπανηρούς, συμπλέκοντες δύο κακίας, ἀκολασίαν καὶ ἀσωτίαν, διὸ καὶ φαυλότατοι δοκοῦσιν εἶναι οἱ οὕτω λεγόμενοι ἄσωτοι· πολλὰς γὰρ ἅμα κακίας ἔχουσιν, ἀκρασίαν καὶ ἀσωτίαν μετὰ ἀκολασίας.

Ἑξῆς δὲ λέγει· ὧν ἐστι χρεία, ἔστι τούτοις χρῆσθαι καὶ εὖ καὶ κακῶς· χρείαν δὲ λέγει τὴν χρῆσιν· οἷς γὰρ ἔστι χρῆσθαι, τούτοις ἔστι καὶ εὖ καὶ κακῶς χρῆσθαι, οἷον ἔστι χρῆσθαι ἀργυρίῳ καὶ ἔστιν εὖ χρῆσθαι καὶ κακῶς χρῆσθαι ἀργυρίῳ· ὁμοίως δὲ καὶ ἀνδραπόδῳ οἰκίᾳ ἐπίπλῳ. πᾶσι τοῖς τοιούτοις. τάχα δ' ἄν τις ἀπορήσειε περὶ τῆς ἀρετῆς καὶ τῆς κακίας. λεγόμεθα γὰρ καὶ τούτων ἑκατέρᾳ χρῆσθαι καὶ οὐ δήπου χρώμεθα ἢ τῇ ἀρετῇ κακῶς ἢ τῇ κακίᾳ καλῶς [λέληθε]. λέγομεν δὲ πρὸς τοὺς οὕτω λέγοντας, ὅτι οὐκ ἔστι τούτων οὐδέτερον οἷς χρώμεθα ἀλλὰ τὸ χρώμενον τοῖς ἄλλοις ἐστὶν ἡ ἀρετὴ καὶ ἡ κακία. προηγουμένως μὲν γὰρ τὸν ἄνθρωπον λέγομεν

2 χρῆμα alterum del. Diels 3 ἐδάνεισεν corr. ex ἐδάνησεν N 8 ἀσωτεία N: ἀσώτου Z τῇ δὲ λήψει — δόσει (9) inserui cf. Felicianum: *prodigalitas enim dando excedit, deficit accipiendo: illiberatas vero seu avaritia contra in dandis pecuniis parca ac deficiens, in accipiendis nimia est* 9 τῇ λήψει Z[2] in albo: N post τῇ lacunam habet 8 fere litterarum 12 μεμετριμμένην N ταύτῃ δὲ Z 15 σκοποῦντι Z: σκοποῦντες N εἰληκρινῶς N ἑκατέραν N 17 ἀσωτεῖα N 20 καὶ om. N 21 κακῶν Z 22 ἀσώτους scripsi: ἀσωτίαν Z: ἀσω$^{\tau}$ N 23 φθείροντας N 30 κακῶς χρῆσθαι Z: om. χρῆσθαι N 33 λέληθε Z: λέλυθε N: ego delevi

χρῆσθαι· ἔστι δ' ὡς καὶ τὴν ψυχὴν λέγομεν εἶναι τὴν χρωμένην, ἐπειδὴ ταύτῃ μάλιστα ὁ ἄνθρωπος χρῆται· καὶ ἔτι μᾶλλον ἡ ἀρετὴ καὶ ἡ κακία χρῆται τοῖς πράγμασι, διότι καὶ ἡ ψυχὴ διὰ τῆς ἑτέρας τούτων χρῆται τοῖς πράγμασιν, ὧν ἐστι χρῆσις, ἡ μὲν εὖ ἡ δὲ κακῶς. ὁ δὴ λόγος οὕτως ἔχει· ὧν ἐστι χρῆσις, ἔστι τούτοις εὖ χρῆσθαι καὶ κακῶς, ὁ δὲ πλοῦτος ἓν τούτων ἐστίν, ὧν ἐστιν ἡ χρῆσις· ἔστιν ἄρα καὶ πλούτῳ εὖ καὶ κακῶς χρῆσθαι. ἑκάστῳ δὲ καλῶς χρῆται ὁ ἔχων τὴν περὶ τοῦτο ἀρετήν, οἷον λύρᾳ μὲν ἄριστα χρήσεται ὁ ἔχων τὴν περὶ λύραν ἀρετήν, οὗτος δέ ἐστιν ὁ μουσικός, ἵππῳ δὲ ὁ τὴν περὶ ἵππους ἀρετὴν ἔχων, οὗτος δέ ἐστιν ὁ ἱππικός, καὶ πλούτῳ δὴ ἄριστα χρήσεται ὁ ἔχων τὴν περὶ τὸν πλοῦτον ἀρετήν, οὗτος δέ ἐστιν ὁ ἐλευθέριος. οὐχ οὕτως δὲ εἶπεν, ὥσπερ ἡμεῖς εἴπομεν, ὁ πλοῦτος δέ ἐστιν ἕν, ὧν ἡ χρῆσίς ἐστιν, ἀλλ' ὁ πλοῦτος δὲ τῶν χρησίμων, ὡς ἂν εἰ ἔλεγεν, ὁ πλοῦτος δέ ἐστιν ἕν, ὧν ἡ χρῆσις † καίτοι αὐτὸν οἷόν τε εἶναι τῶν χρησίμων. οὐ γὰρ πᾶν οὗ ἐστι χρῆσις καὶ χρήσιμον· ἔστι γὰρ καὶ πενίας χρῆσις καὶ νόσου, ἀλλ' οὐ χρήσιμον τούτων οὐδέν· ἀλλὰ τούτων οἷς χρώμεθα χρήσιμα λέγεται, οἷς προηγουμένως χρήσαιτ' ἂν ὁ σπουδαῖος καὶ κατὰ φύσιν ἔχων, διόπερ καὶ ἀγαθὰ δοκεῖ εἶναι.

Συμπερανάμενος δὲ ὅτι ὁ ἐλευθέριος ἄριστα χρῆται πλούτῳ καὶ χρήμασι, λέγει τίς ἐστιν ἡ τῶν χρημάτων χρῆσις. διαφέρει γὰρ χρῆσις καὶ κτῆσις· ἡ μὲν οὖν δαπάνη καὶ ἡ δόσις χρῆσίς ἐστιν, ἡ δὲ λῆψις καὶ ἡ φυλακὴ κτῆσις. διὸ μᾶλλον ἡ ἐλευθεριότης ἐν τῷ διδόναι οἷς δεῖ καὶ ὅτε καὶ ὅσον καὶ κατὰ τοὺς ἄλλους διορισμοὺς ἢ ἐν τῷ λαμβάνειν ⟨ὅθεν δεῖ καὶ μὴ λαμβάνειν⟩ ὅθεν οὐ δεῖ, ἐπειδὴ τὸ μὲν λαμβάνειν κτήσει ἔοικε, τὸ δὲ διδόναι χρήσει· ἐν δὲ τῇ χρήσει τῶν χρημάτων ὁ ἐλευθέριος. τῆς γὰρ ἀρετῆς τὸ εὖ ποιεῖν μᾶλλον ἢ τὸ εὖ πάσχειν· ἐν δὲ τῷ διδόναι τὸ εὖ ποιεῖν, ἐν δὲ τῷ λαμβάνειν τὸ εὖ πάσχειν· τὸ διδόναι ἄρα οἰκειότερον τῆς ἐλευθεριότητος. ἔτι τῆς ἀρετῆς τὸ καλὰ πράττειν μᾶλλον ἢ τὸ τὰ αἰσχρὰ μὴ πράττειν. οἰκειότερον γὰρ αὐτῇ τὸ ἐπαινεῖσθαι ἢ τὸ μὴ ψέγεσθαι· ἄμφω μὲν γάρ ἐστι τοῦ ἐναρέτου, ἀλλὰ τὸ προηγούμενον ἔργον τὸ τὰ καλὰ πράττειν, ὥστε τὸ προηγούμενον ἔργον τῆς ἐλευθεριότητος ἡ ὡς δεῖ γινομένη πρόεσις· ἐπὶ ταύτῃ γὰρ ἔπαινος γίνεται. τὸ δὲ μὴ λαμβάνειν κακῶς οὐκ ἐπαίνου τυγχάνει, ἀλλ' ἱκανὸν τὸ μὴ ψέγεσθαι. ἔτι ἡ ἀρετὴ ἐν τοῖς χαλεπωτέροις καὶ δυσκολωτέροις· ἔστι δὲ χαλεπώτερον τὸ προΐεσθαι τὸ οἰκεῖον τοῦ ⟨μὴ⟩

2 μάλιστα ex μάλλιστα Z 4 οὕτως N: οὗτος Z 6 inter χρῆσθαι et ἑκάστῳ spatium 6 fere litterarum N 10 δὴ N: δὲ Z 12 δὲ ZN: δ' ἐστὶ Aristoteles 13 χρῆσις ἐστι καίτοι N 13. 14 καὶ τοιοῦτον οἷόν τι εἶναι τῶν χρησίμων Diels 13 οἷόν τε] τε add. Z²: om. ZN 14 καὶ πενίας] καὶ om. Z 18 δὲ Z¹ in marg. 24 ἐστιν om. N 19. 20 κτῆσις καὶ χρῆσις Z 20 ἡ (ante μὲν) Z: εἰ N ἡ (ante δόσις) om. N 22. 23 ὅθεν δεῖ καὶ μὴ λαμβάνειν addidi 25 cum verbo πάσχειν finitur fol. 367v N, in cuius calce haec sunt: πρὸ πέντε φύλλων εὑρήσεις τὸ ἑπόμενον τῷ διδόναι Z: τὸ διδόναι N 26 οἰκώτερον N 27 ἔτι Z: ἔστι N ἢ τὸ τὰ ZN: ἢ τὰ Aristoteles 30 γενομένη N 30. 31 πρόεσις scripsi: προαίρεσις ZN 31 κακῶς (R): καλῶς ZN 33 καὶ δυσκολωτέροις om. Z δυσκωλοτέροις N μὴ addidi

λαμβάνειν τὸ ἀλλότριον, ὥστε ἡ ἐλευθεριότης φαίνεται μᾶλλον περὶ τὴν δόσιν ἢ περὶ τὸ μὴ λαμβάνειν. ἔτι τὸ μὲν μὴ λαμβάνειν κοινὸν καὶ δικαιοσύνῃ· ἐπαινοῦνται γοῦν καὶ οἱ δίκαιοι, ὅταν μήτε δῶρα λαμβάνωσι καὶ προτιμῶσι τὸ δίκαιον τῶν χρημάτων, τὸ δὲ διδόναι χρήματα ἴδιον τῶν ἐλευθερίων. ἐν ᾧ οὖν τὸ ἴδιον τῆς ἐλευθεριότητος, περὶ τοῦτο ἡ ἐλευθεριότης ἐστίν. οὐ δὴ ὑποληπτέον περὶ τούτου τὸν Ἀριστοτέλη λέγειν μὴ εἶναι τὴν ἐλευθεριότητα καὶ περὶ τὸ μὴ λαμβάνειν ὅθεν οὐ δεῖ, καὶ περὶ τὸ λαμβάνειν, ἐάν ποτε ἀναγκαῖον ᾖ, ὅθεν δεῖ, ἀλλ' ὅτι τὸ προηγούμενον ἔργον τῆς ἐλευθεριότητος καὶ καθ' ὃ εἰδοποιεῖταί ἐστιν ἡ ὀρθὴ δόσις. ὃ δ' ἐπὶ πᾶσιν ἐπεῖπε τοῖς ῥηθεῖσιν ἀληθές ἐστιν· οἱ μὲν γὰρ μὴ λαμβάνοντες ὡς ⟨οὐ⟩ δεῖ οὐκ ἐπαινοῦνται, ἀλλ' οὐ ψέγονται. ἀληθὲς δὲ καὶ τὸ ἑξῆς λεγόμενον, τὸ φιλεῖσθαι μᾶλλον ὑπὸ τῶν ἀνθρώπων τοὺς ἐλευθερίους· οἱ μὲν γὰρ δίκαιοι ἐνίοτε φθονοῦνται καὶ οἱ φρόνιμοι καὶ οἱ σοφοί, καὶ τοὺς σώφρονας δὲ ἔνιοι φορτικοὺς νομίζουσι καὶ προσποιητικούς, οἱ δ' ἐλευθέριοι διαφερόντως φιλοῦνται· χαίρουσι γὰρ οἱ ἄνθρωποι λαμβάνοντες, οἱ δ' ἐλευθέριοι διδόντες· διὸ καὶ τοὺς ἐπὶ πλέον δαπανηροὺς καίπερ οὐκ ὄντας ἐλευθερίους ὅμως φιλοῦσι, διότι ὅμοιόν τι ἔχουσι τοῖς ἐλευθερίοις.

Ἐπειδὴ δὲ πᾶσαι αἱ κατ' ἀρετὴν πράξεις καλαὶ καὶ τοῦ καλοῦ ἕνεκα, καὶ ὁ ἐλευθέριος τοῦ καλοῦ ἕνεκα δώσει καὶ οὗτος αὐτῷ σκοπὸς ἔσται, ὥσπερ καὶ τοῖς ἄλλοις ἐναρέτοις, καὶ ὀρθῶς δώσει. οἷς γὰρ δεῖ καὶ ὅσα καὶ ὅτε καὶ τἄλλα, ἐν οἷς διορίζεται τὸ ὀρθῶς, καὶ πρὸς τούτοις ἅπασιν ἡδέως ἢ πάντως ἀλύπως· τὸ γὰρ κατ' ἀρετὴν ἡδὺ ἅπαν ἢ ἄλυπον καὶ ἥκιστα λυπηρόν. ἴσως δὲ καὶ τὸ ἥκιστα λυπηρὸν προσέθηκε διὰ τὴν ἀνδρείαν· παρακολουθεῖ γάρ τις τῇ τῶν ἀνδρείων ἐνεργείᾳ δυσχέρεια καὶ ἀλγηδών, ἀλλ' ὅμως ἡττᾶται ἡ ἀλγηδὼν διὰ τὴν ἐκ τοῦ καλοῦ ἡδονήν. ὁ δὲ διδοὺς οἷς μὴ δεῖ ἢ μὴ τοῦ καλοῦ ἕνεκα (ἐνδέχεται μὲν γὰρ οἷς μὲν δεῖ διδόναι ἀλλ' οὐ τοῦ καλοῦ ἕνεκα) ἀλλὰ διά τινα ἄλλην αἰτίαν, οἷον διὰ δόξαν καὶ τιμὴν ἢ ἵνα λάβῃ πλείω ἢ διὰ δέος· οὐδεὶς δὴ τούτων ἐλευθέριος ὀνομάζεται ἀλλ' ἢ δοξοκόπος ἢ φιλότιμος ἢ πανοῦργος. οὐδ' ὅλως δὲ ὁ διδοὺς μέν, λυπούμενος δέ, ὥσπερ ἐνίοτε εἰσφέρουσί τινες ταῖς πατρίσιν ἢ ἰδίᾳ ἐπιδιδόασιν, ἀνιώμενοι δέ· οὐ γὰρ ἐλευθέριος ἡ τοιαύτη πρᾶξις. δεῖ γὰρ τὸν ἐλευθέριον πολὺ μᾶλλον ἥδεσθαι διδόντα τοῦ λαμβάνοντος.

Τὰ δ' ἑξῆς δῆλα, ἅ λέγει, ὑπάρχειν τῷ ἐλευθερίῳ ὅτι οὐ λήψεται ὅθεν μὴ δεῖ· οὐ γάρ ἐστι τοῦ μὴ τιμῶντος τὰ χρήματα ἡ παρὰ τὸ δέον λῆψις· οὐκ ἂν εἴη δὲ οὐδὲ αἰτητικός· οὐ γάρ ἐστι τοῦ εὖ ποιοῦντος, φησίν, εὐχερῶς εὐεργετεῖσθαι· καίτοι φασί τινες τοῦ αὐτοῦ εἶναι

2 ἔτι τὸ μὲν μὴ λαμβάνειν N et Z in marg. 5 περὶ τούτου post Ἀριστοτέλη Z in textu, deletum, in marg. a man. 2 παρὰ τοῦτο 9 ἐπεῖπε NZ²: ἐπεὶ περὶ Z 10 οὐ addidi 11 καὶ NZ²: om. Z φιλλεῖσθαι N 18 δὲ Z: καὶ N 19 οὗτος Z: οὕτως N 20 δόσει N δεῖ Z: δοκεῖ N 21 τἄλλα scripsi ex Aristotele: ἄλλα ZN 23 ἴκιστα N 26 ἐνδέχεται — ἕνεκα (27) Z (ἕνεκα Z²): om. N 28 πλείω ἢ διὰ Z² in albo 29 δοξοκόμπος N 30 δὲ Z² in albo ταῖς Z: τοῖς N πατρίσιν ex πατράσιν N 34 οὐδὲ γὰρ Arist.

καὶ εὖ ποιεῖν καὶ εὖ πάσχειν καὶ ἁρμόττειν τῷ ἀγαθῷ τὸ εὖ πάσχειν. ὁ Ἀριστοτέλης δὲ λέγει μὲν ἀμφότερα εἶναι τοῦ ἐναρέτου καὶ ἐλευθερίου, ἀλλὰ τὴν ἀρετὴν καὶ λέγεσθαι καὶ νοεῖσθαι κατὰ τὸ εὖ ποιεῖν μᾶλλον ἢ κατὰ τὸ εὖ πάσχειν. διόπερ καὶ δοκεῖ θεῖόν τι εἶναι ἡ ἀρετὴ καὶ ὁμοίωσίς τις τῷ θεῷ· τὸ γὰρ θεῖον οὐ κατὰ τὸ εὖ πάσχειν ἀλλὰ κατὰ τὸ εὖ ποιεῖν νοεῖται· λήψεται δέ, φησίν, ὅθεν δεῖ ὁ ἐλευθέριος, οἷον ἀπὸ τῶν ἰδίων κτημάτων, οὐχ ὡς καλὸν ἀλλ' ὡς ἀναγκαῖον ὅπως ἔχῃ διδόναι· τοῦτο δέ ἐστι τὸ ὅπως ἔχῃ ἐνεργεῖν κατὰ τὴν ἐλευθεριότητα.

Τὸ δὲ ἑξῆς ἐστι μὲν καὶ αὐτὸ παρατήρημα τῶν ὑπαρχόντων τῷ ἐλευθερίῳ καθάπερ καὶ τὰ πολλὰ τῶν ῥηθέντων, ὠφέλιμον δὲ καὶ εἰς τὴν παρακειμένην φαντασίαν τοῖς ἐλευθερίοις. οἱ γὰρ ἀμελοῦντες τῶν ἰδίων κτημάτων φαντασίαν τοῖς μὴ ὀρθοσκοποῦσι παρέχουσιν ἐλευθερίων, οὐκ ἔστι δὲ ἐλευθερίου ἀμελεῖν τῶν ἰδίων ἀλλὰ τοὐναντίον. πῶς γὰρ ἐπαρκέσει οἷς δεῖ μὴ ἐπιμελούμενος; διόπερ καὶ ἡ οἰκονομικὴ ἀρετή τίς ἐστιν. ἕκαστος γὰρ τῶν ἐναρέτων ἐκείνου ἐπιμελεῖται, ᾧ χρώμενος ἐνεργήσει κατὰ τὴν οἰκείαν ἀρετήν· ὁ γοῦν ἀνδρεῖος ἰσχύος ἐπιμελεῖται, ἵνα δύνηται κατ' αὐτὴν ἐνεργεῖν. παραπλήσιον δὲ τόν τε ἀνδρεῖον ἰσχύος ἀμελεῖν καὶ τὸν ἐλευθέριον κτήσεως, εἴπερ διὰ τούτων αἱ ἐνέργειαι τῶν εἰρημένων ἀρετῶν. ἐνιότε δὲ καὶ ἔλαττον καταλείψει ἑαυτῷ ὁ ἐλευθέριος αἱροῦντος τοῦ λόγου· οὐ γὰρ πάντως εἰς αὑτὸν ἀποβλέπει ἀλλ' εἰς τὸ καλόν.

Δῆλον δὲ καὶ τὸ ἑξῆς λεγόμενον, ὅτι ἡ ἐλευθεριότης κατὰ τὴν οὐσίαν, ὅτι οὐκ ἐν τῷ πολλὰ διδόναι· τὸ γὰρ καλόν, ὅταν ἀπὸ ἕξεως γίνηται, οἷον τὸ κατ' ἀνδρείαν καλόν, ὅταν ἀπὸ ἀνδρείας γίνηται· καὶ τὸ κατ' ἐλευθεριότητα οὖν καλόν, ὅταν ἀπὸ ἕξεως γίνηται. τῆς ἕξεως δέ ἐστι τὸ διαφυλάττειν πάντας τοὺς εἰρημένους ὁρισμούς, τὸ ὅτε, τὸ οἷς δεῖ, τὸ οὗ ἕνεκα, τὸ ὅσον. παραβαίνει δὲ τὸ ὅσον ὁ μὴ κατὰ τὴν οὐσίαν διδοὺς ἀλλ' ἢ ὑπερβάλλων ἢ ἐλλείπων. οὐδὲν δὲ κωλύει ἐλευθεριώτερον εἶναι, φησί, τὸν τὰ ἐλάττω διδόντα, ἐὰν ἀπὸ ἐλαττόνων διδῷ, τοῦ ἀπὸ πλειόνων μὲν πλείω διδόντος μὴ κατὰ τὴν οὐσίαν δέ. ὁμοίως δὲ οὐδὲν κωλύει καὶ τὸν τὰ ἐλάττω ἔχοντα, πλείω δὲ διδόντα, κατὰ τὴν οὐσίαν ἄσωτον εἶναι ἀλλ' οὐκ ἐλευθέριον, τὸν δὲ τὰ ἐλάττω διδόντα ἐλευθέριον. πῶς δ' εἶπεν ἐλευθεριώτερον εἶναι τὸν τὰ ἐλάττω διδόντα; ἆρά γε ὡς ὄντος τοῦ μὲν ἧττον, τοῦ δὲ μᾶλλον ἐλευθερίου; ἀλλ' εἴ γε παραβαίνει ἅτερος καὶ μὴ δίδωσι κατὰ τὴν οὐσίαν μηδὲ φυλάσσει τὸ ὅσον δεῖ προΐεσθαι, οὐκ ἔστιν ἐλευθέριος. πότερον οὖν ἐστιν ἄνεσις καὶ ἐπίτασις ἐν ταῖς ἀτελέσιν ἀρεταῖς (ἔστω δὲ ἐπὶ τῆς ἐλευθεριότητος ὁ λόγος), οἷον ἐὰν τὰ μὲν ἅπαντά τις ἀκριβοῖ διδοὺς μὲν οἷς δεῖ καὶ

1 καὶ εὖ N: εὖ Z 6 δεῖ Z: δὴ N 7 et 8 ἔχει N 14 ἡ om. N 18 δὲ om. N 19 αὑτὸν scripsi: αὐτὸν ZN 24 δέ ἐστι Z² in albo 25 δεῖ τὸ οὗ N: καὶ τὸ οὗ Z² in albo 26 κατὰ τὴν οὐσίαν scripsi: κατ' οὐσίαν N: κατὰ τὴν αὐτὴν οὐσίαν Z οὐσίαν δι' Z² in albo 27 οὐδὲν δὲ ZN: οὐθὲν δὲ Arist. Ha: οὐθὲν δὴ Arist. vulg. εἶναί φησι τὸν Z² in albo 30 δὲ Z²: om. ZN 32 ὡς ὄντος τοῦ μὲν N: τοῦ μὲν ὡς ὄντος Z 35 ἔστω—λόγος Z²: quae verba post ἀκριβοῖ praebent ZN 36 μὲν supra lineam Z: om. N

ὅτε δεῖ καὶ τοῦ καλοῦ ἕνεκα καὶ τἄλλα πάντα. ἐλλείπων δὲ ἐν τῇ ποσότητι· ᾗ οὐχ οὕτως εἶπεν ἐλευθεριώτερον. ἀλλ' εἴωθε συγκρίνων πολλάκις λέγειν. ὅταν ὁ μὲν ᾖ, ὁ δ' ὅλως μή, οἷον φρονιμώτερον τὸν βουλευτικὸν μᾶλλον, ἧττον δὲ τὸν μή, τοῦ μὲν ὄντος φρονίμου τοῦ δὲ μή.


Τὸ δ' ἑξῆς λεγόμενον οὐ καθόλου ἐστίν, ἀλλ' ὡς ἐπὶ τὸ πλεῖστον. ὡς ἐπὶ τὸ πολὺ γὰρ ἐλευθεριώτεροι οἱ μὴ κτησάμενοι ἀλλὰ παραλαβόντες τῶν κτησαμένων δι' αὐτῶν, ἐπεὶ πολλάκις γ' ἐναντίως ἔχει. καὶ τὸ μετὰ ταῦτά γε οὐκ ἀναγκαίως συμβαίνει, ἀλλ' ὡς ἐπὶ τὸ πολύ, τὸ μὴ ῥᾳδίως πλουτεῖν τὸν ἐλευθέριον δι' ἃ λέγει· τῇ δὲ ἐπιμελείᾳ καὶ τῷ μὴ διδόναι, οἷς μὴ δεῖ, εὐπορήσει εἰς τὴν δέουσαν χρῆσιν. ἐπεὶ δ' ὁ ἀναλίσκων ὑπὲρ τὴν οὐσίαν ἄσωτος, διὰ τοῦτο οὐ λέγομεν τοὺς τυράννους ἀσώτους· οὐδεμία γὰρ δαπάνη δοκεῖ ὑπερβάλλειν αὐτῶν τὸ πλῆθος τὸ τῆς οὐσίας· τοὐναντίον δὲ εἰώθαμεν ἐνίοτε φαυλίζειν τοὺς τυράννους καὶ τοὺς βασιλεῖς, ὅταν μὴ κατὰ τὴν οὐσίαν ἀναλίσκωσι.

p. 1120b27 Τῆς ἐλευθεριότητος δὴ μεσότητος ἕως τοῦ τοσαῦτα εἰρήσθω.

Ὥσπερ καὶ αἱ τέχναι ὁμοίως διαφαίνονται ἔν τε τοῖς μεγάλοις ἔργοις καὶ τοῖς μικροῖς, οἷον ὁ Πολύκλειτος καὶ μέγα ἐργασάμενος καὶ μικρὸν ἐδήλου τὴν τέχνην, οὕτως καὶ ὁ ἐνάρετος κἀν τοῖς μεγάλοις κἀν τοῖς μικροῖς δηλοῖ τὸ καλόν· καὶ ὁ ἐλευθέριος δὴ καὶ δώσει καὶ δαπανήσει εἰς ἃ δεῖ καὶ ὅσα δεῖ, ὁμοίως καὶ ἐν μικροῖς καὶ μεγάλοις, καὶ ταῦτα ἡδέως· τοῦτο γὰρ κοινὸν ταῖς ἀρεταῖς, τὸ ἐνεργεῖν ἡδέως καὶ λήψεται ὅθεν δεῖ· καὶ ἕπεσθαι γάρ φησι τῇ ἐπιεικεῖ δόσει τὴν ἐπιεικῆ λῆψιν· ἁπλῶς μὲν γὰρ δοκεῖ ἐναντία εἶναι ἡ δόσις τῇ λήψει· ἡ μὲν γὰρ δόσις ἐστὶν οἷον ἀποβολή, ἡ δὲ λῆψις οἷον κτῆσις· οὐ μὴν δὲ ἡ ἐπιεικὴς δόσις ἀποβολὴ ἀλλὰ χρῆσις τῶν ὄντων καὶ χρῆσις καλή· ὁμοίως οὐδ' ἡ λῆψις κτῆσις ἁπλῶς ἀλλ' εἰς τὴν δέουσαν χρῆσιν γινομένη· οὐκ εἰσὶν οὖν ἐναντίαι ἀλλήλαις ἀλλ' ἑπόμεναι. εἰ γάρ ἐστιν οἷος καλῶς δοῦναί τι, καὶ οἷος καλῶς λαβεῖν καὶ ἀνάπαλιν. αἱ δ' ἐναντίαι οὐ γίνονται ἐν τῷ αὐτῷ· ἐναντία δὲ τῇ ἐπιεικεῖ δόσει ἡ φαύλη λῆψις, ὧν ἡ μὲν ἐν τῷ ἐπιεικεῖ, ἡ δὲ ἐν τῷ μοχθηρῷ γίνεται.

Ὁ δ' ἑξῆς λέγει, ἀναγκαῖόν ἐστιν· εἰ γὰρ ἡσθήσεται καλῶς ἀναλίσκων, ἀναγκαζόμενος κακῶς ἀναλίσκειν ἢ εἰς οὓς μὴ δεῖ ἢ ὑπὸ τυράννων ἢ ὑπὸ πόλεως, λυπηθήσεται, μετρίως δὲ τὸ λυποῦν αὐτὸν ἔσται, οὐ τὸ ἀνάλωμα οὐδ' ἡ δαπάνη ἀλλὰ τὸ μὴ δεόντως γίνεσθαι. ἐπεὶ δ' ἔνιοι ἡγοῦνται ἐπὶ

3 ᾗ] ἢ Z[2] huc transposuit: ἢ post ὅλως ZN 4 ἧττον δὲ τὸν μή Z: ἤτοι μή N 8 τὸ πολύ Z: τὸ om. N 15 δὴ μεσότητος Z: δὲ ἡ μεσότης N τοῦ Z[2]: om. ZN 15. 16 εἰρήσθω Z, corr. ex εἰρῆσθαι: εἰρῆσθαι N 19 κἀν ZN κἀν ZN 21 καὶ ἐν μεγάλοις N 23 ἐπιεικεῖ λῆψιν N 24 ἐναντεία N 25 δὲ ἡ Z: ἐστὶν N 28 καλῶς δοῦναι] καλῶς om. N 31 ὃ δ' Z: οὐδ' N 32 κακῶς Z: καλῶς N 33 τὸ (post δὲ) Z: τόδε N λοιποῦν N οὐ τὸ Z: αὐτὸ N 34 μὴ δεόντως Z: μηδὲ ὄντος N



μηδενὶ λυπηθήσεσθαι τὸν ἐνάρετον. ἐπισημειοῦται καί φησι τῆς ἀρετῆς εἶναι, τουτέστι τοῦ ἔχοντος τὴν ἀρετὴν τὸ ἥδεσθαι καὶ λυπεῖσθαι ἐφ' οἷς δεῖ καὶ ὡς δεῖ· οὐ γὰρ περιήρηται αὐτοῦ τὸ παθητικὸν μόριον τῆς ψυχῆς, ἀλλὰ κεκόσμηται. ἀνάγκη οὖν μετρίαν τινὰ λύπην αὐτῷ γίνεσθαι ἐπὶ ταῖς μὴ προσηκούσαις ἐνεργείαις, ἀνθρώπῳ γε ὄντι καὶ φιλοκάλῳ. ὅτι δὲ οὐκ ἐπὶ τῷ ἀναλώματι λυπηθήσεται, ἀλλ' ἐπὶ τῇ μὴ δεόντως γινομένῃ ἐνεργείᾳ, φανερὸν ποιεῖ λέγων αὐτὸν μᾶλλον ἄχθεσθαι εἴ τι δέον μὴ ἀνάλωσεν.

Εἰρῆσθαι δέ φησι πρότερον, ὅτι ὑπερβολαὶ καὶ ἐλλείψεις εἰσὶν ἡ ἀσωτία καὶ ἡ ἀνελευθερία· ἐν ἑκατέρᾳ γὰρ αὐτῶν καὶ ὑπερβολὴ καὶ ἔνδεια ὡς εἴρηται· ἐπεὶ δὲ τὸ ἐν δυσὶν εἶναι ἰδέαις ἑκατέρᾳ, ἐν λήψει καὶ δόσει, ἔστι δὲ ἡ δαπάνη κυρίως δόσις καλουμένη, φαίνεται δ' ὁ ἄσωτος δαπανηρός, ἔστω φησὶ κοινῶς ἡ δαπάνη δόσις. εἰπὼν δὲ τὴν ἀνελευθερίαν ὑπερβάλλειν, τῷ λαμβάνειν προσέθηκε, πλὴν ἐν μικροῖς δηλονότι· οὐχ οὕτως ὑπερβάλλειν λέγεται ὁ ἀνελευθέριος τῷ μεγάλα λαμβάνειν ἀλλὰ τοὐναντίον τῷ μικρὰ πολλάκις δὲ καὶ πανταχόθεν καὶ ὅθεν ἂν δύνηται οὐκ ὀκνῶν ὅτι ἂν δύνηται λαμβάνειν καὶ ὁπωσοῦν· ἐπεὶ δ' ἔθετο τὴν ἀσωτίαν ὑπερβάλλειν μὲν τῷ διδόναι, ἐλλείπειν δὲ τῷ λαμβάνειν, κατὰ μὲν τὸν αὐτῆς λόγον ἡγεῖται τοιαύτην εἶναι· πλὴν οὐ πάνυ συνδυάζεται ταῦτα· οὐ γὰρ ῥᾴδιον οὐδαμόθεν λαμβάνοντα πᾶσι διδόναι διὰ τὸ ἐπιλείπεσθαι τελέως τὴν οὐσίαν τοὺς ἰδιώτας, οἵπερ καὶ δοκοῦσί φησιν ἄσωτοι εἶναι. τοῦτο δὲ ἐπεῖπεν, ἐπειδὴ οἱ βασιλεῖς δοκοῦσιν ἄσωτοι εἶναι καὶ δύνανται μὴ λαμβάνοντες διδόναι· ὁ δὲ τοιοῦτος οἷός ἐστιν ὁ τῷ ὄντι ἄσωτος μὴ λαμβάνων, διδοὺς δὲ πᾶσιν, οὐ μικρῷ βελτίων ἐστὶ τοῦ ἀνελευθερίου· ἰατὸς γάρ ἐστι καὶ ὑπὸ τῆς ἡλικίας, ὡς ἐπίπαν γὰρ νέοι γίνονται οὕτως ἄσωτοι, καὶ ὑπὸ τῆς ἀπορίας· δεινὴ γὰρ καὶ αὕτη ἀναγκάσαι σωφρονεῖν, καὶ ἐπὶ τὸ μέσον ἔλθοι ἂν διὰ τὸ ἔχειν τὰ τοῦ ἐλευθερίου· καὶ γὰρ δίδωσι καὶ οὐ λαμβάνει, ἡμαρτημένως· εἰ οὖν ὑπὸ ἔθους ἢ ὁπωσοῦν μεταβάλλοι, ἔλθοι ἂν εἰς ἐλευθεριότητα· ἀλλ' ὁ μὲν τῷ ὄντι ἄσωτος βελτίων τοῦ ἀνελευθέρου πολλῷ· οἱ δὲ πολλοὶ οὐκ ἔχουσιν ἄμφω τὰ εἰρημένα, λέγω δὲ τό τε διδόναι καὶ μὴ λαμβάνειν ἀλλὰ συμφύρουσι καὶ μιγνύουσιν εἰς ταὐτὸν ἀσωτίαν καὶ ἀνελευθερίαν· λαμβάνουσι γὰρ ὅθεν μὴ δεῖ συνεχῶς, ἵνα ἀναλίσκειν ἔχωσιν εὐχερῶς, ἅμα δὲ καὶ τοῦ καλοῦ μηδὲν φροντίζοντες οὐκ ὀκνοῦσιν αἰσχρῶς πορίζειν. διόπερ οὐδὲ ἐλευθέριοι αὐτῶν αἱ δόσεις· οὔτε γὰρ τοῦ καλοῦ ἕνεκα διδόασιν, ὥσπερ σκοπός ἐστι πᾶσι τοῖς ἐναρέτοις, οὔτε οὓς δεῖ εὖ ποιοῦσιν ἀλλὰ τοὺς κόλα-

---

2 δεῖ Z: δὴ N 3 περιείρηται N 7 ἄχεσθαι Z ἀνήλωσεν N: ἀνάλωμα Z 8 πρότερον] c. 1 p. 1119b27 10 ἐν δόσει καὶ λήψει Arist., sed cf. LbMb 12 κοινὸς N 13 ἐν ZN et Arist. LbMb: ἐπὶ Arist. vulg. δηλῶ ὅτι N 16 ὑπερβάλλει N δειδόναι N 18 συνδιάζεται N ante ταῦτα verbum delevit N οὐδαμόθεν Z: οὐδαμῶθεν N: μηδαμόθεν Arist. 19 ἐπιλείπεσθαι ex ὑπολείπεσθαι Z 22 οἷός ἐστιν N: ὅς ἐστιν Z: τουτέστιν Z[2] τῶ N: τῶν Z 23 ἰατὸς scripsi: ἰατρὸς ZN 24 δεινὴ corr. ex δυνὴ Z 26 εἰ scripsi: ἐὰν ZN 27 οὖν om. N: add. Z in marg. 30 συμφύρουσι (Vossian. man. altera): συμφέρουσι ZN 31 συνεχῆ N ἔχωσιν om. a Z, add. in marg. 33 ἕνεκεν Z ὥσπερ—ποιοῦσιν (34) Z marg.

κας ἢ τοὺς ἄλλην τινὰ ἡδονὴν πορίζοντας· διὸ οἱ πολλοὶ αὐτῶν ἀκόλαστοί εἰσι, τὸ δαπανηρὸν αὐτῶν μετάγοντες εἰς τὰς ἡδονάς· πλὴν ἡ μὲν τῷ ὄντι ἀσωτία ἰάσιμός ἐστιν, ὡς εἴρηται, ἡ δ' ἀνελευθερία ἀνίατος. ἀνίατος δὲ εἶπεν ἀντὶ τοῦ δυσίατος· ὡς ἐπίπαν γὰρ δοκεῖ τὸ γῆρας ἀνελευθέρους ποιεῖν καὶ πᾶσα ⟨ἀδυναμία⟩· οἱ γὰρ ἀσθενέστεροι τὰ σώματα καὶ ἀδύνατοι τὰ πολλὰ ἀνελεύθεροι γίνονται διὰ τὸ νομίζειν πολλῶν δεῖσθαι· ἔτι δὲ καὶ διὰ τὸ [νομίζειν] συμφυέστερον εἶναι τοῖς ἀνθρώποις τὴν ἀνελευθερίαν δυσιατοτέρα ἐστίν. ἐλέχθη γὰρ ὅτι ἐφ' ἃ ἀποκλίνομεν οἱ ἄνθρωποι καὶ πρὸς ἅπερ ἁλώσιμοί ἐσμεν ταῦτα δυσίατα· ἀποκλίνουσι δὲ οἱ πλεῖστοι ἐπὶ φιλοχρηματίαν μᾶλλον ἢ ⟨ἐπὶ πρόεσιν⟩. φησὶ δὲ πολυειδῆ εἶναι τὴν ἀνελευθερίαν· σχεδὸν μὲν γὰρ πᾶσα κακία πολυειδής, ὡς προεῖπεν, οὐδεμιᾶς δ' ἧττον ἡ ἀνελευθερία· ἐν δυσὶ γὰρ οὖσα τῇ τε ὑπερβολῇ τῆς λήψεως καὶ τῇ ἐλλείψει τῆς δόσεως, οὐ πᾶσιν ὁλόκληρος παραγίνεται, ἀλλ' ἔνιοι μέν εἰσιν ἀνελεύθεροι τῷ λαμβάνειν καὶ τούτῳ ὑπερβάλλουσιν, ἔνιοι δὲ μόνον τῇ δόσει ἐλλείπουσι. λαμβάνειν δ' οὐκ ἀξιοῦσιν· ὧν ὀνόματα πλείω ἐστί, φειδωλοὶ καὶ γλίσχροι καὶ κίμβικες· οὐ λαμβάνουσι δὲ οἱ μὲν δι' ἐπιείκειαν ἢ φαινομένην· τὰ δ' αὐτῶν φυλάσσειν λέγουσιν ἵνα μήποτε ἀναγκασθῶσιν αἰσχρόν τι πρᾶξαι· οἱ δὲ διὰ φόβον ἀπέχονται τῶν ἀλλοτρίων, ἡγούμενοι μὴ εἶναι ῥᾴδιον τὰ ἀλλότρια λαμβάνοντας μὴ προΐεσθαί τι· δηλοῖ δ' ἑξῆς καὶ τίνες εἰσίν οἱ κατὰ τὴν λῆψιν ὑπερβάλλοντες· εἰσὶ δὲ οἱ πανταχόθεν ἀξιοῦντες λαμβάνειν καὶ μηδὲν κέρδος αἰσχρὸν νομίζοντες, οἷον πορνοβοσκοὶ καὶ τελῶναι καὶ οἱ κατὰ μικρὰ δανείζοντες καὶ ἐπὶ πολλῷ τόκῳ· πάντη γὰρ οὗτοι αἰσχροκερδεῖς. ἕνεκα γὰρ μικροῦ κέρδους πᾶν ὁτιοῦν ὑποφέρουσιν, ἐπεὶ τούς γε τὰ μεγάλα κερδαίνοντας ὅθεν μὴ δεῖ οὐ λέγομεν ἀνελευθέρους ἀλλὰ μοχθηροὺς καὶ ἀσεβεῖς καὶ ἀδίκους, οἷον τυράννους πορθοῦντας πόλεις καὶ ἱερὰ συλῶντας. ἐφίστησι δὲ ἡμᾶς, ὅτι καὶ ὁ λωποδύτης ἀνελεύθερος καὶ ὁ κυβευτής, καίτοι δοκῶν τισι προετικὸς εἶναι· ὁ μὲν γὰρ λωποδύτης ἕνεκα κέρδους ὀλίγου τοὺς μεγίστους κινδύνους κινδυνεύει, οἱ δὲ κυβευταὶ ἀπὸ τῶν φίλων κερδαίνουσιν, οἷς συνδιημερεύουσι καὶ συζῶσι καὶ ἥδονται. ὅταν γυμνοὺς ἀποπέμψωσιν αὐτούς. εἰκότως δὲ τῇ ἐλευθεριότητι ἡ ἀνελευθερία ἀντικεῖσθαι λέγεται· καὶ γὰρ μεῖζον κακόν ἐστι τῆς ἀσωτίας καὶ μᾶλλον ἐπ' αὐτὴν ἁμαρτάνουσιν οἱ ἄνθρωποι.

---

2 εἰσιν Z: ὅσι N μετάγοντες Z: ἐπάγοντες N ἡ Z: οἱ N 3 ἀσωτία corr. ex ἀσώτω Z: ἀσω^ι N ἰάσημος N 5 πᾶσα ἀδυναμία Aristoteles: πᾶσιν ZN ἀδύνατοι N: ἀνίατοι Z 6 καὶ post τὰ πολλὰ add. N 7 νομίζειν delevi 7. 8 δυσιατωτέρα N 8 ἐλέχθη] B 8 p. 1109a15 10 ἐπὶ πρόεσιν addidi: ἐπὶ πρόεσιν· φησὶ δὲ om. N: post μᾶλλον lacuna Z et ζ, in margine λει^π et φησὶ δὲ ἐλευθερίαν N: ^αν ελευθερίαν Z 11 προείπομεν N cf. B 5 p. 1106b29 13 πᾶσα N ἀνελευθέριοι Z 16 φαινομένην Z: φυ Z[2] ante lacunam septem litterarum 17 μήποτε Z: μηδέποτε N 19 τι Z man. 2, ut videtur: om. N 23 κερδάνοντας N 27 ἕνεκεν Z 30 ἡ om. Arist. ἀνελευθεριότης N

p. 1122a18 Δόξειε δ' ἂν ἀκόλουθον εἶναι καὶ περὶ μεγαλοπρεπείας ἕως τοῦ μήτε λίαν ἀσχήμονες.

Ὅτι ἕπεται τῷ περὶ τῆς ἐλευθεριότητος περὶ μεγαλοπρεπείας εἰπεῖν, ἤτοι ὡς εἶδος γένους ἢ ὡς μέρος ὅλου δῆλον· σκεπτέον δὲ πότερον ταὐτὸν ἢ οὔ, ἐπειδὰν ᾧ διαφέρει τῆς ἐλευθεριότητος εἴπωμεν. ἡ μὲν γὰρ ἐλευθεριότης περὶ δόσιν ἐστὶ καὶ λῆψιν, ἡ δὲ μεγαλοπρέπεια περὶ τὴν δόσιν. καλείσθω γὰρ ἡ δαπάνη καὶ μεγαλοπρέπεια κοινῶς δόσις, ὥσπερ ἠξίωσεν, ἔτι δὲ ἡ μὲν ἐλευθεριότης οὐ μόνον περὶ τὰς μεγάλας ἀλλὰ καὶ περὶ τὰς μικρὰς δόσεις ἐστίν, ἡ δὲ μεγαλοπρέπεια, καθάπερ καὶ αὐτὸ σημαίνει τοὔνομα, ἐν μεγέθει δαπάνη πρέπουσά ἐστιν, ὥστε περὶ τὰ μέγεθος ἔχοντα δαπανήματα. τοιαύτη δ' οὖσα πότερον εἶδός ἐστι τῆς ἐλευθεριότητος ἢ μέρος; εἰ μὲν γὰρ εἶδος, ἐπεὶ οὐδὲν γένος ἓν εἶδος ἔχει ἀλλὰ πλείω, πῶς διαιρήσομεν τὴν ἐλευθεριότητα; ἢ τὸ μέν τι αὐτῆς εἶδος ἐροῦμεν περὶ δόσιν, τὸ δὲ περὶ λῆψιν, τοῦ δὲ περὶ δόσιν τὸ μὲν περὶ μεγάλα, τὸ δὲ περὶ μικρὰ ἀναλώματα, ὧν τὸ μὲν πολὺ καὶ μέγα ἀνάλωμα μεγαλοπρέπεια καλεῖται, τὰ δ' ἄλλα ἀνώνυμα; δόξειε δ' ἄτοπον εἶναι διαιρεῖν τὴν ἐλευθεριότητα εἰς δύο εἴδη, τὸ περὶ τὴν δόσιν καὶ τὴν λῆψιν· δοκεῖ γὰρ μὴ εἶναι ἐλευθεριότης κατὰ ταύτην μόνην τὴν δόσιν. ἐὰν γὰρ ᾖ ἁμαρτητικὸς κατὰ τὴν δόσιν, οὐκέτι ἐλευθέριός ἐστιν, ἀλλ' οὐδ' ὁ λαμβάνων ὀρθῶς ἐλευθέριος, ἂν μὴ καὶ διδῷ καλῶς· ἅμα δ' εἰ καὶ τῆς ἐλευθεριότητός ἐστι λόγος τὸ εἶναι κατορθωτικὴν περὶ δόσιν καὶ λῆψιν, οὐκ ἂν ἐφαρμόζοι ἑκατέρῳ τῶν εἰδῶν· μᾶλλον οὖν μέρει ἔοικε τῆς ἐλευθεριότητος. καὶ γὰρ οὕτως ἐγχωρεῖ λέγειν, ὅτι εἰ μέν τίς ἐστι μεγαλοπρέπεια, ἐλευθεριότης ἐστίν, εἰ δέ τις ἐλευθεριότης, οὐ πάντως μεγαλοπρέπεια, ὥσπερ εἴ τις τὴν ἰατρικὴν διελόμενος εἰς μέρη τρία φαρμακευτικὸν διαιτητικὸν καὶ χειρουργικόν, λέγοι εἰ μέν τι ἐστι φαρμακευτικόν, πάντως καὶ ἰατρικὸν εἶναι, εἰ δέ τι ἰατρικόν, οὐ πάντως φαρμακευτικόν. εἰ δὲ καὶ ταῦτά τις εἴδη εἴποι τῆς ἰατρικῆς, οὐδὲν κωλύει καὶ τὴν μεγαλοπρέπειαν εἶδος εἶναι τῆς ἐλευθεριότητος. εἰκότως δὲ λέγεται τὸ ἐν μεγέθει πρέπον θεωρεῖν δαπάνημα. τὸ γὰρ μέγεθος πρός τι· τινὸς γὰρ μέγεθος. εἰ οὖν ἄλλου ἔργου ἄλλο μέγεθος τὸ πρέπον ἑκάστῳ δαπάνημα θεωρήσει. οὐ γὰρ τὸ αὐτὸ δαπάνημα προσήκει τριηράρχῳ καὶ θεωρῷ. σκέψεται δὴ ὁ μεγαλοπρεπὴς τὸ πρέπον καὶ

2 τοῦ om. N μήτε λίαν ἀσχήμονες scripsi ex Aristotele: μὴ τελεῖν ἀσχήμονας ZN 3 μεγαλοπρεπείας NZ²: μεγαλοπρέπειαν Z 9 σημαίνει Z: συμβαίνει N 10 μέγεθος N: μεγέθει corr. in μεγέθη Z 12 διαιρήσιμεν Z 13 ἐροῦμεν Z: αἱροῦμεν N 15 ἀνάλομα N 16 διαιρεῖ . . . τὴν N 17 μὴ om. N 18 ἁμαρτηκὸς N 21 ἐφαρμόζει NZ²: ἐφαρμόζη Z ἑκατέρων N μέρη Z 23 ἐλευθεριότης — μεγαλοπρέπεια Z in marg. 25 λέγει N εἶναι Z: εἴη N ἰατρικὸν corr. ex φαρμακευτικὸν Z φαρμακευτικὸν corr. ex ἰατρικὸν Z 28 γὰρ ZN: δὲ Arist. 29 εἰ Z: εἴη N 30 ἑκάστῳ NZ²: om. Z θεωρήσει scripsi: θεωρῆσαι ZN 31 ἀρχιθεωρῷ Arist. μεγαλοπρεπὴς corr. ex μεγαλοπρεπὲς ZN τὸ — μεγαλοπρεπὲς (p. 104,3) in marg. Z

πρὸς αὐτὸν ⟨καὶ⟩ ἐν ᾧ καὶ περὶ ἅ· ἐν ᾧ δὲ καὶ περὶ ἃ ἐκ τοῦ παραλλήλου εἴρηκεν· ἐν ᾧ πράγματι καὶ περὶ ὃ πρᾶγμά ἐστι τὸ δαπάνημα· ἄλλο μὲν γὰρ δαπάνημα οἰκεῖον ἂν ἱερὸν κατασκευάζῃ μεγαλοπρεπές, ἄλλο δ' ἂν τείχη τῇ πατρίδι περιβάλληται, ἄλλο δ' ἂν χορηγῇ, ἄλλο δ' ἂν γυμνασιαρχῇ. καθ' ἕκαστον δὲ τούτων πρεπόντως δαπανήσει μεγέθους στοχαζόμενος τοῦ οἰκείου ἑκάστῳ.

Ὁ δὲ ἐν μικροῖς ἢ ἐν μετρίοις [ἢ] κατ' ἀξίαν δαπανῶν καὶ τὰ λοιπά· σαφῶς διὰ τοῦ μικροῖς ἔδειξε τὴν τοῦ μεγαλοπρεποῦς καὶ τοῦ ἐλευθερίου διαφοράν. περὶ γὰρ τὰ μικρὰ καὶ τὰ μέτρια ἀναλώματα ἡ ἐλευθερία· ἐπεὶ μηδὲν ἧττον ὁ ἐλευθέριος καὶ ἐν μικροῖς τοιοῦτος· οὐ γὰρ ἐν τῷ εἰς μεγάλα ἀναλίσκειν τὸ εἶναι αὐτῷ ὥσπερ τῷ μεγαλοπρεπεῖ, ἀλλ' ἐν τῷ καλῶς. δεῖ δὲ εἰδέναι, ⟨ὅτι⟩ ὡς ἡ μὲν μικροπρέπεια τῆς ἀνελευθερίας, ἡ δὲ ἀπειροκαλία τε καὶ βαναυσία τῆς ἀσωτίας διαφέρει, οὕτως καὶ ἡ μεγαλοπρέπεια τῆς ἐλευθεριότητος διοίσει. λέγονται δὲ βάναυσοι καὶ οἱ ὑπερβάλλοντες ἐν τῷ εἰς ἃ μὴ δεῖ ἀναλίσκειν, οὐ μόνον οἱ περὶ τὰς βαύνους, τουτέστι τὰς καμίνους, ἐργαζόμενοι. καὶ δῆλον ἐξ ὧν λέγει, ὅτι αἱ μὲν ἐλευθέριαι ἐνέργειαι καὶ μὴ ἐν πλουτοῦσιν οἷαί τε γίνεσθαι, αἱ δὲ μεγαλοπρεπεῖς πλούτου δέονται. τῆς τοιαύτης δὲ ἕξεως, λέγω δὲ τῆς μεγαλοπρεπείας, ἡ μὲν ἔλλειψις μικροπρέπεια καλεῖται, ἡ δὲ ὑπερβολὴ ἔοικε μὲν ἀνώνυμος εἶναι, καλεῖ δὲ αὐτὴν βαναυσίαν ἢ ἀπειροκαλίαν. καλοῦνται μὲν γὰρ βάναυσοι καὶ οἱ τὰς χειρουργικὰς τέχνας ἐργαζόμενοι, καλοῦνται δὲ καὶ οἱ σεμνυνόμενοι ἐπ' αὐτοῖς ὡς πλουσίοις ἢ ὡς μεγάλοις ἢ ὡς καλοῖς. ἐλήλυθε δὲ τὸ ὄνομα ἀπὸ τῶν πρὸς πῦρ ἐργαζομένων· βαύνους γὰρ ἐκάλουν τὰς καμίνους, ἐντεῦθεν δὲ καὶ πάντας τοὺς χειροτέχνας βαναύσους ὠνόμασαν. εἶτά μοι δοκεῖ ἀπὸ τῶν παρ' ἀξίαν θρυπτομένων τεχνιτῶν καὶ σεμνυνομένων τοὔνομα μεταγαγεῖν ἐπὶ τοὺς προσποιουμένους μεῖζον. διόπερ καὶ Ἀριστοτέλης βαναυσίαν καλεῖ τὴν παρακειμένην κακίαν τῇ μεγαλοπρεπείᾳ, προσποίησίν τινα οὖσαν μεγέθους τοῦ ἐν δαπανήμασιν ἀξίου· ἐν οἷς γὰρ οὐ δεῖ οὐδ' ὡς δεῖ λαμπρύνεται· ὕστερον δὲ περὶ αὐτῆς ἐρεῖν φησι.

Λέγει δὲ τὸν μεγαλοπρεπῆ ἐπιστήμονι ἐοικέναι, ἤτοι ἐπειδὴ θεωρητικός ἐστι τοῦ πρέποντος ἑκάστῳ μεγέθει καὶ ἔργῳ δαπανήματος (τὸ δὲ θεωρεῖν τῆς

1 καὶ (ante ἐν ᾧ) Arist.: om. ZN ἐν ᾧ δὲ καὶ περὶ ἃ om. Z 2 εἴρηκεν N: δ' εἴρηκεν (supraser. οι) Z 3 κατασκευάζῃ Anonym. Ald. f. 52v31: κατασκευάζοι Z: κατασκευάζει N 5 ἑκάστου Z 7 ἢ (post μετρίοις) delevi 8 διαφορὰν transpos. post τὴν N 9 ἡ om. N 10 μηδὲν Anon. Ald. f. 52v40: μηδὲ ZN ἐλευθέριος Anon. l. c.: ἐλεύθερος ZN τοιοῦτος Anon. l. c.: τοιούτοις ZN οὐ Z: οὐδὲ N 11 καλλῶς N 12 ὅτι Anon. f. 52v41: om. ZN ἡ μεν Z²: μὲν ἡ ZN Anon. ἡ δὲ ἡ ἀπειροκαλία N 13 ἡ βανουσία N διαφέρει corr. ex διαφορὰ Z: διαφορὰ N 14 οἱ om. Z 16 λέγει ὅτι Z² in albo 17 αἱ δὲ μεγα Z² in albo 19 ὑπερβολὴ] λὴ suppl. Z² ἔοικε N: δοκεῖ Z² in albo 20 καλοῦνται—μεγαλοπρεπείᾳ (27) edidit Rose *Hermae* V 104 22 μεγάλης (supraser. οι) N 24 δοκεῖ om. N 25. 26 τοῖς προσποιουμένοις N 26 διόπερ—λυπούμενον (p. 105,5) edidit Hase *Class. Journal* XXIX 113 27 μεγέθους om. Z 28 ὕστερον] vide c. 7 p. 1123a19 29 αὐτοῦ (ῆς supraser.) Z αἱρεῖν N

κυρίως καλουμένης ἐπιστήμης· τὰς γὰρ θεωρητικὰς κυρίως ἐπιστήμας ὠνόμαζον), ἢ ἐπιστήμονα λέγει τὸν τεχνίτην· παντὸς γὰρ τεχνίτου τὸ πρέπον θεωρῆσαι ἑκάστου ἔργου, οἷον σκυτοτόμου ⟨τὸ⟩ τῷ ποδὶ ἁρμόζον ὑπόδημα καὶ γραφέως εἰδέναι, οἷον δεῖ τὸν ἥρωα γεγράφθαι ἢ τὸν ἰδιώτην ἢ τὸν ἡδόμενον ἢ τὸν λυπούμενον· οὕτως δὴ καὶ ὁ μεγαλοπρεπὴς τὸ πρέπον ἑκάστῳ ἔργῳ θεωρήσει δαπάνημα καὶ δαπανήσει μεγαλοπρεπῶς. ὥσπερ γάρ, φησίν, ἐν ἀρχῇ εἴπομεν, ἡ ἕξις ταῖς ἐνεργείαις ὁρίζεται καὶ ὧν ἐστιν. τοῦτο δὲ λέγει, ἐπειδὴ καὶ πρότερον εἶπεν ἐκ τῶν ἐνεργειῶν εὑρίσκεσθαι καὶ τὰς ἕξεις· ὁποῖαι γὰρ αἱ ἐνέργειαι, τοιαύτη καὶ ἡ ἕξις, ἀφ' ἧς αἱ ἐνέργειαι καὶ ὧν ἐστιν ἡ ἕξις θεωρητικὴ ἢ ποιητικὴ ἢ πρακτική, οἷον αἱ ἐνέργειαι τῆς οἰκοδομικῆς· τοιαῦται δέ τινες αἱ περὶ οἰκοδομίαν. δῆλον οὖν ὡς ἡ οἰκοδομικὴ τέχνη τοιούτων ἐνεργειῶν ἐστιν ἐνεργητική. καὶ ἔστι τὸ ὑποκείμενον τῇ οἰκοδομικῇ ξύλα καὶ λίθοι, οἷς χρωμένη ὡς ὕλῃ τὴν ἐνέργειαν ποιεῖται, τὸν αὐτὸν δὲ τρόπον ἔχει καὶ ἐπὶ τῶν ἀρετῶν. ἐλέγετο γὰρ καὶ ὀλίγῳ πρότερον ἡ ἐλευθεριότης περὶ χρήματα εἶναι, ἐπειδὴ αἱ ἐνέργειαι αὐτῆς περὶ χρήματά εἰσι καὶ τὸ ὑποκείμενον οὖν δηλονότι τὰ χρήματα. ἐπειδὴ οὖν αἱ τοῦ μεγαλοπρεποῦς ἐνέργειαι δαπάναι εἰσὶ καὶ μεγάλαι καὶ πρέπουσαι, ἥ τε ἕξις φανερά, ἔστι γὰρ ἀφ' ἧς αἱ τοιαῦται ἐνέργειαι, καὶ ὅτι ὑπόκειται αὐτῇ ἔργα μεγάλα καὶ δαπανήματα μεγάλα. ἢ τοῦτό ἐστι τὸ πρόσθεν λεχθέν, ἢ ὅτι ἡ ἕξις, τουτέστιν ἡ ἠθική, ὁρίζεται αὐτὰ ταῖς παραπιπτούσαις ἐνεργείαις καὶ ὧν ἐστιν ἀεὶ ἐνεργητική. οὐ γὰρ ἦν τὸ μέσον, ὃ ἐλέγετο τῶν ἀρετῶν ἀλλὰ τὸ πρὸς ἡμᾶς. καὶ τοῦ μεγαλοπρεποῦς οὖν αἱ δαπάναι μεγάλαι, πρέπουσαι παντὶ μεγάλῳ, καὶ οὐχ ἕν τι ἔχουσαι τὸ μέγα, ἀλλ' ὁποῖον ἂν ἀπαιτῇ ἡ παροῦσα χρεία, τοιαῦτα δὴ καὶ τὰ ἔργα μεγάλα· ἕκαστον δ' ὡς πρὸς ἑαυτό· οὕτω γὰρ ἔσται καὶ τὸ δαπάνημα μέγα, καὶ πρέπον τῷ ἔργῳ, ἂν τὸ μὲν ἔργον ᾖ τῆς δαπάνης ἄξιον, ἡ δὲ δαπάνη τοῦ ἔργου ἢ καὶ ὑπερβάλλον. ἴσως γὰρ ἐν τούτῳ μᾶλλον περαιτέρω πρόεισιν ὁ μεγαλοπρεπής, ὑπερβάλλων ταῖς δαπάναις, ἵνα τὸ ἔργον μέγα γένηται. ἐπεὶ δὲ καὶ ταῖς λοιπαῖς ἀρεταῖς ὑπάρχει τοῦτο καὶ τῇ μεγαλοπρεπείᾳ, ἓν μὲν ὁ σκοπὸς τὸ τοῦ καλοῦ ἕνεκα δαπανᾶν καὶ μεγάλα ποιεῖν ἔργα, ἓν δὲ τὸ ἡδέως· ἡδεῖαι γὰρ τοῖς ἐναρέτοις αἱ κατὰ τὰς ἀρετὰς ἐνέργειαι. ἔτι δὲ προετικῶς δαπανήσει οὐκ ἀκριβολογούμενος· ἡ γὰρ ἀκριβολογία μικροπρεπής.

---

1. 2 ὠνομάζων (o supra ω) N 3 θεωρεῖσαι N τὸ addidi ποδὶ scripsi: παιδὶ Z: παιδίω N 4 δεῖ N: δὴ Z 5 ἡδόμενον NZ²: ἰδόμενον Z 6 ἔργω N: ἔργον Z 7 ἐν ἀρχῇ] B 1 p. 1103b23 ταῖς Z: ἐν ταῖς N ἐνεργείαις NZ²: ἐνεργείας Z 9 τοιαύτη—ἐνέργειαι Z in marg. αἱ (prius) Z in marg.: καὶ N 11 οἰκοδομῆς N 14 πρότερον] c. 1 p. 1119b22 17 αἰνέργειαι N δαπάναι corr. ex δαπανηκαὶ, ut videtur, Z 19 ἡ ἕξις N: ἕξις Z 20. 21 ἐστὶν ἀεὶ Z: ἀεὶ ἐστὶν N 21 τὸ (post ἦν) N: τοῦτο ex τὸ Z 25 τῷ ἔργῳ scripsi ex Arist.: τὸ ἔργον ZN 27 ὑπερβάλλων (o supra ω) N 31. 32 ἡ γὰρ — ἔργον ἀποδεῖξαι (p. 106,5) (ἀποδεῖξαι ἔργον Hase) edidit Hase *Classical Journal* XXIX 113 32 μικροπρεπές Arist.

Ἀπὸ δὲ τῆς ἴσης, φησί, δαπάνης τὸν μεγαλοπρεπῆ μέγα ποιήσειν τὸ ἔργον, οἷον εἰ δέοι κατασκευάσασθαί τι αὐτὸν τῇ πατρίδι ταλάντων ἑκατὸν οὐχὶ ποιήσει (μικρὸν μὲν πολύχρυσον δὲ ἢ πολυτελῶν λίθων τινῶν ἔνεστι γὰρ ποικίλως ποιήσαντα σαρδίοις ἢ σμαράγδοις ἢ ἄλλοις τισὶ τοιούτοις λίθοις βραχύ τι ἔργον ἀποδεῖξαι), ἀλλὰ μᾶλλον βουλήσεται μέγεθός τι ἔχον ἔργον ἐργάσασθαι οἷον ὁ Περικλῆς τὸν Ὀλύμπιον ἢ εἴ τι τοιοῦτον. οὐ γάρ ἐστιν ἡ αὐτὴ ἀρετὴ κτήματος καὶ ἔργου· κτῆμα μὲν γὰρ δεῖ ἔχειν τὸ πλείστου ἄξιον καὶ ἐν ὀλίγῳ δυνάμενον πολὺ φυλάττεσθαι, οἷον χρυσὸν μάργαρον λίθον τίμιον· ἔργον δὲ τὸ μέγα καὶ καλὸν τιμιώτατον. τὸ γὰρ τοιοῦτον πᾶς ἂν θαυμάσαι ὁ ὁρῶν, δεῖ δὲ τὸ μεγαλοπρεπὲς θαυμαστὸν εἶναι· καὶ ἔστιν ἔργου ἀρετὴ μεγαλοπρέπεια ἐν μεγέθει, τουτέστιν ἂν μέγα ᾖ καὶ εὐκατάστατον. ἔστι δὲ τῶν δαπανημάτων φησί, τουτέστι μεγαλοπρεπῆ τὰ τίμια, ὅταν καλῶς γένηται δηλονότι· τίμια δέ ἐστι τὰ περὶ τοὺς θεοὺς καὶ περὶ πᾶν τὸ δαιμόνιον, οἷον εἰ καὶ δαίμονας δέοι ἱλάσκεσθαι καὶ ὅσα πρὸς τὸ κοινὸν δεῖ καλῶς φιλοτιμεῖσθαι· ἐν πᾶσι δέ, ὡς καὶ πρότερον εἴρηται, δύο σκέπτεται ἑαυτόν τε τίς ὢν καὶ τίνων ὑπαρχόντων ἀναλίσκει καὶ τί τὸ ἔργον· λέγει δὲ πένητα μὴ εἶναι μεγαλοπρεπῆ, οὐ κατὰ τὴν ἕξιν ἀλλὰ κατὰ τὴν ἐνέργειαν· τὴν μὲν γὰρ ἕξιν οὐδὲν κωλύει ἔχειν τὸν πένητα, τὴν δὲ ἐνέργειαν οὐχ οἷόν τε μὴ ὑπαρχόντων αὐτῷ κτημάτων. ὅτι δὲ περὶ τῆς ἐνεργείας λέγει, φανερόν, ὅτι ἠλίθιος ἔσται ἐπιχειρῶν ἀναλίσκειν ὁ πένης, παρὰ τὴν ἀξίαν γὰρ ἀναλώσει καὶ τὸ δέον· πᾶν γὰρ τὸ κατ' ἀρετὴν ὀρθῶς πράττεται. πρέπει δὲ ἀναλίσκειν καὶ οἷς τάλαντα προϋπάρχει· δεῖ γὰρ αὐτοὺς ἀξίους εἶναι καὶ ὧν οἱ πρόγονοι μεγαλοπρεπῶς τινα εἰργάσαντο ἢ ὧν σφισι μέτεστι· μέτεστι δὲ συγγενῶν ἢ οἰκείων, ὥστε καὶ τῷ μεγαλοπρεπεῖ ἔχοντι συγγενεῖς ἢ οἰκείους ἁρμόττει μὴ λείπεσθαι αὐτῶν, ὄντος πλούτου καὶ χορηγίας. μάλιστα μὲν οὖν ὁ μεγαλοπρεπὴς ἐν τοῖς τοιούτοις δαπανήμασιν ἐνεργήσει. λέγω δὲ ἐν τοῖς πρὸς τὸ κοινόν, καὶ ἐν τοῖς ἰδίοις δὲ μεγαλοπρεπῶς ἀναλώσει ὅσα εἰσάπαξ γίνεται, οἷον γάμος καὶ εἴ τι τοιοῦτον, καὶ περὶ ὃ πᾶσα ἡ πόλις σπουδάζει ὑπερβαλεῖται, οἷον ἂν περὶ ὅπλα σπουδάζῃ πᾶσα ἡ πόλις ἢ περὶ ἵππους, μεγαλοπρεπῶς ταῦτα αὐτὸς παρασκευάσει, κἂν οἱ ἐν ἀξιώματι περί τι τοιοῦτον σπουδάζωσιν ἢ ὡς ἐλευθέριον ἢ ὡς τῇ πόλει χρήσιμον μεγαλοπρεπῆ αὐτοῦ τὴν χρῆσιν ἕξει. καὶ περὶ ξένων δέ φησιν ὑποδοχὰς τὸν μεγαλοπρεπῆ καλῶς ἀναστρέφεσθαι καὶ δωρεὰς καὶ ἀντιδωρεάς· δόξει δὲ λέγων ἀντιδωρεὰς ὁμολογεῖν, ὅτι λήψεται ὁ μεγαλοπρεπὴς δωρεάς. ἔστι δὲ οὐδὲν

---

1 ἴσης N 5 μέγεθός corr. ex μεγέθει Z 6 περικλῆς Z: περὶ κυκλῆς N τὸν scripsi: τὸ ZN; τὸν ὀλύμπιον δία Anonym. Ald. f. 53a38 7 πλείστου corr. ex πλεῖστον N 8 πολὺ Z: πολλοῦ N 11 ἂν om. N εὐκατάστατον scripsi: ἀκατάστατον ZN 12 an τουτέστι delendum? 14 δαίμον Z 15 πρότερον] c. 4 p. 1122a25 16 ὑπαρχόντων in marg. add. Z 17 γὰρ om. N 20 ἐπιχειρῶν NZ: ν Z[2], pergit eadem manus pro ἀναλίσκειν scribens μεγαλοπρεπείαις παρὰ Z: περὶ N 21. 22 ante ἀναλίσκειν rasura Z 23 μετέστῆ N 24 τὸ μεγαλοπρεπῆ N 25 λύπεσθαι N 27 δὲ om. Z 28 γάμους Z 29 ὑπερβαλλεῖται N 30 παρασκευάσει Diels: παρασκευάζει NZ 31 ὡς (ante ἐλευθερίον) suppl. Z[2] 32 τὸν Z: τοῦ N

θαυμαστόν· τὸ μὲν γὰρ ὅλον περὶ μεγάλην δαπάνην καὶ ἐν μεγάλοις ἔργοις ἐστὶν ἡ μεγαλοπρέπεια. ἀγαθὸς δὲ ὢν τάχ' ἂν οὐκ ὀκνήσειέ ποτε λαβεῖν δωρεάν, μέλλων μείζονα ἀντιδωρεῖσθαι· ἐπεὶ δὲ οὐκ εἰς ἑαυτὸν δαπανηρός ἐστιν ὁ μεγαλοπρεπὴς ἀλλ' εἰς τὰ κοινά, ὡς εἴρηται, καὶ τὰ ἀναθήματα (τὰ δὲ δῶρα ἀναθήμασι ἔχει τι ὅμοιον) ἑτοίμως ἕξει πρὸς τὰς δωρεάς. τῷ γὰρ ὄντι οὐδενὸς ἀναθήματος ἔλαττόν ἐστι δῶρον καλῶς διδόμενον ἢ Διὸς [διὰ] Φιλίου χάριν ἢ Ξενίου. λέγει δὲ τὸν μεγαλοπρεπῆ περὶ ταῦτα μᾶλλον δαπανᾶν, ὅσα πολυχρόνια τῶν ἔργων, οἷον ναοὺς θεῶν καὶ τειχῶν ἀνασκευὰς καὶ ὅσα μόνιμά ἐστι μᾶλλον ἢ περὶ χορηγίας καὶ γυμνασίας καὶ ὅσα μόνον ἀναλώματά ἐστιν, ἔργον δ' οὐδὲν μόνιμον ἔχειν φαίνεται. καὶ ἐν ἑκάστῳ δὲ τῶν ἔργων τὸ πρέπον σκέπτεται καὶ οὐχ ὁμοίαν ποιήσεται δαπάνην ἱεροῦ καὶ τάφου. ἐπὶ δὲ τῶν δαπανημάτων μεγαλοπρεπέστατον μὲν τὸ ἐν μεγάλῳ μέγα, ἐνταῦθα δὲ τὸ ἐν τούτοις, τουτέστιν ἐν ἑκάστῳ δὲ τὸ οἰκεῖον καὶ πρόσφορον. καὶ ἔτι διαφέρει τὸ ἐν τῷ ἔργῳ μέγα τοῦ ἐν τῷ δαπανήματι· οὐδὲν γὰρ κωλύει τὸ μὲν ἔργον αὐτὸ μέγα εἶναι, τὸ δὲ δαπάνημα μικρόν, οἷον σφαῖρα ἢ λήκυθος ἡ καλλίστη ἔχει μεγαλοπρέπειαν παιδικοῦ δώρου· τοῦτο δὲ διχῶς ἔστι λαβεῖν, ἢ ὅτι παῖς ἂν παιδὶ χαρίζηται ὡς ἐν παιδὶ μεγαλοπρεπής, οὐκ οὔσης μὲν κυρίως μεγαλοπρεπείας ἐν παιδί, οὐδὲ ἄλλης ἀρετῆς οὐδεμιᾶς, ὅλον δὲ τοῦτο ἀρετῆς παιδικῆς· ἢ οὕτως οὖν ἀκουσόμεθα ἢ ὅτι ὁ μεγαλοπρεπὴς ἂν χαρίζηται παιδὶ καλλίστην σφαῖραν ἢ λήκυθον, τὸ μὲν δῶρον μεγαλοπρεπὲς καὶ παιδικὸν πρὸς παῖδα, ἡ δὲ τιμὴ μικρὰ καὶ ἀνελευθέριος, εἰ αὐτὴν καθ' αὑτήν τις σκοποίη. τοῦτο δὲ ὅλον παράδειγμά ἐστι τοῦ ἐν ἑκάστῳ εἶναί τι μέγα κατὰ τὸ γένος, ὁπότε καὶ ἐν τοῖς παιδικοῖς δώροις ἔνι τις μεγαλοπρέπεια· ἐν μεγάλοις δὲ μέγα εἴρηκεν, οἷον ἂν ἔν τινι τῶν τιμιωτάτων μέγεθος προσῇ· τιμιώτατα δὲ τὰ πρὸς θεοὺς μὲν πρῶτον, ἔπειτα δὲ τὰ πρὸς τὸ κοινόν. τὸ δ' ἑξῆς τῆς φράσεως· ἐπὶ τῶν δαπανημάτων ἕκαστον μέγιστον ἐν τῷ οἰκείῳ γένει καὶ τὰ ἑξῆς, διὰ τοῦτό ἐστι τοῦ μεγαλοπρεποῦς, εἰ ἐν ᾧ ἂν ποιῇ γένει, μεγαλοπρεπῶς ὑπερβάλλοιτο, ὅταν καὶ τὸ δαπάνημα ἄξιον ᾖ τοῦ ἔργου καὶ τὸ ἔργον τοῦ δαπανήματος.

Ἃ δὲ λέγει περὶ τοῦ βαναύσου καὶ τοῦ μικροπρεποῦς δῆλά ἐστιν· εἶναι μὲν οὖν δῆλον καὶ αὐτός φησι κακίας, οὐ μὴν ὀνείδη ἐπιφέρειν διὰ τὸ μὴ εἶναι βλαβερὰς τῶν πέλας ὥσπερ ἡ ἀδικία βλαπτική ἐστι καὶ ἡ ἀκολασία καὶ σχεδὸν αἱ λοιπαὶ κακίαι.

---

2 δὲ ὢν N: δ' ὢν Z ὀκνήσεις Z 3 αὐτὸν N 5 τὰ suppl. Z[2] ἀ αθήμασι scripsi τοῖς ἀναθήμασι Arist.: ἢ ἀναθήματι N, idem Z, deleto tamen ἢ 6 ἐστι δῶρον ἔλαττον N 7 διὰ delevi φιλίου N: φίλου Z 8 θεῶν scripsi: θεοὺς ZN 11 οὐχ ὁμοίαν corr. ex οὐδεμίαν Z 13 μεγάλοις Z δὲ om. Z 14 τῷ ἔργω N: μεγάλῳ ἔργῳ Z 15 τῷ om. Z 16. 17 μεγαλοπρέπεια N: μεγαλοπρέπεια' Z 18 οὖσις N 19 ἄλλως N 24 μεγαλοπρέπεια (R): μεγαλοπρεπής ZN 25 ἔν τινι Z: ἔν τι N τιμιώταταν Z 28 εἰ ante ἐν om. N et Aristoteles 31 μικροπρεποῦς corr. ex μικροῦ πρεποῦς Z 32 δῆλον scripsi: δηλοῖ ZN οὐνείδη N

p. 1123a34 Ἡ μεγαλοψυχία δὲ ἕως τοῦ * * *

Πρὸς μὲν τὸ λαβεῖν τί ἐστιν ἡ μεγαλοψυχία, οὐδὲν διαφέρει, ὥς φησι, τὴν ἕξιν σποπεῖν ἢ τὸν κατὰ τὴν ἕξιν. λέγει δὲ κατὰ τὴν ἕξιν τὸν μεγαλόψυχον. πρὸς δὲ τὸ ῥᾷον λαβεῖν ἴσως πρὸ ἔργου ἐστὶν ἡ τοῦ μεγαλοψύχου θεωρία· διὸ περὶ τούτου ποιεῖται τὴν σκέψιν· καταφανοῦς γὰρ αὐτοῦ γενομένου, ῥᾳδία ἐστὶν ἡ μετάβασις ἐπὶ τὴν μεγαλοψυχίαν. δοκεῖ δέ φησι μεγαλόψυχος εἶναι ὁ μεγάλων αὑτὸν ἀξιῶν, ⟨ἄξιος ὤν·⟩ ὁ γὰρ μεγάλων ⟨ἑαυτὸν⟩ ἀξιῶν, οὐκ ὢν δὲ ἄξιος, ἠλίθιος· οὐδεὶς δὲ τῶν κατ' ἀρετὴν ἠλίθιος. ὥστε οὐκ ἄξιός ἐστι μικρῶν καὶ μικρῶν ἀξιῶν ἑαυτόν, ὅν φησιν εἶναι σώφρονα· ἕτερος δὲ ὁ μεγάλων αὑτὸν ἀξιῶν ἀνάξιος ὤν, ὃν ὀνομάζει χαῦνον καὶ τάττει κατὰ τὴν ὑπερβολήν· τρίτον δὲ τὸν μειζόνων ἀξιοῦντα ἑαυτὸν ἢ ἄξιός ἐστιν, ὃν οὐ πάντως φησὶ χαῦνον εἶναι· τέταρτον δὲ τὸν ἐλαττόνων ἀξιοῦντα ἑαυτόν, ἐάν τε μεγάλων ἐάν τε μετρίων ἐάν τε καὶ μικρῶν ἄξιος ὢν ἔτι ἐλαττόνων ἑαυτὸν ἀξιοῖ. περὶ δὲ τούτων πάντων σκέψαιτο ἄν τις εὐλόγως ἀρξάμενος ἀπ' αὐτοῦ τοῦ μεγαλοψύχου. καὶ γὰρ ἐπίνοιά ἐστι τοῦ μεγαλοψύχου ἀνδρὸς κατὰ τοὔνομα μέγεθός τι ψυχῆς ἔχοντος· καὶ διὰ τοῦτο μήτε ὑπὸ εὐτυχίας ἐξογκουμένου μήτε ὑπὸ δυστυχίας πίπτοντος, ἀλλ' ἐμμελῶς φέροντος τὰς τύχας. οὗτοι γὰρ λέγονται μάλιστα μεγαλόψυχοι, ὧν ἔοικεν ἡ ψυχὴ τοῖς ἰσχυροῖς καὶ ὑγιεινοῖς σώμασιν, ἃ οὔτε ὑπὸ πνίγους οὔτε ὑπὸ χειμῶνος ἢ πνευμάτων μεταβάλλει, ἀλλ' ἄσειστα καὶ ἀμετάβλητα μένει· τὸν αὐτὸν τρόπον καὶ ὁ μεγαλόψυχος ὑπ' οὐδεμιᾶς τύχης σείεται οὔτε μεταβάλλει, ἅτε εἰδὼς οὐδὲν τῶν ἀνθρωπίνων σπουδῆς ὂν ἄξιον ἀλλὰ μέγιστον μὲν ἀγαθὸν τὴν ἀρετήν, μέγιστον δὲ κακὸν τὴν κακίαν, τὰ δ' ἄλλα ἀγαθὰ καὶ κακὰ οὐ τοιαῦτα εἶναι, ὥστ' ἄξιον εἶναι πίπτειν ἐπὶ τοῖς κακοῖς ἢ ἐπαίρεσθαι ἐπὶ τοῖς ἀγαθοῖς· τοιοῦτος δή τις μάλιστα δοκεῖ ὁ μεγαλόψυχος. λέγειν γοῦν εἰώθαμεν ἐπὶ τῶν ἐν δυστυχίᾳ μὴ καταπιπτόντων, ὅτι μεγαλοψύχως ἤνεγκαν καὶ ἐπὶ τῶν μὴ ἐπαιρομένων μηδὲ ἐξογκουμένων ὑπὸ εὐτυχίας μεγαλοψύχως ἔχειν. ὁ δ' Ἀριστοτέλης λέγει μεγαλόψυχον τὸν μεγάλων ἑαυτὸν ἀξιοῦντα ἄξιον ὄντα. τίνα δὲ τὰ μεγάλα ταῦτά ἐστιν, ὧν ἑαυτὸν ἀξιοῖ, προελθὼν διασαφεῖ.

Λέγει γὰρ τὰς τιμὰς εἶναι τὰ μέγιστα τῶν ἐκτὸς ἀγαθῶν ὧν ἐφίεσθαι τὸν μεγαλόψυχον. τοῦτο δ' αὐτὸ δόξει ἄτοπον εἶναι· ἂν γὰρ σκοπὸς ⟨ᾖ⟩ ἡ παρὰ τῶν ἄλλων τιμή, οὕτως ἔοικεν οὐκ ἐφ' ἑαυτῷ εἶναι ἀλλ' ἐπ' ἄλλοις.

---

1 ἡ μεγαλοψυχία δὲ Z: ἡ δὲ μεγαλοψυχία Arist.: ἡ μεγαλοψυχία N τοῦ om. N: add. supra lineam Z 2 πρὸς μὲν Z: μὲν πρὸς N 3 τὸν (ante κατὰ) om. N 6 μετάβασις Z: μετα .... N 7 ἄξιος ὢν addidi ex Aristotele 7. 8 ἑαυτὸν addidi 8 ἄξιος scripsi: ἀνάξιος ZN 9 καὶ μηκρῶν Z 10 χα .... Z 11 τὸν N: τῶν Z 12 τὸν Z: τῶν N 14 πάντων N: lac. Z 15 ...νοια Z 17 ἐξογγουμένου N 18 τύχας Z: δίκας N 21 ὑπ' N: καὶ ὑπ' Z 22 ὂν ex ὢν N 27 ἔχειν scripsi: ἐχόντων ZN 28 μεγάλον Z 30 ἀγαθῶν scripsi ex Aristotele: ἃ γὰρ ZN ὧν Z: ᾧ N 31 δόξο N ἂν — εἶναι (32) om. Z ᾖ addidi 32 αὐτῷ (R): ἑαυτῶν N

κἂν οὕτω τύχῃ, πυκνὰ μεταβάλλειν ἐκ τοῦ εὖ πράττειν εἰς τὸ κακοπραγεῖν. ἐὰν ποτὲ μὲν τιμᾶται ποτὲ δὲ μή, ἀλλὰ τοὐναντίον ἀτιμάζηται· ἥκιστα δὲ προσήκει τῷ ἐναρέτῳ ἐπ' ἄλλοις εἶναι. ἀλλὰ μή ποτε οὐ τοῦτο λέγει ὁ Ἀριστοτέλης· τοὐναντίον γὰρ καὶ ὑπεροπτικὸν αὐτόν φησιν εἶναι τῆς παρὰ τῶν πολλῶν τιμῆς, ἅτε μηδὲν τῶν ἀνθρωπίνων ἡγούμενον εἶναι πολλῆς τιμῆς ἄξιον. τίς οὖν αὐτῷ σκοπός; οὐ μὰ Δία τὸ τιμᾶσθαι· εἴη γὰρ ἂν οὕτως ἐπ' ἄλλοις, ἀλλὰ τὸ παρέχειν ἑαυτὸν ἄξιον ὑπὸ τῶν σπουδαίων τιμᾶσθαι καὶ συνειδέναι ἑαυτῷ ἀρίστῳ καὶ ἀξίῳ τῆς παρὰ τῶν ἀγαθῶν τιμῆς καὶ σπουδῆς. ἧς τυγχάνων μὲν ἀσμενιεῖ, ἐὰν δὲ μὴ τυγχάνῃ, ἱκανὸν ἡγήσεται τὸ αὐτῷ συνειδέναι οἷός τίς ἐστι. τοιοῦτος γάρ ἐστιν, οἷον ὁ ποιητὴς πεποίηκε τὸν Ἀχιλλέα λέγοντα "φρονέω δὲ τετιμῆσθαι Διὸς αἴσῃ". ἄριστοι μὲν γὰρ πάντων οἱ θεοί, παρὰ δὲ τούτων ἡγεῖται τιμὴν αὐτῷ ὑπάρχειν ἀγαθῷ ὄντι καὶ τελείῳ κατ' ἀρετήν· σχεδὸν γὰρ πάσας αὐτόν φησιν ἔχειν τὰς ἀρετάς. χαρακτηρίζεσθαι δὲ κατὰ τὸ μέγεθος τὸ τῆς ψυχῆς· ἐπικόσμημα γάρ τι εἶναι τὴν μεγαλοψυχίαν πασῶν τῶν ἀρετῶν. ἑκάστην μὲν γὰρ εἰδοποιεῖσθαι κατὰ τὰ ὑποκείμενα, οἷον σωφροσύνην μὲν διὰ τὸ περὶ ἡδονὰς εἶναι καὶ λύπας, ἀνδρείαν δὲ διὰ τὸ περὶ φόβους εἶναι καὶ θάρρη, ἄλλας δὲ δι' ἄλλο τι· ἐπανθεῖν δ' αὐταῖς μὲν τὴν μεγαλοψυχίαν, οἷον ἐπιγινομένην τινὰ ἕξιν τῇ πασῶν κτήσει. τὸ δὴ μέγεθος τῆς ψυχῆς ἐντεῦθεν τῷ μεγαλοψύχῳ· τῷ τοιούτῳ δὲ μεγέθει ἕπεσθαί φησιν ὁ Ἀριστοτέλης τὰ εἰρημένα ὑφ' ἡμῶν τὸ φέρειν ἐμμελῶς τὰς δυστυχίας· καὶ ἄλλα δὲ πλείω ἀκολουθεῖ περὶ ὧν αὐτὸς δηλώσει.

Ὁ μὲν οὖν μεγαλόψυχος, ὡς τύπῳ εἰπεῖν, τοιοῦτός ἐστιν, τοὺς δὲ λοιποὺς σκεπτέον. ἣν δὴ ὁ πρῶτος ὁ μικρῶν ἄξιος καὶ μικρῶν αὑτὸν ἀξιῶν, ὃν ἔλεγεν εἶναι σώφρονα. εἰ δὲ μικρῶν ἄξιος, πῶς ἂν εἴη σώφρων; ὁ γὰρ σώφρων ἐνάρετος· ὁ δὲ ἐνάρετος μεγάλων ἄξιος. ἐπειδὴ σώφρονα λέγει τὸν περὶ ἡδονὰς κατορθοῦντα· οὗτος δὲ τοιοῦτος. ἔοικεν οὖν κοινότερον λαμβάνειν νῦν σωφροσύνην ἀντὶ φρονήσεως ὥσπερ εἰώθαμεν πολλάκις· καὶ ταύτης οὐχὶ τῆς ἀρετῆς ἀλλὰ τῆς φυσικῆς συνέσεως, ἣν ἔχουσί τινες, ὥστε συνορᾶν τίνων ἄξιοι καὶ ἐπὶ πόσον· εἴη δ' ἂν τοιοῦτος οὐκ ἀφυὴς ἄνθρωπος, ὃς οὐχ ὁρῶν ἑαυτὸν οὐδέπω οὐδὲν μέγα οὔτε εἰδότα οὔτε πεποιηκότα οὐχ ἡγεῖται μεγάλων εἶναί πω τιμῶν ἄξιος· οὐδὲν δὲ κωλύει παιδευθέντα γενέσθαι αὐτὸν μεγαλόψυχον. ὁ δὲ μεγάλων αὑτὸν ἀξιῶν ἀνάξιος ὢν μοχθηρὸς καὶ χαῦνος, ἀντιποιούμενος μὴ προσηκουσῶν τιμῶν, παντελῶς αὐτῶν ἀνάξιος ὤν. ἀξιοῖ δ' αὑτὸν οὐ τῶν ἁπλῶς μεγάλων· οὐδὲ γὰρ οἶδεν ἄλλα τῶν νομιζομένων, λέγω δὲ τῶν πολιτικῶν τιμῶν. μεγάλη γὰρ τιμὴ ἡ μέν ἐστι κατ' ἀλήθειαν (αὕτη δέ ἐστιν ὁ

2 μὴ Z: μὲν N δὲ (post ἥκιστα) om. N 6 οὐ μὰ διὰ Z: οὐ μ. διὰ N 8 τῶν ἀγαθῶν Z: τῆς ἀγαθῆς N 9 αὐτῷ] αὐτῶ N: αὐτὸ Z 11 λέγοντα] Homer. Il. I 608 φρονέω Z: φρονέα N 13 πάσας αὐτὸν N: πά...... Z 14 τὸ τῆς Z: τῆς N 15 γὰρ om. N 16 ἀνδρίαν Z 17 εἶναι om. N 17. 18 δ' αὐταῖς scripsi: δὲ ταῖς Z: δὲ τὰς N 19 τῷ Z: τὸ N 23 δὴ Z: δὲ N ὁ (ante μικρῶν) Z: οὐ N καὶ—ἄξιος (24) om. Z αὑτὸν] αὐτὸν N 25 δὲ om. N 26. 27 σωφροσύνην scripsi: σώφρονα ZN 32 αὑτὸν] αὐτὸν ZN 33 αὑτὸν] αὐτὸν ZN

παρὰ τῶν σπουδαίων καὶ ἀρίστων ἔπαινος), ἡ δέ ἐστι νομιζομένη μεγάλη, ἣν οἱ πολλοὶ παρέχουσι στέφανοι καὶ εἰκόνες καὶ τὰ τοιαῦτα. ὧν ἀξιοῖ τυγχάνειν ὁ χαῦνος ἑαυτόν, οὐδ' αὐτῶν ἀνάξιος ὤν· ὁ δὲ μειζόνων ἢ ἄξιος οὐ πᾶς χαῦνος. γίνονται γάρ τινες εὐφυεῖς καὶ χαρίεντες εὐποιητικοὶ τῶν πατρίδων ἐν καιρῷ, ἐπιδιδόντες καὶ βοηθοῦντες τῷ κοινῷ καὶ ἀνατιθέντες ἀναθήματα· οὗτοι δὲ ἄξιοί εἰσι τῆς παρὰ τῶν πόλεων τιμῆς. ἐνίοτε δ' ἀξιοῦσι διὰ τοῦτο καὶ ἁπλῶς ἐνάρετοι εἶναι καὶ τέλειοι οὐ διὰ χαυνότητα ἀλλὰ δι' ἄγνοιαν, οὓς οὐδὲν κωλύει παιδευθέντας καὶ τελείως ἀγαθοὺς γενέσθαι. περὶ δὲ τοῦ μικροψύχου καὶ παντελῶς ἀπορήσαι τις ἄν· λέγει γὰρ μικρόψυχον εἶναι, ἐάν τε μεγάλων ἐάν τε μικρῶν ἄξιος ὤν, ἔτι ἐλαττόνων αὑτὸν ἀξιοῖ· εἰ μὲν γὰρ μεγάλων ὅλως ἐστὶν ἄξιος, πῶς ἂν εἴη μοχθηρός; ἢ μεγάλων οὕτως ἂν εἴη ἄξιος, οἷον εἰ προγόνων ἐπισήμων ὢν εἰς μικρὰ ἑαυτὸν ἄγει ἐπιτηδεύματα καὶ βάναυσον τέχνην μεταχειρίζεται, ἐξὸν πολιτικῶν ἅπτεσθαι καὶ εἰ μὴ ἀφυὴς ᾖ πρὸς τὸ μαθεῖν ἄν τι ἢ γνῶναι, τούτων μὲν ἀφέστηκε, τὰ δὲ τυχόντα ἐπιτηδεύει· οὗτος γὰρ τῷ ὄντι ἐλαττόνων ἑαυτὸν ἀξιοῖ. ὁ δὲ καὶ μικρῶν ἄξιος καὶ ἔτι ἐλαττόνων ἑαυτὸν ἀξιῶν παντελῶς μικρόψυχος, καίτοι ὁ Ἀριστοτέλης λέγει μάλιστα ἂν δοκεῖν μικρόψυχον τὸν μεγάλων ἄξιον μικρῶν δὲ ἑαυτὸν ἀξιοῦντα, ἴσως εἰς τοιαῦτα ἀποβλέπων οἷα εἰρήκαμεν· ταῦτα μὲν οὖν εἰρήσθω περὶ αὐτῶν, ἐξ ὧν ὡς ἐν κεφαλαίῳ εἰπεῖν εἴληπται ὅτι ὁ μὲν μεγαλόψυχός ἐστιν ὁ μεγάλων αὑτὸν ἀξιῶν ἄξιος ὤν, ὁ δὲ κατὰ τὴν ὑπερβολὴν τεταγμένος χαῦνος, ὁ μεγάλων αὑτὸν ἀξιῶν ἀνάξιος ὤν, ὁ δὲ κατὰ τὴν ἔλλειψιν ἐλαττόνων αὑτὸν ἀξιῶν ἢ ἐστιν ἄξιος ⟨μικρόψυχος⟩. τὰ δὲ ἑξῆς, ἐπειδὴ καὶ καθ' αὑτὰ δῆλά ἐστι καὶ ἐκ τῶν εἰρημένων, οὐκ ἀνάγκη πάντα ἐπιέναι, ἀλλ' εἴ τινα ἔχει ἔνστασιν κατὰ τὴν λέξιν ταῦτα θεωρητέον.

Λέγει δὲ τὸν μεγαλόψυχον τῷ μεγέθει ἄκρον εἶναι· μέγας γάρ ἐστι τῷ μέγεθος ἔχειν ψυχῆς τὸ ἀκρότατον, τῷ δὲ ὡς δεῖ μέσος· οὔτε γὰρ ὑπερβάλλει οὔτε ἐλλείπει κατὰ τὸ ἀξιοῦν ἑαυτὸν ὧν ἐστιν ἄξιος. οἱ δ' ἐν ταῖς παρακειμέναις κακίαις οἱ μὲν ὑπερβάλλουσιν, οἱ δὲ ἐλλείπουσιν, οἱ μὲν χαῦνοι ὑπερβάλλουσιν. οἱ δὲ μικρόψυχοι ἐλλείπουσιν· ἐπεὶ δὲ τῶν μεγίστων αὑτὸν ἀξιοῖ, τὸ δὲ μέγιστον ἐν τῷ ὑπερθετικῷ λεγόμενον ἕν, περὶ ἕν τι ἂν εἴη ὁ μεγαλόψυχος. τί οὖν τοῦτ' ἐστιν ἐκ τῆς ἀξίας ληπτέον. ἡ γὰρ ἀξία λέγεται [τουτέστι] πρὸς τὰ ἐκτὸς ἀγαθά. ἀξίαν γὰρ λέγομεν ἢ πλούτου ἢ δόξης ἢ τιμῆς ἢ ἄλλου τινός. τῶν δὴ ἐκτὸς ἀγαθῶν τοῦ μεγίστου ἀξιοῦται ὁ μεγαλόψυχος· μέγιστον δέ ἐστιν ὃ τοῖς θεοῖς ἀπονέμομεν, τοῦτο δέ ἐστιν ἡ

1 παρὰ Z: περὶ N 3 ἑαυτόν Z: αὑτὸν N ἄξιος ὢν Diels 4 ἐφυεῖς Z 6 τῆς corr. ex τῶν Z 7 τέλιοι ZN ἄνοιαν N 9 λέγοι N 10 ἔτι scripsi ex Arist.: εἶτα Z: εἶτα καὶ N 10. 11 μὲν γὰρ Z: δὴ N 11 οὗτος Z 11. 12 ἂν εἴη N: ἐστὶν Z 12 ἑαυτῶν N 13 εὐφυὴς N 14. 15 ἐπιτηδεύη[ει] N 17 δοκεῖ N 20 αὑτὸν Z: αὐτὸν N 21 αὑτὸν Z: αὐτὸν N ἀνάξιος — ἀξιῶν (22) om. Z 22 μικρόψυχος addidi 23 πάντως N 25 ἄκρων[ο] N 26 μέσος N: μέρος Z 28 οἱ μὲν χαῦνοι — ἐλλείπουσιν (29) om. Z 29 αὑτὸν Z: αὐτὸν N 30 ὑπερθετικῷ scripsi: ὑπερθετικῶς ZN 32 τουτέστι delevi 34 ἀπονεμόμενον N

τιμή. διὰ γὰρ τοῦτο τίθησι περὶ τιμὰς ὄντα καὶ ἀτιμίας τὸν μεγαλόψυχον. ὧν μὲν γὰρ δεῖ τιμῶν ἐφίεται καὶ ἄξιον αὑτὸν ἡγεῖται, ὧν δὲ οὐ δεῖ ὑπερορᾷ· ὁμοίως δὴ καὶ ἀτιμίας· τὰς μὲν παρὰ τῶν ἀγαθῶν ἀλλοτρίας ἑαυτοῦ νενόμικε, τὰς δὲ παρὰ τῶν πολλῶν ὑπερορᾷ. σχεδὸν δὴ ὁ λόγος τοιοῦτός ἐστιν· εἰ μεγίστων αὑτὸν ἀξιοῖ ἄξιος ὤν, τὸ δὲ μέγιστον ἕν, λέγεται δὲ ἀξίωμα ὡς πρὸς τὸ ἐκτός, τὸ μέγιστον τῶν ἐκτὸς ἀγαθῶν εἴη ἂν οὗ ἀξιοῖ ἑαυτόν. εἰ δὲ μέγιστον ἡ τιμή, ταύτης ἀξιοῖ ἑαυτόν· καὶ ἐκ τοῦ λόγου μὲν συμφανές· καὶ ἄνευ δὲ λόγου φαίνονται οἱ μεγαλόψυχοι περὶ τιμὴν εἶναι. ὁ δὲ μικρόψυχος, φησίν, ἐλλείπει καὶ πρὸς ἑαυτὸν καὶ πρὸς τὸ τοῦ μεγαλοψύχου ἀξίωμα, οὔτε γὰρ ὧν αὐτός ἐστιν ἄξιος ἀξιοῖ ἑαυτὸν πολύ τε ἀπέχει τοῦ ἐφίεσθαι ὧν ὁ μεγαλόψυχος· ὁ δὲ χαῦνος πρὸς ἑαυτὸν μὲν ὑπερβάλλει· ἀξιοῖ γὰρ αὑτόν, ὧν οὐκ ἔστιν ἄξιος· οὐ μὴν τόν γε μεγαλόψυχον· οὐδὲ γὰρ ἐπινοῆσαι δύναται ὧν ἑαυτὸν ἀξιοῖ ὁ μεγαλόψυχος.

Μετὰ δὲ ταῦτα ἐνδείκνυται ὅτι ἄριστος ὁ μεγαλόψυχος· εἰ γὰρ τῶν μεγίστων ἄξιος, ἄριστος ἂν εἴη. καὶ δόξειεν ἂν εἶναι, φησί, μεγαλοψύχου τὸ ἐν ἑκάστῃ ἀρετῇ μέγα. ὥσπερ γὰρ ἐλέγομεν, ἑκάστη μὲν ἀρετὴ εἰδοποιεῖται τοῖς ὑποκειμένοις αὐτῇ, τὸ δὲ μέγεθος ἑκάστῃ ἐπιθετέον ἐν τῇ μεγαλοψυχίᾳ. μέγεθος γάρ τι τῇ ψυχῇ παραγίνεται σὺν τῇ ἕξει ταύτῃ· αὕτη δὲ παραγίνεται, τελειωθεισῶν τῶν ἀρετῶν πασῶν. καὶ προελθὼν λέγει κόσμον τινὰ εἶναι τῶν ἀρετῶν τὴν μεγαλοψυχίαν· μείζους γὰρ αὐτὰς ποιεῖ. πῶς δὲ μείζους; διότι μέγεθός τι προσγίνεται τῇ ψυχῇ τῶν ἐναρέτων καὶ ἐφ' ἑκάστῃ δὲ μεγαλοφρονεῖ ὁ σπουδαῖος, θεωρῶν τὴν ὑγίειαν καὶ τὸ κάλλος αὐτοῦ τῆς ψυχῆς. διὰ τοῦτο χαλεπὸν τῇ ἀληθείᾳ μεγαλόψυχον εἶναι· δεῖ γὰρ τὴν τελείαν ἔχειν καὶ καλοκαγαθίαν· τοῦτο δὲ χαλεπόν. μάλιστα μὲν οὖν περὶ τιμὰς καὶ ἀτιμίας ὁ μεγαλόψυχος, καὶ ἡσθήσεται τιμώμενος ὑπὸ τῶν σπουδαίων κατ' ἀξίαν, ὡς τῶν οἰκείων τυγχάνων ἢ καὶ ἐλαττόνων· ἀρετῆς γὰρ παντελοῦς οὐκ ἂν γένοιτο ἀξία τιμή. λέγει δὲ παντελῆ ἀρετὴν τὴν σύμπασαν, ἣν ἀνάγκη ἔχειν τὸν μεγαλόψυχον· οὐ μὴν ἀλλ' ἀποδέξεται ὅταν μὴ ἔχωσιν αὐτῷ νέμειν μείζω· τῆς δὲ παρὰ τῶν τυχόντων ὀλιγωρήσει καὶ τῆς ἐπὶ μικροῖς. ἐὰν γάρ τινα μικρὰ αὐτῷ πραχθῇ, οὐχ ἡγεῖται δεῖν ἐπὶ τούτοις τιμᾶσθαι. ὁμοίως δὲ καὶ ἀτιμίας ὀλιγωρήσει τῆς παρὰ τῶν πολλῶν· κἂν γὰρ γίνηται περὶ αὐτόν, οἶδεν ὅτι οὐ δικαίως ἔσται. τοῦ δὲ μὴ δικαίως γινομένου παντὸς καταφρονεῖ. μάλιστα μὲν οὖν, ὡς εἴρηται,

3 παρὰ scripsi: περὶ ZN 4 παρὰ Z: ὑπὲρ N δὴ Z: δεῖ N 6 εἰ δὲ—ἑαυτόν (7) om. Z 8 τημὴν N 9 ἐκλείπει N 10 οὐκ ἀξιοῖ N 11 εὐφίεσθαι N 12 αὑτόν] ἑαυτόν Z: αὐτὸν N τὸν Z: τῶν N 14 ἄριστος scripsi: ἄξιος ZN 15 ὁ ἄριστος Z δόξει N μεγαλόψυχον Z 16 ἑκάστη μὲν om. N 16. 17 εἰδοπειεῖται (οι suprascr.) N 18 γάρ τι Z: γε τί N 19 τελειωθῆσαν N 20 εἶναι Z: ἢ N 22 δὲ N: λοιπὸν Z μεγαφρονεῖ N τὴν Z: αὐτὴν N αὐτοῦ] αὑτοῦ Z: om. N 24 καὶ om. N 26 καὶ om. N 27 παντελῆ scripsi: πανταχῆ ZN 28 μὴν Z: μὲν N 29 αὐτῷ scripsi ex Arist.: αὐτῶν Z: αὐτὸν N 29. 30 ὀλιγορήσει N 30 τῆς Z: τοῖς N 31 παρὰ Z: περὶ N 32 αὐτῶ (ο suprascr.) N ὅτι οὐ scripsi: ὅπου ZN

περὶ τιμάς ἐστιν ὁ μεγαλόψυχος, ἀξιῶν ἑαυτὸν τῶν μεγίστων. ἕπεται δὲ τούτῳ μήτε εὐτυχοῦντα περιχαρῆ αὐτὸν γίνεσθαι μήτε δυστυχοῦντα περίλυπον. ὁ γὰρ εἰθισμένος τῶν μεγίστων αὑτὸν ἀξιοῦν τῶν ἄλλων ἀγαθῶν καὶ κακῶν κρείττων ἐστίν, οἷον πλούτου πενίας δόξης ἀδοξίας, ἁπλῶς τῶν περὶ τὸ σῶμα καὶ ἐκτὸς ἀγαθῶν καὶ κακῶν· μέγιστα γὰρ ἀγαθὰ ἡγεῖται τὰ περὶ ψυχήν, ὧν ὑπαρχόντων αὐτῷ ὑπ' οὐδενὸς αὐτῶν οὔτε ἐπαίρεται οὔτε καταπίπτει· οὐδὲ γὰρ πρὸς τὴν τιμὴν οὕτως ἔχει, ὥστε ἐξεπαίρεσθαι ὑπ' αὐτῆς, ἀλλὰ τῆς μὲν παρὰ τῶν πολλῶν καὶ παντελῶς καταφρονεῖ, τὴν δὲ παρὰ τῶν σπουδαίων ἀποδέχεται μὲν εἰ γίνοιτο· γινομένης δέ, οὐ διὰ τοῦτο λανθάνει μὴ συμβαίνειν.

Δοκεῖ δέ τισι τὰ εὐτυχήματα συμβάλλεσθαι πρὸς μεγαλοψυχίαν. μεγαλόψυχος μὲν γάρ ἐστιν ὁ ἀξιῶν ἑαυτὸν τῶν μεγίστων τιμῶν. οἱ δ' εὐγενεῖς καὶ πλούσιοι ἢ δυνάσται ἄλλην εὐτυχίαν ἔχοντες ἀξιοῦσι τιμᾶσθαι καὶ τιμῶνται ὡς ἐν ὑπεροχῇ ἀγαθῶν ὄντες. οὐ μήν εἰσιν οὗτοι μεγαλόψυχοι οὔτε τῷ ἐφίεσθαι τιμῶν οὔτε τῷ τυγχάνειν. κατ' ἀλήθειαν γὰρ μεγαλόψυχος γένοιτ' ἂν ὁ ἀγαθός, ὁ δ' αὐτὸς καὶ τιμητός. ἂν δ' ἄμφω αὐτῷ ὑπάρχῃ ἀρετὴ καὶ τὰ ἐκτὸς εὐτυχήματα, ἴσως μᾶλλον δόξει τιμητὸς εἶναι τοῖς πολλοῖς. κατ' ἀλήθειαν δὲ μᾶλλον αὐτός ἐστιν εἰ καὶ διὰ τὴν εὐτυχίαν ἀκωλύτως ἐνεργοίη κατὰ τὴν ἀρετὴν ἐν προηγουμένοις· ταῖς γὰρ καλαῖς ἐνεργείαις ἀκολουθοῦσιν αἱ τιμαί. ἄνευ δὲ ἀρετῆς τὰ εὐτυχήματα ὡς ἐπίπαν ὑβριστὰς καὶ ὑπερόπτας ποιεῖ· μιμοῦνται γὰρ ὡς οἴονται τὸν μεγαλόψυχον ἐν οἷς δύνανται· δύνανται δὲ ἐν τῷ καταφρονεῖν τῶν πολλῶν, οὐκ ἐν τῷ κατ' ἀρετὴν πράττειν· καταφρονεῖ δὲ τῶν πολλῶν οὐχ ὥστε ὑβρίζειν ἀλλ' ὥστε μὴ θαυμάζειν τὰς παρ' αὐτῶν τιμάς. καὶ ὁ μὲν δικαίως αὐτῶν καταφρονεῖ· δοξάζει γὰρ ἀληθῶς ὅτι κρείττων ἐστὶ τῶν ἄλλων, οἱ δὲ ψευδῶς καὶ ὡς ἂν τύχῃ περί τε αὑτῶν καὶ περὶ τῶν ἄλλων δοξάζουσιν· ἐπειδὴ δὲ τὸ αὑτοῦ μέγεθος οὐκ ἀγνοεῖ ὁ μεγαλόψυχος καὶ τὰ ἄλλα ἐπίσταται τὰ ἀνθρώπινα οἷά ἐστι, εἰκότως οὐκ ἔστιν οὔτε πυκνοκίνδυνος οὔτε φιλοκίνδυνος ἑαυτόν τε οὐχ ἡγούμενος δεῖν ὡς ἔτυχε καὶ προίεσθαι καὶ οὐκ ἀξιῶν ὑπὲρ τῶν μηδενὸς ἀξίων κινδυνεύειν· ἐν οἷς δ' ἂν κρίνῃ κινδυνευτὰ ἐνεῖναι, μεγαλοκίνδυνός ἐστιν. οὐδὲ γὰρ τὸ ζῆν μέγα ἡγεῖται ἀλλὰ προτιμᾷ αὑτοῦ τὸ καλῶς καὶ ὑπὲρ καλῶν ἔργων ἀποθανεῖν. καὶ οἷος, φησίν, εὖ ποιεῖν, εὐεργετούμενος δ' αἰσχύνεσθαι.

---

2 περιχαρῆς Z 3 αὐτὸν ἀξι] lac. Z .αὐτὸν N 5 κακῶν· μέ] lac. Z 7 αὐτῆς N: αὐτῶν Z 8 παρὰ N: πέρι Z 9 γένοιτο N 14 εἰσίν om. Z 15 εὐφίεσθαι N 16 τιμητὸς ZN et Arist. Mb: τιμητέος Arist. vulg. 18 ,δ' αὐτὸς μᾶλλον N μὴ post εἰ add. Z 19 ἀρετὴν .... προημένως Z: ἀρετὴν ἐν προηγουμένης N 21 οἴονται Z: οἷόν τε N 24 δικαίως τῶν N δοξάζῃ Z 25 τύχῃ ab N postea adiectum 26 αὑτῶν] αὐτῶν ZN αὑτοῦ scripsi: αὐτὸ ZN: *suam ipsius magnitudinem* Felicianus 27 inter μεγαλόψυχος et καὶ N habet lacunam quinque fere litterarum, nullam Z 28 πυκνοκίνδυνος ZN et Aristot. HaLbMbOb: μικροκίνδυνος Arist. vulg. post φιλοκίνδυνος lacuna quinque fere litterarum N δεινῶς N 29 τῶν scripsi: τε ZN ἀξίων scripsi: ἀξιῶν ZN 30 ἐνεῖναι Diels: μὲν εἶναι ZN 32 καὶ οἷος—πέπονθεν (p. 113,16) edidit Rose *Hermae* V 104 sq.

τοῦτο δὲ αἰτιῶνταί τινες ὡς οὐκ εὖ λεγόμενον· τῷ γὰρ ἀγαθῷ οὐ μόνον τὸ εὖ ποιεῖν ἀλλὰ καὶ τὸ εὖ πάσχειν οἰκεῖον εἶναί φασιν. ἀληθῆ μὲν λέγοντες, οὐ μὴν καθορῶντες τὸ τοῦ μεγαλοψύχου μέγεθος. πολλὰ γὰρ δεῖ γίνεσθαι ἵνα ἀνάσχηται ἢ εἰς χρήματα ἢ εἰς δύναμιν ἢ εἴς τι τῶν τοιούτων εὐεργετούμενος. τοῦτο οὖν ἐστιν, ὃ λέγει, ὅτι αἰσχύνοιτ' ἂν ἢ χρήματα λαμβάνειν ἢ ἄλλην τινὰ τοιαύτην εὐεργεσίαν· τὸ γὰρ μέγεθος τῆς μεγαλοψυχίας ἐν ὑπεροχῇ, ὁ δ' εὐεργετούμενος ἐν ὑπερεχομένου δοκεῖ χώρᾳ τετάχθαι· διὸ καὶ ἀντευεργετικὸν αὐτόν φησι πλειόνων εἶναι, ἵνα ὁ ὑπάρξας πάλιν προσοφείλῃ.

Ὃ δ' ἐπιφέρει καὶ λίαν τινὲς μέμφονται. φησὶ γὰρ ὧν μὲν ἂν εὖ ποιήσῃ ὁ μεγαλόψυχος μεμνῆσθαι αὐτόν, ὧν δ' ἂν εὖ πάθῃ ⟨μὴ⟩ μνημονεύειν. δοκεῖ δὲ τοὐναντίον ἁρμόττειν τῷ ἀγαθῷ. τούτων μὲν μὴ πάνυ μεμνῆσθαι, ὧν δ' ἂν εὖ πάθῃ· εὐχαρίστου γὰρ ἤθους. οὐ μὴν τοῦτο λέγει ὁ Ἀριστοτέλης, ὅτι [οὐκ] ἐπιλανθάνεται, ὧν ἂν εὖ πάθῃ. πάντων γὰρ ἥκιστα τοῦτο ποιήσει ὁ μεγαλόψυχος, ὃς καὶ πειρᾶται ὡς εἰπεῖν ἀντευεργέτης εἶναι πλειόνων, ἀλλ' οὐκ ἔστιν ἐν λόγῳ μνημονευτικὸς οὐδὲ ἡδέως ἀεὶ μέμνηται πρὸς ἄλλους ὧν εὖ πέπονθεν, οὐδ' ἂν ἄλλων ἡδέως κατακούσειε. μεγαλοψύχου δὲ καὶ τὸ μὴ ῥᾳδίως δεῖσθαί τινος μήτε ἵνα εἰς χρήματα ὠφεληθῇ μήτε εἰς ἄλλο τι, ἀλλὰ μόλις καὶ ὑπὸ μεγάλης ἀνάγκης, παρέχειν δὲ προθύμως τοῖς δεομένοις, ἂν μὴ μοχθηροὶ ὦσι· τὸ γὰρ ὑπηρετεῖν ἀντὶ τοῦ παρέχειν εἴρηκεν. ὅταν δὲ λέγῃ πρὸς τοὺς ἐν ἀξιώματι καὶ εὐτυχίαις δεῖν μέγαν εἶναι τὸν μεγαλόψυχον, οὐκ ἀξιοῖ ἐν βασιλευομένῃ ὄντα πόλει καὶ ἕνα ὄντα τῶν ὑπηκόων τὸν μεγαλόψυχον ἀντεξάγειν τῷ ἄρχοντι καὶ βασιλεύοντι· ἄφρονος γὰρ τὸ τοιοῦτον· ἀλλὰ καὶ πρὸς τὰ ἴδια μὲν μὴ παντάπασιν εἶναι ἄσεμνον μηδ' ἀγεννῆ, ἄλλως τε κἂν μὴ τύχῃ εἷς τῶν ἐν τῇ βασιλευομένῃ πόλει ὄντων ὁ μεγαλόψυχος. μάλιστα δὲ ⟨πρὸς τοὺς διὰ⟩ πλοῦτον ἢ δι' ἄλλην δύναμιν ἐν ἀξιώματι ὄντας μέγας ἔσται, ἡγούμενος πολὺ μεῖζον ἔχειν αὐτῶν τὴν ἀρετήν· πρὸς δὲ τοὺς μέσους μέτριος, ἐπιεικὲς γὰρ ὥσπερ καὶ αὐτὸς λέγει· τὸ δὲ συμνύνεσθαι πρὸς τοὺς ἐν ἀξιώματι οὐ τοῦτο λέγει· φορτικὸς γὰρ ἔσται λέγων σεμνὰ περὶ αὑτοῦ, ἀλλ' ὅτι τῆς σεμνότητος οὐκ ἀφαιρήσει τῆς ἑαυτοῦ ἐντυγχάνων τοῖς ἐν μεγέθει καὶ εἰς τὰ ἔντιμα, φησί, μὴ ἰέναι, ἢ οὗ πρωτεύουσιν ἄλλοι· [ἀλλὰ] φαντασίαν μὲν γὰρ ἔχουσιν ὡς μεγαλοψύχου τοῦ πάντως ἕν τι ποιουμένου, οἷον εἰ βούλοιτο καὶ ῥητόρων πρωτεύειν καὶ τῶν ἐν μουσικῇ εὐδοκίμων ἢ ἐν ἀγωνίᾳ τινί. οὐ μὴν ἀλλὰ ταῦτα μὲν μειρακιώδη εἰσὶ καὶ ἐπιπολαίων ἀνδρῶν, ὁ δὲ μεγαλόψυχος ὁρῶν τινας πρωτεύοντας ἐν

1 αἰτιῶνται καί τινες Z λεγόμενον N: λ........ Z 2 οἰκεῖον εἶναι N: lac. Z φησὶν N ἀληθεῖ N λέγοντα N 3 μεγαλοψύχου N: μεγάλου Z 4 δυναμὴν N 8 προσοφίλη Z 10 μὴ add. Rose: om. ZN 11 δοκεῖ δὲ τοὐναντίον Z: τοὐναντίον δὲ δοκεῖ N μὲν om. N 13 οὐκ uncis seclusi 16 κατακούσειε Diels: κατακούσῃ γε ZN 20 λέγῃ (Voss.): λέγει ZN μέγα ZN 23 ἴδια (R): ἡδέα ZN ἀγενῆ Z 25 πρὸς τοὺς διὰ scripsi: om. N: lac. octo fere litterarum Z 28 γὰρ om. N 29 αὑτοῦ] αὐτοῦ ZN 30 μεγέθη N ἢ N: lac. Z οὗ] οὐ ZN 30. 31 προτεύουσιν ZN 31 ἀλλὰ delevi 31. 32 μεγαλοψύχου οὐ πάντων ἀντιποιουμένου Diels 32 προτεύειν Z 33 μειρακιώδει N: lac. Z 34 προτεύοντας N

τούτοις οὐ φιλονικήσει οὐδ' ἀμφισβητήσει πρὸς αὐτοὺς τῶν πρωτείων· ἐξαρκεῖ γὰρ αὐτῷ τὸ τῆς ἀρετῆς μέγεθος. ὃ καὶ ἀληθῶς ἐν τιμῇ ἐστιν. ὅταν δὲ λέγῃ ἀργὸν αὐτὸν εἶναι καὶ μελλητήν, τῷ τοῦ ἀργοῦ ὀνόματι κέχρηται ἀντὶ τοῦ μὴ εὐκίνητον αὐτὸν εἶναι πρὸς τὰς τυχούσας πράξεις, ἀλλ' ἢ ὅπου τιμὴ μεγάλη ἢ ἔρως· ἐρωτικὸς γὰρ ὁ μεγαλόψυχος τῶν εὐφυῶν καὶ καλῶν ὡς ἀληθῶς· ἐφίεται δὲ καὶ τῶν τοιούτων ἔργων, οἷς μεγάλη τιμὴ ἐπακολουθεῖ παρὰ τῶν σπουδαίων, οὐχ οὕτως διὰ τὴν τιμὴν ὡς διὰ τὸ τῶν πράξεων καλόν.

Ἀληθευτικὸν δὲ αὐτὸν εἶναι λέγει, ὅσα μὴ δι' εἰρωνείαν. ἐκ δὲ τούτων φανερόν, ὅτι οὐχ ἅπασαν εἰρωνείαν φαῦλον ἡγεῖται ὁ Ἀριστοτέλης· οὐ γὰρ ἂν προσετίθει τῷ μεγαλοψύχῳ τὴν εἰρωνείαν, ἀγαθῷ ὄντι διαφερόντως. φεύγων δὲ τὸ ἐπαχθὲς οὐ πάντα ἐρεῖ τὰ προσόντα ἑαυτῷ πρὸς τοὺς πολλούς γε. ἐπεὶ πρός τε τοὺς σπουδαίους καὶ ὁμοίους αὐτῷ ἐρεῖ ἅτε φιλαληθεῖς ὄντας. τὸ δὲ πρὸς ἄλλους αὐτὸν μὴ δύνασθαι ζῆν ἀλλ' ἢ πρὸς φίλους φανερόν, ὡς ἀληθές· οὐ γὰρ ἀναθήσει γε αὑτὸν τῇ ἄλλου προαιρέσει, οὐδὲ πρὸς τὰ ἄλλῳ δοκοῦντα ἁρμόσεται τὸν αὑτοῦ βίον, ἐὰν μὴ ἄρα φίλος ᾖ· φίλος δὲ τῷ ὄντι ὁ ἀγαθὸς τῷ ἀγαθῷ, ὥστε καὶ οὕτως πρὸς ἑαυτὸν τρόπον τινὰ βιώσεται. οὐκ ἔσται δὲ θαυμαστικός, ὥσπερ οἱ πολλοὶ θαυμαστικοί εἰσιν ἢ ἀναθημάτων μεγάλων ἢ σωμάτων † ἢ μίσθους ἢ μουσικῆς ἀγωνίας· οὐδὲν γὰρ μέγα φανείη ἂν τῷ τὴν ἀρετὴν ἔχοντι. οὐδ' ἀνθρωπολόγος δέ ἐστιν· ἀνθρωπολόγος γὰρ ὁ περὶ ἀνθρώπων διεξιὼν ὥσπερ ἔνιοι τοὺς ἄλλων βίους διεξητάκασι, τί ἀγαθὸν τῷ δεῖνι ἢ τί κακόν ἐστι. τὸν δὲ μεγαλόψυχον καὶ ὡς ἀληθῶς φιλόσοφον λέληθε ταῦτα πολὺ μᾶλλον ὡς ὁ Πλάτων φησὶν ἐν τῷ Θεαιτήτῳ ἢ οἱ ἐν τῇ θαλάττῃ χόες. ἀλλ' οὐδὲ περὶ αὑτοῦ λέγει. τίνες οὖν αἱ τοῦ μεγαλοψύχου ὁμιλίαι καὶ λόγοι, ἐπειδὴ ἀνθρώπων αὐτῷ λόγος οὐκ ἔστιν; ἢ οὐκ ἄν τις ἁμαρτάνοι εἰπὼν περὶ τούτου ὅτι τὸ μὲν ὅλον θεολόγος ἐστὶ καὶ περὶ τούτων καὶ πρὸς τοὺς πολλοὺς καὶ περὶ φύσεως ἐπιστημῶν; εἰ δ' ἄρα καὶ περὶ ἀνθρωπίνων, περὶ ἄλλης τινὸς ἀρετῆς καὶ τῶν κατ' αὐτὴν ἐνεργειῶν. οὐδὲ ἐπαινετικός δέ ἐστιν ὡς ἔτυχεν ἀλλ' οὐδὲ κακολόγος ποτὲ οὐδὲ τῶν ἐχθρῶν, εἰ μὴ δι' ὕβριν. τοῦτο δὲ οὐχ οὕτως δεῖ ἀκούειν ὡς ὅτι ἐξυβρίζων κακολογήσει τοὺς ἐχθρούς, ἀλλὰ τὸ ὅλον τοιοῦτός ἐστιν ὁ μεγαλόψυχος ⟨οἷος⟩ οὐδὲ περὶ τῶν ἐχθρῶν ἐρεῖ φαῦλα, εἰ μὴ πέρα τοῦ δέοντος ἐξυβρίζοιεν. καὶ περὶ ἀναγκαίων ἢ μικρῶν ἥκιστα ὀλοφυρτικός.

1 φιλονεικήσει N τῶν πρω] lac. Z 3 λέγει N: λε^γ Z αὐτὸν ἀργὸν N μελητὴν Z: μελητηνὸν N τῶ Z: τὸ N 5 ἢ ἔρως Z: postea add. N: ἢ ἔργον Arist. εὐφιῶν N 7 παρὰ Z: περὶ N τῶν N postea addidisse videtur 9 ὅσω N 12 πάντα Z: πάντων N 15 αὑτὸν] αὐτὸν ZN 16 αὑτοῦ] αὐτοῦ ZN ᾖ corr. ex εἶ N 19 μίσθους ZN: *corporum pulchritudines* Felicianus: σωμάτων εὐμεγεθῶν Diels μουσικῆς ἢ ἀγωνίας Z 20 ἀρετὴν N: ἀρχὴν Z 21 ὁ ἀνθρωπολόγος γὰρ N 22 τὸν δὲ — ἔστιν (26) edidit Hase *Classical Journal* XXIX 114 23 ἀληθὸς Z ὁ om. Z Πλάτων] Theaetet. p. 173 D 24 αὑτοῦ] αὐτοῦ ZN 30 ὁπότε ZN 31 τοιοῦτον Z 32 οἷος addidi

ἀναγκαῖα δέ ἐστι τὰ εἰς τὰς ἀναγκαίας χρείας τείνοντα. οὐκ ὀδυρεῖται δὴ τούτων στερούμενος, ἀλλ' οἴσει μετρίως· ὅθεν οὐ δεήσεται ῥᾳδίως ὥστε τυγχάνειν αὐτῶν. τὸ γὰρ ὀλοφύρεσθαι περὶ τούτων ἢ δεῖσθαι ῥᾳδίως τοῦ σπουδάζοντος περὶ αὐτὰ καὶ ἡγουμένου μέγα ἀγαθὸν εἶναι τὴν κτῆσιν αὐτῶν. ὁ δὲ περιποιήσεται μὲν ἑαυτῷ τὰ ἀναγκαῖα, ἀλλ' οὐ μετὰ μεγάλης σπουδῆς, ἀλλ' ἀποθανεῖν μᾶλλον αἱρήσεται ἢ αἰσχρῶς ἀπορεῖν αὐτῶν· ἄπορα μετρίως πολλὰ ἕξει καὶ ἄκαρπα τῶν κτημάτων δι' ἐλευθεριότητα, οἷον εἰς περιπάτους τινὰς ἀνιεὶς ἄλση καὶ τεμένη θεῶν. αὐτάρκης γὰρ καὶ ὀλιγοδεής, ὅθεν οὐ δεῖ πολλαχόθεν αὐτῷ καρπῶν. λέγει δὲ καὶ τὴν κίνησιν τοῦ μεγαλοψύχου βραδεῖαν εἶναι καὶ οὐ σπευστικὴν καὶ φωνὴν βαρεῖαν. οὐ δήπου πάντως ἀξιοῖ βαρυφθόγγους εἶναι τοὺς μεγαλοψύχους, ἀλλ' ἡσύχως φθεγγομένους καὶ μὴ μέγα βοῶντας, ἐπεὶ καὶ τὴν λέξιν στάσιμον αὐτῶν λέγει εἶναι, τουτέστιν οὐκ ἐσπευσμένως διαλέξονται· ταῦτα γὰρ πάντα οἰκεῖα τῷ μεγαλοψύχῳ καὶ εὐσταθῶς τῷ μὴ σπευστικὸν εἶναι μήτε κινήσει μήτε φωνῇ μήτε λέξει, ἂν μήπου παρεπείγῃ. τοῦτο γὰρ δεῖ προσυπολαμβάνειν, ἐπεὶ σώσειν μέλλων φίλον ἢ πόλιν ἤ τινα ἄλλον, ὧν αὐτῷ διαφέρει, καὶ δραμεῖται καὶ μέγα βοήσει. χωρὶς δὲ τοιαύτης ἀνάγκης οὐ σπευστικὸς οὐδὲ σύντονος ὁ μηδὲν μέγα οἰόμενος πλὴν ὀλίγων· ταῦτα δέ ἐστιν ὅσα μέγεθος ἔχει τῶν πρακτῶν ἢ τῶν ἐν θεωρίᾳ καὶ γνώσει.

Ὁ μὲν δὴ μεγαλόψυχος τοιοῦτος, ὁ δ' ἐλλείπων μικρόψυχος, ἄξιος μὲν ὢν ἀγαθῶν, οὐκ ἀξιῶν δὲ ἑαυτόν. εἰρήκαμεν δὲ περὶ αὐτοῦ πῶς οἷόν τε ἔχειν οὕτως. ἔοικε δὲ μέγα κακὸν ἔχειν· οὐκ ἀξιῶν γὰρ ἑαυτὸν τῶν τιμῶν οὐδὲ τῶν ἔργων ἐπιμελεῖται, ἐφ' οἷς αἱ τιμαί· οὐ μόνον δὲ τῶν καλῶν ἐπιτηδευμάτων ἀφίσταται, ἀλλὰ καὶ τῶν ἐκτὸς ἀγαθῶν, ὥς φησιν. ἥκιστα γὰρ οἱ τοιοῦτοι ἢ ἰσχύος ἐπιμελοῦνται ἢ ἀγωνίας. ἀμελοῦσι δὲ οὐ μόνον τῆς παρὰ τοῖς σπουδαίοις δόξης, ἀλλὰ καὶ τῆς παρὰ τοῖς πολλοῖς, ὡς ἂν οὐδενὸς ἡγούμενοι ἑαυτοὺς μεγάλου ἀξίους, ὑπὸ δὲ ταπεινότητος οὐδὲ πλούτου ἑαυτοὺς ἀξιοῦσιν οὐδ' ἔχουσι τὰ τῶν πλουσίων ποιεῖν ἀλλὰ μᾶλλον τὰ τῶν πενήτων. οἱ δὲ χαῦνοι ἀγνοοῦσι μὲν καὶ αὐτοὶ ἑαυτοὺς ὥσπερ καὶ οἱ μικρόψυχοι. ἀσχημονέστεροι δέ εἰσι τῶν μικροψύχων· οἱ μὲν γὰρ συγκρύπτουσιν αὑτῶν τὴν κακίαν· ἴδιον γὰρ τοῦτο τῆς μικροψυχίας τὸ βούλεσθαι λανθάνειν· οἱ δὲ χαῦνοι εἰς μέσον φέρουσιν αὑτῶν τὴν ἠλιθιότητα, ἐπιχειροῦντες τοῖς ἐντίμοις, ὧν οὐδὲν αὐτοῖς μέτεστι. καὶ γὰρ λέγειν βούλονται καὶ δυνατοὶ φαίνεσθαι καὶ πράττειν οὐδέτερα τούτων ὄντες. καὶ σεμνολογοῦσι περὶ αὑτῶν

1 τὰ Z: τὰς N τὰς om. Z ὀδειρειται N (υ suprascr.) 2 οὐ δεήσεται Diels: οὐ δεήσει Z: οὐδὲ οἴσει N 5 οὐ Z: οὐ corr. ex οὐδὲ N 7 ἐλευθεριότητος Z 8 αὐτάρκης γὰρ Diels: αὐτάρκη. καὶ γὰρ ZN καὶ ὀλιγοδεὴς Z: ὀλιγοδεὴς corr. ex ὀλιγοδεεῖς, om. καὶ N 10 βραδεί Z σπευτικὴν N 11 ἡσυχῇ N 13 εὐσταθὲς τὸ μὴ Diels 14 σπευτικὸν N 15 φίλον corr. ex φίλων N 16 ἄλλον corr. ex ἄλλων N ὧν Z: τῶν N 17 σπευτικὸς N σύντονος Arist.: σύντομος ZN 26 παρὰ τοῖς Z: περὶ N τῆς scripsi: τοῖς Z: τὸ N παρὰ Z: περὶ N τοῖς scripsi: τῆς ZN οὐδὲν N 27 μεγάλως N 29 ἀγνωοῦσι Z 30 εὐσχημονέστεροι N 31 αὑτῶν] αὐτῶν ZN βουλεύεσθαι N 32 αὑτῶν] αὐτῶν ZN ἠλιθιότητα N: ἐλευθεριότητα Z 34 αὑτῶν Z: αὐτῶν N

καὶ ἢ οὐ πλουτοῦντες σκήπτονται πλουτεῖν ἢ πλουτοῦντες φορτικῶς ἐπιδείκνυνται τὸν πλοῦτον. ἀντικεῖσθαι δέ φησι τῇ μεγαλοψυχίᾳ τὴν μικροψυχίαν μᾶλλον τῆς χαυνότητος. καὶ γὰρ πρότερον ἔλεγεν ἀντικεῖσθαι μᾶλλον τὰς κακίας αἷς μᾶλλον οἱ ἄνθρωποί εἰσιν ἁλώσιμοι· ἁλώσιμοι δὲ μᾶλλον τῇ μικροψυχίᾳ ἢ τῇ χαυνότητι καὶ χεῖρον δέ ἐστιν ἡ μικροψυχία τῆς χαυνότητος ἀεί. ἀφίστανται γὰρ τῶν καλῶν ἐπιτηδευμάτων οἱ μικρόψυχοι. οἱ δὲ χαῦνοι μιμοῦνται μὲν τοὺς μεγαλοψύχους, σφάλλονται δὲ. οὐκ ἀφυεῖς δέ εἰσι παντάπασιν, ἀλλὰ γένοιντ' ἂν παιδευθέντες μεγαλόψυχοι.

p. 1125a34 Ἡ μὲν οὖν μεγαλοψυχία ἕως διὰ τὸ μὴ ὠνομάσθαι τὸν μέσον.

Ἀνώνυμόν τινά φησιν ἀρετὴν περὶ τιμὴν οὖσαν καὶ αὐτὴν ἀνάλογον ἔχειν ὡς τὴν ἐλευθεριότητα πρὸς τὴν μεγαλοπρέπειαν. ὡς γὰρ ἡ ἐλευθεριότης ἐστὶ καὶ περὶ τὰς μικρὰς δόσεις τοῦ καλοῦ θεωρητική, τῆς μεγαλοπρεπείας περὶ τὰ μεγάλα μόνον οὔσης ἀναλώματα, οὕτω τῆς μεγαλοψυχίας οὔσης περὶ τὰς μεγάλας τιμὰς ἔστι τις ἀρετὴ περὶ τὰς μετρίας καὶ μικρὰς τιμὰς διατιθεῖσα ἡμᾶς ὡς δεῖ. ὅτι δέ ἐστιν ἡ τοιαύτη ἀρετὴ ἐκ τῆς κατὰ τὴν ὑπερβολὴν κακίας καὶ τῆς κατὰ τὴν ἔλλειψιν, οἴεται φανερὸν εἶναι· ἔστι γὰρ μᾶλλον ἢ δεῖ τιμῆς ὀρέγεσθαι καὶ ἐφ' οἷς οὐ δεῖ καὶ ὅτε οὐ δεῖ καὶ κατὰ τοὺς ἄλλους πάντας διορισμούς· τὸν δὲ τοιοῦτον καλεῖν εἰώθαμεν φιλότιμον, καθ' ὑπερβολὴν τῶν τιμῶν ὀρεγόμενον· ψέγομεν δὲ καὶ τὸν ἐλλείποντα· οὗτος δέ ἐστιν ὁ ἐπὶ μηδενὶ προαιρούμενος τιμᾶσθαι καὶ διὰ τοῦτο ἀπεχόμενος καὶ τῶν καλῶν πράξεων· ἐπειδὴ οὖν ἐστιν ἡ κατὰ τὴν ὑπερβολὴν κακία καὶ ἡ κατὰ τὴν ἔλλειψιν, εἴη ἄν τις καὶ μεσότης τοῦ ὅτε δεῖ καὶ ὡς δεῖ καὶ παρ' ὧν δεῖ καὶ ἐφ' οἷς δεῖ καὶ κατὰ τοὺς ἄλλους διορισμοὺς ὀρεγομένου τῆς τιμῆς· ἀνωνύμου δ' οὔσης τῆς μεσότητος καὶ τοῦ μέσου τοῖς τῶν ἄκρων ὀνόμασιν εἰώθαμεν ὀνομάζειν αὐτόν, ὁτὲ μὲν φιλότιμον ὀνομάζοντες, ὁτὲ δὲ ἀφιλότιμον, ὅταν μὴ ὀρέγηται ὧν μὴ προσήκει τιμῶν. δῆλον δ' ὅτι πολλαχῶς τοῦ φιλοτοιούτου λεγομένου, οὐκ ἐπὶ τὸ αὐτὸ φέρομεν ἀεὶ τὸν φιλότιμον· εἰ γὰρ ὁ φιλοτοιοῦτος ἐνίοτε μὲν ἐν ἐπαίνῳ λέγεται, ἐνίοτε δὲ ἐν ψόγῳ, οἷον φίλιππος ὁ μέν τις λέγεται ὁ μέχρις οὗ δεῖ χαίρων ἱππικῇ καὶ τοῖς ἵπποις καὶ οὗτος ἤτοι ἐπαινετὸς ἢ ψεκτός· ὁ δὲ νενοσηκὼς καὶ πρὸς τοῦτο τὸν βίον κατατρίβων ἐπίψογος· ὁμοίως καὶ ὁ φιλοκύων καὶ ὁ φιλοθεάμων

3 ἔλεγεν] B 8 p. 1109a15 5 χείρων N 6 ἀεί N 7 σφάλονται Z: σφάλλουσι N 9 μεγαλοψυχία Z: μεγαλόψυχοι N 13 δώσεις N καλοῦ N: καθόλου Z θεωρητικὸν N τῆς δὲ N 14 οὔσης (post μόνον) Z: ὡς ἀναγκαῖα N 15 μετρίας καὶ μικρὰς] μετρίας οὐ μικρὰς Z: μικρὰς καὶ μετρίας N 18 ὅτε Z: οὔτε N 20 ἐλείποντα Z 21 μηδενὶ Z: μηδενὸς N 27 ὀρέγηται corr. ex ὀρέγεται N ὧν Z: τῶν N 27. 28 πολλαχῶς ZN et Aristot. Ha: πλεοναχῶς Aristot. vulg. 28 φέρομεν ἀεὶ N et Arist. HaKbNbOb: φέρομεν . . . Z: ἀεὶ φέρομεν Arist. vulg. 29 ἐν ἐπαίνῳ] lac. Z 30 οὗ δεῖχ] lac. Z χαίρων N: .αίρον Z 31 ὁ δὲ νε] lac. Z 31. 32 πρὸς τοῦτο Z: πρὸ τούτου N 32 κύων] lac. Z

ὁ μέχρι του χαίρων θεάμασι καὶ τισὶ καὶ ποτὲ ἴσως ἐπαινετός, ὁ δὲ πάντα καὶ ἀεὶ καὶ πρὸς τοῦτο τὸν βίον ἀναλίσκων τῷ πάντα θεάματα ζητεῖν καὶ μηδενὸς ἀπολείπεσθαι ψεκτός. τὰ δ' αὐτὰ εἴποι ἄν τις καὶ ἐπὶ τοῦ φιληκόου· εἰσὶ γάρ τινες οἳ κατατρίβουσι τὸν αὑτῶν βίον ὥσπερ ὁ Πλάτων φησὶ περιιόντες πανταχοῦ καὶ ἀκούοντες κωμῳδῶν ἢ τραγῳδῶν καὶ πάντων τῶν ὁτιοῦν ἀδολεσχούντων ἢ λεγόντων· οὗτοι μὲν ἐπίψογοι. ἐπαινετοὶ δὲ οἱ ὡς δεῖ καὶ ὅτε δεῖ καὶ μέχρις ὅσου δεῖ ἀκούοντες ἀσμένως. ἔνιοι δὲ οὐδὲ πολλαχῶς λέγονται οὐδὲ δύο σημαίνουσι τό τε εὖ καὶ τὸ μὴ εὖ τῶν φιλοτοιούτων, ἀλλ' οἱ μὲν τὸ εὖ μόνον, οἱ δὲ τὸ κακῶς. φιλόσοφοι μὲν γὰρ καὶ φιλόκαλοι πάντες εἰσὶν ἐπαινετοί, φίλοινοι δὲ καὶ φίλοψοι καὶ οἱ τοιοῦτοι πάντες εἰσὶν ἐπίψογοι. τὸ δὴ τοῦ φιλοτίμου ὄνομα ἔοικε τοῖς δύο σημαίνουσι τῷ τε εὖ καὶ τῷ μὴ εὖ, ὥσπερ ἐστὶ καὶ τὸ τοῦ φιληκόου καὶ τὸ τοῦ φιλοθεάμονος. ἐπειδὴ οὖν πολλαχῶς λέγεται, φησίν, οὐκ ἐπὶ τὸ αὐτὸ ἀεὶ φέρομεν, ἀλλ' ἐπαινοῦντες μὲν ἐπὶ τὸ μᾶλλον ἢ οἱ πολλοί. ἔστι γάρ τις ὅρος πρὸς τὸ καλὸν ἡ τῶν πολλῶν ἔννοια· πάντες γὰρ φύσει ἐφίενται ὡς καλοῦ ὄντος τῆς τιμῆς, οὐ μὴν ἀκριβοῦσι· καὶ σχεδὸν οἱ πολλοὶ τιμῆς ἐφίενται ἀλλ' οὐ δύνανται ἀκριβοῦν. ὁ δὴ μᾶλλον ἢ οἱ πολλοὶ ἐφιέμενος καὶ ἀκριβῶν τὰ περὶ τὰς τιμὰς ἐπαινετός, ὁ δὲ μᾶλλον ἢ δεῖ ψεκτός. φαίνεται δέ, φησίν, ἡ ἕξις αὕτη πρὸς μὲν τὴν φιλοτιμίαν ἀφιλοτιμία, πρὸς δὲ τὴν ἀφιλοτιμίαν φιλοτιμία, πρὸς ἀμφότερα δὲ ἀμφότερά πως, δηλονότι καθάπερ ἐπὶ τῶν ἄλλων ἀρετῶν ἡ μέση ἕξις πρὸς τὴν ἑτέραν ἑτέρα φαίνεται, οὕτως καὶ ἡ φιλοτιμία πρὸς μὲν τὴν φιλοτιμίαν ἀφιλοτιμία φαίνεται, πρὸς δὲ τὴν ἀφιλοτιμίαν φιλοτιμία, πρὸς ἀμφότερα δὲ ἀμφότερά πως. τοῦτο δὲ οὐδὲν διαφέρει τοῦ προειρημένου, ἀλλ' οἱονεὶ ἐξήγησίς ἐστιν. οὐ γὰρ ἁπλῶς ἐστιν ἀμφότερα ἀλλὰ πώς, τουτέστι κατὰ τὴν φαντασίαν. ἔστι δὲ καὶ εἰπεῖν ἀμφότερα αὐτὴν φαίνεσθαι πρὸς ἀμφότερα ἅμα ἐξεταζομένην φιλοτιμίαν καὶ ἀφιλοτιμίαν.

Τὰ μὲν οὖν εἰρημένα περὶ τῆς ἀνωνύμου ταύτης μεσότητος δῆλα καὶ περὶ τῶν παρακειμένων αὐτῇ κακιῶν. ἀπορήσειε δ' ἄν τις περὶ αὐτῆς, εἰ ἔστιν ἀρετή. εἰ γὰρ πᾶσα ἀρετὴ σκοπὸν τίθεται τὸ καλόν, αὕτη δὲ τὴν τιμήν, οὐκ ἔστιν ἐνάρετος. δόξει γὰρ διὰ μισθὸν ποιεῖν τὰ καλὰ ἀλλ' οὐκ αὐτὰ αἱρούμενος δι' αὐτά. κρείττων μὲν οὖν ἴσως ἐστὶ τοῦ δι' ἀργύριον πράττοντος ὁ διὰ τιμὴν ἐνεργῶν τὰ καλά, οὐ μὴν οὐδ' οὗτος ἐνάρετος, εἰ μὴ τοῦ καλοῦ ἕνεκα ποιεῖ. ῥητέον δὲ καὶ περὶ αὐτοῦ, ἅπερ καὶ περὶ τοῦ μεγαλο-

1 πάντα N: πᾶς Z   2 θεάματι N   4 αὑτῶν] αὐτῶν ZN   Πλάτων] Rep. V p. 475 D   7 μέχρι N   9 κακὸν Z   10 εἰσὶν Z: εἰσὶ καὶ N   φίλοινοι δὲ καὶ φίλοψοι N: φιλ . . . . ψογοι Z   11 ἐπίψογοι N: ἐπί . . . . . Z   φιλοτίμου N: φιλοθεάμονος Z   ὡς ἔοικε N   σημαίνουσι Z: σημαινομένους N   12 τῷ τε εὖ καὶ N: lac. Z   τῷ μὴ Z: τὸ μὴ N   ἐστὶ om. N   13 λέγεταί N: lac. Z   14 φέρομεν scripsi ex Arist.: φερόμεθα ZN   μὲν Z: ὃ N   μᾶλλον N: lac. Z   οἱ πολλοί scripsi ex Arist.: δεῖ ZN   22 ἑτέρα (Voss.): ἑτέρους N: om. Z   26 φαίνεσθαι corr. ex φαίνεται N   28 οὖν om. N   29 κακῶν Z   32 κρεῖττον Z   34 ποιεῖ N: lac. Z

ψύχου ἐλέγομεν, ὅτι σκοπὸς μὲν καὶ τούτῳ καὶ τέλος τὸ καλόν· παρασκευάζει δ' αὐτὸν τοιοῦτον οἷον καὶ τῆς παρὰ τῶν πολλῶν τυγχάνειν τιμῆς· ὁ μὲν μεγαλόψυχος ᾗ μεγαλόψυχος μόνης ἐφίεται τῆς παρὰ τῶν σπουδαίων, ὁ δὲ φιλότιμος πράττει μὲν τὰ καλὰ δι' αὐτά, βούλοιτο δ' ἂν καὶ τοὺς πολλοὺς μὴ λανθάνειν καὶ οὐδὲν κωλύει ἀμφοτέρους τῷ αὐτῷ ὑπάρχειν, ἀλλὰ ᾗ μὲν ὡς πρὸς τοὺς σπουδαίους μόνον ἀποβλέπει, μεγαλόψυχος λέγεται, ᾗ δὲ πρὸς τοὺς πολλούς, φιλότιμος. βούλοιτο δ' ἂν καὶ τὰς παρὰ τούτων τιμὰς ἐπὶ καλαῖς πράξεσιν αὐτῷ γίνεσθαι, καὶ δικαίως· αὗται δ' εἰσὶν αἱ μικραὶ τιμαὶ αἱ παρὰ τῶν πολλῶν, μεγάλαι δὲ αἱ παρὰ τῶν σπουδαίων. φαίνονται δέ φησιν οἱ ἄκροι ἀντικεῖσθαι ἀλλήλοις διὰ τὸ μὴ ὠνομάσθαι τὸ μέσον· ἀντίκεινται μὲν γὰρ καὶ αἱ ἄλλαι κακίαι ἀλλήλαις καὶ τῷ μέσῳ καὶ φαίνονται ἀντικεῖσθαι· ἐνταῦθα δὲ ὁ κατὰ τὴν κακίαν φιλότιμος, ὁμοίως δὲ καὶ ἀφιλότιμος ἀντίκεινται μὲν καὶ ἀλλήλοις διὰ τὸ μὴ ὠνομάσθαι τὸ μέσον, ἐπεὶ δὲ οὐκ εἶπε ποτέρα τῶν κακιῶν ἀντίκειται τῇ μέσῃ ἕξει, ὑπομνηστέον ὅτι μᾶλλον ἡ ἀφιλοτιμία· καὶ γὰρ χείρων ἐστί· παρασκευάζει γὰρ μηδὲν τῶν δεόντων ποιεῖν καὶ καταφέρονται πολλάκις καὶ πολλοὶ ἐπὶ ταύτην τὴν ἁμαρτίαν.

p. 1125b26 Πραότης δέ ἐστι μὲν ἕως καὶ περὶ τὴν ὀργὴν ἕξεις εἰρήσθωσαν.

Αἱ ἠθικαὶ ἀρεταί, ὥσπερ καὶ ἐν τοῖς πρώτοις ἐλέχθη λόγοις, διὰ τὸ μέσαι εἶναι ὑπερβολῆς καὶ ἐλλείψεως, κακιῶν οὐσῶν, καὶ διὰ τὸ αἱρεῖσθαι τὸ ἐν τοῖς πάθεσι μέσον καὶ ἐν ταῖς ἕξεσιν. ἐννοητέον δέ, ὅτι οὐ περὶ δυοῖν παθῶν εἰσιν, εἰ μή τις τὰ ἀνωτάτω λάβοι πάθη, ἡδονὴν καὶ λύπην. πᾶσαι γὰρ αἱ ἠθικαὶ ἀρεταὶ τὸ μέσον αἱροῦνται τούτων· περὶ ἴδια δὲ πάθη αἱ μὲν περὶ δύο εἰσίν, αἱ δὲ περὶ ἕν, αἱ δὲ περὶ οὐδὲν πάθος, οἷον ἀνδρεία μὲν περὶ φόβους καὶ θάρρη παθητικοὺς παρασκευάζουσα μέσους, ἐν τούτοις καὶ κατὰ τὸν λόγον· ὁμοίως δὲ καὶ περὶ πράξεις· ἐλευθεριότης δὲ περὶ μὲν πράξεις, περὶ δὲ πάθη οὐκ ἔστιν ἢ μόνον περὶ τὰ κοινὰ ταῦτα, ἡδονὴν καὶ λύπην. χαίρει γὰρ ὡς δεῖ ἐπὶ ταῖς ἑαυτοῦ ἐνεργείαις ὁ ἐλευθέριος καὶ λυπεῖται, ἐὰν παρὰ τὸν λόγον βιασθῇ τι ποιεῖν. ἡ δὲ πραότης περὶ ἓν πάθος ἴδιόν ἐστι· περὶ γὰρ τὴν ὀργὴν τὸ μέσον αἱρουμένη καὶ παρασκευάζουσα τὸν ἔχοντα, ἐφ' οἷς μὲν δεῖ ὀργίζεσθαι καὶ ὅτε δεῖ καὶ ὡς δεῖ καὶ κατὰ τοὺς ἄλλους διορισμούς·

---

1 τοῦτο Z 2 αὐτὸν] αὑτὸν ZN 3 παρὰ Z: περὶ N 6 μόνον N: μᾶλλον Z 8 δ' αὗται Z δ' εἰσὶν αἱ μικραὶ N: lac. Z 9 μεγάλαι δὲ N: μεγάλ.... Z σπουδαίων φαίνονται N: lac. Z 10 τὸ μέσον ZN et Arist. LbMb: τὸν μέσον Arist. vulg. 11 γὰρ καὶ αἱ N: lac. Z ἄλλαι καὶ κακίαι Z 11. 12 ἀντικεῖσθαι ἐνταῦθα N: ἀντι..... .....θα Z 13 ἀντίκεινται N: ....κεινται Z 15 γὰρ Z: δὲ N 17 καὶ Z: ἢ N ὀργὴν ἕξεις Arist.: ὅλην ἕξιν ἑξῆς ZN nescio an post ἀρεταὶ addendum sit μέσαι 20 ὑπερβολῆς corr. ex ὑπερβολλῆς Z 21 τῷ πάθει Z 22 ἡδονὴν Z: καὶ ἡδονὴν N 23 αἱ (ante ἠθικαὶ) om. Z αἱροῦνται Diels: διαιροῦσι ZN δὲ Z: καὶ N 24 περὶ (post μὲν) om. Z 25 φόβους N Anon. Ald. 55v53: φόβον Z θάρρη Anon. l. c.: θάρρος ZN κατασκευάζουσα μέσον N κατὰ Z: περὶ N 26 post ἐλευθεριότης Z habuerat μὲν, quod delevit 31 post ὀργίζεσθαι repetit τὸν ἔχοντα Z

ἐφ' οἷς δὲ δεῖ μὴ ὀργίζεσθαι ἀόργητον. σχεδὸν δὲ καὶ τοὺς ἄκρους αὐτὸς ὀνομάζει τὸν μέσον πρᾷον καὶ τὴν μεσότητα πραότητα, δι' ἣν καὶ πρότερον εἴπομεν αἰτίαν. ἦν μὲν γὰρ τὸ ὄνομα τῆς πραότητος καὶ τοῦ πρᾴου παρὰ τοῖς καὶ πρὸ αὐτοῦ φιλοσόφοις. ἀλλ' ἐπὶ μὲν τὸν ἡσύχιον καὶ ἀόργητον πάντάπασιν ἔφερον τὸ ὄνομα, τὸν δὲ ὅτε μὲν δεῖ χρώμενον τῇ ὀργῇ ὅτε δὲ μὴ δεῖ μὴ χρώμενον οὐ πάνυ τι πρᾷον ὠνόμαζον, ἀλλ' ὁ Πλάτων ἠξίου πρᾷον εἶναι καὶ μεγαλόθυμον, ὡς οὔτε τοῦ πρᾴου ἱκανῶς ἐναρέτου ὄντος οὔτε τοῦ μεγαλοθύμου· ὁ δ' Ἀριστοτέλης τὸν μέσως ἔχοντα ἐν ταῖς ὀργαῖς πρᾷον ὀνομάζει. μᾶλλον δὲ ἀποκλίνειν τὴν πραότητά φησι πρὸς τὴν ἔλλειψιν. χρῆται μὲν γὰρ τῇ ὀργῇ ὁ πρᾷος, ἀλλ' ἥκιστα καὶ ὀλιγάκις· ἀνώνυμα δὲ λέγει σχεδὸν καὶ τὰ ἄκρα, διὰ τὸ μᾶλλον μὲν τὴν πραότητα τῆς ὀργιλότητος ὠνομάσθαι κατὰ τῶν μὴ δεόντως χρωμένων τῇ ὀργῇ· οὐ μὴν ἀλλὰ τὴν φυσικὴν διάθεσιν μᾶλλον ἐμφαίνειν τὴν ἕξιν, ἥτις ἤδη κακία ἐστίν· ἡ δὲ ἔλλειψις καὶ παντελῶς ἀνώνυμος. ζητεῖ γοῦν καὶ αὐτὸς ἔτι πότερον ἀοργησίαν ἢ ἄλλο τι ὀνομαστέον. ὅτι δέ ἐστιν ἐπαινετὴ ἡ πραότης ὑπομιμνήσκει· τὸ μὲν γὰρ πάθος, περὶ ὃ ἡ πραότης τυγχάνει οὖσα, ὀργή ἐστι, τὰ δ' ἐμποιοῦντα τὴν ὀργὴν πολλά· ἐκ πολλῶν γὰρ οἱ ἄνθρωποι κινοῦνται πρὸς τοὺς θυμούς.

Τὸ δὲ μὴ ἄγεσθαι ὑπὸ τοῦ πάθους τούτου μηδ' εὐάλωτον εἶναι ἄλλως τῷ θυμῷ ἐπαινετόν. τοῦτο δέ ἐστιν ὃ λέγει, ὅτι χρὴ τὸ θυμοειδὲς μέρος τῆς ψυχῆς πεπαιδεῦσθαι ὡς μηδὲν παρὰ τὸν λόγον πράττειν ἀλλὰ συνεξορμᾶν τῷ λόγῳ, σύμφωνον αὐτῷ ὄντα. ἀτάραχος δὴ ὢν ὁ πρᾷος μᾶλλον δοκεῖ ἁμαρτάνειν ἐπὶ τὴν ἔλλειψιν τοῖς μὴ ὀρθῶς σκοποῦσιν. οἷς ἁμαρτάνειν δοκεῖ· ἁμαρτάνει μὲν γὰρ οὐδαμῶς, συγγνωμονικὸς δ' ὢν τὰ πολλὰ καὶ οὐ τιμωρητικός, ἂν μὴ ὁ λόγος ὑπαγορεύῃ, αἰτίαν ἔχει τῆς παρὰ καιρὸν ἀοργησίας. καὶ ὅτι μὲν ἀνδραποδῶδες ἡ ἔλλειψις, φανερὸν πεποίηκεν. ἡ δ' ὑπερβολὴ οὐ μονοειδής· ἔστι μὲν γὰρ πᾶσα κακία πολυειδὴς καὶ τοῦ ἀπείρου, ὡς πρότερον ἔλεγεν· οὐδενὸς δ' ἧττον ἡ κατὰ τὸν θυμὸν ὑπερβολή. οὕτως δ' ἐστὶ χαλεπὰ τὰ εἴδη ὡς μὴ δύνασθαι τῷ αὐτῷ ὑπάρχειν πάντα. τὸ γὰρ κακόν, ὥς φησι, καὶ αὑτὸ ἀπόλλυσι διὰ τὸ ἔχειν ἐναντιότητα, κἂν ὁλόκληρον ᾖ, καὶ ἀφόρητον γίνεται. δῆλον δ' ἐστὶ καθ' ἕκαστα σκοποῦσι τῶν κατὰ τὴν ὑπερβολὴν τῆς ὀργῆς εἰδῶν. ὅτι οὐδὲ δυνατὸν ἅμα πάντα τῷ αὐτῷ παρεῖναι κἂν καθ' ὑπόθεσιν παρῇ, ἀφόρητος ἔσται ἡ κακία. καλεῖται μὲν οὖν ἡ κακία ὀργιλότης ἀπορίᾳ ἄλλου ὀνόματος. ἐξαιρέτως μὲν νομίζονται ὀργίλοι οἱ ταχέως μὲν ὀργιζόμενοι καὶ οἷς οὐ δεῖ καὶ ἐφ' οἷς οὐ δεῖ καὶ μᾶλλον ἢ δεῖ, παυόμενοι δὲ ταχέως ἔχουσι τοῦτο τὸ μέτριον. συμ-

2 πρότερον] p. 53, 12   6 Πλάτων] Rep. II p. 375 C   πρᾶον ἠξίου N   7 ὄντος corr. ex ὄντως N   9 ἀποκλίνει Z   10 τῇ ὀργῇ corr. ex τὴν ὀργὴν Z   καὶ om. Z   11 τῆς πραότητος τὴν ὀργιλώτητα Z   12 ἀλλὰ τὴν Z[a]: ἀλλὰ διὰ τὴν N   16 ἐστὶν ὀργὴ Arist.   18 εὐάλωτον N: εὐ.όλωτον Z   23 συγγνωμονητικὰς N   26 ἡπερβολὴ Z   27 πρότερον] B 5 p. 1106b29   ἧττον Z: ἥττων N   29 αὑτὸ] αὐτὸ ZN   30 γίνεται Z: γίνηται N (et Arist. Kb)   33 inter μὲν et οὖν N habuerat γὰρ quod delevit   ὀργήλότης N   ἄλλου bis N   35 ἔχουσι Z: καὶ ἔχουσι N

βαίνει δὲ τούτοις τοῦτο, ὅτι οὐ κρύπτουσι τὴν ὀργήν, ἀλλ' ἀνταποδιδόασι ταχέως, τουτέστι τιμωροῦνται· οὐ γὰρ ἀναμένουσι πάντως μεγάλην τιμωρίαν, ἀλλ' ἐξαρκεῖ αὐτοῖς καὶ πλῆξαι μόνον καὶ λοιδορήσασθαι μόνον· διὸ οὐδὲ λανθάνουσιν ὀργιζόμενοι διὰ τὴν ὀξύτητα τοῦ θυμοῦ. ἀποπαύονται δ' ὅμως ταχέως. οἱ δ' ἀκρόχολοι ἢ οἱ αὐτοί εἰσι τοῖς ὀργίλοις ἢ ἔτι μᾶλλον ἐπιτεταμένην ἔχουσι τὴν ὀργιλότητα. ἄλλο δ' εἶδός ἐστι τὸ τῶν πικρῶν καλουμένων· ἐπὶ πολὺ γὰρ ὀργίζονται καὶ οὐ ταχέως ἀποπαύονται καὶ κρύπτουσι τὴν ὀργήν, διὸ καὶ πικροὶ λέγονται· μόλις δὲ παύονται ὅταν διὰ πολλοῦ ἀνταποδῶσι· τότε δὲ ἡ τιμωρία παύει τὴν ὀργήν, ἡδονὴν παρέχουσα ἀντὶ τῆς πρόσθεν λύπης· εἰσὶ δὲ ἑαυτοῖς ὀχληρότατοι, ὥς φησι, καὶ τοῖς φίλοις· ἐπὶ πολὺ γὰρ ἔχουσι τὸ βάρος τὸ τοῦ θυμοῦ καὶ διὰ τὸ κρύπτειν οὔτε ὑπ' ἄλλων συμπείθονται παῦλαν ἔχειν τῆς ὀργῆς οὔτε αὐτοὶ ἑαυτοὺς παραμυθοῦνται, ἀλλὰ δυσφοροῦσιν ἀεὶ ἠρέμως, μέχρις ἂν ἐπεξέλθωσιν αὐτούς. οὗτοι δ' ὅτι ἐναντίοι τοῖς ἰδίως καλουμένοις ὀργίλοις καὶ ἀκροχόλοις, δῆλον, ὥστ' οὐ ῥᾴδιον ἅμα ἄμφω ἐν τοῖς αὐτοῖς γίνεσθαι, ὅπερ εἶπεν. οἱ δὲ χαλεποὶ τὰ μὲν ἄλλα ἐοίκασι τοῖς πικροῖς· ἐπὶ πολὺ γὰρ καὶ αὐτοὶ φυλάττουσι τὴν ὀργὴν καὶ τιμωροῦνται χαλεπῶς καὶ δυσδιάλλακτοί εἰσι, διαφέρουσι δ' ὅτι φανερωτέραν ἔχουσι τὴν ὀργήν.

Πραότητι δέ φησι μᾶλλον ἀντικεῖσθαι τὴν ὑπερβολήν· καὶ γὰρ μᾶλλον οἱ ἄνθρωποι ἐπὶ τὰς ὀργὰς καταφέρονται καὶ τοῦ τιμωρεῖσθαι τοὺς δοκοῦντας ἀδικεῖν ἐφίενται. ἔτι δὲ χεῖρόν ἐστι καὶ ἡ ὑπερβολὴ τῆς ἐλλείψεως· καὶ γὰρ κακοποιὸν ἡ ὀργιλότης μᾶλλον τῆς ἀοργησίας. καὶ πρὸς τὸ συμβιοῦν οἱ χαλεποὶ χείρους. χαλεποὺς δὲ ἢ κοινῶς ἅπαντας εἴρηκε τοὺς μὴ ὡς δεῖ χρωμένους τῇ ὀργῇ ἢ τοὺς ἰδίως καλουμένους χαλεπούς, οἷς τῷ ὄντι τὸ συμβιοῦν ἀηδέστατον. ἔλεγε δὲ καὶ ἐν τοῖς πρώτοις λόγοις, ὅτι περὶ τῶν πρακτῶν τύπῳ μὲν ἔστι λέγειν, καθόλου δὲ περὶ οὐδενὸς ἔστι διορίσαι οὕτως ὥσπερ ἐπὶ τῶν μαθηματικῶν. τοῦτο δὴ καὶ νῦν ὑπομιμνήσκει καί φησι καὶ ἐκ τῶν νῦν λεγομένων εἶναι φανερόν, ὅτι οὐ ῥᾴδιον διορίσαι τίσιν ὀργιστέον καὶ ἐπὶ τίσι καὶ ἐπὶ πόσον χρόνον καὶ τὰ ἄλλα οὕτως. διόπερ καὶ λανθάνουσιν οἱ μικρόν τι παραβαίνοντες ἢ ἐπὶ τὴν ἔλλειψιν ἢ ἐπὶ τὴν ὑπερβολήν. πέρα δὲ τοῦ δέοντος τῇ ὀργῇ χρώμενοι ἢ τῇ ἀοργησίᾳ τότε ἐλέγχονται. ἐπεὶ οὖν αἱ ἐνέργειαι ἐν τοῖς καθ' ἕκαστά εἰσι καὶ ἐν τοῖς αἰσθητοῖς, περὶ ὧν καθόλου οὐκ ἔστιν εἰπεῖν, ἕξεως δέ ἐστι τῆς χρωμένης ἀεὶ τοῖς συμβαίνουσιν

2 οὐ γὰρ postea addidit N 3 λῃδορήσασθαι Z 7 πολλὺ N 8 μόλις δὲ Z: μόλις N πολοῦ N 9 παύει ex παύῃ N παρέχουσαν N 10 ὀχληρότατοι Z: ὁ σχληρότατοι N 10. 11 ἐπὶ πολὺ post ὥς φησι ponit N 12 ἑαυτοῖς Z 14 ἰδίως Z: ἰδίοις N ὀργήλοις Z 15 εἶπεν] p. 1126a11 16 ἐπιπολλοὶ Z 17 δυσδιάλακτοί Z φανερωτέραν Z: χαλεπωτέραν N 19 πραότητι scripsi: πραότητα ZN 22 καὶ πρὸς N: καὶ οἱ πρὸς Z 23 μὴ N: lac. Z 25 ἐν τοῖς πρώτοις λόγοις] A 1 p. 1094b24 26 οὕτως om. N 29 post χρόνον Z addit: καὶ πῶς ἀλλὰ τοπω μόνον ὅτι χρόνοις διορίζεσθαι καὶ ὅσον δεῖ χρόνον 32 τοῖς Z: ταῖς N ἐν τοῖς (ante αἰσθητοῖς) om. N

ὃν προσήκει τρόπον, καὶ διὰ τοῦτο ἡ πραότης ἐπαινεῖται χρωμένη τῇ ὀργῇ κατὰ τὸ προσῆκον.

p. 1126b11 Ἐν δὲ ταῖς ὁμιλίαις ἕως ἀνώνυμον εἶναι τὸ μέσον.

Ἐπειδὴ πολιτικὸς καὶ κοινωνικός ἐστιν ὁ ἄνθρωπος φύσει, ἀνάγκη καὶ λόγων καὶ πράξεων κοινωνεῖν ἀλλήλοις γίνεται τοὺς ἀνθρώπους. ἐν δὲ τῇ κοινωνίᾳ ταύτῃ καὶ τῇ πρὸς ἀνθρώπους ὁμιλίᾳ ἐστί τις ἀρετή, ἣν ἀνώνυμόν φησιν εἶναι· ἴσως δ' ἂν κληθείη ὁμιλητικὴ ἢ τοιούτῳ ὀνόματί τινι, ἣν ὁ ἔχων ὁμιλήσει τοῖς ἐντυγχάνουσι καὶ κοινωνοῦσι τῶν λόγων, μάλιστα μὲν ἐστοχασμένως τοῦ ἡδὺς αὐτοῖς εἶναι προσομιλῶν, οὐ μὴν ἀλλ' ἂν ἄσχημον ᾖ τὸ σὺν ἡδονῇ καὶ βλαβερὸν αὐτῷ ἢ τοῖς ἀκούουσι, πειράσεται λυπεῖν μᾶλλον. τοῦ γὰρ καλοῦ ἕνεκεν καὶ οὗτος πάντα ἐρεῖ, ὥστ' ἂν καλὸν ᾖ τὸ λυπεῖν, λυπήσει καὶ μάλιστα ὅταν μέλλῃ πρὸς βραχὺ λυπήσας ἐπὶ πλεῖον αὐτοὺς ὠφελεῖν· εὐποιητικὸς γάρ ἐστι καὶ ὠφελητικὸς ἔτι τῶν ἐντυγχανόντων, ἐὰν μὲν δύνηται καὶ μετὰ τοῦ ἡδέος, εἰ δὲ μή, καὶ μετὰ τοῦ λυπηροῦ. ἔοικε δὲ ἡ τοιαύτη ἀρετὴ φιλίᾳ· πρότερον μὲν γὰρ ἐν τῇ διαγραφῇ κοινότερον αὐτὴν φιλίαν εἶπε, νῦν δὲ διαιρεῖ ὅτι φιλία μὲν οὐκ ἔστιν, ἔοικε δὲ φιλίᾳ. καὶ γὰρ ὁ φίλος πειρᾶται μὲν ἡδὺς εἶναι τῷ φίλῳ, ἂν μέντοι βλαβερὸν ᾖ ἢ ἄσχημον τὸ σὺν ἡδονῇ, τὸ δὲ λυπεῖν εὔσχημον καὶ ὠφέλιμον τῷ φίλῳ, τοῦτο πειρᾶται μᾶλλον. τοιαύτη δή τις καὶ ἀνώνυμος αὕτη ἡ ἕξις χωρὶς τοῦ στέργειν· οὐ γὰρ πρὸς τοὺς φίλους γίνεται ἀλλὰ πρὸς πάντας τοὺς ἐντυγχάνοντας ἡ ἐνέργεια αὕτη, καὶ ἄνευ τοῦ κατὰ τὸ φιλεῖν ἢ μισεῖν πάθους. ὁμοίως γὰρ τῇ ἕξει χρῆται πρὸς ἀγνῶτας καὶ γνωρίμους καὶ συνήθεις καὶ ἀσυνήθεις, πλὴν τὸ ἁρμόττον νέμει ἑκάστοις. κοινὸν γὰρ τὸ ὡς δεῖ ὁμιλεῖν· καὶ τοῦ καλοῦ ἕνεκα πᾶσι τὸ ἁρμόττον ἴδιον πρὸς ἑκάστους· οὐ τὸν αὐτὸν γὰρ τρόπον συνήθεσι καὶ ἀσυνήθεσι ὁμιλήσει οὐδὲ ὁμοίως πρεσβυτέροις αὐτοῦ καὶ νεωτέροις οὐδ' ἄρχουσι καὶ ἰδιώταις ἀλλὰ τὴν προσήκουσαν ὁμιλίαν ποιήσεται πρὸς ἑκάστους, τέλος μὲν ἔχων τὸ καλόν, δυοῖν δὲ ἐστοχασμένος ὡς προειρήκαμεν τοῦ τ' εὐσχήμονος καὶ ὠφελίμου ἑαυτῷ τε καὶ τοῖς κοινωνοῦσι τῆς ὁμιλίας. ὁ μὲν οὖν μέσος τοιοῦτος ὢν ἀνώνυμός ἐστιν, εἰ μή τις αὐτὸν ὁμιλητικὸν λέγει καὶ τὴν ἀρετὴν ὁμιλητικήν. ὁ δὲ κατὰ τὴν ὑπερβολήν ἐστιν ἅπαντας συνηδύνων καὶ πᾶσιν ἀρέσκειν βουλόμενος, ἐάν τε δι' ὠφέλειαν, ὧν μέλλει αὐτοῖς περιποιήσειν ἡδονῶν καὶ εὐσχημόνων ἑαυτῷ καὶ ἐκείνοις, ἐάν τε διὰ τῶν ἐναντίων· οὗτος δ' ἂν μηδενὸς ἕνεκα τοῦτο

3 ἕως scripsi: πῶς ZN τὸ μέσον Arist.: ἡ μέσοτης ZN 7 κληθεῖ Z ὀνόματι τινί Z: τινὶ ὀνόματι N 8 τῶν λόγων corr. ex τῶ λόγῳ Z: αὐτῷ λόγων N μὲν Z: δὲ N 9 ἐστοχασμένος N 13 εὐποιητικὴ N ὠφελητικὴ N ἔτι N: ἔστι Z 14 ἡδὸς N 15 πρότερον] B 4 p. 1105b22 κοινώτερον N 17 φύλω N 18 εὔσχημον Z: ἄσχημον N τοῦτο scripsi: τὸ αὐτὸ ZN 19 ἡ om. Z 21 γὰρ N: δὲ Z 22 συνήθεις καὶ ἀσυνήθεις Arist.: ἀσυνήθεις N: συνήθεις Z 25. 26 αὐτοῦ scripsi: αὐτῶ ZN 28 ἑαυτῶ] ἑαυτοῦ N: αὐτῶ Z 29 μὴ N: μῖ Z 30 ὁ Z: οὐ N 31 ἅπαντας Z: ὁ πάντας N συνηδύνων N: συνήδων Z 32 ὧν Z: ὦ N εὐσχημονῶν N: ἀσχημονῶν Z

ποιῇ, ἀλλ' αὐτῷ τούτῳ χαίρων τῷ ἀρέσκειν ἄρεσκος καλεῖται, ἐὰν δ' ἵνα κερδαίνῃ, κόλαξ. ὁ δὲ κατὰ τὴν ἔλλειψίν ἐστιν ὁ πᾶσιν ἀντιτείνων καὶ μηδενὶ πρὸς ἡδονὴν βουλόμενος διαλέγεσθαι, οἵους καὶ οἱ κωμῳδοποιοὶ μιμοῦνται δυσκόλους ὀνομάζοντες· καὶ ἐνταῦθα δὲ διὰ τὸ ἀνώνυμον εἶναι τὸν μέσον μόνον ἀλλήλοις δοκεῖ ἀντικεῖσθαι τὰ ἄκρα· ἀντίκειται δὲ καὶ ἀλλήλοις καὶ τῷ μέσῳ. ὁρίσαιτο δ' ἄν τις τὴν εἰρημένην ἀρετὴν μεσότητα περὶ ἡδονὰς καὶ λύπας καὶ πράξεις εἶναι· πράξεις γάρ τινες καὶ λόγοι. ἔστι δέ τι τοιοῦτον εἶδος ἡδονῆς καὶ λύπης τὸ περὶ τὰς ὁμιλίας. τὸ δὲ χαίρειν αὐτὸν ἐνεργοῦντα κατὰ τὴν ἀρετὴν καὶ ἄχθεσθαι κωλυόμενον κοινὸν πασῶν τῶν ἀρετῶν. ἀντικεῖσθαι δὲ μᾶλλον φαίνεται τῇ μέσῃ ἕξει ἡ δυσκολία διὰ τὸ ἀγριωτέρα εἶναι καὶ θηριωδεστέρα.

p. 1127a13 Περὶ ταῦτα δὲ σχεδόν ἐστι καὶ ἡ τῆς ἀλαζονείας ἕως ἐν ταῖς κατὰ τὸν ἄλλον βίον ὁμιλίαις.

Οὐ μόνην τὴν προκειμένην φησὶν ἀρετὴν καὶ τὰς παρακειμένας αὐτῇ κακίας ἀλλὰ καὶ ἑτέραν τινὰ μέσην ἕξιν καὶ δύο κακίας· ἀνώνυμον δὲ καὶ ταύτην εἶναι τὴν ἕξιν. καλοῖτο δ' ἂν ἀληθευτική, ἢ ὡς αὐτὸς ὀνομάζει αὐτὴν ἀλήθειαν, ἣν ὁ ἔχων περὶ πλείστου ποιεῖται τὸ ἀληθές, τὸ δὲ ψεῦδος παντὶ τρόπῳ μισεῖ. αὐθέκαστον δὲ αὐτὸν λέγει, διότι κατὰ τὸ ὄνομα αὐτὰ ἕκαστα ὁποῖά ποτέ ἐστι τὰ ὑπάρχοντα αὐτῷ καὶ λέγει καὶ ἐνδείκνυται κατὰ τὸν βίον καὶ οὔτε μείζω οὔτε ἐλάττω προσποιούμενος εἶναι τῶν ὑπαρχόντων. λέγεται δὲ ἀλήθεια κυριώτατα μὲν ἡ ἐν λόγοις, οὐ μὴν ἀλλὰ καὶ ἐν ταῖς πράξεσιν. ἀληθευτικὸς γὰρ δοκεῖ ⟨ὁ⟩ μὴ προσποιούμενος τὰ μὴ ὑπάρχοντα αὐτῷ ἐν ταῖς πράξεσιν, οἷον εἰ μή τις πλούσιος προσποιοῖτο μὴ ὤν, μήτε ἰσχυρὸς μὴ ὤν, ἀλλ' ὡς φανερὸν αὐτοῦ προτιθείη καὶ τὸν βίον, ὁποῖός τίς ἐστι καὶ [ὁ] τὸν λόγον. ὁ δ' ἐπὶ πλέον προσποιούμενος καὶ τῷ βίῳ καὶ τῷ λόγῳ ἀλαζών, ὁ δ' ἐπὶ τὸ ἔλαττον καὶ καθαιρῶν τὰ ὑπάρχοντα αὐτῷ εἴρων, ὁ δὲ μέσος αὐθέκαστός τις, ἀληθευτικὸς ὤν. διὰ τοῦτο δὲ μετατεθείκαμεν τὴν λέξιν, ἵνα καὶ ὡς γέγραπται ἀναγινώσκοντες μετὰ τὸ αὐθέκαστός τις οὕτως ἐπιφέρωμεν ⟨ὢν⟩ ἀληθευτικός. ἔστι δὲ τούτων, φησίν, ἕκαστα καὶ ἕνεκά τινος ποιεῖν καὶ μηδενός. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· τὸ ἀληθεύειν ἐν τῷ λόγῳ

1 ποιεῖ N τούτῳ N: τοῦτο Z κερδαίνῃ corr. ex κερδαίνει Z 4 τὸν μέσον N: lac. Z 8 δονῆς καὶ λύπης] lac. Z 9 κοινὸν scripsi: καινὸν N: κοινῶν Z 12 ταῦτα ZN et Arist. Mb: τὰ αὐτὰ Arist. vulg. 13 κατὰ τὸν ἄλλον βίον Arist.: κοιναῖς ZN 15 μέσιν Z 16 ὡς αὐτὸς Z: καὶ αὐτὴ N 18 αὐτόν, superscr. ν N: om. Z 21 λέγεται N: οὐ λέγεται Z ἀλλὰ om. Z 22 ὁ addidi 23 προσποιοῖτο ex προσποιεῖτο N: προσποιεῖτο Z 23. 24 μήτε ἰσχυρὸς μὴ ὢν] lac. Z 24 προτιθείη scripsi: προστιθείη N: προστιθῇ Z βίον scripsi: φόβον ZN 24. 25 ὁποῖός τίς ἐστι καὶ] lac. Z 25 ὁ delevi ὁ δ' ἐπὶ Z: ὅτι τι N βίῳ καὶ τῷ] lac. Z 27 μετατεθείκαμεν Diels: μεθήκαμεν N: μεμαθήκαμεν Z 29 ὢν add. Diels ἕκαστα Arist.: ἕκαστος ZN (et Arist. Kb) καὶ Arist.: ὁ ZN 30 ποιεῖν Z: ποιῶν N

καὶ ταῖς κατὰ τὸν βίον πράξεσιν, ὁμοίως δὲ καὶ τὸ ψεύδεσθαι ἔστιν ἀπὸ ἕξεως ἁπλῶς ποιεῖν. ἔστι δὲ καὶ ἕνεκά τινος. οἷον ὁ μὲν ἀληθευτικὸς ἕξιν ἔχει καθ' ἣν ἀληθεύει ἅπαντα καὶ οὐδὲν ψεύδεται, ἔστι δ' ὅτε καὶ ἕνεκέν τινος ἀναγκαίου βιασάμενος τὴν ἐν αὐτῷ ἕξιν χρῆται τῷ ψεύδει, ἐν φαρμάκου μοίρᾳ ὑπὲρ μεγάλων καὶ συμφερόντων αὐτῷ ἢ φίλοις ἢ πατρίδι· ὁμοίως δὲ καὶ οἱ τὰς ἐναντίας ἕξεις ἔχοντες τὸ μὲν ὅλον ψεῦσταί εἰσιν, οἱ μὲν ἐπὶ τὸ μεῖζον, οἱ δ' ἐπὶ τὸ ἔλαττον. κέρδους δ' ἕνεκεν ἢ δόξης ἢ ἄλλης τινὸς αἰτίας ἔστιν ὅτε χρήσαιντ' ἂν τῷ ἀληθεῖ· κρίνονται δὲ ἕκαστοι ὁποῖοί εἰσιν ἀπὸ τῶν ἕξεων ἀλλ' οὐκ ἀφ' ὧν ποτε καὶ ἕνεκά τινος ποιοῦσι. ταῦτα δὲ ὁ Ἀριστοτέλης οὕτως ἡρμήνευκεν· ἕκαστος δὲ οἷός ἐστι τοιαῦτα λέγει καὶ πράττει καὶ οὕτως ζῇ· ἔστι δ' ἕκαστος ὁποία ἡ ἕξις ἡ ἐν ἑκάστῳ καὶ κατὰ ταύτην ζῇ, ἂν μή τινος ἕνεκα παρεκβαίνῃ τὴν ἕξιν. ἔστι γὰρ τὸ μὲν καθ' αὑτὸ ψευδὲς ψεκτόν, τὸ δ' ἀληθὲς καθ' αὑτὸ ἐπαινετόν· διόπερ ὁ μὲν ἀληθευτικὸς ὢν τοῦ καθ' αὑτὸ ἐπαινετοῦ ἐπαινετός ἐστι καὶ αὐτός· οἱ δὲ προαιρετικοὶ τοῦ καθ' αὑτὸ ψεκτοῦ, λέγω δὲ τοῦ ψεύδους, ψεκτοί· ψεκτοὶ δὲ οὗτοι ἀμφότεροι μέν, μᾶλλον δὲ ὁ ἀλαζών.

Εἶτα ἐπαναλαβὼν περὶ ἑκάστου λέγει, ἀρξάμενος ἀπὸ τοῦ ἀληθευτικοῦ. ἔστι γάρ τις ἄλλος ἀληθευτικὸς ἐν ταῖς ὁμιλίαις καὶ συνθήκαις οὐδὲν παραβαίνων· καὶ οὗτος μὲν οὖν κατὰ δικαιοσύνην ἐνεργεῖ, καὶ ⟨ἃ⟩ μόριά ἐστι τῆς δικαιοσύνης, ὁ δὲ κατὰ τὴν εἰρημένην ἕξιν, ὁ ἐν τῷ συζῆν ἀληθευτικὸς καὶ λόγῳ καὶ βίῳ· ἀληθεύοι δ' ἂν καὶ οὗτος ἐν ταῖς ὁμολογίαις· ὁ γὰρ ἐν οἷς μηδὲν διαφέρει ἀληθεύων, δῆλον ὅτι ἐν οἷς διαφέρει μᾶλλον χρήσεται τῇ ἀληθείᾳ. μᾶλλον δέ φησιν ἀποκλίνειν αὐτὸν ἐπὶ τὸ ἔλαττον· οὐ γὰρ πάνυ ὀγκώδη περὶ αὑτοῦ ἐρεῖ, κἂν ἀληθῆ ᾖ, διὰ τὸ ἐπαχθές.

Ὁ δὲ ἄλλα καὶ μείζω προσποιούμενος τῶν ὑπαρχόντων δύο εἴδη περιέχει. ὁ μὲν γὰρ προσποιεῖται ἐπὶ τὸ μεῖζον οὐδενὸς ἕνεκα καὶ ἔστι μὲν φαῦλος διὰ τὸ χαίρειν τῷ ψεύδει, μάταιος δὲ καὶ ἀνόητος μᾶλλον ἢ κακός· ὁ δὲ ἕνεκά τινος χρώμενος τῇ ἀλαζονείᾳ ἤδη μοχθηρότερος· τούτου δ' αὐτοῦ πάλιν δύο εἴδη· ὁ μὲν γὰρ δόξης καὶ τιμῆς ἕνεκα ἀλαζονεύεται, ὁ δὲ ἀργυρίου καὶ ἔστι χείρων οὗτος τοῦ διὰ τιμὴν ἀλαζονευομένου· ἧττον γὰρ ψεκτὸς ὁ ἀλαζὼν ὁ διὰ τιμὴν ἀλαζονευόμενος τοῦ δι' ἀργύριον. ὁ μὲν γὰρ δόξης

2 ἁπλῶν N   καὶ Z: καὶ τὸ N   5 ὑπὲρ Z: ἔχων N   συμφερόντων αὐτῷ ἢ] loco ν αυτῷ ἢ lacuna Z   6 οἱ μὲν Z: ὁ μὲν N   7 οἱ δὲ Z: ὁ δ' N   8 ἀληθεῖ N: . . . θεῖ Z   9 ἀφ' ὧν Z: ἀπὸ τῶν N   10 τοιαῦτα] lac. Z   12 παρεκβαίνῃ corr. ex παρεκβαίνει N   12. 13 καθ' αὑτὸ N: lac. Z   14 τοῦ Z: τὸ N   15 ψεκτός· ψεκτοὶ Z   17 περὶ N: καθ' Z   18 συνθήκες ZN   18. 19 οὐδὲν παραβαίνων] lac. Z   19 καὶ οὗτος Z: οὗτος N   ἃ inserui   21 ἀληθεύοι corr. ex ἀληθεύει N   ταῖς om. N   23. 24 οὐ γὰρ πάνυ ὀγκώ] lac. Z   24 αὑτοῦ] αὐτοῦ ZN   25 ὁ δὲ ἄλλα καὶ μείζω] lac. Z   ἄλλα scripsi: ἄλλων N   εἴδη περιέχει] lac. Z   25. 26 περιέχει scripsi: παρέχεται N   26. 27 καὶ ἔστι μὲν φαῦλος διὰ] lac. Z   27 τῷ Z: τὸ N   27. 28 μᾶλλον ἢ κακός· ὁ δὲ ἕνεκά τινος] lac. Z   28 μοχθηρότητος Z   29 δύο πάλιν εἴδη N   ἀλλαζονεύεται N   29. 30 ὁ δὲ ἀργυρίου καὶ] lac. Z   31 ὁ (ante ἀλαζὼν)] lac. Z

ἕνεκα ἀλαζονευόμενος τὰ τοιαῦτα προσποιεῖται, ἐφ' οἷς εὐδαιμονίζονται οἱ ἄνθρωποι ἢ ἐπαινοῦνται. εὐδαιμονίζονται μὲν οὖν ἐπὶ πλούτῳ ἐπὶ ἰσχύι ἤ τινι τῶν τοιούτων, ἐπαινοῦνται δὲ ἐπὶ σοφίᾳ ἢ λόγων δυνάμει ἤ τινι τῶν ἐφ' ἑαυτοῖς. πάντων δὴ τούτων προσποιητικοί εἰσιν οἱ διὰ δόξαν ἀλαζονευόμενοι· οἱ δὲ διὰ κέρδος ἀλαζονευόμενοι τὰ τοιαῦτα προσποιοῦνται, ὧν ἀπολαύειν ἔστι τοῖς πέλας καὶ διὰ τοῦτο ἕτοιμοί εἰσι προέσθαι ἀργύριον τοῖς δυναμένοις αὐτὸ παρέχειν. ῥᾴδιον δὲ καὶ διαλανθάνειν μὴ ὄντα διὰ τὸ τοὺς πολλοὺς ἀνεπιστήμονας εἶναι περὶ αὐτά· τοιοῦτον δὲ μαντικὴ ἰατρικὴ σοφία· ἕλκουσι γὰρ τὴν σοφίαν ἐπ' ἄμφω καὶ οἱ δόξης ἐρῶντες καὶ οἱ χρημάτων καὶ οἱ ἀμφοτέρων, καθάπερ οἱ σοφισταί. οὐκ ἐν τῇ δυνάμει δέ φησιν εἶναι τὸν ἀλαζόνα ἀλλὰ ἐν τῇ προαιρέσει· δύναμιν γὰρ ἔχει καὶ ὁ ἀγαθὸς καὶ ὁ σοφὸς τοῦ ἀλαζονεύεσθαι, οὐ προαιρεῖται δέ· ὁ δὲ δυνάμενος ἅμα καὶ προαιρούμενος ἀλαζών. ἔλεγε δὲ καὶ ἐν τοῖς Τοπικοῖς καὶ ἐν ἄλλοις λόγοις ὅτι οὐκ εἰσιν οἱ δυνάμεις ψεκταὶ ἀλλ' αἱ προαιρέσεις.

Οἱ δ' εἴρωνες ἐπὶ τὸ ἔλαττον ἄγοντες τὰ αὑτῶν χαριέστεροι φαίνονται· οὔτε γὰρ κέρδους οὔτε δόξης χάριν ψεύδονται ἀλλὰ φεύγοντες τὸ ὀγκηρόν. διὸ καὶ τὰ σφόδρα ἔνδοξα ἀπαρνοῦνται· καὶ ἴσως οἱ διὰ τοῦτο καὶ τοιοῦτον τὸν τρόπον εἰρωνευόμενοι οὔκ εἰσιν ἐπίψογοι, ὥσπερ ὁ Σωκράτης· οἱ δὲ καὶ τὰ σμικρὰ καὶ τὰ λίαν φανερὰ ἀπαρνούμενοι καὶ προσποιούμενοι μὴ ἔχειν ἐπίψογοι καὶ ὥς φησι βαυκοπανοῦργοι καλοῦνται· πανουργία γὰρ μᾶλλον τὸ τοιοῦτον ἢ χαριεντισμός, οἷον εἴ τις πλούσιος ὢν λέγοι μὴ ἔχειν μηδὲ εἰς τὰ ἀναγκαῖα ἢ εἴ τις σφόδρα ἰσχυρὸς ὢν φαίη πάντων εἶναι ἀσθενέστατος. ἀλαζονεία γάρ, ὥς φησιν, ἐνίοτε καὶ τὸ τοιοῦτόν ἐστιν· ἀρνεῖται γὰρ τὰ φανερά, σχεδὸν ἐνδεικνύμενος, ὅτι ὑπάρχει αὐτῷ. φησὶ δὲ καὶ τοὺς Λακεδαιμονίους τῇ σφόδρα εὐτελείᾳ τῆς ἐσθῆτος ἀλαζονεύεσθαι. καὶ γὰρ τὸ εἰς τὸ πέρα τοῦ δέοντος εὐτέλειαν ἄγειν ἀλαζονικόν· οἱ δὲ περὶ τὰ μὴ λίαν φανερὰ εἰρωνευόμενοι, ἵνα φύγωσι τὸ ἐπαχθές, χαρίεντες φαίνονται. ἀντίκειται δὲ μᾶλλον ὁ ἀλαζὼν τῷ ἀληθευτικῷ ἢ ὁ εἴρων διὰ τὸ χείρων εἶναι καὶ ἐπαχθέστερος. οὐδ' αὕτη ἐστιν ἡ μεσότης περὶ ἴδιά τινα πάθη ἀλλὰ περὶ ἡδονὴν καὶ λύπην, τὰς κοινὰς ταῖς ἀρεταῖς. ὁ γὰρ ἔχων τὴν ἕξιν χαίρει, κωλυόμενος δὲ δυσχεραίνει.

Οὔσης δὲ καὶ ἀναπαύσεως ἐν ταῖς ὁμιλίαις αἱ μὲν προειρημέναι ἀρεταὶ δύο, ἥ τε ὁμοία τῇ φιλίᾳ, ἣν ὁμιλητικὴν ὠνομάσαμεν, καὶ ἡ ἀληθευ-

6 προέσθαι] loco ε lac. Z   7 διαλανθάνει N   8 σοφία N: καὶ σοφία Z
10 οὐκ ἐν τῇ — προαιρέσεις (14) ed. Hase *Classical Journal* XXIX 113   δυνάμη N   11 δύναμιν Z: δυνάμην μὲν N   13 καὶ ἐν τοῖς Z: ἐν τοῖς N   ἐν τοῖς Τοπικοῖς] Δ 5 p. 126a30   καὶ ἐν ἄλλοις λόγοις] lac. Z; cf. Ind. Arist. v. προαίρεσις   14 προαιρέσεις] pro αιρέσεις lac. Z   15 αὑτῶν] αὐτῶν ZN   χαριέστεροι Z: οὐ χαριέστεροι N   17 καὶ ἴσως οἱ] lac. Z   17. 18 το καὶ τοιοῦ] lac. Z   18 τοιοῦτον scripsi: διὰ τοῦτον N   ἠρωνευόμενοι N
23 ἀσθενέστερος N   ἀλαζονία Z   24 σχεδὸν N: σχεδὸν γὰρ Z
26 εὐτέλειαν Z: τὸ εὔτελες N   27 νευόμενοι in εἰρωνευόμενοι] lac. Z   χαρίενταις Z   29 χεῖρον Z   32 τῇ ὁμιλία N   33 ὁμιλιτικὴν Z   ὠνομάσωμεν N

τικὴ περὶ πάντα ὁμιλία ἔν τε βίῳ καὶ λόγῳ· ἡ δὲ μέλλουσα ῥηθήσεσθαι περὶ τί μέρος ἐστὶ τοῦ βίου; ἐπειδὴ γὰρ δεῖται ὁ ἄνθρωπος ἀναπαύσεως καὶ ἀνέσεώς τινος, ἔστι καὶ ἐνταῦθα ὁμιλία καὶ παιδιά τις ἐμμελής. καλεῖται δὲ εὐτραπελία καὶ ὁ ἔχων αὐτὴν εὐτράπελος, οἷον εὔτροπός τις ὤν, φησίν. εὔτροπον δὲ λέγει διὰ τὸ εὐρύθμους τοῦ ἤθους αὐτοῦ τὰς κινήσεις εἶναι καὶ τὰς τροπάς· ὥσπερ γὰρ τὰ σώματα ἐκ τῶν κινήσεων κρίνεται, οὕτως καὶ τὰ ἤθη. ὅτι δὲ κρίνεται τὰ σώματα ἐκ τῶν κινήσεων δῆλον. μέχρι μὲν γάρ τις ἠρεμεῖ, οὐ δῆλον, εἴ τι πεπήρωται τῶν τοῦ σώματος εἴτε ἄρρυθμόν ἐστι, κινουμένου δὲ μάλιστα ἐλέγχεται τὸ σῶμα· οὕτως καὶ κατὰ τὴν παιδιὰν τοῦ ἤθους οἱ μὲν εὔρυθμοί εἰσι καὶ ἐμμελεῖς· καλοῦνται δὲ οἱ εὔρυθμοι εὐτράπελοι παίζοντες ἐστοχασμένως τοῦ μὴ λυπεῖν μήτε ἄλλον μηδένα μήτε ἐκεῖνον, πρὸς ὃν χρῶνται τῇ παιδιᾷ, ἀλλὰ τοὐναντίον καὶ εἰς ἡδονὴν ἄγειν. ὁ δ' αὐτὸς καὶ οἷα δεῖ καὶ ἐρεῖ καὶ ἀκούσεται οἷα δεῖ καὶ παρακούσεται ἑκὼν εἶναι τῶν ἀπαιδεύτως χρωμένων τῷ γελοίῳ καὶ αἰσχρῶς· οὐδ' ἐν πᾶσι δ' ἐρεῖ ἀλλ' ἐν οἷς προσήκει. ἔχει δὲ καὶ τοὺς ἄλλους διορισμοὺς τῶν ἀρετῶν· καὶ γὰρ ὅτε δεῖ καὶ ἐφ' οἷς δεῖ καὶ ὡς δεῖ χρῆται τῇ παιδιᾷ.

Ὁ δὲ ὑπερβάλλων βωμολόχος καλεῖται, ἐπιπόλαιός τις ὢν καὶ πάντως τοῦ γελοίου στοχαζόμενος ἤπερ τοῦ λέγειν εὐσχήμονα καὶ μὴ λυπεῖν τὸν σκωπτόμενον· ἕνεκεν δὲ τοῦ γέλωτα κινεῖν οὐδενὸς φείδεται, οὔτε φίλου οὔτε ἐχθροῦ· ἐνίοτε δὲ οὐδὲ τῶν θεῶν, καθάπερ οἱ τὰς παλαιὰς κωμῳδίας ποιήσαντες· ὑπὸ γὰρ βωμολοχίας οὐδὲ τῶν θεῶν ἀπείχοντο. ἔστι δὲ καὶ ἐνταῦθα ἔλλειψις· εἰσὶ γάρ τινες οἳ τὸ παράπαν οὐκ ἀξιοῦσι χρῆσθαι τῇ παιδιᾷ καὶ οὔτ' αὐτοὶ ἂν εἴποιεν πλέον τι, οὔτ' ἄλλων ἀκούσαιεν ἂν ἡδέως· καλοῖτο δ' ἂν ἡ τοιαύτη κακία ἴσως ἀγριότης καὶ σκληρότης. οὗτοι μὲν οὖν οὐδέποτε δοκοῦσιν εἶναι εὐτράπελοι ἀλλ' ἐναντίοι τοῖς εὐτραπέλοις· οἱ δὲ βωμολόχοι δοκοῦσιν εἶναι ἐνίοτε εὐτράπελοι διὰ τὸ χαίρειν τοὺς πολλοὺς τῷ γελοίῳ. ἡ δὲ μέση ἕξις καλεῖται μὲν εὐτραπελία, ὀνομάζοιτο δ' ἂν ἴσως καὶ ἐπιδεξιότης· τοῦ γὰρ ἐπιδεξίου τοιαῦτα καὶ λέγειν καὶ ἀκούειν, ὁποῖα καὶ πρέπει τῷ ἐλευθερίῳ. διαφέρει γὰρ ἡ τοῦ ἐλευθερίου παιδιὰ τῆς τοῦ ἀνδραποδώδους καὶ ἡ τοῦ πεπαιδευμένου τῆς τοῦ ἀπαιδεύτου. παράδειγμα δ' ἑκατέρας τίθεται τάς τε παλαιὰς κωμῳδίας καὶ τὰς νέας· τοῖς μὲν γὰρ τὰς παλαιὰς γράφουσι γελοῖον ἐδόκει τὸ αἰσχρολογεῖν, τοῖς δὲ τὰς νέας τὸ μεθ' ὑπονοίας σκώπτειν, τουτέστιν μετὰ τοῦ αἰνίττεσθαι. διαφέρει δ' οὐδὲν πρὸς εὐσχημοσύνην ἢ φανερῶς αἰσχρολογεῖν ἢ μόνον ἐμφαίνειν.

1 ῥηθήσεται Z 4 εὐτραπελία] εὐτραπέλεια ZN 8 πεπήρωται N: πεπύρεται Z τῶν om. Z 9 ἐλέγχετο Z 10 πεδιὰν N εἰσι N: οὐχὶ Z καλοῦνται — ἐστοχασμένως (11) (ἀποχασμένως Hase) edidit Hase *Classical Journal* XXIX 113 τοῦ scripsi: τῷ ZN 14 γελλοίῳ N 19 γελλοίου N 20 ἕνεκεν δὲ — ἀπείχοντο (22) edidit Hase *Classical Journal* XXIX 113 γέλωτα scripsi: γέλωτος ZN 21 οὐδὲ Z: οὐ N 22 βωμολοχίας corr. ex βωμωλοχίας N 27. 28 γελλοίῳ N 33 γελλοῖον N 34 οὐδὲν] fort. οὐ μικρὸν ex Arist. 35 μόνως Z

Μετὰ ταῦτα ζητεῖ πότερον δεῖ τὸν εὖ σκώπτοντα ὁρίζεσθαι τῷ λέγειν πρέποντα ἐλευθερίῳ καὶ πεπαιδευμένῳ ἢ τῷ μὴ λυπεῖν τὸν ἀκούοντα ἢ καὶ τοὐναντίον τέρπειν. δεῖ μὲν γὰρ ἴσως ἀμφοτέρων ἐστοχάσθαι τὸν εὖ σκώπτοντα. ἀλλ' ὅμως καθ' ὁπότερον αὐτῶν ὁριστέον μᾶλλον· καί φησιν ἀόριστον εἶναι τὸ πρὸς τοὺς σκωπτομένους λαμβάνειν τὸ ἄκρον· ἄλλο γὰρ ἄλλῳ που ἡδύ τε καὶ μισητόν, καὶ οὐδὲν κωλύει αὐτὸν μὲν εὖ σκώπτειν, ὑπὸ δὲ ἀγροικίας ἀηδῆ εἶναι τῷ ἀκούοντι· μᾶλλον οὖν ὁ ὅρος τοῦ σκώπτοντος ἐν τῷ ὡς δεῖ σκώπτειν καὶ πρὸς οὓς τῷ ἐλευθερίῳ. ἐν μὲν οὖν τούτῳ φαίνεται τὸ σκῶμμα μέσον τι. *

2 πρέποντα] lac. Z μὴ om. Z 3 ἀμφότερον Z 6 σκώπτειν N: σκοπεῖν Z 7 ἀηδῆ scripsi: ἀηδὲς ZN ἀκούοντι N: α . . . . Z μᾶλλον δὲ οὖν ὅρος N 8 τούτω Z: τούτοις N

ΑΣΠΑΣΙΟΥ ΕΙΣ ΤΟ Η ΤΩΝ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΗΘΙΚΩΝ

* * * * * * * * * * * * * * *

* * * καὶ τὴν τῶν ἐπιθυμιῶν· καὶ δείκνυσιν ὅτι αἰσχίων ⟨ἡ⟩ τῶν ἐπιθυμιῶν ἀκρασία· διὸ καὶ εὐλόγως δόξειεν ἂν αὕτη ἁπλῶς ἀκρασία λέγεσθαι· ἡ δὲ τοῦ θυμοῦ μετὰ προσθέσεως. τὸν μὲν γὰρ θυμόν φησιν ἀ κ ο ύ ε ι ν πως τοῦ λόγου, π α ρ α κ ο ύ ε ι ν δέ, ὡς τοὺς ταχεῖς τῶν διακόνων, οἳ διὰ τὸ τάχος παρακούουσι τῶν δεσποτῶν, καὶ τοὺς κύνας, οἳ ὑλακτοῦσιν, ἐπειδάν τις ψοφήσῃ. οὕτως γὰρ καὶ ὁ θυμός, ταχὺς ὢν φύσει καὶ θερμότατος ὡς εἰπεῖν διὰ τὸ θερμότατον εἶναι μέρος τοῦ σώματος, τῷ παρακοῦσαι τοῦ λόγου ἄλλο τι λέγοντος ὥσπερ προστάγματος [ὃ] ἀκούσας ὁρμᾷ. ὁ μὲν γὰρ λ ό γ ο ς ἢ ἡ φ α ν τ α σ ί α γίνεται, ὅ τ ι ὕ β ρ ι ς ἐστίν, ἢ ὀ λ ι γ ω ρ ί α γέγονεν ἐκ τοῦ δεῖνος· οὐδαμοῦ δὲ εἰπόντος τοῦ λόγου οὐδὲ τῆς φαντασίας γενομένης, ὅτι δεῖ τιμωρήσασθαι αὐτόν, ὁ θυμὸς ὥσπερ προσταχθεὶς τιμωρήσασθαι, ᾄττει ἐπὶ τοῦτο. συλλογίζεται μὲν οὐδέν (λογικῶν γὰρ τὸ συλλογίζεσθαι), ὅμοιον δέ τι πάσχει τῷ συλλογισαμένῳ, ὅτι δεῖ τούτῳ πολεμεῖν. ὁ μὲν γὰρ λόγος, ὡς εἴρηται, μόνον φησίν, ὁ δεῖνα ὕβρισεν· ὁ δὲ θυμός, ὥσπερ καὶ τῆς καθόλου προτάσεως κειμένης, ὅτι δεῖ πολεμεῖν τοῖς ὑβρίσασι, καὶ τοῦ συμπεράσματος ʻτούτῳ ἄρα πολεμητέονʼ, χαλεπαίνει εὐθέως καὶ ὁρμᾷ. ὁ μὲν οὖν θυμὸς τοιοῦτος· ἡ δὲ ἐ π ι θ υ μ ί α, ἐὰν μ ό ν ο ν εἴ π ῃ ὁ λ ό γ ο ς, ὅ τ ι ἡ δ ύ, ἢ ἡ α ἴ σ θ η σ ι ς, ὁ ρ μ ᾷ π ρ ὸ ς τ ὴ ν ἀ π ό λ α υ σ ι ν. ταῦτα δὲ λέγων δόξει μηδὲν χείρονα ποιεῖν τὴν ἐπιθυμίαν τοῦ θυμοῦ· καὶ γὰρ αὕτη δόξει τῷ λόγῳ ποτὲ ἀκολουθεῖν παρακούουσα. ὁ μὲν γὰρ λόγος λέγει ὅτι ἡδύ, ἡ δὲ ὡς προστάττοντος ἀκολουθεῖν ἕπεται. ἢ οὐχ οὕτως ἔχει; ἀλλ' ὁ μὲν θυμὸς τῷ ὄντι κινεῖται ὑπὸ τοῦ λόγου κελευόμενος, ἡ δὲ

1 Ἀσπάσιος εἰς τὸ ἦτα τῶν Ἀριστοτέλους ἠθικῶν νικομάχω: οὐ κατ' ἀρχὰς ἀλλ' ἀπὸ τοῦ μέσου, ἀπὸ τοῦ ῥητοῦ τοῦ οὑτωσὶ διεξιόντος: ὅτι μὲν οὖν ἀκρασία καὶ ἐγκράτειά ἐστι μόνον περὶ ἅπερ ἀκολασία καὶ σωφροσύνη [Arist. H 7. 1149 a 21] Z: idem N, ubi Ἀσπασίου et νικομαχείων 3 ἐπιθυμῶν Z ἡ addidi 5 προθέσεως Z φησὶν ἀκούειν Z: ἀκούειν φησί N 7 δεσποτῶν corr. ex σπουδαίων Z 9 παρακοῦσαι Diels: ἀκοῦσαι ZN 10 ὃ seclusit Diels 14 λογικὸν N 16 καὶ Z: ἐκ N 17 πολεμιτέον Z 19 ὁ λόγος post ἡδὺ Aristotelis libri 20 δόξει corr. ex δόξῃ Z

ἐπιθυμία τὰ πολλὰ ἁμαρτάνει, φανεροῦ ὄντος ὅτι κωλύει ὁ λόγος. διό φησι τὸν μὲν θυμὸν ἀκολουθεῖν πως τῷ λόγῳ, τὴν δὲ ἐπιθυμίαν οὔ. αἰσχίων οὖν ἡ δι' ἐπιθυμίαν ἀκρασία τῆς διὰ θυμόν· ὁ μὲν γὰρ τοῦ θυμοῦ ἀκρατὴς τοῦ λόγου πως ἡττᾶται, ὁ δὲ τῆς ἐπιθυμίας οὐ τοῦ λόγου ἡττᾶται ἀλλὰ τῆς ἐπιθυμίας.

Ἄπορον δέ, πῶς ἀκρατὴς ἔσται θυμοῦ, εἰ τῷ λόγῳ πως ἀκολουθεῖ. δεῖ γὰρ τὸν ὁπωσοῦν ἀκρατῆ τῷ λόγῳ ἀπειθοῦντα τῷ πάθει ἐνδιδόναι. ἢ ἔνεστί τις λόγος ἐν τῷ ἀκρατεῖ τοῦ θυμοῦ, ὅτι οὐ χρὴ ἐπὶ πᾶσι θυμοῦσθαι οὐδὲ ἐφ' οἷς μὴ δεῖ; οὗτος δὲ ὁ λόγος ἔνεστι μὲν ἐν αὐτῷ, οὐκ ἐνεργεῖ δὲ τότε διὰ τὸ πάθος. μανίᾳ γάρ τι ὅμοιον ἐμποιεῖ ὁ θυμὸς μάλιστα, ἐπειδὴ καὶ ἄλλους λόγους ἀκούων παρακούει τοῦ λέγοντος, ὕβρισεν ὁ δεῖνα, ὃς οὐκ ἔστι μὲν ἐναντίος τῷ ἑτέρῳ λόγῳ· οὐ γὰρ κελεύει τιμωρεῖσθαι· ὁ δὲ θυμὸς ὡς τοῦτο κελεύσαντος ὁρμᾷ.

Ἔτι δὲ εἰς ταὐτὸν ἐπιχειρῶν συγγνώμην φησὶν μᾶλλον ταῖς φυσικαῖς ὀρέξεσιν ἀκολουθεῖν ἢ ταῖς μὴ φυσικαῖς, καὶ ἐπὶ τοσοῦτον, ἐφ' ὅσον φυσικαὶ καὶ κοιναί. ὁ δὲ θυμὸς καὶ ἡ χαλεπότης φυσικώτερον τῶν ὑπερβαλλουσῶν ἐπιθυμιῶν καὶ τῶν μὴ ἀναγκαίων· οὐκ ἀλόγως δὲ παρέλαβε τὴν χαλεπότητα, ὑπερβολήν τινα οὖσαν θυμοῦ, ἀλλ' ἵνα δείξῃ ταύτην φυσικωτέραν τῆς ὑπερβολῆς τῶν μὴ ἀναγκαίων ἐπιθυμιῶν. ὅτι δὲ φυσικώτερον καὶ ὁ τοιοῦτος θυμὸς τῆς τοιαύτης ἐπιθυμίας, προβιβάζει ἐκ τοῦ συγκαταβάλλεσθαι τοῖς σπέρμασι τὰς τῶν θυμῶν ὁμοιότητας· ὡς ἐπὶ τὸ πολὺ γὰρ ἐκ θυμικῶν θυμικοί, ἐκ δ' ἐπιθυμητικῶν οὐ πάντως ἐπιθυμητικοί. καὶ ὅμοιοι γίνονταί τινες ὥσπερ τὰ εἴδη οὕτως καὶ τοὺς θυμούς. παράδειγμα δὲ φέρει τὸν κρινόμενον ὑπὸ τοῦ πατρὸς ἐπὶ τῷ πλῆξαι αὐτόν· 'καὶ οὗτος', ἔφη, 'ὁ νῦν ἐμοῦ κατηγορῶν', δείξας τὸν πατέρα, 'ἔπληξε τὸν ἑαυτοῦ πατέρα', καὶ πάλιν δείξας τὸν υἱόν 'καὶ οὗτος' ἔφη, 'ἐμὲ πλήξει, ὅταν ἀνὴρ γένηται'. μέμνηται δέ, ὅτι καὶ ἑλκόμενός τις ὑπὸ τοῦ υἱοῦ, ἐπειδὴ πρὸς ταῖς θύραις ἐγένετο, παύεσθαι τὸν υἱὸν ἔλεγε· 'καὶ γὰρ ἐγώ', ἔφη, 'μέχρις ἐνταῦθα εἵλκυσα τὸν πατέρα'.

Ἔτι ἀδικώτεροι, φησίν, οἱ ἐπιβουλότεροι· ὁ μὲν οὖν διὰ θυμὸν ποιῶν οὐκ ἐπίβουλος (ἁπλοῦν γὰρ ὁ θυμός), ἡ δὲ ἐπιθυμία ἐπίβουλος. χρῆται δὲ ἐνδόξοις πίστεσι, παρατιθεὶς τὰ ὑπὸ τῶν ποιητῶν περὶ ἐπιθυμίας λεχθέντα. εἰ οὖν ἀδικωτέρα ἡ περὶ ἐπιθυμίαν ἀκρασία τῆς περὶ τὸν θυμόν, καὶ αἰσχίων ἂν εἴη, καὶ διὰ τοῦτο καὶ ἁπλῶς ἀκρασία καὶ κακία πως. οὐκ εἶπε δὲ αὐτὴν ἁπλῶς ἀλλὰ πὼς κακίαν διὰ τὸ μὴ ὅλης εἶναι τῆς ψυχῆς, ἀλλὰ μέρους τινός, ὡς εἴρηται πολλάκις. ἔτι οὐδεὶς λυπούμενος ὑβρίζει, ὁ δὲ ὀργῇ ποιῶν, ὁ δὲ ὑβρίζων πᾶς μεθ' ἡδονῆς. τοῦτο δὲ προσέθηκεν ἐπιρρωνὺς τὴν πρώ-

3 ἀκρασία N: ἀκρασίας Z   7 ἢ Z: καὶ N   8 ἀκρατεῖ corr. ex ἀκρατῆ N
12 ἐναντίως N   18 δείξῃ N: δόξῃ Z   20 προβιβα̑ ZN   22 δ' ἐπιθυμητικῶν Z, nisi quod pro litteris τικ lacuna: δὲ τῶν θυμητικῶν N   23 παράδειγμα Z: παραδείγματα N   25 ἔπληξαι Z   29 ἐπιβουλότεροι] τεροι lac. Z
31 περὶ ἐπιθυμίας N: περὶ ὧν . . . . . μίας Z   34 ὅλης scripsi: ὅλως ZN
35 τινὸς ὡς] lac. Z   inter δὲ et ὀργῇ lac. quinque fere litterarum ZN   ποιῶν· ὁ δὲ ὑβρί] lac. Z   36. p. 129,1 ὺς τὴν πρώτην] lac. Z

τὴν πρότασιν. πᾶς γὰρ ὁ ὑβρίζων μεθ' ἡδονῆς ποιεῖ. μετὰ λύπης δὲ οὐδέποτε· ἅμα δὲ καὶ εἰς τὸ εἶναι χείρω τὴν ⟨δι'⟩ ἐπιθυμίαν ⟨τῆς διὰ θυμὸν⟩ ἀκρασίας φέρει. εἰ γὰρ ὁ μὲν διὰ θυμὸν ἀκρατευόμενος λυπούμενος ἀκρατεύεται, καὶ διὰ τοῦτο οὐχ ὑβρίζει, ὁ δὲ δι' ἐπιθυμίαν ἀκρατευόμενος δι' ἐπιθυμίαν ἡδόμενος τοῦτο ποιεῖ καὶ διὰ τοῦτο ὑβρίζειν δοκεῖ, χείρων ἂν εἴη καὶ πλείονος ὀργῆς ἄξιος· εἰ οὖν οἷς ὀργίζεσθαι μάλιστα δίκαιον ταῦτα ἀδικώτερα, ἀδικωτέρα ἂν εἴη ἡ δι' ἐπιθυμίαν ἀκρασία τῆς διὰ θυμόν.

p. 1149b23 Ὡς μὲν τοίνυν αἰσχίων ἕως παιδιώδης ἐστίν.

Ὅτι μὲν αἰσχίων ἡ περὶ ἐπιθυμίαν ἀκρασία τῆς περὶ θυμόν, εἴρηται καὶ ὅτι ἐστὶν ἡ ἐγκράτεια καὶ ἀκρασία περὶ ἐπιθυμίας καὶ ἡδονὰς σωματικάς. αὐτῶν δὲ τούτων τῶν σωματικῶν ἐπιθυμιῶν καὶ ἡδονῶν τὰς διαφορὰς ληπτέον. ὥσπερ γὰρ εἴρηται αἱ μέν εἰσιν ἀνθρώπιναι ἐπιθυμίαι καὶ ἡδοναὶ καὶ φυσικαὶ τῷ γένει· αὗται δέ εἰσιν αἱ ἀναγκαῖαι καὶ τῶν ἀναγκαίων εἰς τὸ ζῆν γενόμεναι. φησὶ δὲ αὐτὰς φυσικάς, κἂν τῷ μεγέθει ὦσι φυσικαί· αἱ γὰρ ὑπερβάλλουσαι τὸ δέον ὑπερβάλλουσι καὶ τοὺς τῆς φύσεως ὅρους· ἔνιαι δέ εἰσι τῶν ἐπιθυμιῶν καὶ ἡδονῶν θηριώδεις διαθέσεις ἔχουσαι, αἱ δὲ διὰ πηρώσεις καὶ νοσήματα, αἷς χαίρουσιν οἱ πεπηρωμένοι, ὡς ἐλέγετο ἔμπροσθεν, κατὰ τὴν ψυχὴν ἢ κατὰ τὸ σῶμα καὶ οἱ νοσηματωδῶς διακείμενοι. τούτων δὲ περὶ μόνον τὰς πρώτας τῶν εἰρημένων σωφροσύνη καὶ ἀκολασία ἐστίν· περὶ γὰρ τὰς ἀνθρωπίνας, μετὰ προαιρέσεως δὲ ἑκατέρα. διόπερ τὰ θηρία οὔτε σώφρονα οὔτε ἀκόλαστα λέγομεν, διὰ τὸ μὴ ἔχειν αὐτὰ προαίρεσιν μηδὲ λογισμόν· κατὰ μεταφορὰν δὲ ἐνίοτε σώφρονα λέγομεν ὅλα τινὰ γένη ζῴων καὶ ἀκόλαστα, τὴν διαφορὰν ὁρῶντες, ἣν ἔχει πρὸς ἄλληλα γένη, οἷον ἔνια μὲν ἀκόλαστα λέγομεν διὰ τὸ ὀχευτικὰ εἶναι, ἔνια δὲ διὰ σιναμωρίαν καὶ τὸ παμφάγα εἶναι. κυρίως δὲ οὐδὲν τῶν θηρίων ἀκόλαστον (οὐ γὰρ ἔχει λογισμόν), ἀλλ' ἐξέστηκε, φησί, τῆς φύσεως, τουτέστιν ἔοικε τοῖς ἐξεστηκόσι τῆς φύσεως καὶ μαινομένοις τῶν ἀνθρώπων. ἔλαττον δὲ θηριότης κακίας τῷ ψεκτὴ εἶναι. ἡ μὲν γὰρ θηριότης μανίᾳ τινὶ ἔοικε, διὸ οὐ ψέγεται ὡς οὐκ οὖσα ἑκούσιος, ἡ δὲ κακία ὡς ἑκούσιος ψέγεται, ἐπεὶ ἔλαττόν ἐστι κακὸν ἡ θηριότης τῆς κακίας τῷ ἧττον εἶναι κακοῦργος. ὥσπερ γὰρ τὸ θηρίον οὐκ ἔστι κακοῦργον

1. 2 οὐδέποτε· ἅμα δὲ] lac. Z 2 τὴν δι' ἐπιθυμίαν τῆς διὰ θυμὸν scripsi: τὴν ἐπιθυμίαν ZN 3 διὰ θυμὸν ἀκρατ] lac. Z 6 ὀργίζεσθαι N: ὀργίζεται Z 8 ἕως N: lac. Z 9 ἐπιθυμίαν ZN et Arist. Mb: ἐπιθυμίας Arist. vulg. 10 ἀκρασία ZN et Arist. Mb: ἡ ἀκρασία Arist. vulg. ἐπιθυμίας Arist.: ἐπιθυμίαν ZN 12 εἴρηται] Γ 13 p. 1118b 8 sqq. 12. 13 ἀνθρώπιναι ZN et Arist. Kb: ἀνθρωπικαὶ Arist. vulg. 14 καὶ τῶν ἀ] lac. Z 15 φυσικαὶ] lac. Z 16 ἔνιαι] ἐν... Z ἐπιθυμῶν Z 17 δι. . . ρώσεις Z 19 νοσηματοδῶς Z 21 δὲ om. N ἑκατέρα scripsi: ἑκατέρας ZN 23 ἐνίοτε corr. ex ἐνιόται N 25 ὀχευτικὰ N: εὐχετικὰ Z σιναμωρίαν] τινα μωρίαν ZN φάγα εἶναι] lac. Z 27 ἐξεστικόσι Z 28 μενομένης N τῷ N: τὸ Z 29 οὖσα ἑκούσιον Z 30 ψέγεται N: ψεύδεται Z

ὡς κακὸς ἄνθρωπος. οὕτως καὶ ἡ θηριότης οὐκ ἔστι κακοῦργον, καθάπερ ἡ κακία. φοβερώτερον δέ· καὶ τὸ θηρίον φοβερώτερον κακοῦ ἀνθρώπου. ἧττον δὲ κακοῦργον. διότι φησὶν οὐ διέφθαρται τὸ βέλτιστον ὥσπερ ἐν τῷ ἀνθρώπῳ, ἀλλ' ἔφθαρται καὶ οὐκ ἔχει. ἐν μὲν γὰρ τῷ κακῷ ἀνθρώπῳ διέφθαρται ὁ λογισμὸς ὁ ἐνὼν αὐτῷ, ἐν δὲ τῷ θηρίῳ ἢ τῇ θηριωδείᾳ οὐκ ἔνεστι. πανουργεῖν δὲ καὶ κακουργεῖν ὁ μὲν ἔχων τὸν λογισμὸν δύναται. ὁ δὲ μὴ ἔχων ἀδυνατεῖ. ὅμοιον οὖν τὸ συμβάλλειν θηρίον ἢ θηριωδείαν πρὸς ἄνθρωπον κακίαν ἔχοντα ὥσπερ τὸ συμβάλλειν ἄψυχον πρὸς ἔμψυχον πότερον κάκιον καὶ κακουργότερον. ἀβλαβεστέρα γὰρ ἂν εἴη ἡ φαυλότης τοῦ μὴ ἔχοντος τὴν ψυχικὴν ἀρχήν. ὡς δὲ ἔχει τὸ ἔμψυχον πρὸς τὰ ἄψυχα. οὕτως τὸ λογικὸν πρὸς τὸ ἄλογον ζῷον. ἔνεστι γὰρ ἡ ἀρχὴ ἰσχυρὰ ἐν τῷ λόγῳ ὁ νοῦς. ὅταν οὖν διεφθαρμένη ᾖ ἡ τοιαύτη ἀρχή. μεγάλων κακῶν αἰτία γίνεται. ἔτι φησὶν παραπλήσιον εἶναι τὸ συμβάλλειν ταῦτα, ὥσπερ εἴ τις συμβάλλοι ἀδικίαν καὶ ἄδικον ἄνθρωπον. παραβέβληκε δὲ καθ' ὅσον οὐ συγκριτὰ συγκρίνει ὁ συμβάλλων ἀδικίαν καὶ ἄδικον ἄνθρωπον· δεῖ γὰρ τὰς μὲν ἕξεις πρὸς ἀλλήλας συγκρίνειν, οἷον ἀδικίαν πρὸς ἀκολασίαν, τοὺς δὲ ποιοὺς ⟨πρὸς ποιοὺς⟩ οἷον ἄδικον πρὸς ἀκόλαστον. οὕτω δὴ καὶ ὁ συγκρίνων θηρίον καὶ θηριώδη τρόπον ἔχοντα τὴν κακίαν οὐ συγκριτὰ συγκρίνει· ὁ μὲν γὰρ αὐτῶν ἔχει κακίαν, ὁ δὲ οὐκέτι ἔχει. ἔστι δὲ ὥσπερ * * * κακουργότερον, κάκιον ὄντα μοχθηρὸν ἄνθρωπον. μυριοπλάσια γὰρ ἂν κακὰ ποιήσειεν ἄνθρωπος κακὸς θηρίου.

Ἐν δὲ τοῖς ἑξῆς βούλεται μὲν διορίσαι, ᾧ διαφέρει ὁ μὲν ἐγκρατὴς τοῦ καρτερικοῦ, ὁ δὲ ἀκρατὴς τοῦ μαλακοῦ· ἐν δὲ τούτῳ φανερὸν ποιεῖ καὶ τίνα διαφορὰν ἔχει ἡ τῶν πολλῶν ἕξις πρὸς τὴν τῶν ἐγκρατῶν καὶ ἀκρατῶν. περὶ γὰρ τὰς δι' ἁφῆς καὶ γεύσεως ἡδονὰς καὶ λύπας καὶ ἐπιθυμίας καὶ φυγάς φησιν, ἔστι μὲν οὖν οὕτως ἔχειν ὥστε ἡττᾶσθαι καὶ ὧν οἱ πολλοὶ ⟨κρείττους. ἔστι δὲ κρατεῖν καὶ ὧν οἱ πολλοὶ⟩ ἥττους. ὁ μὲν οὖν τῶν ἡδονῶν ἐπὶ πλέον κρατῶν ἢ οἱ πολλοὶ ἐγκρατής, ὁ δὲ ἡττώμενος καὶ ὧν οἱ πολλοὶ κρατοῦσιν ἀκρατής, ὥστ' ἐν μεθορίῳ πως τοὺς πολλοὺς περὶ τὰς ἡδονὰς τῶν τε ἀκρατῶν καὶ τῶν ἐγκρατῶν ⟨εἶναι, τῶν μὲν ἐγκρατῶν⟩ ἡττωμένους, τῶν δ' ἀκρατῶν ἀμείνους ὄντας. ὁμοίως δὲ περὶ τὰς λύπας· ὁ μὲν γὰρ καρτερικὸς ὑπομένει πόνους καὶ ἀλγηδόνας, ἃς οἱ πολλοὶ οὐχ ὑπομένουσιν, ὁ δὲ ἀκρατὴς οὐδὲ ἃς οἱ πολλοὶ λύπας ὑπομένουσιν, ἀνέχεται, ὥστε πάλιν περὶ πόνους ἐν

2 τὸ θηρίον] lac. Z 3 οὐ διέφθαρται] lac. Z 4 ἔχει· ἐν] lac. Z 5 ἐνὼν N: ἐν Z ἐν δὲ τῷ θη] lac. Z τῇ θηριωδείᾳ Diels: τῇ θηριώδει ZN 16 ουργεῖν ὁ μὲν ἔχων τὸν] lac. Z δύναται N: δὲ δύναται Z 7 τὸ συμβάλλειν θηριὸν ἢ θηριωδείαν] lac. Z 8 άλλειν ἄψυχον πρὸς ἔμψυχον] lac. Z ἔχει bis Z 10 ψυχικὴν Z: ψυχὴν N 14 συμβάλλοι (R): συμβάλλει ZN 17 πρὸς ποιοὺς addidi δικον πρὸς] lac. Z 18 ἔχοντα] lac. Z 19 ἔστι Z: ἔτι N 19 inter ὥσπερ et κακουργότερον 54 fere litterarum spatium ZN 22 ἑξῆς scripsi: θηρίοις ZN βούλεται Z: βουλεύεται N ὁ μὲν N: ὁ μὲν γὰρ Z 26 μὲν οὖν ZN et Arist. Mb: μὲν Arist. vulg. 27 κρείττους — πολλοὶ ex Arist. addidi 29 μεθώρίω Z πολλοὺς corr. ex πολοὺς N 30 εἶναι, τῶν μὲν ἐγκρατῶν inseruit Diels 31. 32 καρτερικὸς corr. ex καρτερικῶς N

μεθορίῳ εἰσὶν αἱ τῶν πολλῶν ἕξεις τῆς τε τῶν καρτερικῶν καὶ τῆς τῶν μαλακῶν. ἅμα δὲ δήλη καὶ ἡ διαφορὰ τοῦ ἐγκρατοῦς πρὸς τὸν καρτερικὸν καὶ τοῦ ἀκρατοῦς πρὸς τὸν μαλακόν. ὁ μὲν γὰρ ἐγκρατὴς καὶ ἀκρατὴς περὶ τὰς ἡδονάς εἰσι τὰς σωματικάς, ὁ δὲ καρτερικὸς καὶ μαλακὸς περὶ τοὺς πόνους καὶ τὰς λύπας τὰς σωματικάς. τοιοῦτος γὰρ ὁ μαλακός, οἷος μηδὲ τὴν τυχοῦσαν ἐνεγκεῖν δίψαν ἢ μηδὲ πεῖναν μηδὲ ἄλλην ἀλγηδόνα μηδεμίαν, τοῦ λόγου κελεύοντος ὑπομένειν· ἴσως μὲν * * * τὰς ἡδονάς. καὶ ὁ μαλακὸς κατὰ συμβεβηκὸς ἐπὶ τὰς ἡδονὰς ἔρχεται φεύγων τοὺς πόνους. ἀλλὰ τό γε εἶναι ἑκατέρῳ αὐτῶν ἐστιν, τῷ μὲν γὰρ ἀκρατεῖ ἡ τῶν ἡδονῶν δίωξις, τῷ δὲ μαλακῷ ἡ τῶν λυπῶν φυγή. ὁμοίως δὲ καὶ τὸ κρατεῖν τῶν ἡδονῶν τοῦ ἐγκρατοῦς, τοῦ δὲ καρτερικοῦ τὸ μὴ ἡττᾶσθαι τῶν πόνων.

Ἐν μὲν οὖν τοῖς εἰρημένοις τὸν ἐγκρατῆ καὶ ἀκρατῆ τοῦ καρτερικοῦ ἐχώρισε καὶ τοῦ μαλακοῦ· μετὰ δὲ ταῦτα βούλεται πάντας ἀλλήλων διαστῆναι. σώφρονα καὶ ἀκόλαστον καὶ ἐγκρατῆ καὶ ἀκρατῆ, ἔτι δὲ καρτερικὸν καὶ μαλακόν. δεδήλωνται μὲν οὖν καὶ διὰ τῶν ἔμπροσθεν αἱ διαφοραὶ αὐτῶν αἱ πρὸς ἀλλήλους. ὅμως δὲ πειρᾶται ἔτι σαφέστερον καὶ γνωριμώτερον διελεῖν περὶ αὐτῶν. ἐπεὶ γὰρ ἔνιαι, φησί, τῶν ἡδονῶν ἀναγκαῖαί εἰσιν, αἳ δ᾽ οὔ, ἀναγκαῖαι μὲν αἱ φυσικαὶ ⟨καὶ⟩ ἐκ τῶν εἰς τὸ ζῆν ἡμῖν ἀναγκαίων προσγινόμεναι, οὐκ ἀναγκαῖαι δὲ αἱ μὴ τοιαῦται, ὧν αἱ μὲν ἀπὸ τῶν δι᾽ αὑτὰ αἱρετῶν, οἷον τιμῆς νίκης, αἱ δὲ ἀπὸ τῶν παρὰ φύσιν καὶ αἰσχρῶν. εἰσὶ δὲ καὶ ⟨αἱ⟩ ἀναγκαῖαι μέχρι τινὸς ἀναγκαῖαι. † ὡς δὲ καὶ αἱ ἐλλείψεις. τὸν αὐτὸν δὲ τρόπον ἔχει καὶ περὶ ἐπιθυμίας καὶ λύπας· καὶ γὰρ τούτων αἱ μὲν ἀναγκαῖαι αἱ δ᾽ οὔ. ἀκόλαστος μὲν οὖν ἐστιν ὁ τὰς ὑπερβολὰς τῶν ἡδονῶν διώκων ἢ καθ᾽ ὑπερβολήν· κἂν γὰρ μὴ ὑπερβάλλουσαν ἡδονὴν διώκῃ, σφοδρῶς δὲ καὶ καθ᾽ ὑπερβολήν, ἀκόλαστός ἐστι· τοῦ γὰρ σώφρονος τὸ μηδὲν ἄγαν διώκειν μηδὲ σφοδρῶς τῶν ἡδέων. ἔστι δὲ τοῦ ἀκολάστου καὶ διὰ προαίρεσιν τοῦτο ποιεῖν παρὰ τὴν * * * ἡδονὰς διώκειν αὐτόν * * * τὰς ἀκολάστους. ἔτι οὐκ ἀπόχρη διὰ προαίρεσιν διώκειν ἃς οὐ προσήκει τῶν ἡδονῶν, ἀλλὰ καὶ δι᾽ αὑτὰς αἱρεῖσθαι. ἂν γὰρ προαιρούμενος μὲν διώκῃ, οἷον μοιχεύῃ, [καὶ] μὴ μέντοι διὰ τὴν τῶν ἀφροδισίων ἀπόλαυσιν, ἀλλ᾽ ἵνα ἀργύριον λαμβάνῃ, οὐκ ἀκόλαστός ἐστιν ἀλλὰ μᾶλλον ἀνελεύθερος. ἀκόλαστος οὖν ὁ πάντα ἔχων τὰ εἰρημένα. ἀνάγκη δὲ τὸν τοιοῦτον μὴ εἶναι μεταμελητικὸν διὰ τὸ κατὰ προαίρεσιν ποιεῖν, ὥστε ἀνίατος· ὁ γὰρ ἀμεταμέλητος ἀνίατος· καὶ ταύτῃ χείρων τοῦ ἀκρατοῦς. μεταμελητικὸς γὰρ ὁ

1 καὶ τῆς Z: καὶ N 6 ἢ μηδὲ N: ἢ μὴ καὶ Z ἀλγιδόνα N μίαν τοῦ λόγου] lac. Z 7 inter μὲν et τὰς ἡδονὰς lac. 24 fere litterarum N: 30 fere Z 16 διελεῖν N: δηλεῖν Z 17. 18 αἳ δ᾽ οὔ] lac. Z 18 καὶ addidi 18. 19 ων προσ] lac. Z 19 μὴ scripsi: μὲν ZN 21 αἱ prius add. Diels αἱ alterum om N fortasse sic sententiam assequamur: οὐκ ἀναγκαῖαι δὲ αἱ ὑπερβολαί, ὁμοίως δὲ καὶ αἱ ἐλλείψεις 24 ὑπερβάλουσαν Z διώκῃ corr. ex διώκει N 27 προαίρεσιν Z: προαιρέσεως N ante ἡδονὰς lac. 12 fere litterarum ZN ante τῆς lac. 10 fere litt. Z: 8 N 29 αἱρεῖσθαι Z: ἐρεῖσθαι N 30 μηχεύῃ Z καὶ seclusit Diels 31 λαμβάνει N 34 ταύτῃ Z: ταῦτα N

ἀκρατὴς καὶ διὰ τοῦτο ἰάσιμος. ὁ δὲ ἐλλείπων περὶ τὰς ἡδονὰς καὶ μὴ ταῖς ἀναγκαίαις χρώμενος ὁ ἀντικείμενος τῷ ἀκολάστῳ, ὃν ἐν τοῖς κατ' ἀρχὰς λόγοις ἀναίσθητον ἔλεγε· μέσος δὲ αὐτῶν ὁ σώφρων.

Ταῦτα δὲ εἰπὼν ἐπάνεισι πάλιν ἐπὶ τὸν ἀκόλαστον. ὁμοίως γάρ, φησί, καὶ ὁ φεύγων τὰς σωματικὰς λύπας μὴ δι' ἧτταν ἀλλὰ διὰ προαίρεσιν. καὶ γὰρ τοῦ ἀκολάστου φεύγειν τὰς σωματικὰς λύπας, οἷον τὰς ἀπὸ πείνης ἢ δίψης ἢ ἄλλου τινὸς τοιούτου, μὴ δι' ἧτταν λυπῶν, τὰ ἐναντία κελεύοντος τοῦ λόγου, ἀλλὰ διὰ προαίρεσιν. ὁ μὲν γὰρ ἡττώμενος τῶν λυπῶν τῶν σωματικῶν, ὑπομένειν κελεύοντος τοῦ λόγου μαλακός, ὁ δὲ ἅμα μὲν ἡττώμενος τῶν λυπῶν ἅμα δὲ καὶ τὸν λόγον ἔχων διεφθαρμένον καὶ κελεύοντα μηδ' ὅλως λυπηρῶν ἀνέχεσθαι σωματικῶν ἀκόλαστος. καὶ διὰ τοῦτο λέγεται ὁ ἀκόλαστος περὶ ἡδονὰς καὶ λύπας * * * ὅτι ἡδονὰς αἰσχρὰς αἱρεῖται καὶ λύπας οὐ μόνον ⟨τὰς⟩ κατ' ἐπιθυμίαν καὶ πόνους καλοὺς φεύγει καὶ ἀλγηδόνας προαιρέσει καὶ ἔοικε κατὰ μὲν τὸ διώκειν τὰς αἰσχρὰς ἡδονὰς προαιρούμενος χωρίζεσθαι τοῦ ἀκρατοῦς, κατὰ δὲ τὸ φεύγειν τὰς καλὰς λύπας προαιρέσει χωρίζεσθαι τοῦ μαλακοῦ· καὶ γὰρ ἐκεῖνος φεύγει τὰς τοιαύτας λύπας, ἀλλ' οὐ προαιρέσει. ὁ μὲν οὖν ἀκόλαστος κατὰ προαίρεσιν, ὡς εἴρηται, πάντα ποιεῖ· τῶν δὲ παρὰ τὴν προαίρεσιν ποιούντων ὁ μὲν ἀκρατὴς ἄγεται διὰ τὴν ἡδονήν, ὁ δὲ μαλακὸς διὰ τὸ φεύγειν τὴν λύπην τὴν ἀπὸ τῆς ἐπιθυμίας, ὥστε, φησίν, διαφέρουσιν ἀλλήλων. τοῦτο δὲ ἤτοι περὶ τοῦ ἀκρατοῦς καὶ τοῦ μαλακοῦ εἴρηκεν ἢ μᾶλλον περὶ τοῦ ἀκρατοῦς καὶ τοῦ ἀκολάστου. καὶ γὰρ ἑξῆς περὶ τούτου λέγει· φησὶ γάρ· παντὶ χείρων ἂν δόξειεν εἶναι, εἴ τις μὴ ἐπιθυμῶν ἢ ἠρέμα πράττει τι αἰσχρὸν ἢ εἰ σφόδρα ἐπιθυμῶν, ὡς δὴ τοῦ μὲν ἀκολάστου ἐνίοτε καὶ χωρὶς ἐπιθυμίας ἁμαρτάνοντος ἢ καὶ μετὰ ὀλίγης ἐπιθυμίας, τοῦ δὲ ἀκρατοῦς ἡττωμένου ὑπὸ μεγάλου πάθους.

Ἀντικεῖσθαι δὲ λέγει τὸν ἐγκρατῆ τῷ ἀκρατεῖ, τῷ δὲ καρτερικῷ τὸν μαλακόν. μετὰ ταῦτα τὴν διαφορὰν ἔτι γνωριμωτέραν ποιῶν τῆς ἐγκρατείας καὶ τῆς καρτερίας τὸ μὲν καρτερεῖν εἶναί φησιν ἐν τῷ ἀντέχειν πρὸς τὰς ἀλγηδόνας, τὸ δ' ἐγκρατεύεσθαι ἐν τῷ κρατεῖν τῶν ἡδονῶν. ἕτερον δὲ τὸ ἀντέχειν καὶ τὸ κρατεῖν· τὸ μὲν γὰρ ἔοικε τῷ μὴ ἡττᾶσθαι, τὸ δὲ κρατεῖν τῷ νικᾶν· διὸ καὶ αἱρετώτερον ἐγκράτεια καρτερίας, ὅσον τὸ νικᾶν τοῦ μὴ ἡττᾶσθαι. πάλιν δὲ τὸν μαλακὸν ἐνδιδόναι λέγει καὶ πρὸς ἃ οἱ πολλοὶ ἀντιτείνουσιν, μαλακὸν αὐτὸν καὶ τρυφητὴν ὄντα. ἡ γὰρ τρυφὴ μα-

2. 3 ἐν τοῖς κατ' ἀρχὰς λόγοις] B 2 p. 1104a24 12 post λύπας lac. 12 fere litt. N, 28 fere Z αἱρεῖται scripsi: ἐρεῖται ZN 13 τὰς add. Diels καλοὺς Diels: κακοὺς ZN 15 τοῦ ἀκρατοῦς] lac. Z καλὰς N: κακὰς Z 17 ὁ μὲν] lac. Z 18 παρὰ Z: περὶ N 21 τοῦ (ante ἀκολάστου) om. Z 22 ἑξῆς scripsi: ἐξ ὧν ZN τούτου scripsi: τοῦ ZN χείρων Arist.: χείρονα ZN 23 εἴ τις Z: ἤ τις N πράττει ZN et Arist. LbMb: πράττοι Arist. vulg. 24 δὴ Z: δεῖ N χωρὶς] lac. Z 25 ἀκρατοῦς] ακ . . . . . . Z 27 ἐγκρατῆ corr. ex ἀκρατῆ N 30 τὸ δ'] τῷ δ' N: τοῦ Z τῷ] lac. Z 31 τὸ μὲν γὰρ ἔοικε] lac. Z τὸ δὲ Z: τῷ δὲ N 32 τῷ Z: τὸ N αἱρετώτερον N: αἱ . . . . Z καρτερείας N 33 τὸν μαλακὸν] lac. Z ἃ Arist.: ἃς ZN

λακία τίς ἐστιν, οἷον εἴ τις ἕλκει τὸ ἱμάτιον, ὑπὲρ τοῦ μὴ πονεῖν κατὰ τὸ ἐπαίρειν καὶ οὐκ οἴεται ἄθλιος εἶναι μιμούμενος τοὺς ἀθλίως ὑπὸ νόσου διακειμένους. ὁμοίως δὲ ἔχειν φησὶν καὶ περὶ ἐγκράτειαν καὶ ἀκρασίαν ὡς ἔχει καὶ περὶ καρτερίαν καὶ μαλακίαν· πῶς δὲ ὁμοίως ἔχει, αὐτὸς δηλοῖ ἐπὶ τῆς ἀκρασίας μάλιστα καὶ τῆς μαλακίας· οὐ γὰρ εἴ τις ὑπερβαλλουσῶν ἀλγηδόνων ἡττᾶται ἢ λυπῶν θαυμάσιον ἀλλὰ συγγνώμης ἄξιον, οἷον εἴ τις ὥσπερ ὁ παρὰ τῷ Θεοδέκτῃ Φιλοκτήτης ὑπὸ τῆς ἔχεως πεπαρμένος κρύπτειν βουλόμενος τοὺς περὶ τὸν Νεοπτόλεμον μέχρι μέν τινος ἀνέχει, ὕστερον δὲ οὐχ ὑπομένων τὸ μέγεθος τῶν ἀλγηδόνων φανερὸς γίνεται. τὸν αὐτὸν δὲ τρόπον εἰσήγαγεν αὐτὸν καὶ Σοφοκλῆς καὶ Αἰσχύλος. ἔοικε δὲ καὶ ὁ Καρκῖνος εἰσάγειν τὸν Κερκύονα ἡττώμενον ὑπὸ μεγάλων ἀλγηδόνων. οὗτοι μὲν οὖν οὐκ εἰσὶ μαλακοί, ἀλλ᾽ εἴ τις πρὸς ἃς οἱ πολλοὶ [οὐ] δύνανται λύπας, ⟨μὴ δύναται⟩ ἀντέχειν ἀλλ᾽ ἡττᾶται. ὁμοίως δὲ ἔχει καὶ ἐπὶ ἡδονῆς· οὐ γὰρ εἴ τις ὡς Θεόφραστος λέγει γευσάμενος τῆς ἀμβροσίας ἐπιθυμεῖ αὐτῆς μέμφεσθαι ἄξιος. ἀλλ᾽ εἴ τις σφοδρῶς ἡττᾶται τῶν ἡδονῶν ὡς οἱ πολλοί· ἔοικε δὲ ὁ Ἀριστοτέλης τὸ Ξενοφάντῳ συμβὰν παράδειγμα τίθεσθαι τῶν ὑπὸ ἡδονῆς σφοδρῶς ἡττηθέντων καὶ συγγνώμης ἀξίων· μέχρι γὰρ πολλοῦ κατασχὼν τὸν γέλωτα τελευτῶν ἐξεκάγχασεν, ὅπερ καὶ ἄλλοις συμβαίνει· καθόλου δὴ * * * οἱ πολλοὶ δύνανται ὑπομένειν * * * ἡδονῶν ἡττᾶται ὧν κρείττους οἱ πολλοί, ἁμαρτάνει, ἂν μὴ διὰ φύσιν τοῦ γένους ᾖ ἢ διὰ ⟨τὴν⟩ τοῦ τόπου, ὡς ἐν τοῖς Σκυθῶν βασιλεῦσιν ἡ μαλακία ἐστὶ διὰ τὸ πᾶν τὸ γένος οὕτω τρέφεσθαι καὶ δοκεῖ βασιλικὸν εἶναι τὸ τρυφᾶν καὶ μηδεμίαν ἀνέχεσθαι λύπην σωματικήν. οὐδεὶς ἂν οὖν εἴποι διὰ μαλακίαν τοῦτ᾽ αὐτοὺς ποιεῖν, ἀλλὰ διὰ τὸ ὡς οἰκεῖον τοῦτο τοῖς βασιλεῦσιν νενεμῆσθαι. τῆς δὲ ἰδίας φύσεως λαμβάνει παράδειγμα, ὡς ἔχει τὸ θῆλυ πρὸς τὸ ἄρρεν· κοινὸν μὲν γὰρ ἀμφοτέροις ἐστὶν τὸ ἀνθρώποις εἶναι ἀλλ᾽ ἴδιόν πως τοῦ θήλεος μὴ πάντας πόνους ὑπομένειν ὅσους τὸ ἄρρεν, καὶ οὐκ ἄν τις τοῦτο εἴποι μαλακίαν ἀλλ᾽ ἴδιον καὶ συγγενὲς τῷ θήλει.

Ὁ δὲ παιδιώδης ἐστὶν ὁ πάντα παίζων· δοκεῖ δέ τισιν ἀκόλαστος εἶναι. οὔ φησιν ὁ Ἀριστοτέλης ἀλλὰ μᾶλλον μαλακός· διὰ γὰρ τὸ μὴ ἀνέχεσθαι

1 ἕλκει τὸ ἱ] lac. Z 2 ἄθλιος εἶναι] lac. Z ὑπὸ νόσου] lac. Z 3 δὲ ἔχειν φησιν καὶ περὶ] lac. Z 4 τερίαν καὶ μαλακίαν] lac. Z πῶς δὲ — σωματικὴν (22) edidit Rose *Hermae* V 105 sq. 5 μάλιστα καὶ] lac. Z 9 φανερῶς N 11 ἀλγηδόνων scripsi: ἡδονῶν ZN 12 οὐ seclusit Diels μὴ δύναται add. Diels 13 ἡττᾶται scripsi: ἡττῶνται ZN οὐ γὰρ εἴ τις] lac. Z οὐ γὰρ — συμβαίνει (18) edidit Hase, *Classical Journal* XXIX 115 14 γευσά] lac. Z αὐτῆς μέμ] lac. Z ἄξιος scripsi: ἄξιον ZN 15 οἱ πολ] lac. Z 16 Ξυνοφάντω Z 17. 18 τελευταῖον N 18 ἐξεκάγχασαν N: ἐξεκάγχασ.. Z inter καθόλου δὴ et οἱ πολλοὶ lac. 27 fere litt. N: 40 fere Z, ubi οἱ deest 20 ᾖ scripsi: ἦν ZN τὴν addidi, sed timeo ne ᾖ διὰ νόσον cum Aristotele scribendum sit 21 τρέφεσθαι] ...φεσθαι Z 23 οὖν om. Z τοῦτ᾽ αὐτοὺς N: τοῦο..... Z 24 τοῦτο τοῖς Z: τοῦ τοῖς N νενε] lac. Z 25 λυ πρὸς] lac. Z 26 ἴδιον] lac. Z θήλεος N: λεος lac. absumpt. Z 27 ρεν καὶ] lac. Z 28. 26 ήλει· ὁ δὲ] lac. Z 29 παιδιώδεις N: παιδίω Z 30 ὁ om. N

τὴν σπουδὴν ὡς ἐπίπονον οὖσαν ἀεὶ παίζει καὶ ἔστιν ἄνεσις ἡ παιδιά. εἰδέναι δὲ δεῖ ὅτι τῶν πρὸς ταύτην ὑπερβαλλόντων ὁ παιδιώδης ἐστίν· εἰ δὲ ὑπερβάλλει ἐν τῇ ἀνέσει, μαλακὸς ἂν μᾶλλον λέγοιτο ἢ [ὁ] ἀκόλαστος. εἰ γὰρ ἐπὶ πλεῖον ἄνεσις μαλακία.

p. 1150b19 Ἀκρασίας δὲ τὸ μὲν προπέτεια ἕως πρὸς ἀλλήλας εἴρηται.

Ἀκρασίας δὲ δύο εἴδη λέγει, τὸ μὲν προπέτειαν τὸ δὲ ἀσθένειαν. ὅσοι μὲν γὰρ βουλευσάμενοι οὐκ ἐμμένουσιν οἷς ἐβουλεύσαντο διὰ τὸ πάθος τὴν ἀσθενῆ ἀκρασίαν εἰσὶν ἀκρατεῖς. ὡς γὰρ τὰ ἀσθενῆ σώματα ῥᾳδίως ἁλίσκεται ὑπὸ τῶν παθῶν καὶ ἡττᾶται, οὕτω καὶ αἱ ἀσθενεῖς ψυχαὶ ῥᾳδίως ἐνδιδόασιν τοῖς πάθεσιν. ἔτι ὅσοι φύσει ὄντες ἰσχυροὶ ὑπὸ τῶν ἡττόνων ἡττῶνται διὰ τὴν ἀσθένειαν. δοκοῦσιν * * * ἐπειδὴ ὁ λογισμὸς φύσει * * * ὑπὸ τῆς ἐπιθυμίας ἡττᾶται αὐτῆς ἀσθενὴς φαίνεται. ὅσοι δὲ ἄγονται ὑπὸ τοῦ πάθους διὰ τὸ μὴ ὅλως βουλεύσασθαι τὴν προπετῆ ἔχουσιν ἀκρασίαν. ἔνιοι μὲν γὰρ ὥσπερ οἱ προγαργαλισθέντες ὕστερον οὐ γαργαλίζονται. οὕτως προβουλευσάμενοι καὶ διεγείραντες τὸν λογισμὸν οὐχ ἡττῶνται τοῦ πάθους. οἱ δὲ προπετεῖς κατὰ τὴν ἀκρασίαν διὰ τὸ μὴ ὅλως προβουλεύσασθαι ἄγονται ὑπὸ τοῦ πάθους. ὡς ἐπὶ τὸ πολὺ δὲ οἱ ὀξεῖς καὶ μελαγχολικοὶ τὴν προπετῆ ἀκρασίαν ἀκρατεῖς εἰσιν· ἀκολουθοῦσι γὰρ τῇ τοῦ ἡδέος φαντασίᾳ οὐκ ἀναμένοντες τὸν λόγον· ἅμα γὰρ ἐφαντάσθησαν ὅτι ἡδὺ καὶ διώκουσι. ἀκολουθοῦσι δὲ τῇ φαντασίᾳ τοῦ ἡδέος εὐθέως οἱ μὲν ὀξεῖς διὰ τὴν ὀξύτητα τῆς φύσεως, οἱ δὲ μελαγχολικοὶ διὰ τὴν σφοδρότητα. πῶς οὖν οἱ προπετεῖς ἔχουσιν ἐναντίον τὸν λόγον τῇ ἐπιθυμίᾳ, εἴ γε μὴ προβουλεύονται; εἰ ἔνεστιν καὶ ἐν τοῖς τοιούτοις λόγος ἀπαγορεύων ταῖς αἰσχραῖς ἐπιθυμίαις ἐνδιδόναι διὰ δὲ τὴν σφοδρότητα ἢ ταχυτῆτα, ὅταν προσπέσῃ τὸ πάθος. οἷον ὑπὸ ἀχλύος τινὸς ἐπισκοτηθέντες τότε οὐχ ὁρῶσι τὸν ἐν αὑτοῖς λόγον οὐδ' [ἂν] ἀναμένουσι βουλὴν ἢ σκέψιν.

Πάλιν δὲ συγκρίνων τὸν ἀκρατῆ καὶ ἀκόλαστον, τὸν μὲν ἀκόλαστον οὔ φησιν εἶναι μεταμελητικόν (καὶ γὰρ προελόμενος ποιεῖ καὶ διὰ τοῦτο πράξας ἐμμένει τῇ προαιρέσει), ὁ δὲ ἀκρατὴς πᾶς μεταμελητικός, ἐάν τε τὴν προπετῆ

1 τὴν σπουδὴν] lac. Z 1. 2 ναι δὲ δεῖ ὅ] lac. Z 3 περβάλλει — μαλακία (4) lac. Z λέγοιτο corr. ex λέγειτο N ὁ delevi 4 μαλακία scripsi: μαλακίας N 5 ἕως πρὸς ἀλλήλας] lac. Z ἀλλήλας Arist.: ἀλλήλους N 7 προπέτειαν] lac. Z 11 ὅσοι Z: οἱ N 12 post δοκοῦσιν lac. 23 fere litterarum N: 10 fere Z 12. 13 post φύσει lac. 20 fere litterarum N: 12 fere Z 13 ἀσθενεῖς N 14 προπετεῖ N 15 ὥσπερ οἱ] lac. Z οἱ N et Arist. Ob: om. Arist. vulg. προγαργαλισθέντες ZN et Arist. LbMb: προγαργαλίσαντες Arist. vulg. 16 προβουλευσάμενοι — ἀκρασίαν (17)] lac. Z 19 προπετεῖ N 21 ἀκολουθούσῃ N ἡδέως N 24 λόγος ἀπαγορεύων scripsi cf. p. 141,3: λόγοις ἀπαγορεύονται ZN 25 προσπέσει N 26 ὑπὸ Z: ἐπὶ N, in marg. γρ. ὑπὸ ἐπισκοτηθέντες scripsi: ἐπισκοτηθὲν ZN αὑτοῖς scripsi: αὐτῷ ZN ἂν delevi 27 σκέψην N 28 συγκρίνον N 29 καὶ (ante διὰ)] lac. Z 30 μεταβολικός Z

ἐάν τε τὴν ἀσθενῆ ἔχῃ ἀκρασίαν. ἡ μεταμέλεια δὲ διὰ τὸ παρὰ προαίρεσιν πράττειν· διό φησιν ὅτι ⟨οὐχ⟩ ὥσπερ ἠπορήκαμεν οὕτως καὶ ἔχει. ἐν μὲν γὰρ τῷ ἀπορεῖν ἐπιχειρῶν ἔλεγε χείρω τὸν ἀκρατῆ τοῦ ἀκολάστου, εἴ γε ὁ μὲν τοῦ λόγου ἐναντιουμένου ὅμως ἀπειθεῖ αὐτῷ, ὁ δὲ ἀκόλαστος οὐ κωλύοντος τοῦ λόγου. νῦν δὲ δείκνυσι πολλῷ χείρω τὸν ἀκόλαστον τῷ τὸν μὲν ἀκρατῆ καὶ ἰάσιμον εἶναι, τὸν δὲ ἀκόλαστον ἀνίατον. ἔοικε γὰρ ἡ μὲν μοχθηρία τῶν νοσημάτων τοῖς συνεχέσι ὑδέρῳ καὶ φθίσει καὶ πυρετῷ συνεχεῖ. ὁμολογοῦσι δὲ καὶ περὶ τὰ σώματα οἱ ἰατροί, χαλεπώτερα καὶ δυσίατα εἶναι τὰ συνεχῆ διὰ τὸ μὴ ἐνδιδόναι μηδὲ παρέχειν καιρὸν βοηθείας· τοιοῦτον δ' ἡ μοχθηρία, εἰ γὰρ ἔνεστιν ἡ φαύλη προαίρεσις ὥσπερ νόσος τις οὖσα δυσίατος ἢ ἀνίατος· ἡ δὲ ἀκρασία τοῖς διαλείπουσι νοσήμασιν ὁμοία ἐστίν, οἷον ἐπιληψίᾳ ἢ εἴ τι ἄλλο καιρὸν παρέχει βοηθείας· καὶ γὰρ πρὸ τῆς ἐπιθυμίας εὖ ἔχει, ὥστε οὐκ ἀδύνατον ἀεὶ ἐγκελευομένου τοῦ λόγου καὶ εἰς μετάνοιαν ἄγοντος ἐπὶ τοῖς ἁμαρτήμασι μεταβάλλειν τὸν ἀκρατῆ. καὶ ὅλως δὲ ἄλλο τὸ γένος ἀκολασίας καὶ ἀκρασίας· ἡ μὲν γὰρ κακία λανθάνει, ἡ δὲ ἀκρασία οὐ λανθάνει· ἡ δὲ κακία τὸ μοχθηρόν, οὐχ ὅτι γε ἀδικεῖ, εἶπε (τοῦτο γὰρ ⟨οὐκ⟩ οἶδε πολλάκις), ἀλλ' ὅτι βλαβερὰ ἑαυτῷ πράττει ἃ οἴεται ὠφέλιμα εἶναι· εἰ δὲ ἀκρασία, κατὰ τοῦτο οὐ λανθάνει, ἀλλ' οἶδεν ὅτι βλαβερὰ ποιεῖ ἑαυτῷ, ἡττᾶται δὲ ὑπὸ τῆς ἐπιθυμίας.

Αὐτῶν δὲ τῶν ἀκρατῶν βελτίους οἱ ἐκστατικοί. οὗτοι δέ εἰσιν οὓς πρόσθεν ἔλεγε προπετεῖς ἢ οἱ τὸν λόγον μὲν ἔχοντες, μὴ ἐμμένοντες δέ. τούτους δὲ λέγει προβεβουλευμένους μὲν καὶ προεσκεμμένους, μὴ ἐμμένοντας δὲ τοῖς δόξασι. χείρους δὲ αὐτοὺς λέγει, ἐπειδὴ ὑπὸ ἐλάττονος πάθους ἡττῶνται· τεκμήριον δὲ τοῦ μεῖζον εἶναι τὸ πάθος τῶν τὴν προπετῆ ἀκρασίαν ἀκρατευομένων τὸ μηδὲ τοῦ βουλεύσασθαι αὐτοὺς † ἀκρασίαν παρέχειν. ἅμα δὲ καὶ διὰ τὸ ὀξεῖς οἱ μελαγχολικοὶ εἶναι σφοδρότερα ἔχουσι τὰ πάθη· τὸ δὲ ὑπὸ μείζονος ἡττηθῆναι συγγνώμης δοκεῖ μᾶλλον ἄξιον. ἔτι οὐκ ἀπροβούλευτοι ἔρχονται ἐπὶ τὰ ἁμαρτήματα οἱ τὴν ἀσθενῆ ἔχοντες ἀκρασίαν. διὰ τοῦτο οὖν χείρους τῶν ἑτέρων· συγγνώμης γὰρ ἄξιοι μᾶλλον οἱ μὴ προϊδόντες μήτε τὸ βλαβερὸν μήτε τὸ αἰσχρὸν τοῦ πρακτοῦ πράγματος καὶ διὰ τοῦτο ἁμαρτάνοντες· οἱ προϊδόντες μὲν καὶ βουλευσάμενοι οὐδὲν ἧττον ἁμαρτάνουσιν. ὅμοιος γάρ, φησίν, ὁ ἀκρατὴς τοῖς μεθυσκομένοις καὶ ὑπὸ ὀλίγου οἴνου καὶ ἐλάττονος ἢ οἱ πολλοί. τοῦτο δὲ πρότερον λέγεται περὶ τῶν τὴν

1 ἀσθενῆ] ἀσθε.. Z ἀκρασίαν] ἀκρασία N: ἀκρασ.. Z ἡ] lac. Z 2 οὐχ addidi ἠπορήκαμεν ZN: ἠπορήσαμεν Arist. 3 τῷ Z: τὸ N ἔλεγε] c. 3 p. 1146a31 4 τιουμένου ὅμως] lac. Z 5 νῦν δὲ] lac. Z χείρω] lac. Z 6 ἀκρατῆ καὶ ἴασιμον] lac. Z ἡ N: ὁ Z 6. 7 μοχθηρία τῶν νοσημάτων] lac. Z 9 τὰ συνεχῆ (R)] συνεχῆ Z: καὶ συνεχῆ N 12 ἐπιληψεία N 15 ἀκολασίας ZN: κακίας Aristoteles ἀκρασία scripsi ex Aristotele: ἀκολασία ZN 16. 17 τοῦτο γὰρ οὐκ Diels: τοῦτο γε N: lac. Z οἶδε N: ..δε N 17 πράττῃ N ἃ οἴεται Diels: τε γὰρ ZN εἰ] lac. Z 18 ἑαυτῇ ZN 21 μὴ] ἀλλ' ZN 25 ἀκρασίαν] fort. εὐκαιρίαν scribendum 26 ἔχουσι scripsi: ἔχουσα ZN 28 ἔχοντες] lac. Z 29 οὖν scripsi: οὐ ZN χείρων N ἄξιον Z 30 ακτοῦ] lac. Z 31 ἁμαρτάνοντες ἢ οἱ Diels μὲν om. Z 32 ἀκρατὴς τοῖς] lac. Z 33 οἱ N: οις Z πολλοὶ] lac. Z

προπετῆ ἀκρασίαν ἐχόντων. διότι ταχέως μεθυσκόμενοι ὑπὸ ὀλίγου οἴνου ἤπερ τῶν προβεβουλευμένων καὶ διότι ὑπὸ ὀλίγου πάθους ἁλίσκονται καὶ ἐλάττονος ἢ οἱ ἐξεταστικοί· ἢ καθόλου περὶ πάντων εἴρηται τῶν ἀκρατῶν· πάντες γὰρ ἐοίκασι τοῖς ταχὺ μεθυσκομένοις καὶ ὑπὸ ἐλάττονος οἴνου ἢ οἱ πολλοί. ὑπὸ γὰρ τῶν ἡδέων ἡττῶνται, ὑφ' ὧν οἱ πολλοὶ μὴ ἁλίσκονται. κακία μὲν οὖν ἁπλῶς οὐκ ἔστιν ἡ ἀκρασία, ἀλλά πῃ ἴσως, διὰ τὸ μὴ ὅλην ἐφθάρθαι τὴν τοῦ ἀκρατοῦς ψυχήν, ἀλλά πῃ τὸν λόγον ἔχειν. διόπερ φησὶν Ἀριστοτέλης τὴν μὲν κακίαν κατὰ προαίρεσιν πάντα ποιεῖν, τὴν δὲ ἀκρασίαν παρὰ τὴν προαίρεσιν. οὐ μὴν ἀλλὰ καὶ κατὰ τὰς πράξεις ὅμοιόν ἐστιν. ταὐτὰ γὰρ ποιεῖ τῷ ἀκολάστῳ ὁ ἀκρατής. ἐπεὶ οὖν ὁ μὲν ἀκρατὴς τοιοῦτος, οἷος διώκειν τὰς καθ' ὑπερβολὴν καὶ ἡμαρτημένας παρὰ τὸν λόγον σωματικὰς ἡδονὰς οὐ πεπεισμένος, ὁ δὲ ἀκόλαστος πέπεισται διωκτέον εἶναι αὐτάς, δῆλον ὡς ὁ μὲν ἀκρατὴς εὐμετάπειστος, οὐχ οὕτως δὲ ὥστε μεταβάλλειν τὸν αὑτοῦ λόγον (φαῦλος γὰρ ἂν λέγοιτο, εἰ μηδὲ ὁ λόγος ὀρθὸς ἦν), ἀλλ' ὥστε πεισθῆναι μηκέτι συνακολουθεῖν τῇ ἐπιθυμίᾳ· ὁ δὲ ἀκόλαστος ἀμετάπειστος. ἡ μὲν γὰρ ἀρετὴ τὴν ἀρχὴν σώζει, ἡ δὲ μοχθηρία φθείρει τὴν ἀρχήν. ἀρχὴ δὲ ἐν τοῖς πρακτοῖς τὸ οὗ ἕνεκα καὶ τέλος, καθ' ὃ τὰς ἐνεργείας πειρώμεθα τὰς εἰς αὐτὸ φερούσας ἐνεργεῖν. ἂν μὲν οὖν χρηστὸν ὑποθώμεθα τὸ τέλος, ἀνάγκη καὶ τὰς ἐνεργείας εἶναι χρηστάς, ἂν δὲ φαῦλον, φαύλας. ἡ μὲν οὖν ἠθικὴ ἀρετὴ τὸ τέλος ὑποτίθεται [καὶ] τὴν εὐδαιμονίαν τὴν τῶν ἐνεργούντων τὰς καλὰς ἐνεργείας κατ' ἀρετήν, ἡ δὲ κακία διαφθείρει τὴν ἀρχὴν ταύτην καὶ οὐκ ἐᾷ νομίζειν εὐδαιμονίαν τὴν τῶν καλῶν ἐνέργειαν· διό φησιν αὐτὴν φθαρτικὴν εἶναι τῆς ἀρχῆς. ὥσπερ δὲ ἐν τοῖς μαθηματικοῖς εἰσιν ἀρχαί τινες, οἷον ἐν γεωμετρίᾳ καὶ ἀριθμητικῇ ἃς ὁ μὴ παραδεξάμενος οὐκέτι πρόεισιν ἐν τοῖς μαθήμασιν, οὕτως ἐν τοῖς πρακτικοῖς ὁ μὴ παραδεξάμενος τὸ τέλος ἀλλὰ διαφθείρας τὴν τῶν πρακτῶν ἀρχὴν οὐδὲ τὰ λοιπὰ συγχωρήσει. ταύτῃ οὖν ἀμετάπειστον εἴποις ἂν πρὸς τὸ παραδέξασθαι τὰ μαθήματα τὸν διεφθαρκότα τὰς μαθηματικὰς ἀρχάς. οὔτε δὴ ἐν τοῖς μαθηματικοῖς λόγοις διδάσκει τὰς ἀρχάς, τουτέστιν ἀποδείκνυσιν, ἀλλ' ἀναποδείκτοις αὐταῖς πιστεύουσιν οἱ μαθηματικοί, οὔτε ἐν τοῖς πρακτικοῖς τὴν ἀρχὴν ἀποδεικνύομεν, ἀλλ' ὥσπερ καὶ πρότερον ἔλεγεν, ἠθικὴ ἀρετὴ τίθεται ἐνίοτε μὲν ἡ φυσική, ἔστι δὲ ὅτε ἡ ἐκ τοῦ ἔθους· αὗται γὰρ αἰτίαι τοῦ ὀρθοδοξεῖν περὶ τῆς ἀρχῆς τῆς

---

1 διότι] lac. Z ἤπερ] ἢ ἐλάττονος Diels 2 ἁλίσκονται καὶ ἐ] lac. Z 3 ἢ καθό] lac. Z τῶν ἀκρατῶν] lac. Z 4 τοῖς ταχὺ μεθυσ] lac. Z 5 τῶν ἡδέων ἡττῶνται] lac. Z οἱ πολλοὶ] lac. Z 6 πλῶς οὐκ ἔστιν ἡ ἀκρα] lac. Z πῃ ἴσως] lac. Z 7 ψυχὴν] lac. Z πῃ τὸν λόγον ἔχειν] lac. Z 8 post ποιεῖν lac. 10 fere litt. Z παρὰ Z: περὶ N 10 οἷος διώκειν τὰς καθ' lac. Z 11 παρὰ Z: περὶ N 12 διωκτέα Z: διωκτέας N 13 ἀμετάπειστος N δὲ scripsi: τε ZN 14 φαῦλος γὰρ ἂν] lac. Z ὥστ] lac. Z 16 γὰρ om. Z τὴν ἀρχὴν] lac. Z: πρὸς τὴν ἀρχὴν N μοχθηρίον Z φθείρει] lac. Z ἀρχὴ Z: ἀρχὴν N 17 οἷς τὸ] lac. Z καθ' ὃ N: κατὰ Z 18 ἐνεργῶν Z 20 καὶ delevi 21 ἡ scripsi: εἰ ZN 22 νομίζοι Z 26 συγχ (ω supra) Z 27 ἀμετάπιστον Z 30 πρακτικοῖς N: πρ . . . . . Z 31 πρότερον] Z 13 p. 1144b2 ἐνιοται N

οὗ ἕνεκεν. ἢ γὰρ ἐκ φύσεως ἀγαθὴ ἢ ἐξ ἐθῶν καλῶν ἐγγίνεται τοῦτο τὸ ὄνομα τῆς ψυχῆς ὥστε κατιδεῖν τὸ τέλος καὶ ὧδε σπεύδειν τὸν μέλλοντα εὐδαιμόνως βιώσεσθαι.

Εἶτα ἐπαναλαβὼν πάλιν τί λέγει; σώφρων μὲν οὖν ὁ τοιοῦτος· δῆλον ὁ καὶ τὸν λόγον ὀρθὸν καὶ τὸ πάθος ἔχων περὶ τὰς σωματικὰς ἡδονάς· ἀκόλαστος δὲ ὁ ἐναντίος. ὁ δὲ ἐκστατικὸς παρὰ τὸν ὀρθὸν λόγον ἀκρατής· εἰ γὰρ καὶ ὅτι μάλιστα ἰδίως λέγονται ἐκστατικοὶ οἱ τὴν προπετῆ ἀκρασίαν ἀκρατεῖς, ὅμως ἔστιν ὡς πάντες ἐκστατικοὶ λέγοιντο ἂν οἱ ἀκρατεῖς τῷ ὑπὸ τοῦ πάθους ἐξίστασθαι καὶ διὰ τοῦτο μὴ καθορᾶν τρόπον τινὰ τὸν ἐν αὐτοῖς λόγον. τοῦ δ' ἀκρατοῦς τοσοῦτον κρατεῖ τὸ πάθος ὅσον μὴ πράττειν κατὰ τὸν ὀρθὸν λόγον, οὐ μὴν ὥστε πεπεῖσθαι διώκειν τὰς μὴ καλὰς ἡδονάς. οὐ γὰρ διαφθείρεται αὐτῷ ὁ λόγος ὑπὸ τῆς ἐπιθυμίας, ἀλλὰ μόνον κατισχύεται· βελτίων δ' ἐστὶν τοῦ ἀκολάστου· σώζεται γὰρ τὸ βέλτιστον ἐν αὐτῷ, ἡ ἀρχή· λέγει δὲ ἀρχὴν τὸν λογισμόν. ἄλλως δ' ἐστὶν ἐναντίος τῷ ἀκρατεῖ ὁ ἐγκρατής, ὃν λέγει ἐμμενετικὸν εἶναι τῷ λόγῳ διὰ τὸ πάθος. ἐπειδὴ προελθὼν λέγει τὸν ἰσχυρογνώμονα ἐμμενετικὸν εἶναι τῇ αὑτοῦ δόξῃ οὐ διὰ πάθος ἀλλὰ λόγον. ὡς εἰπεῖν δὲ σαφέστερον, ὁ μὲν ἐγκρατὴς ἐμμενετικὸς εἶναι λέγεται τῇ αὑτοῦ δόξῃ διὰ τὸ μὴ κρατεῖν αὐτοῦ τὸ πάθος, ὁ δὲ ἰσχυρογνώμων καὶ αὐτὸς ἐμμενετικὸς εἶναι λέγεται τῇ αὑτοῦ δόξῃ διὰ τὸ μὴ ἡττᾶσθαι τοῦ ἐναντιουμένου αὐτῷ λόγου. καὶ φανερὸν ὅτι ἡ μὲν ἀκρασία φαύλη ἕξις, ἡ δ' ἐγκράτεια σπουδαία.

Ζητεῖ δὲ ἑξῆς. πότερον ἐγκρατής ἐστιν ὁ ὁποιῳοῦν λόγῳ ἐμμένων ἢ ὁ τῷ ἀληθεῖ καὶ ὁ προαιρέσει ὁποιᾳοῦν ἐμμένων ἢ ὁ τῇ ὀρθῇ προαιρέσει. προαίρεσιν δὲ ἤτοι ταὐτὸν νῦν τῷ λόγῳ εἴληφεν ἐκ παραλλήλου ἢ τὴν βούλησιν ὀνομάζει προαίρεσιν ἢ νὴ Δία προαίρεσιν ὅλως λέγει τὸ ἐκ τοῦ λόγου καὶ τῆς βουλήσεως, ἐπειδὴ ἡ προαίρεσις ἐξ ὀρέξεώς ἐστι καὶ λόγου. ἔστι δὲ ἡ βούλησις ὄρεξις, ἐμμένει δὲ ὁ ἐγκρατὴς καὶ τῷ λόγῳ καὶ τῇ βουλήσει καταγωνιζόμενος ἑτέραν τινὰ ὄρεξιν τὴν ἐπιθυμητικήν. καὶ περὶ τοῦ ἀκρατοῦς δὲ ἡ αὐτὴ ἀπορία, εἰ ἀκρατής ἐστιν ὁ ὁποιᾳοῦν προαιρέσει καὶ ὁ ὁποιῳοῦν λόγῳ μὴ ἐμμένων ἢ ὁ τῷ ψευδεῖ λόγῳ καὶ τῇ προαιρέσει τῇ μὴ ὀρθῇ. φησὶ δὲ κατὰ συμβεβηκὸς μὲν εἶναι ἐγκρατῆ τὸν ὁποιῳοῦν λόγῳ ἐμμένοντα

2 κατ' εἰδεῖν N 4 ὁ N: ὅτι Z 6 τίος verbi ἐναντίος] lac. Z ὁ δὲ N: ἡ δὲ Z 7 προπετεῖ N 8 ὅμως ἔστιν ὡς] lac. Z λέγοιντο scripsi: λέγονται ZN 10 διακρατοῦς N κρατεῖ Z: κατὰ N τὰ κατὰ Z 11 ὀρθὸν] lac. Z μὴ Diels: μὲν ZN 12 δια verbi διαφθείρεται] lac. Z θυμίας] lac. Z μόνον scripsi: μένων ZN 13 βελτίον N σώζεται] lac. Z 14 ἄλλως δ' ἐστὶν ἐναντίος τῷ ἀκρατεῖ] lac. Z ἀκρατῆ N 15 λόγῳ διὰ τὸ πάθος, ἐπειδὴ] lac. Z 15. 16 προελθὼν] c. 10 p. 1151b12 16 ἐμμενετικὸν εἶναι τῇ αὑτοῦ] lac. Z αὑτοῦ] αὐτοῦ N 17 σαφέστερον ὁ μὲν ἐγκρατὴς] lac. Z 18 αὑτοῦ] αὐτοῦ ZN 19 αὑτοῦ] αὐτοῦ ZN 20 αὐτῷ om. Z 21 ις ἡ] lac. Z 24 ταὐτῶ N ἢ N: τὸ Z 25 νὴ N: μὴ Z προαιρέσεως (ante ὅλως) Z ὅλως scripsi: ὅλον ZN 26 ως· ἐπειδὴ] lac. Z 26 ὀρέξεος Z 27 οἰμμένει N 29 ἀπορεία N καὶ ὁ ὁποιωοῦν — τῇ (30)] om. Z 29. 30 ὁποιοῦν N 30 ψευδῆ N 31 δὲ Z: δεῖ N

καὶ ὁποιαοῦν προαιρέσει, καθ' αὑτὸ δὲ τὸν τῷ ἀληθεῖ λόγῳ. τὰ δὲ αὐτὰ καὶ περὶ τοῦ ἀκρατοῦς· κατὰ συμβεβηκὸς μὲν γὰρ ἀκρατὴς καὶ ὁ μὴ ἐμμένων τῷ ψευδεῖ λόγῳ καὶ τῇ μοχθηρᾷ προαιρέσει, οἰόμενος ἀληθῆ εἶναι τὸν λόγον καὶ χρηστὴν τὴν προαίρεσιν διώκων δὲ παρὰ τὸν ἐν αὑτῷ λόγον τὰς ἐπιθυμίας † εἰ ὄντα ἔτυχε καλά· καθ' αὑτὸ δὲ ὁ τὸν μὲν ἀληθῆ λόγον παραβαίνων, διώκων δὲ μοχθηρὰν ἐπιθυμίαν. ὅτι δὲ κατὰ συμβεβηκὸς ὀρθῶς λέγονται καὶ ἐγκρατεῖς καὶ ἀκρατεῖς οἱ λεχθέντες προβιβάζει λέγων· εἰ γάρ τις τοδὶ διὰ τοδὶ αἱρεῖται· κατὰ συμβεβηκὸς δὲ τὸ πρότερον, ὃ λέγει, οὕτως ἂν γένοιτο γνώριμον. εἴ τις αἱρεῖται οἶνον καὶ ποιεῖται περὶ πολλοῦ, τουτέστιν περὶ πολλοῦ ποιεῖται ὃ καθ' αὑτὸ αἱρεῖται, οὕτως οὖν ἔοικε καὶ ὁ τῷ ψευδεῖ λόγῳ ἐμμένων καὶ τῇ φαύλῃ προαιρέσει οἰόμενος ἀληθῆ εἶναι τὸν λόγον καὶ χρηστὴν τὴν προαίρεσιν καὶ καθ' αὑτὸ μὲν τιμᾶν τὸ ἀληθὲς καὶ τὸ καλόν, κατὰ συμβεβηκὸς δὲ ἐμμενετικός ἐστιν. εἴη ἂν καὶ κατὰ συμβεβηκὸς [ὁ] ἀκρατὴς ὁ μὴ ἐμμένων ψευδεῖ λόγῳ, οἰόμενος δ' αὐτὸν ἀληθῆ εἶναι καὶ διώκων χρηστὴν ἐπιθυμίαν ὡς φαύλην· ἁπλῶς δὲ καὶ καθ' αὑτὸ ἐγκρατὴς μὲν ὁ τῷ ἀληθεῖ λόγῳ ἐμμένων καὶ νικῶν τὴν ἐπιθυμίαν, ἀκρατὴς δὲ ὁ ἐναντίος.

Τοὺς δ' ἰσχυρογνώμονας ἔνιοι μὲν διὰ τὸ ἐμμενετικοὺς εἶναι τῇ αὑτῶν δόξῃ καὶ δυσπείστους ἐγκρατεῖς νομίζουσιν· ὁ δὲ Ἀριστοτέλης ὅμοιον μέν τι φησὶν αὐτὸν ἔχειν κατὰ τὴν φαντασίαν τῷ ἐγκρατεῖ, καθάπερ καὶ τὸν θρασὺν τῷ ἀνδρείῳ καὶ τὸν χαῦνον τῷ ἐλευθερίῳ· διαφέρει δὲ κατὰ πολλά. ἰδίως δὲ νῦν τὸν χαῦνον εἶπεν ἐοικέναι τῷ ἐλευθερίῳ, ἐν ἄλλοις εἰπὼν τὸν ἄσωτον αὐτῷ ὅμοιον εἶναι κατὰ τὴν φαντασίαν. πλὴν πῶς διαφέρουσιν ὁ ἐγκρατὴς καὶ ὁ ἰσχυρογνώμων δείκνυσιν· ὁ μὲν γὰρ ἐγκρατὴς διὰ πάθος καὶ ἐπιθυμίαν οὐ μεταβάλλει, τουτέστιν οὐ μεταβάλλει τὸν λόγον ἡττώμενος ὑπὸ τῆς ἐπιθυμίας, ἐπεὶ εὐπειστός ἐστιν, ἂν τύχῃ λόγος τις ὀρθός, ἀξιῶν μεταθέσθαι ἧς πρότερον ἔσχε δόξης περὶ ὁτουοῦν· καθόλου γὰρ τὸν ἀληθῆ λόγον περὶ πλείστου ποιεῖται καὶ οὐ πάντως προθέμενος μὴ χρήσασθαι ἡδονῇ ἐμμένει, ἀλλ' ἂν καιρὸς ᾖ καὶ λόγος αἱρῇ χρήσασθαι, προσήσεται τὴν ἡδονήν· ὁ δὲ ἰσχυρογνώμων ἐμμενετικός ἐστιν τῇ αὑτοῦ δόξῃ οὐχ ὑπὸ λόγου φησί, τουτέστιν οὐχ ἡττώμενος ὑφ' ἑτέρου λόγου ἀμείνονος, εἰ οὕτως ἔτυχεν, ἐπεὶ ἐνίοτε οἱ ἰσχυρογνώμονες ἄγονται ὑπὸ τῶν ἐπιθυμιῶν καὶ ἡδονῶν ἐν οὐδενὶ ποιησάμενοι τὸν λόγον. ὡς ἐπίπαν δὲ ἰσχυρογνώμονές εἰσι καὶ ἰδιογνώμονες δι' ἡδονὴν καὶ λύπην· χαίρουσι γὰρ φυλάττοντες τὴν αὑτῶν δόξαν καὶ ὡς εἰπεῖν νικῶντες τοὺς ἐναντίους λόγους τῷ μὴ μεταπείθεσθαι καὶ

3 προαιρέσει, οἰόμενος] lac. Z ἀληθεῖ ZN 4 διώκων δὲ παρὰ] lac. Z παρὰ scripsi: περὶ N αὑτῷ Diels: αὐτῷ libri τὰς scripsi: τῆς ZN 5 θ' αὑτὸ δὲ] lac. Z αὐτὸ N 7 προβηβάζει N 8 τις om. Z τοδὶ διὰ τοδὶ Z: τὸ διατοδὶ N 9 γένητο N ἐρεῖται N 12 αὑτὸ] αὐτὸ ZN 14 ὁ delevi ἀληθεῖ N 16 ἀληθῆ N ἐμμένων] lac. Z 18. 19 τικοὺς εἶναι τῇ αὑτῶν] lac. Z αὐτῶν N 19 ἐγκρατεῖν Z 20 μέντοι N 22 πολλὰ scripsi: πολλὰς ZN ἐν ἄλλοις] Β 8 p. 1108b22 unde huc translatum in Arist. 26 ἐπεὶ εὐ] lac. Z εὔπιστος N τύχει N 28 πλείστους Z 29 τινὶ ἡδονὴ N αἱρῇ] ἐρεῖ corr. in αἱρεῖ N: αἱρεῖ Z 30 αὑτοῦ] αὐτοῦ ZN 34 αὑτῶν] αὐτῶν ZN 35 μεταπίθεσθαι N

λυποῦνται, ἂν μεταπείθωνται, ὥστε ⟨τῷ⟩ ἀκρατεῖ δι' ἡδονὴν μᾶλλον ἐοίκασιν ἢ τῷ ἐγκρατεῖ. δι' ἡδονὴν γὰρ ἁμαρτάνουσιν ἐνίοτε καὶ οὐ μεταπείθονται πρὸς τὸ βέλτιον. ἑπόμενον δ' ἦν λέγειν 'οἱ δὲ ἄγροικοι καὶ ἀμαθεῖς διὰ ἀπαιδευσίαν καὶ σκληρότητα ἤθους οὐ μεταπείθονται', ἀλλὰ παραιτεῖται τοῦτο ἐν τῷ λόγῳ.

Ἑξῆς δ' ἐπισημειοῦται ὅτι εἰσί τινες φαντασίας ἀκρατεῖς ἔχοντες, οὐκ ὄντες δὲ ἀκρατεῖς οὐδὲ ψεκτοὶ ἀλλὰ τοὐναντίον καὶ ἐπαινετοί, οἷον οἱ τοῖς δόξασιν αὐτοῖς οὐκ ἐμμένοντες δι' ἡδονὴν ἀλλὰ καλὴν καὶ ἐπαινετήν, οἷον ὡς ἐν τῷ Φιλοκτήτῃ τῷ Σοφοκλέους ὁ Νεοπτόλεμος· ἀνεπείσθη μὲν γὰρ ὑπὸ τοῦ Ὀδυσσέως τὰ ψευδῆ λέγειν πρὸς τὸν Φιλοκτήτην, οὐκ ἐμμένει δὲ χαίρων καὶ ἡδόμενος τῷ μὴ ψεύδεσθαι. ὥστε οὐ πᾶς ὁ δι' ἡδονὴν μὴ ἐμμένων τοῖς δόξασιν ἀκρατής, ἀλλ' ὁ δι' αἰσχράν. βούλεται δὲ ὁ Ἀριστοτέλης καὶ τὴν ἐγκράτειαν μεσότητα εἶναι καθάπερ καὶ τὰς ἀρετάς. εἰ γὰρ μή ἐστιν ἀρετὴ ἀλλ' ἐπαινετή γε ἕξις, καὶ αἱ παρακείμεναι αὐτῇ καθ' ὑπερβολὴν καὶ ἔνδειαν διαθέσεις, εἰ καὶ μὴ παντελῶς κακαί, ψεκταί εἰσιν. καθάπερ οὖν τῇ σωφροσύνῃ μεσότητι οὔσῃ περὶ τὰς σωματικὰς ἡδονὰς καὶ τοῦ λόγου ὀρθοῦ ὄντος τοῦ ἐν τῷ σώφρονι καὶ τῆς ὀρέξεως παρέκειντο ὁ μὲν ἀκόλαστος ὑπερβάλλων ἐν ταῖς ἡδοναῖς, ὥστε καὶ τὸν λόγον ἐν αὐτῷ διεφθάρθαι καὶ τὴν ὄρεξιν, ὁ δὲ ἀναίσθητος ἐλλείπων καὶ μηδὲ ταῖς φυσικαῖς χρώμενος (φαῦλος δὲ καὶ ἐν αὐτῷ ὅ τε λόγος καὶ ἡ ὄρεξις), οὕτως τῷ ἐγκρατεῖ μὴ ἡττωμένῳ τῶν παρὰ τὸν λόγον ἐπιθυμιῶν διὰ τὸ ἐμμένειν τῷ λόγῳ παράκεινται ὁ μὲν ἀκρατής, ἡττώμενος μὲν ὑπὸ τῶν ἐπιθυμιῶν καὶ τῶν αἰσχρῶν ἡδονῶν, παραβαίνων δὲ τὸν ἀπαγορεύοντα λόγον αὐταῖς χρῆσθαι. καὶ οὗτος μὲν τέτακται κατὰ τὴν ὑπερβολήν· ἄλλος δέ τις ἂν εἴη οἷος ἧττον ἢ δεῖ χαίρειν τοῖς σωματικοῖς καὶ οὐκ ἐμμένων τῷ λόγῳ κελεύοντι χρῆσθαι ταῖς ἡδοναῖς. πότερον δὲ ἐπιθυμῶν ὅμως οὐκ ἐνδίδωσι ταῖς ἐπιθυμίαις ἢ οὐδὲ ἐπιθυμεῖ; ὁ μὲν γὰρ Ἀριστοτέλης ἐμφαίνει μὴ ἐπιθυμεῖν αὐτόν, λέγων ἧττον ἢ δεῖ χαίρειν αὐτὸν ταῖς σωματικαῖς ἡδοναῖς. ἆρα δὲ ἐγχωρεῖ καὶ τὸν ἐπιθυμοῦντα καὶ τοῦ λόγου κελεύοντος νῦν χρῆσθαι ταῖς ἡδοναῖς ταῖσδε ὅμως λόγον τινὰ ἔχειν ἐναντιούμενον καθόλου, ὅτι οὐ δεῖ χρῆσθαι ἡδοναῖς ἢ εἰ μὴ λόγον, ἵνα μὴ ἅμα ἐναντίοι ὦσιν ἐν αὐτῷ λόγοι ἀλλὰ βούλησιν ἢ ἄλογόν τινα ὁρμὴν ὑπὸ ἀγριότητος

1 μεταπείθονται Z   τῷ addidi   ἡ δι' ἡδονὴν Z   3 ἄγρικοι N   6 ἀκρατεῖς scripsi: ἀκρατοὺς Z: ἀκρατοὺς N   9 Φιλοκτήτω Z   10 ψεύδη N   Φιλόκτητον N: Φιλοκτη (τ') Z   12 ατῆς ἀλλ' ὁ] lac. Z   13 εἶναι] lac. Z   14 καὶ αἱ] lac. Z   μεναι αὐτῇ] lac. Z   αὐτῇ scripsi: αὐτὴν N   15 καὶ μὴ] lac. Z   ψεκταί N: ψεκταί τε Z   20 αὐτῶ N: τῶ Z   20. 21 παρὰ τὸν Z: περὶ τῶν N   22 παραβαίνωντα N   23 οὗτος] lac. Z   24 ττον ἢ] lac. Z   25 οντι] lac. Z   πότερον δὲ ἐπιθυμῶν — ἡδοναῖς (29) bis ZN: delevit postea N   26 ἢ om. Z utrubique   ἐπεθύμει ZN utrubique   27 θυμεῖν αὐ] lac. Z utrubique   αὐτὸν χαίρειν αὐτὸν N loco secundo: αὐτὸν χαίρειν Z loco secundo   28 ἆρα] lac. Z utrubique   ἐγχωρεῖ Z utrubique   29 χρῆσθαι] lac. Z utrubique   29. 30 ἐναντοιούμενον N   31 ὁρμὴν ὑπὸ ἀγρι] lac. Z   ἀγριότητος N: ....ότητα Z

ἤθους, ἐπιστήσειεν ἄν τις. οὗτος δ' οὖν ἔοικε κατὰ τὴν ἔλλειψιν τετάχθαι. ἔστι δὲ ἀνώνυμος διὰ τὸ μὴ γίνεσθαι ῥᾳδίως· ἀγαπητὸν γὰρ εὑρεῖν τινας τοσαύταις χρωμένους ἡδοναῖς, ὅσαις προστάσσει ὁ λόγος ἢ μηδὲ τοῦ λόγου ἐνδιδόντος ὅμως φεύγοντας τὴν ἡδονήν· διὰ δὲ τὸ μὴ γίνεσθαι τοιούτους δοκεῖ ἡ ἐγκράτεια μόνη ἀντικεῖσθαι τῇ ἀκρασίᾳ, καθάπερ καὶ ἡ σωφροσύνη μόνη δοκεῖ ἀντικεῖσθαι τῇ ἀκολασίᾳ διὰ τὸ τὴν καλουμένην ἀναισθησίαν σπανίως ἢ ἐν μηδενὶ εὑρίσκεσθαι.

Ὅταν δὲ λέγῃ τὸν μὲν ἀκρατῆ μὴ ἐμμένειν τῷ λόγῳ διὰ τὸ μᾶλλον, τὸν δὲ διὰ τὸ ἧττον, τοῦτο δηλοῖ, ὅτι ὁ μὲν ἀκρατὴς οὐκ ἐμμένει διὰ τὸ μᾶλλον ἢ δεῖ εἴκειν ταῖς ἡδοναῖς, ὁ δὲ διὰ τὸ ἧττον ἢ δεῖ· τοῦτο δέ ἐστι διὰ τὸ μὴ δέχεσθαι μηδὲ ἃς δεῖ ἡδονάς. διὰ τί δὲ λέγομεν πολλάκις τὸν σώφρονα ἐγκρατῆ καὶ τὸν ἀκόλαστον ἀκρατῆ, διδάσκει· πολλὰ γάρ, φησί, καθ' ὁμοιότητα λέγεται· ὅμοιος δὲ δοκεῖ ὁ ἐγκρατὴς τῷ σώφρονι (ἑκάτερος γὰρ αὐτῶν οἷος μηδὲν παρὰ τὸν λόγον διὰ τὰς σωματικὰς ἡδονὰς ποιεῖν), πλὴν διαφέρουσιν, ὡς πολλάκις εἴρηται, τῷ τὸν μὲν σώφρονα μὴ ἔχειν φαύλας ἡδονάς, τὸν δὲ ἐγκρατῆ ἔχειν· καὶ ὁ μὲν σώφρων οἷος μήτε ἥδεσθαι μήτε χαίρειν ἄλλαις ἢ αἷς ὁ λόγος κελεύει ἡδοναῖς, ὁ δ' ἐγκρατὴς τῷ μὲν νοσεῖν αὐτῷ τὸ ἐπιθυμητικὸν οἷος ἥδεσθαι ταῖς φαύλαις ἡδοναῖς, οὐ μέντοι ἄγεται ὑπ' αὐτῶν, νικῶντος τοῦ ἐν αὐτῷ λόγου. δῆλον δὲ καὶ ὅτι ὁ ἀκόλαστος ἀκρατὴς καθ' ὁμοιότητα λέγεται· ἀμφότεροι γὰρ τὰς σωματικὰς ἡδονὰς διώκουσι, διαφέρει δὲ ὅτι ὁ μὲν ἀκόλαστος καὶ πέπεισται διωκτέον αὐτὰς εἶναι, ὁ δὲ οὐ πέπεισται· λέγει δὲ ὅτι οὐχ οἷόντε ἅμα φρόνιμον εἶναι καὶ ἀκρατῆ. δέδεικται γὰρ ἐν τοῖς ἔμπροσθεν λόγοις ὁ τῷ ὄντι φρόνιμος ὅτι σπουδαῖος τὸ ἦθος καὶ πάσας ἔχων τὰς ἠθικὰς ἀρετάς, ὥστε καὶ τὴν σωφροσύνην· ἀδύνατον δὲ τὸν αὐτὸν σώφρονα καὶ ἀκρατῆ εἶναι· ἔτι φρόνιμον κυρίως καὶ κατ' ἀλήθειαν οὐ τὸν εἰδότα μόνον τὰ δίκαια, ἀλλὰ καὶ τὸν πρακτικὸν ὧν δεῖ, καθάπερ δίκαιον οὐ τὸν εἰδότα μόνον. ὁ δ' ἀκρατὴς οὐ πρακτικὸς τῶν δικαίων, ὥστε οὐ φρόνιμος. τὸν δὲ δεινὸν ἐνδέχεται ἀκρατῆ εἶναι· διὸ καὶ δοκεῖ φρόνιμος ἀκρατὴς εἶναι. τὸν γὰρ δεινὸν ἔνιοι φρόνιμον ὑπολαμβάνουσιν. ἔχουσι γάρ τινα ὁμοιότητα κατὰ τὸν λόγον· ἀμφότεροι γὰρ συνορατικοὶ τῶν εἰς τὸ προτεθὲν τέλος φερόντων· ἣν δὲ ἔχουσι διαφορὰν πρότερον εἴρηκεν· ἔτι δὲ οὐχ ὡς ὁ εἰδὼς τὰ πρακτὰ θεωρήματα παραβήσεται καὶ ἀκρατεύσεται. ἀλλὰ πάσχων παραπλήσιόν τι πάθος τῷ οἰνωμένῳ· ἐξίσταται γάρ πως καὶ

1 σειεν ἄν τις] lac. Z κατὰ τὴν ἔλλειψιν τετάχθαι] lac. Z 2 ῥᾳδίως] lac. Z 3. 4 τοσαύτους N 4 δόντος· ὅμως] lac. Z 7 ἢ ἐν scripsi: μὲν ZN

8 λέγει N: λέ (ῃ supra) Z ἐμμένει N 10 ἥκειν Z 11 λέγωμεν N 12 ἐγκρατεῖ N ἀκρατεῖ N 13 ὁμοιότητας corr. ex ὁμοιότητος, ut videtur, Z 16 μηδὲ—μηδὲ ZN 17 ante χαίρειν unum verbum erasum N 18 τικὸν] lac. Z ταῖς scripsi: αὐταῖς ZN 23 ἐν τοῖς ἔμπροσθεν λόγοις] Z 13 p. 1145a1 ὅτι] lac. Z 26 οὐ] lac. Z εἰδόντα Z 28 τὸν—φρόνιμος (29) om. Z ἀκρατεῖ N 30 γὰρ om. Z 31 προστεθὲν Z πρότερον] Z 13 p. 1144a28 32 οὐχ ὡς scripsi: οὐδὲ N: om. Z ήματα] lac. Z 33 οἰνομένω Z

σκοτοδινιᾷ ὑπὸ τοῦ πάθους ὁ ἀκρατής, μὴ ἀκριβῶς καθορῶν τὸν ἐν αὑτῷ λόγον καὶ ἑκὼν μὲν ποιεῖ ὁ ἀκρατὴς τρόπον τινὰ εἰδὼς ὅτι οὐ πρακτέον ποιεῖ· ἔχει γὰρ τὸν λόγον τὸν ἀπαγορεύοντα, ταραττόμενον δὲ ὑπὸ τοῦ πάθους. οὐκ ἔστι δὲ πονηρὸς παντελῶς ἀλλ᾽ ἡμιμόχθηρος· κακὸς μὲν γὰρ παντελῶς, ᾧ ὅλη διέφθαρται ἡ ψυχή· καὶ τὸ ἄλογον φαῦλόν ἐστιν· τοῦ δὲ ἀκρατοῦς ἡ προαίρεσις ἐπιεικής· προαίρεσιν δὲ πάλιν ἢ τὸν λόγον εἴρηκεν ἢ σὺν αὐτῷ καὶ τὴν βούλευσιν. οὔ φησι δὲ τὸν ἀκρατῆ ἄδικον εἶναι διὰ τὸ μὴ εἶναι ἐπίβουλον· ὁ μὲν γὰρ ἐπίβουλος, βουλευσάμενος δηλονότι κακά, ἐνεδρεύει καὶ κακουργεῖ· τῶν δὲ ἀκρατῶν ὁ μὲν βουλευόμενος καὶ μὴ ἐμμένων ⟨* * *⟩ χρῆσθαι βούλεται, ὥστε οὐδέτερος ἐπίβουλος.

Δῆλα δὲ ἃ καὶ μετὰ ταῦτα προσέθηκεν, ὅτι ἡ ἀκρασία καὶ ἡ ἐγκράτεια περὶ ὑπερβολήν ἐστι τῆς τῶν πολλῶν ἕξεως· ὁ μὲν γὰρ ἐγκρατὴς ὑπερβάλλει αὐτοὺς ἐν τῷ ἐμμένειν μᾶλλον τῷ λόγῳ καὶ μὴ χρῆσθαι αἷς ἐκεῖνοι χρῶνται ἡδοναῖς, ὁ δὲ ἀκρατὴς ὑπερβάλλει τῷ χείρων αὐτῶν εἶναι καὶ μηδὲ ὧν ἀπέχονται, δυνατὸς εἶναι τούτων ἀφίστασθαι καὶ ταῦτα κελεύοντος τοῦ ἐν αὑτῷ λόγου. εὐιατοτέραν δὲ λέγει τὴν τῶν μελαγχολικῶν καὶ ὅλως τὴν προπετεστέραν λεγομένην ἀκρασίαν τῆς τῶν βουλευομένων μέν, μὴ ἐμμενόντων δέ (δῆλον γὰρ ὡς ἂν ἐθισθῶσι βουλεύεσθαι οἱ προπετεῖς, ταχὺ μεταβάλλονται)· ἔτι τοὺς δι᾽ ἔθους ἀκρατεῖς εὐιατοτέρους τῶν διὰ φύσεως· δυσμετακίνητον γὰρ ἡ φύσις· καὶ τὸ ἔθος γὰρ διὰ τοῦτο δυσμετάθετον, ὅτι φύσει τι ὅμοιον ποιεῖ.

Περὶ δὲ ἡδονῆς καὶ λύπης οἰκείαν φησὶν εἶναι τὴν θεωρίαν τῷ πολιτικῷ φιλοσόφῳ. ἔστι γὰρ τοῦ τέλους ἀρχιτέκτων. διὰ τί δὲ λέγει αὐτὸν ἀρχιτέκτονα τοῦ τέλους; ἢ ὅτι πᾶς λέγεται ἀρχιτέκτων ἐκείνου, οὗ ὑφηγητής ἐστι τῆς κατασκευῆς; ὁ δὲ πολιτικὸς ὑφηγεῖται, ὅπως ἂν γένοιτο εὐδαιμονία. ἔτι φρόνησις ἀρχιτεκτονικὴ λέγεται, διότι τὸν λόγον παρέχει ταῖς ἠθικαῖς ἀρεταῖς. ἔστι δὲ ἡ πολιτικὴ φρόνησις περὶ πόλιν καὶ πόλεως εὐδαιμονίαν. εἰκότως οὖν καὶ αὐτὴ ἀρχιτεκτονικὴ λέγεται τοῦ τέλους καὶ ὁ ἔχων αὐτὴν ὁ πολιτικός. ἐπεὶ οὖν πρὸς τὸ τέλος βλέποντες τὸ μὲν ἀγαθὸν ἁπλῶς λέγομεν τὸ δὲ κακόν, ἀγαθὸν μὲν τὸ φέρον εἰς τὸ τέλος καὶ τὴν εὐδαιμονίαν,

1 καθορῶν scripsi: καθορᾶν ZN αὑτῷ] αὐτῷ ZN 3. 4 πάθους N: ἀγαθοῦ Z 4 ἡμιμόχθηρος N: ὁ μοχθηρὸς Z κακὸς μὲν N: καὶ . . . . . . Z 5 ἐστιν om. Z 6 ἢ τὸν λόγον] lac. Z 7 σὺν N: οὖν Z τῆ ἄδικον] lac. Z 7. 8 διὰ τὸ μὴ] lac. Z 8 εἶναι ἐπιβουλὴν Z 9 βουλευόμενος scripsi: βουλόμενος ZN 10 lacunam indicavi, hisce fere explendam ὁ δὲ μηδὲ βουλευσάμενος ταῖς ἡδοναῖς 11 ταῦτα] lac. Z ἀκρασία καὶ ἡ] lac. Z 12 περὶ om. Z ἕξεως· ὁ μὲν γὰρ] lac. Z 13 αὐτοὺς ἐν] lac. Z χρεῖσθαι N: lac. Z ἐκεῖν Z 14 ἡδονῆς N: lac. Z χείρων] lac. Z 15 καὶ ταῦτα bis Z 16 εὐιατωτέραν N 16. 17 προπετέραν N 17 ἀκρασίαν λεγομένην Z τῆς Z: τοῖς N των δέ·] lac. Z 19 ἔθος Z εὐιατωτέρους N φύσει N: φύσ Z 22 οἰκείαν φησὶν] lac. Z θεωρείαν N 23 τί N: τοῦτο Z 24 ἐκεῖνος Z 24. 25 ὑφηγητής ἐστι τῆς κατασκευῆς] lac. Z 25 ἡγεῖ] lac. Z 25. 26 ἡ εὐδαιμονία N: εὐδαιμ . . . . Z 26 λέγεται] Z 7 p. 1141b22 28 ἀρχι] lac. Z 29 οὖν πρὸς τὸ] lac. Z 30 ἀγαθόν] lac. Z

κακὸν δὲ τὸ ἐμποδιστικὸν ταύτης, δῆλον ὡς τοῦ ἀρχιτεκτονοῦντος τέλος καὶ ἡ περὶ ἡδονῆς ἢ λύπης θεωρία, εἴτε φέρει εἰς τὴν εὐδαιμονίαν εἴτε ἔμπαλιν ἐμποδίζει. ἔτι δέ, ἐπεί ἐστιν ἡ ἠθικὴ ἀρετὴ περὶ ἡδονὰς καὶ λύπας, ὡς δέδεικται, ἡ δὲ πολιτικὴ περὶ ἐπιμέλειαν τῆς ἠθικῆς ἀρετῆς ἐστιν, ἀναγκαῖον τῷ πολιτικῷ ἐπισκοπεῖν περὶ αὐτῶν. ἔτι τὴν εὐδαιμονίαν οἱ πλεῖστοι μεθ' ἡδονῆς εἶναί φασι καὶ τὸν εὐδαίμονα μακάριον ὠνομάσθαι, οἷον ὡς ἂν εἴποις μάλα χαίροντα. καὶ διὰ τοῦτο οὖν οἰκεία τῷ πολιτικῷ ἡ περὶ ἡδονῆς καὶ λύπης θεωρία. ἐνίοις μὲν οὖν δοκεῖ μηδεμία ἡδονὴ εἶναι ἀγαθόν. ἧς δόξης φασὶ καὶ Ἀντισθένη γεγονέναι· λέγουσι γοῦν τὴν ἡδονὴν μήτε καθ' αὑτὸ μήτε κατὰ συμβεβηκὸς εἶναι ἀγαθόν. ἔστι γὰρ τῶν ἀγαθῶν τὰ μὲν καθ' αὑτά, οἷον αἱ ἀρεταὶ καὶ αἱ κατ' αὐτὰς ἐνέργειαι, τὰ δὲ κατὰ συμβεβηκός, οἷον ἰατρεῖαι τομαὶ καύσεις καὶ οἱ πόνοι· οὐδὲν γὰρ τούτων αἱρούμεθα δι' αὑτό, ἀλλὰ δι' ἕτερον καὶ κατὰ συμβεβηκός· τὴν δὲ ἡδονὴν οὐδετέρως εἶναι ἀγαθὸν οὔτε ὡς καθ' αὑτὸ οὔτε ὡς κατὰ συμβεβηκός. οὐ γὰρ εἶναι ταὐτὸν ἀγαθὸν καὶ τὴν ἡδονήν· οὕτως μὲν οὖν ἐχούσης τῆς γραφῆς ῥᾳδία ἡ ἐξήγησις· οὐ γάρ φασιν οὔτε καθ' αὑτὸ οὔτε κατὰ συμβεβηκὸς ἀγαθὸν εἶναι τὴν ἡδονήν, ἐπεὶ μὴ ἔστι † τινὶ ταὐτὸν τινὶ ἀγαθῷ. ἐὰν δὲ ᾖ σὺν τῷ ἄρθρῳ γεγραμμένον, οὐ γὰρ εἶναι ταὐτὸν τῷ ἀγαθῷ καὶ τὴν ἡδονήν, ἀλόγως φανεῖται τοῦτ' ἐπενηνέχθαι· εἴτε γὰρ τὸ ἀγαθὸν ὡς γένος λαμβάνεται τῶν ἀγαθῶν, εἴτε ὡς εὐδαιμονία πῶς τοῦτο ἐνδείκνυται, ὅτι οὔτε τῶν καθ' αὑτό τι ἀγαθῶν ἐστιν ἡ ἡδονὴ οὔτε τῶν κατὰ συμβεβηκός; ὥσπερ γὰρ αἰτίαν ταῦτα ἐπιφέρει, οὐκ ἔστι δὲ αἰτία τοῦ μὴ εἶναι ἀγαθὸν τὴν ἡδονὴν τῷ μήτε γένη εἶναι τῶν ἀγαθῶν μήτε ταὐτὸν τῇ εὐδαιμονίᾳ. καὶ γὰρ ἄλλα ἀγαθὰ μέν ἐστιν, οὐ ταὐτὰ δὲ τῷ κοινῷ ἀγαθῷ ἢ τῇ εὐδαιμονίᾳ. ἀλλὰ μήποτε ἐπειδὴ ὁμωνύμως ἐδόκει λέγεσθαι τὸ ἀγαθόν, δοκεῖ λέγειν ὅτι οὐδενὶ τῶν δηλουμένων ὑπὸ τοῦ ἀγαθοῦ ταὐτόν ἐστιν. ἢ οὕτως εἴρηκεν, ἐπειδὴ προελθὼν μέλλει δείξειν τὴν ἡδονὴν μὴ οὖσαν ἀγαθὸν ἐκ τοῦ μὴ εἶναι τῇ εὐδαιμονίᾳ ταὐτὸν τῷ γένει· δῆλος δὲ ἔσται ὁ λόγος οὗτος ὀλίγον ὕστερον. ἀλλ' οὖν τοῖς μὲν δοκεῖ μηδεμία ἡδονὴ εἶναι ἀγαθόν, τοῖς δὲ μία μὲν ἀγαθή, αἱ δὲ πολλαὶ φαῦλαι, τοῖς δὲ εἰ καὶ πᾶσαι ἀγαθὸν ὅμως μὴ εἶναι τὴν ἡδονὴν τὸ ἄριστον, τουτέστιν μὴ εἶναι εὐδαιμονίαν, οἷς ἐναντιοῦνται οἱ λέγοντες τὴν εὐδαιμονίαν ἡδονὴν εἶναι. ὅλως μὲν οὖν οὐκ ἀγαθόν, τοῦτό ἐστι καθόλου μὲν οὖν οὐδεμία ἡδονὴ ἀγαθόν, ὅτι πᾶσα ἡδονὴ γένεσις εἰς φύσιν αἰσθητή· γένεσις μὲν οὖν εἰς φύσιν λέγεται, διότι ἀναπλήρωσίς τις δοκεῖ τῆς ἐνδείας εἶναι καὶ ἄγειν εἰς τὸ ἀγαθὸν κατὰ φύσιν. ἡ μὲν γὰρ πεῖνα ἔνδεια

1 κὸν ταύ] lac. Z κτονοῦν] lac. Z 2 θεωρεία N: lac. Z εἴτε ἐμ] lac. Z 3 ἔτι δὲ ἐπεὶ] lac. Z 4 ἡ δὲ πολιτικὴ] lac. Z 5 σκοπεῖν] lac. Z 7 εἴποις Z: εἴπῃς corr. in εἴποις N καὶ διὰ — ἀγαθὸν (10) edidit Rose *Hermae* V 106 7. 8 ἡδονὰς καὶ λύπας Rose 8 λύπας Z 11 κατ' αὐτὰς] καθ' αὑτὰς ZN 13 αὑτὸ Z: αὐτῶν corr. in αὑτὸ N 14 ὡς post οὔτε om. Z οὐ — συμβεβηκὸς (7) om. Z 15 ἀγαθῷ Aspasium legisse Diels censet τὴν ante ἡδονὴν (item 18. 19) libri Arist. omittunt 19 τοῦτ' Z: εἴτ' N γὰρ καὶ τὸ N 20 εἴτε corr. ex εἶται N πῶς] πως ZN 21 ἐστὶν om. Z 24. 25 μήπωτε N 26 τῶ ἀγαθῶ Z 33. 34 αἰσθητήν N 34 διότι — φύσιν (35) om. Z

τῆς φυσικῆς καταστάσεως, ἡ δὲ ἐν τῷ ἐσθίειν ἡδονὴ ἀναπλήρωσις τῆς ἐνδείας καὶ ἀγωγὴ εἰς τὸ κατὰ φύσιν, ἡ δὲ ἐν τῷ πίνειν ἡδονὴ ἀναπλήρωσις καὶ γένεσις ἄγουσα εἰς τὸ κατὰ φύσιν. διὰ μὲν ταῦτα γένεσις εἰς φύσιν· αἰσθητὴ δὲ ὅτι εἰσὶ καὶ ἄλλαι γενέσεις ἐν ἡμῖν, οἷον αἱ αἱματώσεις καὶ ἀναδόσεις τῆς τροφῆς, αἳ οὐκ εἰσὶν ἡδοναὶ διὰ τὸ λεληθέναι· ἀλλ' ἐὰν ἡ γένεσις καὶ ἀναπλήρωσις αἰσθητὴ ᾖ, τότε γίνεται ἡδονή· ὁ δὴ λόγος τοιοῦτος· οὐδεμία γένεσις συγγενὴς τῷ τέλει· ἡ δὲ ἡδονὴ γένεσις· οὐκ ἄρα ἐστὶν ὁμογενὴς τῷ τέλει· τὸ δὲ τέλος καὶ ἡ εὐδαιμονία ἀγαθόν· οὐκ ἄρα ἀγαθὸν ἡ ἡδονή, εἴ γε μή ἐστιν ὑπὸ τὸ αὐτὸ γένος. διὰ τοῦτον μὲν τὸν λόγον ἔφαμεν ἐγχωρεῖν γεγράφθαι μετὰ τοῦ ἄρθρου τὸ ἀγαθόν. ὅτι δὲ οὐδεμία γένεσις ὁμογενὴς τῷ τέλει, ἐκ τῆς ἐπαγωγῆς πειρῶνται δεικνύναι. ἡ μὲν γὰρ οἰκοδόμησις γένεσις, ἡ δὲ οἰκία τέλος καὶ οὐκ εἰσὶν ὁμογενεῖς· ἡ μὲν γὰρ οἰκία οὐσία, ἡ δὲ οἰκοδόμησις καὶ τοῦ ποιεῖν καὶ τοῦ πρός τι· ἔτι ἡ ναυπήγησις γένεσις, ἡ δὲ ναῦς τέλος, καὶ οὐχ ὁμογενεῖς, καὶ ἐπὶ πολλῶν ἄν τις οὕτως λάβοι. ἔτι δὲ ψευδὴς οὗτος ὁ λόγος (καὶ γὰρ τὸ ἀγαθὸν γένος λαμβάνει οὐκ ὂν ἀλλὰ κατηγορούμενον ὁμωνύμως), καὶ τὸ μηδεμίαν γένεσιν ὁμογενῆ εἶναι τῷ τέλει ψεῦδος· ἵνα γάρ τις δῷ γένος τὸ ἀγαθόν, ἡ ἀρετὴ καὶ ἑκάστη τῶν κατ' ἀρετὴν ἐνεργειῶν ποιήσεις οὖσαι τοῦ τέλους, ταῦτα γένεσις ἂν λέγοιτο· ἀλλ' ἔστιν αὐτῶν ἑκάστη ἀγαθόν· λεχθήσεται δὲ καὶ ὑπ' αὐτοῦ πρὸς τὸν λόγον. ἔτι πρὸς τὸ μὴ εἶναι ἀγαθὸν τὴν ἡδονὴν ἐπιφέρουσι τὸ τόν τε σώφρονα φεύγειν τὰς ἡδονὰς καὶ τὸν φρόνιμον τὸ ἄλυπον διώκειν ἀλλὰ μὴ τὴν ἡδονήν. εὐσταθὴς γάρ ἐστι καὶ ἐν καταστήματι ὁ φρόνιμος, ἡ δὲ ἡδονὴ ταραχῶδες. διὸ τὴν ἀλυπίαν, εὐστάθειάν τινα οὖσαν, διώκει, οὐ τὴν ἡδονήν. ἔτι τὸ τοῦ ἀγαθοῦ ἐμποδιστικὸν οὐκ ἀγαθόν, τοιοῦτον δὲ ἡ ἡδονή· οὐκ ἄρα ἀγαθόν. ὅτι δὲ ἐμποδιστικὸν ἡ ἡδονὴ τοῦ φρονεῖν δῆλον νομίζουσιν· οὐδεὶς γὰρ ἂν οὔτε βουλεύσαιτο οὔτε εὕροι τι περὶ ἡδονὰς ὢν καὶ ἡδόμενος. μηνύει δὲ καὶ ὅσῳ ἄν τις ἐν μείζοσι μᾶλλον ἡδοναῖς ᾖ, μὴ δύνασθαι νοεῖν αὐτόν· ἐν γοῦν τῇ τῶν ἀφροδισίων ἡδονῇ ὄντα τι νοεῖν ἢ σκοπεῖν οὐ ῥᾴδιον. ἔτι παντὸς ἀγαθοῦ ἐστι τέχνη, ἡδονῆς δὲ οὐκ ἔστι τέχνη· οὐκ ἄρα ἀγαθόν. ἔτι ὅσα διώκεται ὑπὸ τῶν ἀφρονεστάτων, οὐκ ἀγαθά· αἱ ἡδοναὶ δὲ ὑπὸ τῶν παίδων καὶ θηρίων· οὐκ ἄρα ἀγαθά. διὰ μὲν οὖν τούτων πειρῶνται δεικνύειν ὅτι οὐδεμία ἡδονὴ ἀγαθόν. οἱ δὲ λέγοντες μὴ πάσας εἶναι σπουδαίας τὰς ἡδονάς, δεικνύουσιν ἐκ τοῦ πολλὰς αἰσχρὰς εἶναι, οἷον τὰς τῶν ἀκολάστων

1 ἐσθίην Z 1. 2 ἐνδείας N: ἀνδρείας Z 2 ἀγωγὴ Z: ἀγαγωγὴ N 5 λελυθέναι N 7 συγγενεῖς N 9 εἴ γε N: εἴτε Z αὐτὸν Z ἔφαμεν] p. 142,18 10 μετὰ τοῦ ἄρθρου] lac. Z 12 οἰκία N: οἰκεία Z 13 ἔτι ἡ ναυ] lac. Z 13. 14 ἡ δὲ ναῦς τέλος scripsi: ἡδοναῖς τέλος N: lac. Z ἄν τις οὕτως] lac. Z 15 βάνει οὐκ ὂν] lac. Z 16 τέλος N: τε Z (λ' superscr.) 18 οὐ . . . Z an ταύτῃ γενέσεις ἂν λέγοιντο? 20 ἐπιφέρουσι Diels: περιφέρουσι ZN σώφρονος Z 21 ἄλιπον N 23 οὖσαν] lac. Z τὸ] lac. Z 24 ἀγαθὸν] lac. Z 26 οὔτ' ἐβουλεύσατο Z ἡδήμενος Z 27 ὅσω N: ὅ.. Z 28 ὄντα] lac. Z τι νοεῖν Z 29 ἀγαθόν N 32 οἱ Z: εἰ N σπουδαίας τὰς] lac. Z 33 ἀκολα] lac. Z

καὶ τῶν κιναίδων, καὶ ἐκ τοῦ πολλὰς βλαβεράς. διὰ γὰρ τὰς ὑπερβολὰς αὐτῶν καὶ τὰ σώματα νοσοῦσι καὶ εἰς οὐσίας βλάπτονται καὶ τὸ μέγιστον εἰς τὴν ψυχήν. οὐδενὸς γὰρ ἐπιμελούμενοι τῶν καλῶν διὰ τὴν περὶ τὰς ἡδονὰς σπουδὴν ἀφρονέστατοι καὶ ἀνοητότατοι διατελοῦσιν. ὅτι δὲ οὐκ ἄριστον, ὅτι οὐδὲ τέλος ἡ ἡδονή, πάλιν ἐκ τοῦ τέλους δείκνυσιν. οὐδὲν γὰρ τέλος ἐν γενέσει ἀλλὰ μετὰ τὴν γένεσιν.

Μετὰ ταῦτα ἐνίσταται πρὸς τοὺς εἰρημένους λόγους. ὅτι γὰρ οὐ συμβαίνει ἐπὶ τοῖς ῥηθεῖσι μὴ εἶναι ἀγαθὸν τὴν ἡδονὴν μηδὲ τὸ ἄριστον ἐκ τῶνδε δῆλον· τὸ γὰρ ἀγαθὸν διττῶς λέγεται· τὸ μὲν ἁπλῶς, τὸ δὲ τινί. ἁπλῶς μὲν γὰρ ἀγαθὸν τὸ πᾶσιν ἀγαθόν, οἷον αἱ ἀρεταὶ καὶ αἱ κατ' αὐτὰς ἐνέργειαι, τινὶ δὲ τομαὶ καύσεις. ταῦτα γὰρ ἁπλῶς μὲν οὐκ ἀγαθά, τινὶ δέ, τῷ δεομένῳ ἰατρείας. λέγοιτο δ' ἂν πως καὶ νόσος, καίπερ ἁπλῶς οὖσα κακόν, τινὶ ἀγαθόν, οἷον τῷ μοχθηρῷ· τούτῳ γὰρ λυσιτελεῖν καὶ νοσεῖν καὶ πένεσθαι· ἧττον γὰρ δυνήσεται κακουργεῖν. ἐπεὶ οὖν τὸ ἀγαθὸν διχῶς, καὶ αἱ φύσεις καὶ αἱ ἕξεις ἀκολουθήσουσιν, ὥστε εἶναι τὰς μὲν ἁπλῶς ἀγαθάς, τὰς δὲ τινί. αἱ γὰρ φυσικαὶ διαθέσεις καὶ ἕξεις αἱ μὲν ἁπλῶς ἀγαθαί, οἷον αἱ ἀρεταί, αἱ δὲ τισίν, οἷον αἱ φυσικαὶ καταστάσεις καὶ σωματικαὶ ἕξεις ὑγίεια εὐεξία εὐαισθησία. τινὶ γὰρ ταῦτα ἀγαθά, τῷ σπουδαίῳ, καὶ διὰ τοῦτο λέγεται καὶ ἁπλῶς ἀγαθά· καὶ ἡ νοσώδης ἕξις τινὶ ἀγαθόν, λέγω δὲ τῷ μοχθηρῷ. τῷ δὲ τὰς ἕξεις τὰς μὲν εἶναι ἁπλῶς ἀγαθόν, τὰς δὲ τινί, ἀκολουθεῖν καὶ τὰς κινήσεις καὶ τὰς γενέσεις τὰς ἐπ' αὐτῶν γενομένας τὰς μὲν ἁπλῶς ἀγαθὰς εἶναι, τὰς δὲ τινί· καὶ αἱ δοκοῦσαι ἁπλῶς φαῦλαι τινὶ οὐκ ἔσονται φαῦλαι, ἀλλ' αἱρεταὶ τῷδε, οἷον αἱ νοσεραὶ κινήσεις, ἁπλῶς οὖσαι φαῦλαι, τῷ ἀνιάτως ἔχοντι διὰ μοχθηρίαν ἀεὶ λυσιτελοῦσιν· ἰατρεῖαι γὰρ αὐτοῦ γίνονται ταῖς κατὰ τὴν μοχθηρίαν ἐνεργείαις· αἱ δὲ οὐδὲ αἱρεταὶ τῷδε, ἀλλὰ ποτέ, οἷον τῷ νοσοῦντι τομαὶ καὶ ἰατρεῖαι τότε ὅτε νοσεῖ· ἁπλῶς δὲ οὐκ εἰσὶν αἱρεταί· αἱ δὲ ἀεί, αἱ δὲ οὔ· οὕτως οὐδὲ ἡδοναί εἰσι, φησί, ἀλλὰ φαίνονται, οἷον ὅσαι μετὰ λύπης, ὥσπερ αἱ τῶν καμνόντων. αἱ γὰρ ἀληθεῖς ἡδοναὶ τοῖς κατὰ φύσιν διακειμένοις· εἰ δ' αἱ τῶν νοσούντων ἡδοναὶ παρὰ φύσιν, πολλῷ μᾶλλον αἱ τῶν ἀκολάστων· μᾶλλον γὰρ παρὰ φύσιν οὗτοι διάκεινται. ταῦτα δὲ λέγεται πρὸς τοὺς φάσκοντας μὴ εἶναι ἀγαθὸν τὴν ἡδονήν, ἐπειδὴ ἡ γένεσίς ἐστι κίνησις. αἱ μὲν γὰρ τῶν ἀγαθῶν ἕξεων κινήσεις καὶ γενέσεις ἀγαθαί, αἱ δὲ τῶν φαύλων φαῦλαι. ὥστε εἰ καί τις δῴη κίνησιν ἢ γένεσιν εἶναι τὴν ἡδονήν, οὐ πᾶσα φαύλη ἀλλ' ἡ ἀπὸ ⟨τῆς φαύλης⟩ ἕξεως γινομένη φαύλη, ἡ δ' ἀπὸ τῆς ἐπιεικοῦς ἐπιεικής.

2 οὐσίαν N 5 δεικνύουσιν scripserim 7. 8 συμβέναι Z 8 ῥηθεῖσοι μὴ N: εἰρημένοις Z 9 διττῶς — ἀγαθὸν (10) om. Z, stella adiecta 10 τὸ πᾶσιν ἀγαθόν om. N 13 τῳ γὰρ λυσι] lac. Z, hinc τελεῖ 13. 14 πείνεσθαι N 14 ἐπεὶ οὖν] lac. Z 17 φυσικαὶ καὶ N 19 νοσώδεις ἕξεις N 21 ἐπ'] ἀπ' Diels γενομένας Z: λεγομένας N 25 τὴν om. Z ἐνεργίαις Z οὐδὲ Diels: οὔτε ZN 27 αἱρεταί Z: ἀρεταὶ N 28 ὥσπερ scripsi: καίπερ ZN 29 δ' αἱ Z: δὲ N 31 διάκονται Z 35 τῆς φαύλης addidi

Μετὰ ταῦτα δείκνυσιν οὔτε γένεσιν οὖσαν τὴν ἡδονὴν οὔτε κίνησιν. ἐπεὶ δὲ τοῦ ἀγαθοῦ τὸ μὲν ἐνέργεια τὸ δὲ ἕξις, ὡς ἕξις μὲν ἀγαθὸν ἀρετή, ὡς ἐνέργεια δὲ ἡ κατ' ἀρετὴν ἐνέργεια. καὶ αἴσθησις μὲν ἀγαθὸν ὡς ἕξις (λέγω δὲ αἴσθησιν τὴν δύναμιν, ἡ δὲ κατ' ἐνέργειαν αἴσθησις ἀγαθὸν ὡς ἐνέργεια), ἡ ἡδονὴ ἀγαθόν ἐστιν οὐχ ὡς ἕξις ἀλλ' ὡς ἐνέργεια τῆς φύσεως. κατὰ συμβεβηκὸς δὲ αἱ ἀναπληρώσεις καὶ ἀποκαταστάσεις, αἵ εἰσιν εἰς τὴν φύσιν ἡδεῖαι. προηγουμένως μὲν γὰρ ἡδόμεθα διὰ τὸ ἐνεργεῖν τὴν φύσιν τρεφομένων ἡμῶν· λέγω δὲ φύσιν τὴν ψυχήν. ἐνεργεῖ γὰρ τότε ἡ θρεπτική. καὶ διὰ τοῦτο ἡδόμεθα. συμβαίνει δὲ τὸ τηνικαῦτα καὶ ἀναπλήρωσιν γενέσθαι. ἔστι δὲ ἡ ἡδονὴ ἐνέργεια τῆς ὑπολοίπου ἐν ἡμῖν φύσεως καὶ ἕξεως. κἂν γὰρ ἐνδεεῖς ὦμεν κατὰ τὸ σῶμα τήν γε φύσιν ὑπολελειμμένην καὶ δυναμένην ἐν αὐτῇ ἐνεργεῖν ἔχομεν αὐτὴν συμπαρόντων αὐτῇ τῶν σιτίων καὶ τῶν ποτῶν † ἐνεργεῖν. καὶ ἡ μὲν ἡδονὴ κατ' ἐνέργειαν, κατὰ συμβεβηκὸς δέ, ὥς φησιν, ἀναπλήρωσις γίνεται τοῦ ἐνδέοντος ἐν τῷ σώματι. τεκμήριον δὲ μέγιστον τοῦ μὴ εἶναι γένεσιν τὴν ἡδονήν, ὃ λέγει· πολλαὶ γὰρ ἡδοναὶ ἄνευ λύπης καὶ ἐπιθυμίας, οὐδεμιᾶς ἐνούσης ἐνδείας, οἷον αἱ θεωρητικαί, καὶ αὗται μὲν αὐτῆς τῆς ψυχῆς καθ' αὑτὴν ἐνεργούσης, ἔνιαι δὲ καὶ διὰ τοῦ σώματος, οἷον αἱ δι' ὁράσεως καὶ ὀσφρήσεως καὶ ἀκοῆς, ὧν οὐδεμία γίνεται προλυπηθεῖσιν. ἔδει δέ [γε], εἴ γε ἀναπλήρωσις ἡδονὴ καὶ γένεσις ἡδονὴ καὶ γένεσις εἰς τὸ κατὰ φύσιν, πάσας εἶναι τὰς ἡδονὰς ἀναπληρώσεις. νῦν δὲ φαίνεται ἡ μὲν κατὰ θεωρίαν ἡδονὴ τῆς θεωρητικῆς ψυχῆς ἐνέργεια οὖσα, ἡ δὲ κατὰ τὸ ὁρᾶν ἢ ὀσφραίνεσθαι τῆς αἰσθητικῆς· εὔλογον δὲ καὶ τὴν ἐν τῷ τρέφεσθαι καὶ ἀναπληροῦσθαι τὸ σῶμα γινομένην ἡδονὴν ἐνέργειαν λέγειν τῆς θρεπτικῆς φύσεως [τὴν ἡδονήν], διότι ἀχώριστός ἐστι τῆς ἐνεργείας, ἐπεὶ καὶ ἡ ἐνέργεια [τῇ] τῆς ἀρετῆς ἡδονή [γάρ] ἐστιν ἀχώριστος. λεχθήσεται δὲ περὶ τούτου ἐν τῷ ἑξῆς σαφέστερον. ἔτι δὲ σημεῖον δεῖ φέρειν τοῦ ἐνέργειαν εἶναι τῆς φύσεως τὴν ἡδονὴν τὸ μὴ τῷ αὐτῷ ἡδεῖ χαίρειν ἀναπληρουμένης τε τῆς φύσεως καὶ καθεστηκυίας. λέγει δὲ νῦν ἀναπλήρωσιν τῆς φύσεως οὐχ ἁπλῶς τὴν διὰ τῆς τροφῆς γενομένην ἀλλὰ τὴν τοῖς κάμνουσιν. ἥτις ἀναπλήρωσις ὡς ἀληθῶς βούλεται εἶναι φύσεως διὰ τὸ παντάπασιν ἐξεστάναι τῆς φυσικῆς διαθέσεως· καθεστηκυῖαν δέ φησι τὴν τῶν ὑγιαινόντων ὀνομάζειν. οἱ μὲν οὖν κάμνοντες οὐ χαίρουσι τοῖς ἁπλῶς ἡδέσιν· ἁπλῶς δέ ἐστιν ἡδέα τὰ τοῖς κατὰ φύσιν διακειμένοις ἡδέα, ὡς καὶ λευκὰ τὰ τοῖς κατὰ φύσιν διακειμένοις τὴν ὄψιν φαίνεται λευκά. οἱ μὲν οὖν κάμνοντες πικροῖς καὶ ὀξέσι χαίρουσιν, ὧν οὐδὲν φύσει ἡδὺ οὐδὲ ἁπλῶς, οἱ δὲ ὑγιαίνοντες καὶ ἐν

1 οὔτε—οὔτε scripsi: οὐδὲ—οὐδὲ ZN 6 εἰσὶν om. N 7 ἡδεῖαι scripsi ex Arist.: ἴδίαι N: ἰδίαι Z 11 γε Z: τε N ὑπολελειμμένειν Z 12 αὐτῇ (post ἐν)] αὐτῷ N: αυτ̑ Z ἔχομεν ⟨ὥστε⟩ Diels συμ] lac. Z 17 φῦσϊ Z τεκμή] lac. Z 15 ἄνευ Z: καὶ ἄνευ N 16 καὶ (ante αὗται) om. Z 19 γε eieci ἀναπληρώσεις N 21. 22 κατὰ τὸ N: κατὸ Z 25 τῇ et γάρ seclusit Diels 28 τὴν ἡδονὴν eieci 26 τῷ Z: τῇ N ἔτι scripsi: ὅτι N: ὅτε Z 27 μὴ scripsi: μὲν ZN ἡδεῖ] lac. Z ἀναπληρουμένης scripsi ex Arist.: ἀλλὰ πληρ. ZN 28 καθεστηκείας Z 29 τοῖς corr. ex τῆς N 30 ἥτις Z: ἥτις ἂν N 31 καθεστηκείαν Z 33 ἡδῖα Z 34 λευκά] λευκατά ZN

καταστάσει τῆς φύσεως ἥδονται τοῖς ἁπλῶς ἡδέσι. τίνος οὖν τοῦτο σημεῖον ἢ τοῦ ἐνέργειαν εἶναι φύσεως τὴν ἡδονήν; ὅσῳ γὰρ ἂν πλεῖον ἢ μᾶλλον κατὰ φύσιν ἔχωμεν καὶ ἀκωλύτως ἡ φύσις ἐνεργῇ, τοῖς ἀληθῶς ἡδέσιν ἀσμενίζομεν· ἐπειδὰν δὲ παρὰ φύσιν ἔχωμεν καὶ πολλῆς ἀναπληρώσεως δεώμεθα καὶ φαύλως καὶ ἐμποδιζομένως τι ἐνεργῇ ἡ φύσις, οὐ χαίρομεν τοῖς ἁπλῶς ἡδέσιν. ὥστε οὔτε ἡδοναὶ ἁπλῶς οὔτε κυρίως αἱ ἀπ᾽ αὐτῶν. ὡς γὰρ τὰ ἡδέα ἔχει πρὸς ἄλληλα, οὕτω καὶ αἱ ἀπ᾽ αὐτῶν ἡδοναί. τὰ δὲ τῶν καμνόντων ἡδέα. ὥσπερ καὶ † πρὸς τάττω, ὅτι ἡδέα καὶ κατὰ φύσιν ἡδέα ἐναντία ἔχει, ὥστε καὶ αἱ ἡδοναὶ ἐναντίαι ἂν εἶεν τῶν καμνόντων ταῖς τῶν ὑγιαινόντων, καὶ διὰ τοῦτο οὐδὲ ἡδοναί, ἀλλὰ φαινόμεναι τοῖς παρὰ φύσιν ἔχουσιν. καθάπερ τὰ ἡδέα.

p. 1153a7 Ἔτι οὐκ ἀνάγκη ἕως ἐπεὶ εἰσὶν ἡδοναὶ καὶ σώφρονος.

Οἱ λέγοντες μὴ εἶναι τέλος τὴν ἡδονὴν μηδὲ ταὐτὸν τῇ εὐδαιμονίᾳ μάλιστα χρῶνται τῷ γένεσιν αὐτὴν εἶναι. πρὸς οὓς ἀποτεινόμενός φησιν εἶναι μὴ ἀναγκαῖον ἕτερόν τι τῆς ἡδονῆς τίθεσθαι βέλτιον. ὁμολογουμένως μὲν γὰρ ἄμεινον τὸ οὗ ἕνεκεν τοῦ ἕνεκά του καὶ διὰ τοῦτο πάσης γενέσεως τό τέλος ἄμεινον, οὗ ἕνεκεν ἡ γένεσις. ἀλλ᾽ οὐκ ἔστιν ἡδονὴ ἡ γένεσις, ὡς εἴρηται· οὐ μόνον δὲ οὐκ εἰσὶν ἐνέργειαι αἱ ἡδοναί, ἀλλ᾽ οὐδὲ μετὰ γενέσεως πᾶσαι. αἱ μὲν γὰρ μετὰ ἀναπληρώσεως, εἰ καὶ μὴ γενέσεις, ἀλλὰ μετὰ γενέσεως· τοιαῦται δέ εἰσιν αἱ διὰ τῆς τροφῆς ἡδοναὶ καὶ διὰ τοῦ θάλπεσθαι, ὁπότε ἐνδεήσει τοῦ θερμοῦ τὸ σῶμα, καὶ διὰ τοῦ ψύχεσθαι, ὁπότε ἐνδεήσει τοῦ ψυχροῦ. οὔτε δὲ αἱ διὰ τοῦ ὁρᾶν γινόμεναι ἡδοναὶ οὔτε αἱ διὰ τοῦ ἀκούειν μετὰ ἀναπληρώσεως· οὐ γὰρ προϋπαρχούσης ἐνδείας καὶ λύπης γίνονται. μάλιστα δὲ πασῶν αἱ διὰ τοῦ θεωρεῖν ἡδοναὶ πόρρω εἰσὶ τοῦ μετὰ ἀναπληρώσεως ἢ γενέσεώς τινος συμβαίνειν. ἐπεὶ οὖν γενέσεις μὲν οὐκ εἰσὶν αἱ ἡδοναί, ἐνέργειαι δὲ τῆς κατὰ φύσιν ἕξεως, οὐδὲν κωλύει αὐτὰς κατὰ τοῦτον τὸν λόγον τὸ ἄριστον εἶναι καὶ ταὐτὸν τῇ εὐδαιμονίᾳ. ἐπεὶ γὰρ διὰ τὸ γένεσιν εἶναι τὴν ἡδονὴν οὔ φησιν ἐγχωρεῖν εἶναι αὐτὴν τέλος, οὐ φαίνεται δὲ γένεσις οὖσα, τί κωλύει τέλος εἶναι ἡδονήν; ἀλλὰ τοὺς λόγους οἷς χρῶνται οἱ μὴ ἀγαθὸν αὐτὴν λέγοντες ἢ μὴ τέλος ἀνατρέπειν ⟨δεῖ⟩· τάχα δ᾽ ἂν πως εἴη καὶ τέλος, διότι σὺν τῷ τέλει καὶ τῇ εὐδαιμονίᾳ πάντως ἐστίν· πᾶσα γὰρ εὐδαιμονία μεθ᾽ ἡδονῆς· οὐ γινομένων οὖν συμβαίνουσιν αἱ ἡδοναὶ ἀλλὰ χρωμένων. τῶν γὰρ φυσικῶν ἕξεων ἐνεργουσῶν καὶ χρωμένων τισὶ συμ-

1 καταστάσι N 2 ἢ (ante τοῦ) Z: καὶ N πλείω Z 3 ἐνεργεῖ N 4 δεόμεθα N 6 οὔτε (ante κυρίως) scripsi: οὐδὲ ZN ἡδοναὶ Z: ἡ ἡδοναὶ N αἱ] lac. Z 8 ὡς πέπερι καὶ ὄξος τάττει Diels ἡδέα καὶ] έα καὶ: lac. Z 9 καμνόντων] καμ lac. Z 10 φαινο] lac. Z καθάπερ ἡ τὰ ZN 12 ἕως] lac. Z 13 ταυ: lac. Z 15 ὁμολογοῦμεν ὡς N 17 ἡ γένεσις (post οὗ ἕνεκεν) scripsit et delevit N 21 θερμοῦ — ἐνδεήσει τοῦ (22) om. Z 22 αἱ (post δὲ) om. N 24 διὰ τοῦ scripsi: διὰ τὸ ZN 29 ἡδονὴ Z: ἡ ἡδονὴ N οὓς N 30 ἀγαθὰ N ἀνατρέπην N δεῖ addidi 32 γινωμένων Z

βαίνουσιν αἱ ἡδοναί· τῆς μὲν οὖν θρεπτικῆς ψυχῆς χρωμένης σιτίοις καὶ ποτοῖς αἱ διὰ τῆς τροφῆς ἡδοναὶ γίνονται, τῆς δὲ ὁρατικῆς δυνάμεως χρωμένης τοῖς ὁρατοῖς καὶ ἐνεργούσης περὶ αὐτὰ ἡ ἀπὸ τῶν ὁρατῶν ἡδονὴ γίνεται, ἄλλης δὲ φύσεως ἢ ἕξεως ἄλλῳ τῳ χρωμένης ἄλλη προσγίνεται ἡδονή. εἰ δὲ καὶ δῴη τις παρὰ τὰς ἡδονὰς ἕτερόν τι γίνεσθαι, οὐκ ἐπὶ πασῶν τοῦτο ἔστιν, ἀλλ' ἐπὶ τῶν πρώτων κατὰ τελείωσιν τῆς φύσεως λεγομένων γίνεσθαι, αὗται δέ εἰσιν αἱ κατὰ τὴν ἀναπλήρωσιν. οὐ γὰρ διὰ τοῦτο τρεφόμεθα διὰ τὸ τρέφεσθαι οὐδὲ [διὰ] τὴν ἀπὸ τούτου ἡδονὴν αἱρούμεθα δι' αὐτήν, ἀλλ' ἵνα εἰς κατάστασιν τὴν φυσικὴν ἀγάγωμεν τὸ σῶμα. τέλος οὖν ἡ κατάστασις, ἕτερον οὖσα τῆς ἀναπληρώσεως καὶ τῆς κατὰ ταῦτα ἡδονῆς. ἐπεὶ οὖν οὐ πᾶσαι ἀποκαταστάσεις τινές εἰσιν εἰς τὸ κατὰ φύσιν (αἱ γοῦν κατὰ τὸ θεωρεῖν ἡδοναὶ οὐδὲν ἔχουσι τοιοῦτον οὐδὲ ἑτέρου ἕνεκεν γίνονται ἀλλ' εἰσὶν αὐτὸ τὸ τέλος), φανερόν, ὡς οὐδὲν ἂν κωλύοι εἶναί τινα ἡδονὴν τέλος. διόπερ οὐ καλῶς ἔχει αἰσθητὴν γένεσιν λέγειν τὴν ἡδονήν, ἀλλὰ μᾶλλον, φησί, λεκτέον ἐνέργειαν τῆς κατὰ φύσιν ἕξεως· τοῦτο γὰρ κοινὸν ἁπάσαις ταῖς ἡδοναῖς· ἀντὶ δὲ τοῦ αἰσθητὴν ἀνεμπόδιστον ῥητέον· οἱ μὲν γὰρ ἀποδιδόντες γένεσιν αὐτὴν οὕτως ἔλεγον γένεσιν εἰς φύσιν αἰσθητήν, αὐτὸς δὲ ἐνέργειαν τῆς κατὰ φύσιν ἕξεως ἀνεμπόδιστον εἶπεν. εἰ μὲν οὖν ἐν τῷ ἀνεμπόδιστον λέγειν ἐμφαίνεται καὶ τὸ αἰσθητόν, ἱκανῶς ἂν ἔχοι ὁ τῆς ἡδονῆς ὁρισμός· εἰ δὲ μὴ ἐμφαίνεται, δεῖ πάντως τὸ αἰσθητὸν προσκεῖσθαι. ἂν γὰρ ἐνέργεια μὲν ᾖ τῆς φύσεως καὶ ἀνεμπόδιστος, μὴ αἰσθητὴ δέ, οὐκ ἔσται ἡδονή, οἷον ἡ ἀνάδοσις τῆς τροφῆς ἐνέργεια μέν ἐστι τῆς φύσεως, οὐ μὴν αἰσθητή, διόπερ οὐδὲ ἡδονή. δοκεῖ δέ, φησί, γένεσις εἶναι ἡδονή, [ἢ] ὅτι κυρίως ἀγαθόν. τοῦτο δὲ λέγει, ἐπειδὴ τὸ κυρίως λεγόμενον ἀγαθὸν ἐνέργειαν νομίζει εἶναι· τὴν γοῦν εὐδαιμονίαν ἐνέργειαν τίθεται. ἐπεὶ οὖν καὶ ἡ ἡδονὴ ἐνέργειά τις, κυρίως ἂν εἴη ἀγαθόν. λέγει οὖν τοῦτο ὥσπερ μεμφόμενος τοῖς γένεσιν αὐτὴν λέγουσι καὶ διὰ τοῦτο ὅτι μὴ σπουδαῖον, ὡσανεὶ ἔλεγεν, ἐξ οὗ μάλιστα αὐτὴν ἔδει μὴ νομίζειν γένεσιν, ἐκ τούτου νομίζουσιν. ἔστι μὲν γὰρ ἐνέργεια καὶ διὰ τοῦτο κυρίως ἀγαθόν· οἱ δὲ διὰ τοῦτο γένεσιν λέγουσιν, ἀπατώμενοι τῷ νομίζειν ταὐτὸν τὴν ἐνέργειαν καὶ τὴν γένεσιν, ἔστι δὲ ἕτερον. καὶ ἀγαθὸν μὲν πάντες τὴν ἐνέργειαν οὐκ ἴσασιν οὖσαν, συνάγοντες δὲ εἰς ταὐτὸν τὴν ἐνέργειαν καὶ τὴν γένεσιν, ἡγοῦνται γένεσιν τὴν ἡδονήν. ἴσως μὲν οὖν ἔνιαι ἐνέργειαι γενέσεως αἰτίαι, οὐ μὴν οὐδὲ ἐκεῖναι γενέσεις· ἡ γὰρ οἰκοδομικὴ ἐνέργεια αἰτία μὲν γενέσεως, οὐ μὴν αὐτὴ γένεσις. ἔνιαι δὲ ἐνέργειαι καὶ ἁπλῶς τέλος, ὁπότε καὶ ἡ εὐδαιμονία ἐνέργειά τίς ἐστι κατ' ἀρετήν.

5 καὶ δῴη N: lac. Z παρὰ Z: περὶ N 5 τι scripsi: τε ZN 8 διὰ delevi 9 ἀγάγωμεν Z: ἀγαπῶμεν N 10 οὐ πᾶσαι] lac. Z 11 δοναὶ] lac. Z 12 εἰσὶν N: εἰς Z 13 κωλύει N τέλος — ἡδονὴν (14) om. Z 14 μᾶλον N φησὶ scripsi: φύσει ZN 16 δὲ Z: καὶ N 17 γένεσις (ante εἰς) N ἐνεργείας Z 18 εἶπεν scripsi: εἰπὼν ZN 21 ᾖ scripsi: ἐστιν ZN 22 ante τροφῆς Z scripsit et delevit φύσεως αἰσθητήν Z 23 ἢ delevi 27 ὅτι scripsi: τὸ N: om. Z ὡσανεὶ N: οἷς ἂν εἰ Z

πρὸς δὲ τοὺς λέγοντας εἶναι φαύλας τὰς ἡδονάς, ἐπειδὴ ἔνια τῶν ἡδέων νοσώδη ἐστίν, ἁπαντῶν φησι, τοῦτο καὶ περὶ ὑγιεινῶν οὐδὲν κωλύει λέγειν. ἔνια γὰρ τῶν ὑγιεινῶν πρὸς χρηματισμὸν φαῦλα. γυμναζόμενος γάρ τις καὶ ἐπιμελούμενος ἀεὶ τοῦ σώματος, τάχ' ἂν ἀμελήσειε χρηματισμοῦ. ἀλλ' οὐ διὰ τοῦτο ταῦτα φαῦλα εἶναι, ὅτι ποτὲ καί τινι πρὸς χρηματισμὸν ἐναντία ἐγένετο, ἀλλ' εἴπερ ἄρα κατὰ τοῦτο φαῦλα, κατὰ τὸ ἐμποδίζειν πρὸς χρηματισμὸν καὶ ποτὲ καὶ τινί, ἐπεὶ καὶ τὸ θεωρεῖν ποτε βλάπτει πρὸς ὑγίειαν, ὅταν ἐπὶ πλέον τις πρὸς θεωρίαν διατρίβων ὀλιγωρῇ τῆς αὑτοῦ ὑγιείας. ἆρ' οὖν διὰ τοῦτο φαῦλον τὸ θεωρεῖν, ἢ τῷ ἐπὶ πλέον αὐτῷ χρωμένῳ καὶ ἐκείνῳ πρὸς ὑγίειαν φαῦλον, οὐχ ἁπλῶς; ταὐτὸν δὴ ῥητέον, ὅτι καὶ ἡδέα ἔνια νοσώδη, καὶ ποτὲ καὶ τινὶ τῶν ἐπὶ πλέον ἢ δεῖ χρωμένων καὶ μὴ κατὰ καιρόν, ὃν προσήκει. ἀλλ' οὐ διὰ τοῦτο ἁπλῶς τὰ ἡδέα φαῦλα οὐδὲ αἱ ἡδοναί.

Ἐλέγετο δὲ καὶ διὰ τοῦτο φαῦλον ἡ ἡδονή, ὅτι ἐμποδίζει τῷ φρονεῖν καὶ τῷ νοεῖν· οὐδένα γὰρ δύνασθαι φρονεῖν οὐδὲ διανοεῖσθαι ἐν ἡδονῇ ὄντα. δηλοῖ δὲ τοῦτο μάλιστα ἡ τῶν ἀφροδισίων· ἐνίσταται οὖν καὶ πρὸς ταῦτα· οὔτε γὰρ φρονήσει, φησίν, ἐμποδίζει οὔθ' ἕξει οὐδεμιᾷ ἡ οἰκεία ἡδονὴ ἀλλ' ἡ ἀλλοτρία, ἐπεὶ αἵ γε οἰκεῖαι καὶ συναύξουσιν, οἷον εἴ τις διανοούμενος καλὰ ἢ ἀγαθὰ ἥδοιτο, ἐπίτασις ἐκ τῆς ἡδονῆς πρὸς τὸ διανοεῖσθαι γίνεται αὐτῷ· καὶ ἡ κατὰ τὸ θεωρεῖν ἡδονὴ αὔξει τὴν τοῦ θεωρεῖν δύναμιν καὶ ἡ ἀπὸ τοῦ μανθάνειν ἐπιδόσεις τῆς μαθήσεως ποιεῖ καὶ τέλος εἰς ἐπιστήμην καθίστησι καὶ καθόλου πᾶν ἔργον καὶ πᾶσα ἐνέργεια, γινομένη μεθ' ἡδονῆς, ἀνύεται μᾶλλον καὶ τελειοῦται. ἔτι τε λέγει, παντὸς ἀγαθοῦ τέχνην εἶναι, ἡδονῆς δὲ μὴ εἶναι τέχνην, οὐκ ἄρα ἀγαθὸν ἡ ἡδονή. καὶ τοῦτον λύει τὸν λόγον· τὸ γὰρ μὴ εἶναι τέχνης ἔργον μηδεμίαν ἡδονὴν εὐλόγως, φησίν, συμβέβηκεν. οὐδὲ γὰρ ἄλλης ἐνεργείας οὐδεμιᾶς τέχνη ἐστίν, ἀλλὰ τῆς δυνάμεως. οἷον ἡ ἰατρικὴ ἀπεργαστική ἐστιν ὑγιείας, δυνάμεως οὔσης τινὸς καὶ ἕξεως, οὐ μὴν τῶν ὑγιεινῶν ἐνεργειῶν, ἀλλ' ἡ μὲν ὑγίεια ἰατρικῆς ἔργον, αἱ δὲ ὑγιειναὶ ἐνέργειαι ἀπὸ τῆς ἕξεως ἐνεργοῦνται. ὡσαύτως δὲ καὶ ἡ εὐεξία· αὕτη μὲν γυμναστικῆς ἔργον, αἱ δὲ γυμναστικαὶ ἐνέργειαι οὐ γυμναστικῆς ἀλλὰ τοῦ ἔχοντος τὴν εὐεξίαν. ἐνσταίη δ' ἄν τις ἴσως πρὸς αὐτὸν δεικνὺς τὰς ἀπὸ τῶν τεχνῶν ἐνεργείας· πᾶσαι γὰρ ὑπὸ τῶν τεχνῶν ἐνεργοῦνται, αἱ μὲν ἰατρικαὶ ὑπὸ ἰατρικῆς, αἱ ⟨δὲ⟩ τεκτονικαὶ ὑπὸ τεκτονικῆς. ἐννοητέον δὲ ὅτι ὁ λόγος ἐστὶν αὐτῷ περὶ τῶν ἀγαθῶν, ὅσα ἐκ τέχνης γίνεται. ἀγαθὰ δὲ τὰ μὲν περὶ σῶμα, τὰ

---

1 ἡδέων Diels: ἡδονῶν ZN 2 ἁπαντῶν scripsi: ἁπάντων ZN 3 πρὸς N: περὶ Z 4 ἂν Z: ἂν καὶ N 5 ταῦτα φαῦλα Z: φαῦλα ταῦτ' N 8 θεωρείαν N ὀλιγωρεῖ N αὑτοῦ] αὐτοῦ ZN 9 πρὸς ὑγίειαν καὶ ἐκείνω N 10 ἔνια Z: ἔννοια N νοσώδης N 11 ἢ δεῖ scripsi: ἤδη ZN 15 τὸ νοεῖν Z ἕνα γὰρ] lac. Z 16 ἐμποδίζειν Z οὔθ'] οὔτε N: οὔτ Z οἰκία Z 18 ἐπιτάσης N 20 ἐπιδόσεις corr. ex ἐπίδοσις N 21 καθόλως N μεθ' ἡδονῆς γινομένη habuerat N sed correxit 23 ἀγαθὸν N: ἀγαθὴ N 24 μηδεμίαν Diels: μηδεμιᾶς ZN φησὶν om. Z 25 τέχνης Z ἡ om. N 27 ἰατρικοῦ N 28 ἐνεργοῦν N 29 αἱ δὲ αἱ N 32 αἱ τεκτονικαὶ N: ἡ τεκτονικὴ Z: δὲ addidi 33 τῶν scripsi: ὧν ZN σῶμα scripsi: σώματα N: σώματος Z

δὲ περὶ ψυχήν, τὰ δὲ ἐκτός· αἱ μὲν οὖν κατὰ τὰς τέχνας ἐνέργειαι οὐ πάντως ἀγαθά· ὅσαι δὲ ποιητικαὶ λέγονται ἀγαθῶν τινῶν εἰσιν, ἰατρικὴ ὑγιείας καὶ γυμναστικὴ εὐεξίας, δυνάμεώς εἰσιν ποιητικαί, ἀλλ' οὐκ ἐνεργειῶν. αἱ δὲ κατὰ τὴν σοφίαν ἐνέργειαί εἰσι μὲν ἀγαθαὶ καὶ κατὰ τὰς ἀρετάς γε οὖσαι ἐνέργειαι, οὐ χωρὶς ἐπιστήμης. ἀλλ' οὐ περὶ τῶν τοιούτων ἀγαθῶν ὁ λόγος ἀλλὰ περὶ τῶν ὑπὸ τέχνης τινὸς γινομένων. καὶ ταῦτα γὰρ ἰδίως ἐκάλουν τέχνας. ἐπεὶ οὖν ἡ ἡδονὴ ἐνέργεια, εὐλόγως οὐκ ἔστιν αὐτῆς τέχνη. εἶτα ἐκ περιουσίας δείκνυσιν, ὅπως εἰσί τινες τέχναι ἡδονῶν, ἤγουν μυρεψικὴ τέχνη καὶ ἡ ὀψοποιητική, τέλος ἔχουσα τὸ ποιῆσαι ἡδονάς. ἀλλὰ πρὸς τὸν λόγον ἐνίσταται τὸν λέγοντα μηδεμιᾶς ἡδονῆς τέχνην. ἐλέγοντο ⟨δὲ⟩ καὶ ἄλλοι τινὲς τοιοῦτοι λόγοι κατὰ τῆς ἡδονῆς· ὃ γὰρ φεύγει ὁ σώφρων, οὐκ ἀγαθὸν ἔφασαν εἶναι, φεύγει δὲ ὁ σώφρων τὴν ἡδονήν, οὐκ ἄρα ἀγαθόν· καὶ ἐπεὶ ὁ φρόνιμος οὐ τὴν ἡδονὴν διώκει ἀλλὰ τὴν ἀλυπίαν, οὐχ ἡ ἡδονὴ ἀγαθόν, ἀλλ' ἡ ἀλυπία. ἔτι ὃ διώκει τὰ ἀφρονέστατα οὐ σπουδαίων ἐστίν· διώκει δὲ τὰ ἀφρονέστατα τὴν ἡδονήν, τὰ θηρία καὶ τὰ παιδία, ὥστε οὐ σπουδαίων ἡ ἡδονή. τούτων δὴ τῶν λόγων πάντων μίαν κατὰ τὴν φύσιν λύσιν εἶναι· ἐπεὶ γὰρ εἴρηται πῶς ἀγαθαὶ ἁπλῶς πᾶσαι ἡδοναὶ καὶ πῶς οὐκ ἀγαθαί (ἁπλῶς μὲν γὰρ ἀγαθαί, ἐπεὶ τῆς κατὰ φύσιν ἕξεως ἐνέργειαί εἰσιν, οὐκ ἀγαθαὶ δὲ πᾶσαι, ἐπεὶ δοκοῦσι καὶ τῶν παρὰ φύσιν διακειμένων ἐνέργειαι ἡδοναὶ εἶναι· ἐκ ταύτης τῆς διαιρέσεως φανερὰν εἶναι τὴν λύσιν νενόμικε), τὰ θηρία καὶ τὰ παιδία τὰς τοιαύτας διώκει ἡδονάς. ποίας δέ, ἄξιον ἐννοῆσαι· οὐ γὰρ πάντως τὰς παρὰ φύσιν οἵας οἱ κάμνοντες, ἀλλὰ τὰς ἐν τούτῳ τῷ γένει· καὶ γὰρ τὰ θηρία καὶ τὰ παιδία τὰς κατὰ τὴν ἀναπλήρωσιν ἡδονὰς διώκει· ἐν γὰρ τούτῳ τῷ γένει εἰσίν, ἃς καὶ οἱ κάμνοντες καὶ οἱ παρὰ φύσιν διακείμενοι διώκουσιν· ἀναπληρώσεις γάρ εἰσι πᾶσαι. συναπτέον δὲ οὕτως τὴν λέξιν· τὰς τοιαύτας τὰ θηρία καὶ τὰ παιδία διώκει τὰς μετὰ ἐπιθυμίας καὶ λύπης, καὶ τὴν τούτων ἀλυπίαν ὁ φρόνιμος διώκει δηλονότι. οὐ γὰρ ἥδεσθαι βούλεται πάντως ταῖς σωματικαῖς ἡδοναῖς, ἀλλ' ἐξαρκεῖ αὐτῷ τὸ ἀλύπως ἔχειν ὑπὸ τῶν ἐναντίων. φεύγει δὴ οὐχ ἁπλῶς τὰς σωματικὰς ἡδονὰς ὁ φρόνιμος, ἀλλὰ τὰς ὑπερβολὰς αὐτῶν καθ' ἃς ὁ ἀκόλαστος. διὸ καὶ ὁ σώφρων φεύγει τὰς τοιαύτας ὑπερβολάς, ἐπεὶ εἰσί γε ἡδοναὶ καὶ σώφρονος· μέχρι γάρ τινος χρῆται ταῖς σωματικαῖς ἡδοναῖς καὶ ὁ σώφρων καὶ ὁποίαις τισίν.

1 ἐκτὸς] lac. Z   οὖν κατὰ τὰς τέχνας] lac. Z   2 τως ἀγαθὰ ὅσαι] lac. Z   ποιητικὰ λέγονται N: . . . ητικοὶ λέγονται Z   ὑγιεῖα Z   3 καὶ γυμναστικὴ] lac. Z   4 τὰς ἀρετάς γε] lac. Z   οὐ] lac. Z   6 νὸς γινομένων] lac. Z   ἀλουν] lac. Z   7 εὐλόγως] lac. Z   9 ὀψοποιητικὴ corr. ex ὀψωποιητικὴ N   10 μεδεμιᾶς Z   δὲ addidi   15 σπουδαῖον N   16 τὴν λύσιν Z   17 εἴρηται Aristoteles: εἴρηνται ZN   18 ἐπεὶ Z: ἐπὶ N   19 παρὰ Z: περὶ N   22 οἵας om. Z   24. 25 καὶ οἱ παρὰ φύσιν διακείμενοι] lac. Z   25 δὲ N: δὴ Z   25. 26 οὕτως τὴν λέξιν τὰς] lac. Z   26 τοιαύτην Z   τὰ θηρία corr. ex θεωρία Z   27 δηλονότι Diels: δῆλον ZN   28 τὸ Z: τῷ N   29 δὴ Z: δεῖ N   30 ὁ ἀκόλαστος ἀκόλαστος Arist.   διὸ scripsi ex Aristotele: δι' ἃς Z: διὰς N   32 χρῆται scripsi: χρῶνται ZN   33 ποιαῖς Diels

p. 1153b1 Ἀλλὰ μὴν καὶ ὅτι ἡ λύπη ἕως οὐ γὰρ ἁπλῆ οὐδ' ἐπιεικής.

Σπεύσιππον δέ φασιν οὕτω δεικνύειν ὅτι ἡδονὴ ἀγαθόν ἐστιν· τὸ ἐναντίον ἀγαθῷ κακόν· ἐναντίον δὲ ἡ λύπη, κακὸν οὖσα, τῇ ἡδονῇ· ἀγαθὸν ἄρα. ὁ δὲ Ἀριστοτέλης οὐχ οὕτως τὸν λόγον ἠρώτηκεν, ἀλλ' ἐπηνωρθώσατο εἰπών· τὸ ἐναντίον φευκτῷ ᾗ φευκτὸν ἀγαθόν· ἡ δὲ ἡδονὴ ἐναντίον τῇ λύπῃ φευκτῷ οὔσῃ καὶ οὐκ ἔστι κακὸν (οὐδεὶς γὰρ ⟨ἂν⟩ εἴποι κακὸν τὴν ἡδονήν)· ἀγαθὸν ἄρα. δύναται ὁ λόγος οὗτος πρὸς τοὺς κακὸν μὲν μὴ λέγοντας εἶναι τὴν ἡδονὴν μήτε δὲ ἀγαθὸν μήτε κακόν. ἡ μὲν οὖν ὅλη βούλησις τοῦ λόγου τοιαύτη, τὰ δὲ κατὰ τὴν λέξιν οὕτως ἔχει· τὴν λύπην πρῶτον τίθησι κακὸν μετὰ παραμυθίας. ἡ μὲν γὰρ ἁπλῶς ἐστι κακόν, ἡ τῶν μοχθηρῶν, οἷον ἡ τοῦ ἀδίκου ἣν λυπεῖται, ὅταν μὴ δύνηται ἀδικεῖν, ⟨καὶ⟩ ἡ τοῦ ἀκολάστου, ὅταν ἀνιᾶται κωλυόμενος τῇ ἀκολασίᾳ χρήσασθαι· ἡ δέ ἐστι λύπη οὐχ ἁπλῶς κακόν, ἣν ὁ ἐπιεικὴς λυπεῖται, διὰ τὸ μὴ ἀφ' ἕξεως εἶναι μοχθηρᾶς. κακὸν δ' ὅμως καὶ αὕτη διὰ τὸ ἐμποδιστικὴ εἶναι καλῶν ἐνεργειῶν· λυπούμενος γὰρ ὁ ἀγαθὸς ἐμποδίζεται πολλὰ πρὸς τὰς καλὰς ἐνεργείας. θεὶς δὲ διὰ τούτων κακὸν εἶναι τὴν λύπην, ἑξῆς λέγει τὸν ῥηθέντα πρόσθεν λόγον εἰς τὸ ἀγαθὸν εἶναι τὴν ἡδονήν.

Εἶται ἐπιφέρει· ὡς γὰρ Σπεύσιππος ἔλυεν, οὐ συμβαίνει ἡ λύσις. ἤτοι δὲ λύσιν λέγει τὴν δεῖξιν ἢ τῷ ὄντι ἔλυε τὸν λόγον τῶν φασκόντων μὴ εἶναι ἀγαθὸν τὴν ἡδονήν· οὐ μὴν αὐτάρκως ἔλυε λέγων· τὸ ἐναντίον κακῷ ἀγαθόν. ἐναντίον δὲ τῇ λύπῃ κακῷ ὄντι ἡδονή· ἀγαθὸν ἄρα· κακῷ γὰρ οὐ μόνον τὸ ἀγαθὸν ἐναντίον ἀλλὰ καὶ τὸ κακὸν ὡς τῇ θρασύτητι οὐ μόνον ἡ ἀνδρεία ἐναντίον, ἀγαθὸν οὖσα, ἀλλὰ καὶ κακόν, ἡ δειλία· διόπερ ὡς ἐναντία † τοῦ λύσαντος αὐτὸν εἶναι, ὀρθῶς θεὶς μὴ μόνον ἀγαθὸν εἶναι τῷ κακῷ ἐναντίον ἀλλὰ καὶ κακόν. εἶτα προσέλαβε τὴν ἡδονὴν μὴ εἶναι κακόν, ἐξ ὧν εὐλόγως συλλογίζεται τὴν ἡδονὴν ἀγαθὸν εἶναι. ὃ δὲ ἐπὶ πᾶσιν εἴρηκεν· οὐ γὰρ ἂν φαίη ⟨ὅπερ κακόν⟩ τι εἶναι τὴν ἡδονήν, τῷ λόγῳ † αὐτὴν συναπτέον ἐν ᾧ εἴληπται· 'οὐκ ἔστι δὲ κακὸν ἡ ἡδονή'· τούτῳ γὰρ συνεχὲς ἂν φαίη τὸ μὴ κακὸν εἶναι τὴν ἡδονήν.

Ὁ δὲ μετὰ ταῦτα λόγος ἔοικε λέγεσθαι πρὸς τοὺς μὴ φάσκοντας τέλος εἶναι τὴν ἡδονὴν μηδὲ τὸ ἄριστον, διότι εἰσί τινες ἡδοναὶ φαῦλαι, οἷον αἱ τῶν ἀκολάστων. ὅσον γὰρ ἐπὶ τούτῳ τῷ λόγῳ ἔστι τινὰ ἡδονὴν * ἡγεῖται

—

1 καὶ ὅτι ZN et Arist. KbMb: ὅτι καὶ Arist. vulg. 1. 2 οὐ — ἐπιεικής Arist. (p. 1154b31): παραπλήσιον δὲ ἐπὶ ὕλης ZN 4 ἀγαθῷ scripsi: ἀγαθὸν N: ἀγαθοῦ Z 6 φευκτῷ ᾗ φευκτόν, ἀγαθόν scripsi: φευκτῷ φευκτὸν ἢ ἀγαθόν ZN 7 ἂν ins. Diels εἴπῃ ZN 10 πρῶτον N: πρώτην Z 12 καὶ addidi 14 ἀφ' N: ἐφ' Z 15 αὕτη Diels: αὐτὴ ZN ἐνεργῶν Z 19 ὡς γὰρ—εἴρηται (p. 151,26) edidit Hase *Classical Journal* XXIX 115—117 27 ὁ ZN 28 ὅπερ κακόν addidi ex Arist. τι Arist.: τις ZN αὐτὴν ZN: αὐτοῦ Diels. 29 οὐκ ἔστι—ἡδονή cf. supra v. 6 ἡ om. Z ἂν] lac. Z, superest tamen spiritus cum accentu 31 ὁ δὲ—τὴν ἡδονὴν (p. 151,29) edidit Rose *Hermae* V 106 sq. 33 post ἡδονὴν lac. 8 fere litterarum ZN

τὸ ἄριστον καὶ ταὐτὸν τῇ εὐδαιμονίᾳ. ἀλλὰ πρὸς τοὺς οὕτω δεικνύντας ἐνίστανται· τί γὰρ κωλύει φαύλων ἡδονῶν οὐσῶν εἶναί τινα ἡδονὴν τὸ ἄριστον τῶν ἀνθρωπίνων ἀγαθῶν, ὥσπερ καὶ ἐπιστήμη τίς ἐστιν ἡ ἀρίστη τῶν ὄντων, οἷον ἡ σοφία, καίτοι πολλῶν τεχνῶν φαύλων οὐσῶν, οἷον τῶν βαναύσων· φαύλων δὲ οὐχ ὡς κακῶν ἀκουστέον, ἀλλ' ὡς εὐτελῶν καὶ μηδεμιᾶς σπουδῆς ἀξίων. ἃ δ' ἑξῆς ἐπιφέρει, τάχα ἄν τῳ δόξειεν ἀληθῆ ἀποφαινόμενα τὸ μέγιστον καὶ ἄριστον τὴν ἡδονήν. λέγει γὰρ ἴσως δὲ καὶ ἀναγκαῖον αἱρετώτατον εἶναι, δηλονότι τὴν ἡδονήν, τὸ δὲ αἱρετώτατόν τι εἶναι ἐπὶ τέλει ἐστὶ τοῦ λόγου καὶ συνηγορεῖται τῷ λόγῳ πάντων αἱρετώτατον εἶναι τὴν ἡδονὴν λέγοντι· εἰ γὰρ ἑκάστης ἕξεώς εἰσί τινες ἐνέργειαι ἀνεμπόδιστοι, οἷον αἱ τῶν ἀρίστων, ὅταν ἐν προηγουμένοις καὶ αἱρετοῖς γίνωνται μηδενὸς ἐμποδίζοντος, καὶ ἔστιν ἡ εὐδαιμονία ἡ πασῶν τῶν ἕξεων τουτέστι τῶν ἀρετῶν ἐνέργεια ἢ τινὸς αὐτῶν ἀνεμπόδιστος οἷον τῆς σοφίας (ταὐτὸν δὲ τούτῳ καὶ ἡδονή· ἐνέργεια γὰρ ἀποδέδοται τῆς κατὰ φύσιν ἕξεως ἀνεμπόδιστος), φανερὸν ὡς ἂν εἴη τις ἡδονὴ τὸ ἄριστον καὶ τελειότατον τῶν ἀγαθῶν, εἰ οὕτως ἔτυχε φαύλων οὐσῶν ἡδονῶν. ἔστι δέ, ὥς φησι, τὰ ἑξῆς τῆς φράσεως· ἴσως δὲ ἀναγκαῖον αἱρετωτάτην εἶναι τὴν ἡδονήν. εἴπερ ἑκάστης ἕξεως καὶ τὰ ἑξῆς· διὰ μὲν οὖν τούτων δοκεῖ ταὐτὸν ἀποφαίνεσθαι τἀγαθὸν καὶ τὴν ἡδονήν· οὐ μὴν οὕτως ἔχει, ἀλλὰ πρὸς τοὺς λέγοντας γένεσιν εἶναι ἢ φαύλας τινὰς τῶν ἡδονῶν, οἷς καὶ δι' αὐτὸ τὸ μὴ εἶναι αὐτὴν τὸ ἀγαθὸν ἐπιγίνεται [καὶ], ἐπιχειρεῖ ἐνδόξως ὡς ἐνὸν αὐτὴν τὸ ἄριστον λέγειν, ἐπεὶ ἔν γε τοῖς Νικομαχείοις, ἔνθα διείληπται καὶ περὶ ἡδονῆς Ἀριστοτέλης σαφῶς εἴρηκεν αὐτὴν μὴ ταὐτὸν εἶναι τῇ εὐδαιμονίᾳ ἀλλὰ παρακολουθεῖν 'ὥσπερ τοῖς ἀκμαίοις τὴν ὥραν'. σημεῖον δὲ τοῦ μὴ εἶναι τοῦτ' Ἀριστοτέλους ἀλλ' Εὐδήμου τὸ ἐν τῷ * λέγειν περὶ ἡδονῆς ὡς οὐδέπω περὶ αὐτῆς διειλεγμένου· πλὴν εἴτε Εὐδήμου ταῦτά ἐστιν εἴτε Ἀριστοτέλους, ἐνδόξως εἴρηται· διὰ τοῦτο λέγεται τὸ ἄριστον ἡδονή, ὅτι σὺν τῷ ἀρίστῳ καὶ ἀχώριστον αὐτοῦ. τούτῳ δ' ὁμολογεῖ καὶ τὰ ἑξῆς· διὰ γὰρ τοῦτό φησι πάντας τὸν εὐδαίμονα βίον νομίζειν ἡδὺν καὶ ἐμπλέκειν αὐτῷ τὴν ἡδονήν. οὐδεμία γὰρ ἐνέργεια τέλειος ἐμποδιζομένη, ἡ δὲ εὐδαιμονία τέλειος ἐνέργεια. ἔοικε γὰρ διὰ τούτων φανερὸν ποιεῖν, ὅτι ἐμπέπλεκται τῇ ἡδονῇ ἡ εὐδαιμονία καὶ ἀχώριστός ἐστιν αὐτῆς καὶ διὰ τοῦτ' ἀνεμπόδιστος ἡ εὐδαιμονία, διότι μεθ' ἡδονῆς. καὶ ἀντιστρέψαντι δὲ ἀληθὲς εἰπεῖν· ἐπειδὴ ἀνεμπόδιστός ἐστι, διὰ τοῦτο μεθ' ἡδονῆς·

1 τὸ ἄριστον] lac. Z 2 τί γὰρ κω] lac. Z 6 τάχα] lac. Z ἀληθεῖ N 7 δὲ om. Z 8 ἐπιτελεῖ ZN: corr. Rose 9 συνηγορεῖ τί Z 10 ἕξεως ἕξεως Z 11 αἱ τῶν] lac. Z 14 ἡ ἡδονή Rose ἀποδίδοται Z 20 οἷς Rose: ἃς ZN: secl. Spengel τὸ (ante μὴ) secl. Spengel αὐτὴν Spengel: αὐτὸ ZN 21 καὶ seclusi ἐνὸν N: ἐν Z 22 νικομαχίοις Z ἡδονῆς Rose: ἡδονὰς ZN Ἀριστοτέλης post αὐτὴν Z 22. 23 εἴρηκεν] K 4 p. 1174b33 24 τὴν Z σημεῖον Rose: σημειωτέον ZN 25 post τῷ lacuna 6 fere litterarum N: intercidisse videtur δεκάτῳ ἡδονὰς Z 27 τούτῳ] τούτου N: του Z 29 αὐτῷ N: αὐτοῦ Z 30 τέλειος N: τέλος Z τούτων N: τοῦτο Z 31 ποιεῖν ὅτι ἐμ] lac. Z καὶ ἀχώριστος — εὐδαιμονία (32) om. Z ἀχώρηστος N

τάχα δὲ καὶ διὰ τοῦτο ἐνέργεια ἡ ἡδονή, ὅτι εἰδός ἐστι παρακολουθοῦν τῇ εὐδαιμονίᾳ· διὰ δὲ τοῦτό φησι προσδεῖσθαι τὸν εὐδαίμονα τῶν ἐκτὸς ἀγαθῶν καὶ τῶν ἐν σώματι, ὅπως μηδὲν πρὸς τὰς προηγουμένας ἐνεργείας ἐμποδίζηται. καὶ ἐνταῦθα ἐμμελῶς ἐπιμέμφεται τοῖς λέγουσιν εὐδαίμονα τὸν ἀγαθόν, κἂν ἐπὶ τοῦ τροχοῦ κατατείνηται. διὰ δὲ τὸ προσδεῖσθαι τῆς τύχης τὸν εὐδαίμονα ταὐτόν τινες ἡγοῦνται εὐδαιμονίᾳ τὴν εὐτυχίαν. οὐκ οὖσαν ταὐτὸν ἀλλὰ τὸν οὗ οὐκ ἄνευ λόγον ἐπέχουσαν· οὐ γάρ ἔστιν εὐδαιμονεῖν ἄνευ τῆς εὐτυχίας. φησὶ δὲ καὶ ὑπερβάλλουσαν τὴν εὐτυχίαν ἐμπόδιον γίνεσθαι τῇ εὐδαιμονίᾳ καὶ ἴσως οὐδὲ εὐτυχίαν ἔτι εἶναι. ὅρος γὰρ εὐτυχίας τὸ εὐδαιμονίᾳ παρεῖναι καὶ ταῖς κατ' ἀρετὴν ἐνεργείαις. ὅτι δὲ ἀληθῆ λέγει, δῆλον· αἱ γὰρ ὑπερβάλλουσαι εὐτυχίαι διαφθείρουσι πολλάκις τοὺς λογισμούς, ὑπερηφανίας καὶ μεγαλαυχίας ἐμπιπλῶσαι· καὶ εἰ μὴ διαφθαρείη γέ τις, ὑπερβάλλοι δὲ αὐτῷ ἡ τῶν χρημάτων κτῆσις, ἀνάγκη ἀσχολίαν αὐτῷ παρέχειν καὶ ἀπάγειν τῆς περὶ τὰ κάλλιστα διατριβῆς καὶ θεωρίας· τοῦτο δὲ οὐκ εὐτυχές. ὅτι δὲ πρὸς τοὺς κατὰ τῆς ἡδονῆς λόγους ἐνιστάμενος ἐπιχειρεῖ, καὶ ἐκ τῶν ἑξῆς φανερόν. ὃ γὰρ ἔλεγόν τινες εἰς ἀπόδειξιν τοῦ φαῦλον εἶναι τὴν ἡδονὴν τὸ τὰ θηρία καὶ τὰ παιδία διώκειν αὐτήν, τοῦτό φησιν ὑπὲρ τῆς ἡδονῆς μᾶλλον λέγεσθαι. σημεῖον γὰρ τίθεσθαι τὸ ὑπὸ πάντων αὐτὴν διώκεσθαι τοῦ εἶναι τὸ ἄριστον τὴν ἡδονήν. καὶ ἐντεῦθεν παρέλαβε τὸ ποιητικόν· φήμη δ' οὔτις πάμπαν ἀπόλλυται· οὐ γὰρ ἂν μάτην, ὡς ἔοικε, διώκεται ὑπὸ πάντων, ἀλλ' εὐλόγως, ἐπεὶ σύνεστι τῇ εὐδαιμονίᾳ.

Τὸ δὲ μετὰ ταῦτα λεγόμενον γένοιτο ἂν γνώριμον μικρὰ προβάλλουσι. παντὸς πράγματος κανὼν καὶ μέτρον ὁ κατὰ φύσιν διακείμενος, οἷον ὑγιεινὰ σιτία καὶ ποτὰ τὰ τῷ κατὰ φύσιν διακειμένῳ ἁρμόζοντα· καὶ ἀγαθὰ δὲ τῷ ὄντι τὰ τῷ σπουδαίῳ ἀγαθά, κἂν μὴ τῷ φαύλῳ τύχῃ ἀγαθὰ ὄντα· καὶ ἡδονὴ τοίνυν ἐστὶ τῷ ὄντι ἀλλ' οὐ φαινομένη ἡ τῷ κατὰ φύσιν διακειμένῳ καὶ ἡδέα τὰ τούτῳ ἡδέα. τὰ δὲ τῷ νοσοῦντι καὶ παρὰ φύσιν ἔχοντι οὐχ ἁπλῶς ἡδέα ἀλλὰ τούτῳ καὶ τότε ὅτε νοσεῖ. ἐπεὶ οὖν αἱ φύσεις διαφέρουσι τῶν ζῴων, διαφέροι ἂν καὶ τὸ ἄριστα ἔχον καθ' ἑκάστην φύσιν· ἔστι γὰρ καὶ ἐν τοῖς ἄλλοις ζῴοις τὸ μὲν νοσωδῶς ἔχον, τὸ δὲ παρὰ φύσιν· κριτήριον τῆς ἀληθοῦς ἑκάστου ζῴου ἡδονῆς ἡ τῷ κατὰ φύσιν διακειμένῳ ἁρμόττουσα. ἐπεὶ οὖν οὐχ ἡ αὐτὴ φύσις οὔτε ἕξις ἡ ἀρίστη, ἀλλ' ὡς διαφέρουσιν αἱ νοσώδεις

---

2 μονα] lac. Z 4 ζηται] lac. Z 5 τὸ προσδεῖσθαι τῆς τύχης] lac. Z 6 εὐδαιμονίᾳ τὴν scripsi: εὐδαιμονίαν καὶ ZN οὐκ — διαφθείρουσι (11) lac. Z 10 ἀληθεῖ N 11 ὑπερηφανείας N 12 γέ τις scripsi: δέ τις ZN ὑπερβάλλει N 14 κάλιστα Z θεωρείας N 15 κατὰ N: τατὰ Z ἐπειχειρεῖ N: ἐπι . . . ρεῖ Z ἑξῆς om. Z 17 ὑπὲρ τῆς Diels: ὑπὸ τῆς N: lac. Z 18 γάρ τινα τίθεσθαι N τὸ ὑπὸ] lac. Z αὐτὴν διώ] lac. Z 19 τὸ ἄριστον] lac. Z ποιη] lac. Z τὸ ποιητικόν] Hes. Opp. 763 19. 20 οὔτις ZN et Arist. Kb: οὔ τί γε Arist. vulg. 22 προβάλλο . . . Z 23 παντὸς πράγματος N: παντὶ πράγματι Z κανὼν καὶ μέτρον cf. Γ 6 p. 1113a33 24 ἁρμόζοντα N: ἁρμόζοντι Z 25 κἂν Z: καὶ N τύχει N 27 ἔχοντι N: ἔχοντα Z 29 καθ' — ἔχον (30) in marg. Z καθ' N: καὶ δι' Z 30 ἔχον Z: ἔχων N 31 μόττουσα] lac. Z

οὕτως καὶ αἱ ἄρισται, διὰ τοῦτο διάφοροι αἱ ἡδοναὶ καὶ οὐ τὴν αὐτὴν διώκουσιν, ἡδονὴν μέντοι πάντες διώκουσι. ταῦτα δὲ εἰπὼν ὥσπερ μεταθέμενος λέγει· ἴσως δὲ καὶ διώκουσιν οὐχ ἣν οἴονται οὐδ' ἣν φαῖεν ἄν, ἀλλὰ τὴν αὐτήν. τοῦτο δὲ περὶ τῶν ἀνθρώπων εἴρηται· τὸ γὰρ 'φαῖεν ἂν' καὶ τὸ 'οἴονται' ἀνθρώποις οἰκεῖον. εἰ καὶ περὶ πάντων εἴρηται τῶν ζῴων, κοινότερον τὴν φαντασίαν οἴησιν τοῦ νοῦ λέγοντα καὶ φάσιν. πάντα γὰρ ἔοικε τὴν ἀνεμπόδιστον τῆς φύσεως ἐνέργειαν διώκειν καὶ πάντα ἔχειν ἀντίθεσιν· ἔστι δὲ θεῖόν τι ἐν τοῖς ζῴοις καὶ μάλιστα ἐν τοῖς λογικοῖς. εἴ τις ἐφίεται τῆς οἰκείας ἐνεργείας καὶ ἀνεμποδίστου καὶ διὰ τοῦτο καὶ ἡδονῆς. ἔστι μὲν οὖν ἡ ἀρίστη καὶ τελειοτάτη τῶν ἡδονῶν ἡ αὐτὴ καθ' αὑτὴν τῆς ψυχῆς, ὅταν θεωροῦσα τὰ κάλλιστα καὶ θειότατα τῶν ὄντων χαίρῃ. ὅμως δὲ μόναι εἰλήφασι τὸ τῆς ἡδονῆς ὄνομα αἱ σωματικαὶ ἡδοναί· μόναι γὰρ καὶ δοκοῦσιν ἡδοναὶ καὶ λέγονται. αἴτιον δὴ διὰ τὸ πλειστάκις αὐταῖς ἐντυγχάνειν τρεφομένους καθ' ἑκάστην ἡμέραν θαλπομένους ψυχομένους, ἔστι δὲ ὅτε καὶ τῇ σφοδροτάτῃ χρωμένους ἡδονῇ, τῇ τῶν ἀφροδισίων· ἔτι δὲ τῷ τούτων μὲν πάντας μετέχειν ἀνθρώπους, τῶν δὲ θεωρητικῶν ὀλίγους· ἐπεὶ οὖν μόναι γνώριμοί εἰσι πᾶσιν, μόνας οἱ πλεῖστοι τῶν ἀνθρώπων ἡδονὰς ταύτας νομίζουσιν.

Ὁ δὲ ἑξῆς λόγος λέγεται πάλιν πρὸς τοὺς ἡγουμένους τὴν ἡδονὴν μήτε ἀγαθὸν εἶναι μήτε κακόν. εἰ γὰρ μὴ ἔστιν ἀγαθὸν ἡ ἡδονὴ καὶ ἡ τοιαύτη ἐνέργεια, οὐκ ἔστιν ἀναγκαῖον ζῆν ἡδέως τὸν εὐδαίμονα, ἀλλ' ἐγχωρεῖ καὶ λυπηρῶς ζῶντα εὐδαιμονεῖν. ἡ γὰρ ἡδονὴ οὔτε κακὸν οὔτε ἀγαθὸν καὶ ἡ λύπη οὐδέτερον τούτων ἐστίν· οὐδέτερον γὰρ † ἐναντιοῦν φεύγει τὴν λύπην, ὁ δὲ εὐδαίμων, ἀλλ' οὐχ ὁμοίως. ἐπ' αὐτὴν ἔρχεται ὥσπερ ἐπὶ τὴν ἡδονήν. ὁ δὲ λόγος ἐν βραχέσιν εἰπεῖν τοιοῦτος· εἰ μὴ ἔστιν ἀγαθὸν ἡ ἡδονή, οὐδὲν μᾶλλον δεῖ ζῆν τὸν εὐδαίμονα ἡδέως ἢ λυπηρῶς· δεῖ δὲ μᾶλλον αὐτὸν ἡδέως ζῆν ἢ λυπηρῶς· ἀγαθὸν ἄρα ἡ ἡδονή· ἔτι δὲ εἰ μὴ ἡδὺς ὁ τοῦ σπουδαίου βίος οὐδὲ αἱ ἐνέργειαι αὐτοῦ ἡδεῖαι, ἀλλὰ μὴν καὶ αἱ ἐνέργειαι αὐτοῦ ἡδεῖαι καὶ ⟨ὁ⟩ βίος ἄρα. δεῖ δὲ λαβεῖν τὰς ἐνεργείας εἶναι ἡδείας ὅταν ἐν προηγουμένοις ὦσιν.

Ἐγένετο δέ τις δόξα τῶν λεγόντων τὰς μὲν σωματικὰς ἡδονὰς μὴ εἶναι ἀγαθὸν ἀλλ' οὔτε ἀγαθὸν οὔτε κακόν, ἐνίας δὲ εἶναι ἡδονὰς σφόδρα αἱρετάς, οἷον τὰς καλάς. αὗται δέ εἰσιν αἱ γινόμεναι, ὅταν ἡ ψυχὴ ἐνεργῇ περὶ τὴν τῶν καλλίστων θεωρίαν ἢ πρᾶξιν. πρὸς δὲ τούτοις ἐνιστάμενός φησι τοῖς λέγουσιν ὅτι ἔνιαι ἡδοναὶ αἱρεταὶ σφόδρα, οἷον αἱ καλαί, ἀλλ' οὐχ αἱ

1 διὰ τοῦτο Diels: διά του ZN 2 τοι πάντες διώκουσι] lac. Z 3 καὶ om. Z οἴονται Z: οἰόντε N φαῖεν ἄν ZN: ἂν φαῖεν Arist. 4 τοῦτο Z: τούτω N 5 κοινώτερον Z 6 an λέγοντι? 8 τι ἐν scripsi: πᾶν ZN λογικοῖς Z: λογιστικοῖς N 9 τοῦτο καὶ N: τῆς Z 11 μόν Z 12 αἱ σω] lac. Z μόναι] lac. Z 13 τὸ N: τοῦ Z πλειστάκις αὐταῖς ἐντυγχάνειν] lac. Z 14 θαλπομένους ψυχομένους] lac. Z ἔστη ZN ὅτε καὶ τῇ] ὅ....... Z 15 χρωμένος N τῶν Z: τῷ N 17 μόνας N: μόνον Z 22 τούτων scripsi: τοῦτο ZN 28 ὁ addidi βίος] lac. Z 28. 29 ἐμπροηγουμένοις ZN 31 αἱρετάς Arist.: ἀρετάς ZN 33 καλίστων Z 34 αἱρεταὶ] ἀρεταὶ ZN

σωματικαὶ καὶ περὶ ἃς ὁ ἀκόλαστος· οὐ γὰρ καλῶς, ὡς ἔοικεν, ὑπολαμβάνουσιν αὐτὰς εἶναι διὰ τὸ καὶ ἀκολασίαν ἐπιδέχεσθαι. τοῖς δὴ ταῦτα λέγουσιν ἐπισκεπτέον, διὰ τί αἱ ἐναντίαι λῦπαι μοχθηραί; κακῷ γὰρ ἀγαθὸν ἐναντίον. φαίνεται δὲ χρῆσθαι πρὸς αὐτοὺς τῷ λόγῳ, οὗ καὶ πρότερον ἐμνήσθη. ἐπεὶ γὰρ τῇ λύπῃ κακῷ οὔσῃ ἐναντίον ἐστὶν ἡ ἡδονὴ καὶ οὐ κακόν, ὁμολογεῖσθαι ἀνάγκη αὐτὴν ἀγαθὸν εἶναι. ἢ εἴποιεν ἂν οὕτως ἀγαθὰς αὐτὰς εἶναι, ἐπειδὴ καὶ τὸ οὐ κακὸν ἀγαθὸν δοκεῖ; καὶ ταῦτα εἰπὼν ἐπιφέρει τὸ αὐτῷ δοκοῦν. τὰς γὰρ σωματικὰς ἡδονὰς μέχρι του ἀγαθὰς εἶναι, ὅταν ἔχωσι μέτρον καὶ ὅρον, ὅταν δὲ ὑπερβάλλωσι τοῦ δέοντος, φαύλας. ὅσων μὲν γὰρ ἕξεων οὐκ ἔστιν ὑπερβολὴ τοῦ βελτίονος, οὐδὲ τῆς ἐξ αὐτῶν ἡδονῆς ἐστιν ὑπερβολή· βελτίονος δὲ ὑπερβολή ἐστιν ἡ φθαρτικὴ τοῦ βελτίονος. οἷαί εἰσιν αἱ ταῖς ἀρεταῖς παρακείμεναι ὑπερβολαί· αἷς οὖν ἕξεσι μὴ ὑπάρχει τοῦτο, ὥστ' εἶναί τινας αὐταῖς παρακειμένας ὑπερβολάς, οὐδὲ τῆς ἀπ' αὐτῶν ἡδονῆς ἐστιν ὑπερβολή, οἷον τῆς θεωρητικῆς ἕξεως οὐκ ἔστιν ὑπερβολή. οὐδὲ ὅλως τῆς σοφίας· οὐδὲ γὰρ λέγεται περὶ πράξεις εἶναι ἀλλὰ περὶ θεωρίαν καὶ γνῶσιν· οὐδ' ἡ ἀπὸ τοῦ θεωρεῖν οὖν ἡδονὴ ὑπερβολήν τινα ἔχει ἀλλ' ἐφ' ὁσονοῦν γινομένη οὐκ ἀπολείπεται τοῦ καλοῦ καὶ ἀγαθοῦ εἶναι· ὅσων δέ ἐστιν ἕξεων καὶ κινήσεων ὑπερβολή, καὶ τῆς ἡδονῆς ἐστιν, οἷον τῇ σωφροσύνῃ παράκειταί τις ὑπερβολὴ ἡ ἀκολασία, καὶ ἡ ἡδονὴ τοίνυν ὑπερβάλλουσα περὶ τὸ ἡδέα τὰ σωματικὰ φαύλη ἐστὶ καὶ ψεκτή· καθόλου δέ φησιν ὁ Ἀριστοτέλης σωματικῶν ἀγαθῶν πάντων εἶναι ὑπερβολήν· καὶ γὰρ τῆς ὑγιείας ὑπερβολή τίς ἐστιν ἡ ἀσυμμετρία τῶν ψυχρῶν ἢ τῶν θερμῶν ἢ τῶν ἄλλων, ἐξ ὧν κέκραται τὸ σῶμα, ὅταν ὑπερβολὴν ἔχῃ, καὶ ὁ φαῦλος λέγεται ⟨τῷ⟩ διώκειν τὴν ὑπερβολήν, ἀλλ' οὐχὶ τῷ τὰς ἀναγκαίας ἡδονὰς μεταθεῖν, ἐπεὶ πάντες χαίρουσί πως καὶ ὄψοις καὶ οἴνοις καὶ ἀφροδισίοις, ἀλλ' ὁ ἀκόλαστος οὐχ ὡς δεῖ. ἐναντίως δὲ ἔχει ἐπὶ τῆς λύπης· οὐ γὰρ τὴν ὑπερβολὴν φεύγει, ἀλλ' ὅλως πᾶσαν λύπην οὐδὲ τὸ μικρότατον ἀνεχόμενος πονεῖν, εἰ καὶ μέλλει τι ἀγαθὸν ἐργάσασθαι· οὐ γάρ ἐστι, φησί, τῇ ὑπερβολῇ τῆς ἡδονῆς ἡ λύπη ἐναντία, ἀλλ' ἡ ἐναντία ὑπερβολὴ οὖσα καὶ αὐτή. ἣν φεύγει ὁ διώκων τὴν τῆς ὑπερβολῆς ἡδονήν· ἀλλὰ πᾶσαν φεύγει λύπην· ταῦτα δὲ εἴρηκεν ἐνδεικνύμενος ὅτι εἰσί τινες ἡδοναὶ σωματικαὶ αἱρεταί, καὶ μέχρι του· αἱ δὲ ὑπερ-

1 καὶ περὶ N: καίπερ Z ὁ ἀκόλαστος· οὐ γὰρ] lac. Z ὡς om. N 1. 2 ὑπολαμβάνειν N 2 ἀκολασίας Z 3 ἐπισκεπτέον] lac. Z 4 χρεῖσθαι N 5 τῇ λύπῃ] lac. Z 6 ὁμολογεῖσθαι Z: ὁμολογεῖται N 7 ἐπειδὴ N: ἐπεισ cum unius litterae spatio Z εἰπὼν Z: εἰ . . ν Z 8 τὸ αὐτῷ scripsi: τῷ αὐτῷ ZN μέχρι τοῦ] lac. Z εἶναι] lac. Z 9 ὑπερβάλωσι Z φαῦλαι—ὑπερβολὴ (10)] lac. Z 10 αὐτῶν scripsi: αὐτοῦ ZN ἡδονῆς — ἡ φθαρ (11)] lac. Z 11 οἷαι—αἷς (12) lac. Z 12 ἕξεσι scripsi: ἕξεστι ZN μὴ—ἔστιν (14)] lac. Z 14 δὲ ὅλως — θεωρίαν (15)] lac. Z 15 λέγεται Diels: μήτε N 16 οὐδ'—ὅσον] lac. Z ἔχει scripsi: ἔχειν N 19 τις] lac. Z 22 ψυχθρῶν N ἔχῃ] ἔχει ZN ὁ φαῦλος Arist.: φαύλη ZN 23 τῷ addidi 24 μεταθεῖν scripsi: μεταθεῖναι ZN 25 καὶ (ante ὄψοις) om. N 27 πονεῖν scripsi: ποιεῖν ZN 29 διώκτων Z 30 πᾶσαν φεύγει N: πᾶσι φεύγειν Z εἴρηκεν] lac. Z 31 τιναῖς N αἱρεταί] ἀρεταί ZN

βολαὶ αὐτῇ ἡμάρτηνται, αἱρετώταται δὲ ὡς ἀληθῶς εἰσιν αἱ ἀπὸ τῶν καλλίστων ἐνεργειῶν γινόμεναι, περὶ τὰ κάλλιστα καὶ ἄριστα ἐνεργούσης τῆς ψυχῆς.

Ἐπεὶ δὲ δοκοῦσι τοῖς πολλοῖς αἱ σωματικαὶ ἡδοναὶ αἱρετώταται εἶναι, τὸ αἴτιον τοῦ ψεύδους τούτου ῥητέον εἶναί φησι. συμβάλλεται δὲ πρὸς τὴν τοῦ ἀληθοῦς πίστιν ἡ αἰτία τῆς ἀπάτης φανερὰ γινομένη. τοῦ δὴ φαίνεσθαι τὰς σωματικὰς ἡδονὰς αἱρετωτέρας τῶν ἄλλων πρῶτον μὲν αἴτιον, ὅτι ἐκκρούουσι τὴν λύπην καὶ ἀπωθοῦσιν. οἱ δὲ ἄνθρωποι χαίρουσι διαφερόντως ἅμα μὲν ἡδόμενοι, ἅμα δὲ ἀπατώμενοι τοῦ λυπηροῦ. αἱ δὲ θεωρητικαὶ καὶ εἴ τινές εἰσιν αὐτῆς τῆς ψυχῆς ἄλλαι καθαραὶ εἰλικρινεῖς πάσης λύπης εἰσίν. ἔοικεν οὖν ἡ σωματικὴ ἡδονὴ οἷον ἰατρεία τις εἶναι τοῦ λυπηροῦ καὶ ὅσῳ ἂν ὑπερβάλλωσι τοσούτῳ μᾶλλον δοκοῦσιν ἰατρεῖαί τινες εἶναι· εἰσὶ δὲ καὶ σφοδραὶ σχεδὸν ἅπασαι αἱ σωματικαί, διὸ καὶ διώκονται. ἔτι δὲ πᾶν τὸ παρὰ τὸ ἐναντίον φαινόμενον μᾶλλον τοιοῦτον φαίνεται, ὥσπερ τὸ λευκὸν μᾶλλον διαφαίνεται παρακείμενον τῷ μέλανι. διὰ τοῦτο οὖν καὶ ἡ σωματικὴ ἡδονὴ μᾶλλον δοκεῖ ἡδονὴ παρακειμένη τῇ σωματικῇ λύπῃ. ταῦτα μὲν οὖν εἴρηκε πρὸς τοὺς ἡγουμένους τὴν σωματικὴν ἡδονὴν αἱρετωτάτην εἶναι καὶ προέχειν τῶν ἡδονῶν πασῶν· εἰσὶ δέ τινες, οἳ τὴν ἐναντίαν δόξαν ἔχουσι περὶ αὐτῆς καὶ δι' αὐτὴν καθόλου περὶ πάσης ἡδονῆς· οὐ σπουδαῖον γὰρ νομίζουσι πᾶσαν ἡδονήν. † ἀπ' αὐτῆς ἑξῆς λέγει· διὰ γὰρ δύο ταῦτά φησι δοκεῖ τὴν ἡδονὴν μὴ εἶναι σπουδαῖον· δι' ἓν μέν, ὅτι εἰσί τινες φαύλης φύσεως πράξεις, τουτέστιν ἐνέργειαι ἢ ἐκ γενετῆς, ὥσπερ θηρίου (αἱ γὰρ τῶν ἀγριωτάτων ἡδοναὶ φαυλόταται· τοιαῦται δὲ καὶ ⟨αἱ⟩ τῶν θηριωδῶν ἀνθρώπων), ἢ ἐξ ἔθους, οἷον αἱ τῶν φαύλων ἀνθρώπων. μία μὲν οὖν αὕτη αἰτία, δι' ἣν διαβέβληται καὶ ἡ ἡδονή· ἑτέρα δὲ ὅτι εἰσί τινες ἡδοναὶ ἰατρεῖαι, οἷον αἱ τῶν καμνόντων, καὶ καθόλου ⟨αἱ⟩ μετὰ ἀναπληρώσεως· ὡς σπουδαῖαι δὴ δοκοῦσαι, ὅτι τοῦ ἐνδεοῦς ἰατρεῖαι καὶ ἀναπληρώσεις [δοκοῦσι], καὶ βέλτιόν ἐστι τὸ ἔχειν ὁτιοῦν ἢ γίνεσθαι. αἱ δὲ ἡδοναὶ γενέσεις φαίνονται αἱ τοιαῦται διὰ τὸ μὴ ἀναπληρώσεως γίνεσθαι. διό φησι συμβαίνειν τὰς ἡδονὰς ταύτας τελειουμένων· οὐ γὰρ αὗται τελειώσεις εἰσὶν οὐδὲ γενέσεις ἀλλὰ τῷ ἐνεργεῖν τὴν φύσιν, ὅταν γένεσις καὶ ἀναπλήρωσις ᾖ. κατὰ συμβεβηκὸς οὖν σπουδαῖαι αἱ σωματικαὶ ἡδοναί, ἐπειδὴ τότε γίνονται αἱ ἐνέργειαι τῆς φύσεως, ἡνίκα ἡ ἐνέργεια δοκεῖ οὐ σπουδαῖα εἶναι, διότι ἀτελής· φαίνονται οὖν ἐκ τούτων αἱ αἰτίαι, καθ' ἃς διαβέβληνται καθόλου αἱ ἡδοναί.

---

2 ἐνεργῶν Z   κάλιστα Z   4 τὸ αἴτιον τοῦ ψεύδους] lac. Z   5 τοῦ ἀληθοῦς—αἴτια] lac. Z   πίστην N   6 ὅτι om. Z   8 ἀπατώμενοι N: ἀπατ...... Z   9 αὐτῆς Z: αὐτῶν N   ἄλλαι scripsi: ἀλλὰ N: πολλὰ Z   10 οἷον Z: οἷονϊ N   ὅσ. Z   11 τοσούτῳ Z: τοσοῦτον N   13 τὸ ἐναντίον] lac. Z   14 διαφαίνεται—μέλανι] lac. Z   15 ἡδονὴ - λύπῃ] lac. Z   παρακειμένει N   16 αἱρετωτάτην] lac. Z   17 προσχεῖν N   οἳ om. Z   ἐναντείαν N   ἔχουσι N: ἔχοντες Z   18 αὐτῆς scripsi: τῆς ZN   19 ἀπ' αὐτῆς corrupta; fortasse τὰς δ' αἰτίας scribendum   20 τινὲς corr. ex τιναὶς Z   21 ἐνέργειαι ἢ Diels: ἐνέργεια ἡ ZN   22 αἱ addidi   25 αἱ (ante μετὰ) add. Diels   δὴ N: δὲ Z   26 ἐνδεεῖς ZN   δοκοῦσι seclusi   29 τελειουμένων ZN et Arist. $M^b O^b$: τελειουμένων Arist. vulg.   οὐ] lac. Z   τῷ scripsi: τὸ ZN   32 ἀτελής N: ἀτελής Z

Ταῦτα δὲ εἰπὼν ἐπάνεισι πάλιν ἐπὶ τὰς αἰτίας, δι' ἃς σφόδρα σπουδάζονται αἱ σωματικαὶ ἡδοναί· διώκονται γὰρ ὑπὸ τῶν ἄλλαις μὴ δυναμένων χαίρειν· ἄπειροι γὰρ καὶ ἄγευστοι ὄντες τῶν ἐλευθερίων ἡδονῶν πειρῶνται πορίζειν αὑτοῖς τὰς διὰ τοῦ σώματος· διὸ δίψας τινὰς αὑτοῖς παρασκευάζουσιν, ἵνα πίνοντες ἥδωνται. αἱ μὲν οὖν ἀβλαβεῖς ἀνεπιτίμητοι· καὶ γὰρ ὁ ἐπιεικὴς διὰ γυμνασίων καὶ πόνων πειράσεται παρασκευάζειν αὑτῷ ἡδέα καὶ τὰ βρώματα καὶ τὰ ποτά· ἐὰν δὲ ἐπὶ βλάβην μηχανῶνται τὰς παρασκευάς, φαῦλοι καὶ ἐπίψογοι, οἷον ὡς οἱ πεπληρωμένοι καὶ ὅμως ἡδονῆς ἕνεκα μηχανώμενοι, ὅπως πάλιν πίωσιν ἢ φάγωσιν ἢ τὴν δι' ἀφροδισίων ἡδονὴν καρπώσωνται. διὰ γὰρ τὸ μὴ ἔχειν ἄλλα ἐφ' οἷς χαίρουσι ταῦτα ποιοῦσι. τὸ δὲ μηδέτερον τὸ μήτε ἥδεσθαι μήτε λυπεῖσθαι πολλοῖς λυπηρὸν † καὶ τὸ δοκεῖν ἡ κρατίστη αὐτῷ εἶναι κατάστασις· ὃ δέ φησι πολλοῖς ἀλγεινὸν εἶναι, τοῦτο διὰ τὴν φύσιν. ἀεὶ γὰρ πονεῖ τὸ ζῷον, ὥσπερ καὶ οἱ φυσιολόγοι λέγουσιν. ὁ γὰρ Ἀναξαγόρας ἔλεγεν ἀεὶ πονεῖν τὸ ζῷον διὰ τῶν αἰσθήσεων. ταῦτα δὲ οὐχ ὡς συγκατατιθέμενος λέγει ἀλλ' ἱστορῶν· ἐπεὶ οὐκ ἐδόκει γε αὐτοῖς ἀεὶ ἐν πόνῳ εἶναι τὸ ζῷον. καὶ τὸν Ἀναξαγόραν αἰτιᾶται Θεόφραστος ἐν Ἠθικοῖς λέγων ὅτι ἐξελαύνει ἡδονὴ λύπην ἥ γε ἐναντία, οἷον ἡ ἀπὸ τοῦ πίνειν τὴν ἀπὸ τοῦ διψῆν, καὶ ἡ τυχοῦσα, τουτέστιν ἥτις οὖν ἂν εἴη ἰσχυρά, ὥστε ἐνίοτε πεῖναν ἐξελαύνει καὶ ἀκοῆς ἡδονή, ὅταν ᾄσμασιν ἢ ἄλλοις τισὶν ἀκούσμασι διαφερόντως χαίρωμεν. καὶ διὰ ταῦτα ἀκόλαστοι γίνονται ἄνθρωποι· ἵν' ὅλως γὰρ μὴ λυπῶνται μηδὲ ἀλγῶσι, μεγάλας καὶ σφοδρὰς ἡδονὰς ἑαυτοῖς πορίζουσι.

Λέγει δὲ ἑξῆς, ὃ καὶ πρόσθεν εἶπεν, ὅτι ἄνευ λυπῶν ἡδοναὶ οὐκ ἔχουσιν ὑπερβολήν· αὗται δέ εἰσιν αἱ τῶν φύσει ἡδέων καὶ μὴ κατὰ συμβεβηκός· λέγει δὲ καθ' αὑτὰ ἡδέα ὅσα μὴ ἰατρείας ἕνεκα καὶ ἀναπληρώσεως λαμβάνομεν· τοιαῦτα δέ ἐστι τὰ θεωρήματα· καθ' αὑτὰ γάρ ἐστιν ἡδέα καὶ διὰ τὴν αὐτῶν φύσιν· κατὰ συμβεβηκὸς δὲ εἰς τὴν ἀναπλήρωσιν. ἐπεὶ γὰρ τότε συμβαίνει ἰατρεύεσθαι καὶ ἀναπληροῦσθαι, ὅταν τὸ ἐν ἡμῖν ὑγιεινὸν ἐνεργῇται, τουτέστιν ἡ φύσις ὑγιεινῶς ἔχουσα· διὰ τοῦτο καὶ αὐτὰ ἡδέα γίνεται· φύσει δὲ ἡδέα φησὶν ἃ ποιεῖ πρᾶξιν τῆς τοιᾶσδε φύσεως. πρᾶξιν μὲν οὖν εἴρηκεν ἀντὶ τοῦ ἐνέργειαν· τῆς δὲ τοιᾶσδε φύσεως

1 δι' αἷς Z 2 πολλῶν ante τῶν add. Z 3 ἄγευτοι Z 4 πειρόνται Z αὑτοῖς] αὐτοῖς ZN τινας om. N αὑτοῖς Z: αὐτοῖς N 5 πίνοντες] πίνωντες ZN ἀβλαβεῖς] lac. Z: αἱ βλαβεῖς N 6 περάσσεται N παρασκευάζεται N 7 ἡδέω N ἐπιβλαβᾶ N: ἐπιβλα$^{\beta}$ Z 8 πεπληρω] lac. Z 9 μηχανόμενοι Z 10 ἄλλα ἐφ' οἷς] lac. Z 11 τὸ μήτε ἥδεσθαι μήτε] lac. Z 12 ἀλγεινὸν — ὥσπερ (13)] lac. Z ἀλγεινὸν corr. ex ἀλγεινῶν N 13 αἰεὶ N 14 ὁ γὰρ—διὰ τῶν] lac. Z αἰεὶ N τῶ ζώων N 15 συγκαταθέμε Z, sequitur lac. — αὐτοῖς (16) 16 ζῷον corr. ex ζώων N 16. 17 τιᾶται Θεόφραστος] lac. Z 17 ὡς Θεόφραστος Diels ἐξελαύνῃ N γε ZN: τε Arist. ἐναντία scripsi: ἐναντίον ZN 18 ἡ ἀπὸ τοῦ] lac. Z: οἱ ἀπὸ τοῦ N 19 ὥς] lac. Z 21 μεγάλα Z 22 ἑαυτο . . . . ρίζουσιν Z 24 ὑπερβολήν Arist.: ἡδονὴν ZN αὗται] αὐταὶ ZN φύσεων Z ἡδέων Arist.: ἕξεων N: ἕξ Z 27 αὐτῶν ZN 29 ὑγιαινὸν N ἐνεργεῖται N ἔχουσι Z διὰ τοῦτο] lac. Z 30 γίνονται Z φησὶν Z: εἰσὶν N

τῆς ἀρίστης ἔοικε λέγειν οἷά ἐστιν ἡ θεωρητική. ἔοικε δὲ † σημαινόμενον ἴδιον λέγειν τῇ φύσει· εἴωθε μὲν γὰρ καὶ εἰς τὴν ἀναπλήρωσιν, ἂν τὸ μέσον ἔχῃ φύσει ἡδέα λέγειν, διότι τῶν κατὰ φύσιν διακειμένων ἡδέα ἐστί, νῦν δὲ φαίνεται φύσει ἡδέα λέγειν τὰ τῇ ἀρίστῃ φύσει ἡδέα μόνα· τοῦ δὲ μηδὲν εἶναι ἡδὺ ἀεὶ τὸ αὐτὸ ἡμῖν αἴτιον λέγει τὸ μὴ ἁπλῆν ἡμῶν εἶναι τὴν φύσιν ἀλλ' ἐνεῖναί τι καὶ ἕτερον, διὸ φθαρτοί ἐσμεν· σημαίνει δὲ διὰ τούτων, ὅτι οὐκ ἔστιν ἡμῶν τὸ σῶμα ἐξ ἑνὸς σώματος ἀλλ' ἐκ πλειόνων συγκείμενον, ὥστε ἐὰν θάτερον τῶν ἐν ἡμῖν ἐνεργειῶν πράττῃ τῇ ἑτέρᾳ φύσει παρὰ φύσιν εἶναι, οἷον τὸ θερμὸν σφόδρα ἐνεργοῦν τῷ ψυχρῷ, τοῦτο ἐναντίον εἶναι· ὅταν δὲ ἰσάζῃ πάντα, οὔτε ἡδὺ δοκεῖ οὔτε λυπηρὸν εἶναί τι γινόμενον, ἐπεὶ εἰ ἡ φύσις ἁπλῆ, καθάπερ δοκεῖ δαιμονίων τινῶν καὶ τῶν ἄστρων, ἡ αὐτὴ πρᾶξις καὶ ἐνέργεια αὐτοῖς. διὸ καὶ ὁ πρῶτος θεὸς ἀεὶ μίαν καὶ ἁπλῆν χαίρει ἡδονήν, ἁπλουστάτης ὢν φύσεως καὶ οὐσίας· ἐπεὶ δὲ εἴρηται ἡδονὴ ἐνέργεια, ὑπολαμβάνουσι δέ τινες τὴν ἐνέργειαν κίνησιν ἢ κινήσεώς τι ἔργον, ὁ δὲ πρῶτος θεὸς ἀκίνητος, φησὶν οὐ μόνον κινήσεως εἶναι ἐνέργειαν ἀλλὰ καὶ ἀκινησίας· εἶδος γάρ τι ἡ ἐνέργεια καὶ τελειότης. διὸ καὶ ἡ ἡδονὴ μᾶλλον ἐν ἠρεμίᾳ ἐστὶν ἢ ἐν κινήσει· ἡ γὰρ ἡδίστη καὶ ἀληθεστάτη ἡδονὴ τῷ ὡσαύτως ἔχοντι καὶ ἀεὶ περὶ τὴν τῶν καλλίστων θεωρίαν ἐνεργοῦντι· ὃ δὲ λέγουσί τινες "μεταβολὴ πάντων γλυκύ" περὶ τῆς πονηρίας καὶ εὐμεταβόλου φύσεως λέγουσι· τοιαύτη δὲ ἡ φθαρτή.

2 ἂν — φύσει (3)] lac. Z 2 ἔχει N 3 λέγει Z 4 φύσει — τὰ] lac. Z μόνα scripsi: μόνη ZN 5 ἡδὺ — αἴτιον] lac. Z 6 ἕτερον· διὸ φθαρτοὶ] lac. Z 7 συγκειμένων N 8 ὥστε καὶ ἐὰν N θάτερον N: ..τερον Z πράττῃ ex Arist. addidi 9 τῷ θερμῷ N ἐνεργοῦν] ἐνεργεῖ Z: ἐνερ͂ N 10 ἰσάζει N 11 εἰ scripsi: ἡ ZN δοκεῖ om. Z 13 ἁπλ..... Z φύσεως] φύσεων ZN 14 ἐνέργειαν κίνησιν ἢ] lac. Z κινήσεως N: φύσεως Z 15 ὁ δὲ] lac. Z θεὸς ἀκίνητος] lac. Z 16 εἶδος — καὶ τε] lac. Z 18 ἐν — καλλίστη (18)] lac. Z ἡδίστη] ἠστὴ N 18 περὶ — καλλίστων] lac. Z 19 τινες] Eur. Or. 234 γλυκύτατον falso Arist. libri ...κὺ Z 19. 20 εὐμεταβολίας N 20 φθαρτικὴ Z

p. 1155a3 Μετὰ δὲ ταῦτα περὶ φιλίας ἕως τοῦ λανθάνοντας ὡς ἔχουσιν ἑαυτοῖς.

Περὶ φιλίας οἰκειότατόν ἐστιν διελθεῖν τῷ περὶ ἠθῶν καὶ ἀρετῶν ἐπισκοποῦντι· ἔστι γὰρ ἀρετή τις ἢ μετ' ἀρετῆς, ὥς φησι. καὶ γὰρ μίαν τῶν ἀρετῶν ἔστιν εἰπεῖν τὴν φιλίαν οὕτως ὡς τὴν ἀνδρείαν καὶ τὴν σωφροσύνην καὶ τῶν ἠθικῶν ἀρετῶν ἑκάστην. καὶ γὰρ αὕτη περὶ πάθη καὶ πράξεις ἐστὶν ὥσπερ αἱ λοιπαί. καὶ γὰρ πράξεις εἰσὶ φιλικαὶ καὶ τὸ φιλεῖν πάθος τι. ἔτι δὲ μεσότης κολακείας λέγοιτ' ἂν καὶ ἀνωνύμου τινὸς διαθέσεως, οἷον ἀγριότητός τινος οὔσης ἢ δυσκολίας ἀνθρώπου μὴ πεφυκότος πρὸς ἡδονὴν ὁμιλεῖν. καὶ ὁ μὲν κόλαξ κατὰ τὴν ὑπερβολὴν σφόδρα ἡδὺς εἶναι βουλόμενος, ὁ δὲ φίλος μέσως τούτῳ χρῆται. ὅτε δεῖ ἡδὺς γινόμενος, ὅτε δὲ μὴ δεῖ, μὴ γινόμενος, ὁ δὲ ὅλως ἐλλείπων ἐν τῷ ἡδὺς εἶναι κατὰ τὴν ἔλλειψιν τέτακται. ἴσως δὲ καὶ ἄλλως ἔστιν ἐπινοῆσαι τὸν ὑπερβάλλοντα καὶ τὸν ἐνδέοντα, τὸν μέν τινα μανικῶς χρώμενον τῷ φιλεῖν καὶ ὑπερβαλλόντως, οἷος λέγεται ὁ Σάτυρος πρὸς τὸν πατέρα γεγονέναι, ὃς οὐδὲ ζῆν εἵλετο ἀποθανόντος τοῦ πατρός, τὸν δὲ ὅλως ἀπαθῆ καὶ μήτε δυνάμενον φιλεῖν μήτε βουλόμενον, τὸν δὲ φίλον μέσως χρώμενον τῷ φιλεῖν. εἰς μὲν οὖν ταῦτα σκοπῶν τάχα ἄν τις λέγοι ἀρετήν τινα τὴν φιλίαν· ᾗ δὲ δοκεῖ τῷ ἐναρέτῳ εἶναι οἰκεῖον ἡ φιλία καὶ μόνοις ὑπάρχειν τοῖς τελείως ἀγαθοῖς, μετ' ἀρετῆς ἂν δόξειεν ἡ φιλία. ἔστι δὲ μιᾷ τῶν ἀρετῶν προσνεῖμαι αὐτήν, τῇ δικαιοσύνῃ. ἥ τε γὰρ δικαιοσύνη ἰσότης τίς ἐστιν ἀπονεμητικὴ καὶ ἡ φιλία τοῖς

Libri BNZa

1 Ἀσπασίου σχόλια εἰς τὸ ὄγδοον τῶν τοῦ Ἀριστοτέλους ἠθικῶν νικομαχείων a θῆτα BN ἠθικῶν νικομαχείων N 2 ἕως—ἑαυτοῖς (3) om. a 4 ἐστιν om. Ba 5 ἢ rubro B 8 ὥσπερ ZN: ὡς Ba φιλικαὶ] lac. Z 10 ἀγριότητι N δυσκολείας Z 11 εἶναι—ἡδὺς (12) om. Z 12 δεῖ om. Ba γενόμενος N 14 νοῆσαι B 15 οἷον Z 16 Σάτυρος] cf. H 6 p. 1148a34 ὃς καὶ οὐδὲ ZN 19 οἰκεῖα Z 20 καὶ—φιλία (21) om. Z 21 δὲ καὶ μιᾷ Ba 22 ἰσοτῖς Z ἐστιν om. ZBa

φίλοις ἰσότητα παρέχει. ἴσους γὰρ ἀνάγκη εἶναι τούς γε τῷ ὄντι φίλους, 135v ὥστε μόριον ἄν τι εἴη δικαιοσύνης. διὰ μὲν οὖν ταῦτα ἀρετήν τινα εἶπεν 26 αὐτὴν ἢ μετ' ἀρετῆς. ἐπεὶ δὲ τῶν ἀγαθῶν τὰ μέν ἐστιν ἀναγκαῖα, τὰ δὲ καλά, καθ' ἑκάτερα τούτων τὴν φιλίαν ἀγαθὸν δεῖξαι βούλεται. ἀναγκαῖον δὲ εἴωθε μὲν λέγειν οὗ χωρὶς οὐχ οἷόν τε ζῆν, νῦν δὲ λαμβάνει ἀναγκαῖον, οὗ χωρὶς ζῆν οὐδεὶς ἂν ἕλοιτο τῶν κατὰ φύσιν ἐχόντων· τοιοῦτον γὰρ ἡ φιλία. οὐδεὶς γὰρ ἂν ἕλοιτο ἄνευ αὐτῆς ζῆν τῶν μὴ διεφθαρμένων τὴν φύσιν. φησὶ δὲ αὐτὴν ἀναγκαίαν εἶναι καὶ πλουτοῦσι καὶ δυναστείας με- 30 γάλας κεκτημένοις καὶ πένησι καὶ νέοις καὶ πρεσβυτέροις καὶ ἀκμάζουσι. τοῖς μὲν οὖν πλουτοῦσι καὶ ἐν δυναστείαις οὖσι χρεία φίλων, ἐπεὶ μηδὲν ὄφελος τοῦ πλούτου καὶ τῆς δυνάμεως, εἰ μὴ χρῶνται αὐτοῖς· χρῆσις δὲ πλούτου καὶ δυνάμεως ἐν τῷ εὐεργετεῖν. ἡ δὲ καλλίστη εὐεργεσία καὶ μάλιστα ἀξιόπιστος ἡ πρὸς τοὺς φίλους. δόξει δὲ ἡ ἐγχείρησις αὕτη οὐκ ἀναγκαῖόν τι δεικνύναι τὴν φιλίαν ἀλλὰ μᾶλλον καλὸν ἢ καλοῦ αἴτιον, εἴ γε αἰτία ἐστὶν εὐεργεσίας· ἡ δὲ εὐεργεσία τῶν καλῶν. ἀλλὰ δεῖ μεμνῆσθαι 35 πῶς λαμβάνει τὸ ἀναγκαῖον, οὗ χωρὶς οὐκ ἂν ἕλοιτο ὁ κατὰ φύσιν ἔχων πλοῦτον, καὶ εἰ πλούσιός ἐστι ζῆν ἄλλως ἢ εὐεργετῶν· τούτου δὲ ἀποστερεῖται ὁ ἄφιλος. τὸ δὲ ἑξῆς καὶ σφόδρα ἀναγκαῖον δείκνυσι τὴν φιλίαν τῷ πλουτοῦντι· πρὸς γὰρ φυλακὴν καὶ σωτηρίαν τῶν ὑπαρχόντων τοῖς πλουτοῦσι μεγάλη δύναμις ἡ παρὰ τῶν φίλων· καὶ μὴν ἐν πενίᾳ καταφυγὴ καὶ ἐπικουρία οἱ φίλοι.

Πάλιν δὲ ὅταν λέγῃ καὶ νέοις πρὸς τὸ ἀναμάρτητον συνεργεῖν τοὺς 31 φίλους ἐπανορθοῦντας καλόν τι | δόξει λέγειν τὴν φιλίαν μᾶλλον ἢ ἀναγκαῖον. 136r ἴσως μὲν οὖν καὶ καλὸν ἡ ἐπανόρθωσις, οὐ μὴν ἀλλὰ καὶ ἀναγκαῖον· κωλύει γὰρ μεγάλοις περιπίπτειν κακοῖς. δῆλον δὲ ὅτι καὶ πρεσβυτέροις συνεργεῖ καὶ τοῖς ἐν ἀκμῇ· καὶ μὴν ἡ φύσις πρὸς τὰ ἔγγονα φιλίαν μηχανᾶται ἀναγκαίως, οὐ μόνον ἐν ἀνθρώποις, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ζῴοις, ὅπως ἐκτρέφηται. φιλίαν δὲ νῦν λαμβάνει κοινότερον ἀντὶ τῆς φιλήσεως, ἥτις ἀρχὴ 5 μὲν ἴσως φιλίας ἐστί, φιλία δὲ οὔπω, ἐπειδὴ ἡ φιλία ἐν ἀντιφιλοῦσίν ἐστιν· καὶ τοῖς ὁμοεθνέσι δὲ ἀναγκαίως ἡ φύσις ἐνειργάσατο πρὸς ἀλλήλους φιλίαν, ὅπως τὴν παρ' ἀλλήλων ἐπικουρίαν ἔχωσι· καὶ τοῖς ἀνθρώποις φύσει

1 γε Z: τε N: om. Ba 3 μετὰ ἀρετῶν B ἐστιν om. Ba 4 ἑκάτερον a 5 οἷον Ba λαμβάνει ἀναγκαῖον om. Ba 6 ζῆν om. B 7 ἄνευ αὐτῆς ζῆν ante ἂν ἕλοιτο Ba 8 δυναστείας μεγάλας Ba: δυναστείαν μεγάλην ZN 10 χρείαν B 10. 11 μηδὲ ὄφελος πλούτου καὶ δυνάμεως Ba 11 τοῦ πλούτου om. N χρῆσις] χρὴ B 12. 13 μάλλιστα N 14 ἢ καλοῦ scripsi: εἰ καλοῦ Z: εἰ καλλοῦ N: εἰ καὶ καλοῦ Ba 15 δεῖ ZBa: δὴ N 16 καὶ πῶς a 17 εἰ N: ἢ ZBa 18 ἀναγκαίαν ZBa 22 λέγει ZN καὶ om. Z 23 λέγει a 24. 25 κωλύειν N 25 συνεργῆ N 26 ἔγγονα corr. ex ἔκγονα N 27 ἐν (ante τοῖς) om. a 28 ἐκτρέφηται Ba: corr. ex ἐκτρέφεται Z: ἐκτρέφεται N νῦν om. a λαμβάνοι N κινότερον N 29 ἴσως φιλίας] lac. Z ἐστί (prius) om. Ba ἐπεὶ Ba 30 ἐν (ante τοῖς) add. ZN τοῖς ὁμοεθνέ] lac. Z ἐνειργάσατο B: ἐνηργήσατο ZNa ὅπως — ἔχωσι lac. Z

ὑπάρχει φιλία πᾶσι πρὸς πάντας· δῆλον δὲ τοῦτο ἐν ταῖς πλάναις μάλιστα· 136r καὶ γὰρ μὴ ἐπισταμένοις τὰς ὁδοὺς μηνύουσι καὶ ὑποδέχονται καὶ ἐπικουροῦσιν, ἄν γε μὴ ὑπὸ πλεονεξίας διεστραμμένοι ὦσι. πάλιν δὲ φιλίαν ἐπὶ τῶν ὁμοεθνῶν καὶ τῶν ἀνθρώπων τὴν εἰς φιλίαν ἐπιτηδειότητα ληπτέον καὶ 10 τὴν ἐφέλκυσιν. καὶ τὰς πόλεις δὲ συνέχει ἡ φιλία· ἡ γὰρ ὁμόνοια ὅμοιόν τι τῇ φιλίᾳ· τὸ γὰρ κοινὸν ἀγαθὸν ποθοῦσιν οἱ ὁμονοοῦντες· τοῦτο δὲ ὅμοιον φιλικῇ ἐνεργείᾳ. καὶ φίλων μὲν ὄντων οὐδὲν δεῖ δικαιοσύνης πρὸς ἀλλήλους. δίκαιοι δὲ ὄντες προσδέονται φιλίας διὰ τὰ εἰρημένα περί τε πλουσίων καὶ πενήτων καὶ νέων καὶ ἀκμαίων καὶ πρεσβυτέρων. καὶ τῶν δικαίων δὲ τὸ μάλιστα φιλικὸν εἶναι δοκεῖ. πολλὰ γὰρ εἴδη τοῦ δικαίου, καθάπερ ἐλέχθη ἐν τοῖς περὶ δικαιοσύνης, οἷον 15 τὸ πολιτικὸν καὶ τὸ πατρικὸν καὶ τὸ δεσποτικόν· τούτων δὲ τὸ μάλιστα δίκαιόν ἐστι τὸ πολιτικόν. ὅπερ ὅμοιόν τί ἐστι τῷ φιλικῷ· κατ' ἰσότητα γάρ ἐστι τῶν κοινωνῶν. εἴρηται δὲ ὅτι καὶ ἡ φιλία βούλεται τοὺς φίλους ὡς οἷόν τε φίλους εἶναι. τάχα δ' ἄν τις καὶ οὕτως ἀποδέξαιτο, ὅτι πάντων τῶν δικαίων μάλιστα δίκαιόν ἐστι τὸ πρὸς τοὺς φίλους. πρὸς γὰρ τούτους μάλιστα φυλακτέον ἐστὶ τὰ καλούμενα δίκαια φιλικά. ὅτι δὲ οὐ μόνον δίκαιόν ἐστιν ἡ φιλία ἀλλὰ καὶ καλόν, δεδήλωκεν αὐτός.

Διαμφισβητεῖται δὲ περὶ τῆς φιλίας. οἱ μὲν γὰρ ὁμοιότητά τινα 20 30 λέγουσιν αὐτήν, ἐπειδὴ καθ' ὁμοιότητα ἔθους δοκεῖ συνίστασθαι, οἱ δὲ τοὺς μὲν ὁμοίους ἐναντίως ἔχειν πρὸς ἀλλήλους, τοὺς δὲ μὴ ὁμοίους πως ἀλλ' ἐναντίους εἶναι φίλους. ἑκάτερον δὲ τούτων ἐνδόξως ἐπικεχείρηκε, τὰ παροιμιωδῶς λεγόμενα παρατιθέμενος καὶ ποιητῶν δόξας καὶ φιλοσόφων. ἐπεὶ δέ τινες τῶν φιλοσόφων ἀπορώτερον ἐπιόντες καὶ τὸ πᾶν καθ' ὁμοιότητα συνεστάναι λέγουσιν, οἱ δὲ κατ' ἐναντίωσιν, ταύτας μὲν τὰς σκέψεις ὡς φυσικὰς ὑπερτίθεται· ὅσα δὲ οἰκεῖά ἐστι τῇ ἠθικῇ πραγματείᾳ, ταῦτα ἀπορεῖ, 35 καὶ προτείνει δύο ἀπορίας· τὴν μέν, εἰ ἐν πᾶσιν οἷόν τε γενέσθαι ἢ ἀμήχανον μοχθηροὺς ὄντας φίλους εἶναι, ἔτι δὲ εἰ πλείω εἴδη φιλίας ἐστὶν ἢ ἕν. οὐκ οἰητέον δὲ αὐτὸν ζητεῖν, εἰ οὕτως ἐστὶ πλείω εἴδη ὡς ὑφ' ἓν γένος τεταγμένα, ἀλλ' ἐν πλείοσι τῆς φιλίας εἴδεσι μόνον ἐστὶ κοινὸν ὄνομά τι καὶ ὁμώνυμόν τι ἡ φιλία. δηλώσει δὲ προϊὼν ὅτι τοιαύτην ποιεῖται τὴν ζήτησιν.

Οἱ μὲν γὰρ οἰόμενοι, φησίν, ἓν εἶναι τὴν φιλίαν, ὅτι δέχεται τὸ μᾶλλον 41 καὶ τὸ ἧττον, οὐχ ἱκανῷ πεπιστεύκασι σημείῳ· ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν.

---

1 πᾶσι — δὲ] lac. Z πρὸς πάντας scripsi: *ad omnis* versio lat.: πρὸς πάντα ZNBa 2 τὰς ὁδοὺς μη] lac. Z 2. 3 κουροῦ] lac. Z 3 μὴ] μένων N ονεξίας] lac. Z 5 ἔχει ἡ] lac. Z ἡ γὰρ ZBa: καὶ γὰρ N 6 κοινὸν corr. ex καινὸν N ποθοῦσιν Z: ποριζουσιν NBa 9 ἀμαίων Z 11 εἴδη] ἤδει N ἐλέχθη] E 10 13 φιλικῷ corr. ex φυσικῷ Z 14 κοινῶν Z 15 ἀποδέξαιτο Ba: ἀποδέξετο N: ἀποδέξεται Z 17 φιλακτέον N 19 τῆς φιλίας] αὐτῆς a, ut Aristoteles 20 τοῦ ἔθους a 24 ἐπεὶ — φιλοσόφων om. Z ἀπορρώτερον N 26 τῇ ἠθικῇ πραγματία N: τῷ ἠθικῷ πράγματι a 28 ἐστὶν om. Za 30 τῆς φιλίας ZN: τοῖς φιλίας B: τοῖς φίλοις a 33 δέχεται libri cum Arist. Ob: ἐπιδέχεται Arist. vulg. 34 τὸ om. Ba, ut Arist. cod. Ob δὲ ZN: δὴ Ba λέγει B: λέγοι ZNa

οἴονταί τινες ἱκανὸν σημεῖον εἶναι τοῦ μὴ ὁμώνυμον εἶναι τὴν φιλίαν τὸ δέ- 136r
χεσθαι αὐτὴν τὸ μᾶλλον καὶ τὸ ἧττον· τὰ δὲ ἐπιδεχόμενα τὸ μᾶλλον καὶ
τὸ ἧττον ὑφ' ἓν γένος εἶναι καὶ συνωνυμεῖν ἀλλήλοις, οἷον τὸ θερμὸν δεχό-
μενον τὸ μᾶλλον καὶ τὸ ἧττον οὐκ ἔστιν ὁμώνυμον, ὡσαύτως καὶ τὸ γλυκύ·
ἐπεὶ οὖν καὶ ἡ φιλία, ἡ μὲν μᾶλλον ἡ δ' ἧττόν ἐστι, μᾶλλον μὲν ἡ τῶν
ἀγαθῶν ἧττον δ' ἡ τῶν πονηρῶν, οὐκ ἂν εἴη ὁμώνυμον ἡ φιλία· οἱ δὴ ταῦτα
λέγοντες οὐχ ἱκανῷ πιστεύουσι τούτου σημείῳ. δέχεται γὰρ τὸ μᾶλλον 30
καὶ τὸ ἧττον καὶ τὰ ἕτερα μὲν τῷ εἴδει, μὴ κοινωνοῦντα δὲ τοῦ αὐτοῦ
γένους. εἴρηται δέ, φησί, περὶ αὐτῶν ἔμπροσθεν, ἔοικε δὲ εἰρῆσθαι ἐν
τοῖς ἐκπεπτωκόσι τῶν Νικομαχείων. ἔστι δὲ οὐκ ἄπορον δεῖξαι τὸ μᾶλλον
καὶ τὸ ἧττον ἐν τοῖς πολλαχῶς λεγομένοις· τὸ γὰρ ὂν λέγεται εἶναι πολλα-
χῶς, ἔστι δὲ μᾶλλον μὲν ἡ οὐσία, ἧττον δὲ τὰ συμβεβηκότα· διὰ γὰρ τὴν
οὐσίαν καὶ τοῖς ἄλλοις ὑπάρχει τὸ εἶναι. τοῦτο δὲ μάλιστα συμβαίνειν δύνα-
ται, ὅταν τὰ πολλαχῶς | λεγόμενα ἀπὸ τοῦ αὐτοῦ πρὸς τὸ αὐτὸ ᾖ, ὥσπερ 136v
τὸ ὄν· τὸ δὲ αὐτὸ καὶ ἐπὶ τῆς φιλίας ἐστί. κατὰ γὰρ τὴν ὁμοιότητα τῆς
τῶν ἀγαθῶν φιλίας καὶ αἱ λοιπαὶ λέγονται καὶ ἀπὸ ταύτης τοὔνομα ἔχουσι.
δῆλον δὲ καὶ περὶ τούτου μετὰ ταῦτα ἔσται. ἐπεὶ δὲ ἡ φιλία ἐν τῷ φιλεῖν
ἐστι καὶ τῷ φιλεῖσθαι (φιλεῖται δὲ τὸ φιλητόν), γνώριμον ἔσται καὶ περὶ
τῆς φιλίας. πόσα εἴδη αὐτῆς ἐστι διελομένοις ποσαχῶς λέγεται τὸ φιλητόν. 5
διαιρεῖται δὲ αὐτὸ τριχῇ· τὸ γὰρ φιλητὸν ἢ τὸ ἀγαθόν φησιν εἶναι ἢ τὸ
ἡδὺ ἢ τὸ χρήσιμον.

Ἀπορεῖται δὲ περὶ τῆς διαιρέσεως ταύτης. δοκεῖ γὰρ ἀντιδιῃρηκέναι ἢ 10
τὸ γένος τῷ εἴδει ἢ τὸ κοινὸν ὄνομα ἑνὶ τῶν δηλουμένων. εἴτε γὰρ γένος
τὸ ἀγαθὸν τῶν ἀγαθῶν, τὸ δὲ χρήσιμον ἕν τι, τὸ γένος ἀντιδιῄρηκε τῷ
εἴδει εἰπών, τὸ μὲν εἶναι ἀγαθόν, τὸ δὲ χρήσιμον (καὶ ὅμοιον πεποίηκεν
ὡς εἴ τις φήσει τὸ μὲν εἶναι ζῷον, τὸ δὲ ἄνθρωπον), εἴτε τῶν πολλαχῶς
λεγομένων τὸ ἀγαθόν, ὥσπερ καὶ δοκεῖ, καὶ οὕτω παραπλησία ἡ διαίρεσις
καθάπερ εἴ τις φαίη τὸ μὲν εἶναι ὄν, τὸ δὲ οὐσίαν. ἔοικε δ' οὐχ ὡς τὸ
κοινὸν ἀγαθὸν ἀντιδιαιρεῖν νῦν τῷ χρησίμῳ, ἀλλ' ἰδίως λαμβάνει ἀγαθὸν λέ- 15
γεσθαι τὸ καθ' αὑτὸ αἱρετόν, εἴτε μόνον τοῦτο αὐτῷ ὑπάρχοι καθάπερ τῇ
εὐδαιμονίᾳ, εἴτε καὶ διὰ τοῦτο καὶ δι' ἕτερον εἴη αἱρετόν, ὡς ἡ ὑγίεια καὶ
ἡ εὐαισθησία καὶ ἡ ἀρετή. ταῦτα γὰρ καὶ δι' αὑτὰ αἱρετὰ καὶ διὰ τὴν εὐ-

---

1 οἴονταί] οἰοντέ Z 2 τὰ δὲ — ἧττον (4) om. Z τὰ δὲ — ἧττον (3) om. B 2 et 3 τὸ (ante ἧττον) utrubique om. a, priore loco etiam B 4 τὸ (ante ἧττον) om. a 5 μὲν (post μᾶλλον) corr. ex δὲ N 6 πονηρῶν] κακῶν Z, in marg. vero γρ' τῶν πονηρῶν ὁμώνυ] Z, iterans verba τὸ μᾶλλον καὶ τὸ ἧττον οὐκ ἔστιν ὁμώνυμον 7 πιστεύουσι corr. ex πιστεύοντες N 8 τὸ om. Ba 9 περὶ] ὑπὲρ Z, ut Aristoteles ἐν] ἐκ Z 10 πεπτωκόσι Z 11 τὸ (ante ἧττον) om. Ba εἶναι] καὶ Ba 15 ἐστὶ om. Z 16 λοιπαὶ] λυπαὶ N 17 τούτου] τούτω N 18 ἐστὶ om. Ba 20 τριχῶς Ba 23 τῷ] εἶναι N εἴτε] ἤτε Z 24 ἀντιδιείρηκε N 26 φήσειε Z: φήσει Na: φησί B 28 οὐσίας Z 29 λαμβάνει Ba: λαμβάνειν ZN 30 ὑπάρχει a 31 ἡ εὐδαιμονία Ba εἴτε καὶ] ἤτε καὶ Z ὡς] ὥσπερ N 32 εὐεσθησία Z αὐτὰ ἐστὶν αἱρετὰ N

δαιμονίαν· ταῦτα δὲ πάντα ἰδίως νῦν ἀγαθὰ κέκληκε. χρήσιμα δὲ τὰ δι' 136v ἕτερα αἱρετά· ἔστι δὲ καὶ ὁ πλοῦτος τῶν χρησίμων, ὥσπερ καὶ ἐν τοῖς κατ' ἀρχὰς λόγοις ἔλεγε· λέγων γὰρ περὶ εὐδαιμονίας εἶπεν 'ὁ δὲ πλοῦτος οὐκ ἔστι τὸ ζητούμενον ἀγαθόν· χρήσιμον γὰρ καὶ ἄλλου χάριν'. οὐ 20 δεῖ δὲ ταράττεσθαι, εἰ ἅμα μὲν τὸν πλοῦτον λέγει τῶν ἁπλῶς ἀγαθῶν, ἅμα δὲ τῶν δι' ἕτερον αἱρετῶν. ἁπλῶς μὲν γὰρ ἀγαθὸν λέγεται, διότι τῷ κατὰ φύσιν διακειμένῳ, λέγω δὴ τῷ ἐναρέτῳ, ὄργανόν ἐστι πρὸς τὰς καλὰς ἐνεργείας, ὡς καὶ μουσικὸν ὄργανον λέγεται τὸ ἁπλῶς τῷ μουσικῷ ἁρμόττον πρὸς τὰς κατὰ μουσικὴν ἐνεργείας· δι' ἕτερον δέ ἐστιν αἱρετόν, διότι αἱρούμεθα τὸν πλοῦτον διὰ τὴν χρῆσιν τὴν ἀπ' αὐτοῦ· διὸ καὶ χρήματα λέγεται τὰ τοῦ πλούτου μέρη. δηλοῖ δὲ καὶ αὐτός, ὅτι χρήσιμον τὸ 25 ἑτέρου ἕνεκεν αἱρετόν· φησὶ γὰρ χρήσιμον εἶναι, δι' οὗ γίνεται ἀγαθόν τι ἢ ἡδονή. τριῶν οὖν ὄντων φιλητῶν, τὸ μὲν ἀγαθὸν καὶ τὸ ἡδὺ ὡς τέλος φιλητὸν ἂν εἴη, τὸ δὲ χρήσιμον φιλητὸν ὡς τῶν εἰς τὸ τέλος τι συντεινόντων καὶ φερόντων. ἑξῆς ζητεῖ πότερον τὸ ἀγαθὸν φιλοῦσιν οἱ ἄνθρωποι ἢ τὸ αὐτοῖς ἀγαθόν. ἐλέχθη γὰρ καὶ πρότερον, ὅτι τὸ μέν ἐστιν ἁπλῶς ἀγαθόν, τὸ δὲ τινί· ἁπλῶς μὲν ἀγαθὸν τὸ τῷ κατὰ φύσιν διακειμένῳ τὸ σῶμα ἁπλῶς ὑγιεινὸν λέγεται, τὸ δὲ τῷ νοσοῦντι σώματι τινὶ ὑγιεινόν, 30 οἷον τομὴ καὶ καῦσις καὶ αἱ λοιπαὶ ἰατρεῖαι· ἡδὺ δὲ τὸ μὲν ἁπλῶς, τὸ δὲ τινί· ἁπλῶς μὲν τὸ τῷ κατὰ φύσιν διακειμένῳ, τινὶ δὲ ἐνίοτε τὸ τῷ παρὰ φύσιν. τὰ γὰρ πικρὰ ἡδέα δοκεῖ τῷ διεφθαρμένῳ τὴν γεῦσιν ἐνίοτε· τῷ μὲν οὖν ἀγαθῷ, ὃ ἁπλῶς ἐστιν ἀγαθὸν καὶ αὐτῷ ἀγαθὸν καὶ οὐ διαφωνεῖ· ἐπὶ δὲ τοῦ μοχθηροῦ διαφωνεῖ· οὐ γὰρ ταὐτὸν ἁπλῶς ἀγαθὸν καὶ αὐτῷ ἀγαθόν, ἀλλ' ἐνίοτε καὶ ἐνίοις τὸ ἁπλῶς κακὸν ἀγαθὸν γίνεται, οἷον νόσος καὶ 35 πενία· πολλοῖς γὰρ τῶν μοχθηρῶν ἐνίοτε ἤνεγκε ταῦτα.

Τούτων δὲ οὕτως ἐχόντων ζητεῖ πότερον τὸ ἀγαθὸν φιλοῦσιν οἱ ἄν- 41 θρωποι τὸ ἁπλῶς ἢ τὸ αὐτοῖς ἀγαθόν. ἔοικε δὲ ἕκαστος φιλεῖν τὸ αὐτῷ ἀγαθόν, μᾶλλον δὲ τὸ φαινόμενον αὐτῷ ἀγαθόν· διαμαρτάνουσι γὰρ πολλοὶ κατὰ τὴν φαντασίαν. τὸ οὖν οὕτω φιλητὸν ὡς τὸ ἀγαθόν, πότερον τὸ ἁπλῶς ἀγαθόν ἐστιν ἢ τὸ τινὶ ὂν ἢ φαινόμενον. διαιρούμενος δὴ λέγει τὸ μὲν ἁπλῶς φιλητὸν οὕτως, ὡς ἀγαθὸν ἁπλῶς εἶναι φιλητὸν ἀγαθόν (τὸ δὲ σπάνιον), 45 ἢ φαινόμενόν τινι φιλητόν. περὶ δὲ τοῦ ἡδέος, εἰ καὶ μηδὲν εἴρηκε, ταῦτα λεκτέον· τὸ γὰρ ὡς ἡδὺ φιλητόν, τὸ μὲν ἁπλῶς ἡδὺ ἁπλῶς φιλητόν, τὸ δὲ τινὶ ἡδὺ τινὶ φιλητόν. μετὰ ταῦτα διαιρεῖ τὴν φίλησιν, ὡς ἑτέραν οὖσαν τῆς

2 ὥσπερ] ὡς Ba 3 κατ' ἀρχὰς λόγοις] κατ' ἀρχὴν Ba γὰρ om. N περὶ τῆς εὐδαιμονίας N εἶπεν] A 3 p. 1096a6 6 δὲ τῶν] lac. Z 7 μένῳ, λέγω] lac. Z 8 λέγει N λέγεται τὸ] lac. Z κατὰ μουσικὴν] μουσικὰς Ba 7 ἐστιν αἱ] lac. Z 10. 11 χρήματα — ὅτι om. Z 11 λέγονται Ba 12 γὰρ τὸ χρήσιμον a 14 τέλος φιλητὸν Ba: τέλη φιλητὰ ZN τὸ (ante τέλος) om. ZN τῶν] τὸν Z 16 αὐταγαθόν a ἐστιν om. Ba 17 sententiarum nexus turbatus 18 τὸ σῶμα] τῷ σῶμα N 19 ἡδὺ] καὶ ἡδὺ a: καὶ ἡδονὴ B 21 γεῦσιν] γνῶσιν B 21. 22 τῷ μὲν] τὸ μὲν N 24 ἐνίοις] ἐν οἷς N 26 τὸ ἀγαθὸν] ἀγαθὸν a 28 οἱ πολλοὶ Z 33 λέγω B 32 ἡδέος N: ἡδέως ZBa 34 ἑτέραν Ba: ἕτερον ZN

φιλίας. ἔστι μὲν οὖν καὶ ἐξ ἄλλων ἐναργές· καὶ γὰρ αἱ μητέρες φιλοῦσι τὰ 136v ἔκγονα ἔτι νήπια ὄντα· καὶ φίλησις μέν ἐστι, φιλία δὲ οὐδαμῶς· οὐ γὰρ ἀντιφιλοῦνται. καὶ οἱ ἐρασταὶ φιλοῦσι μέν, φιλία δὲ οὐκ ἔστιν ἀεί· ἐνίοτε γὰρ καὶ μισοῦνται ὑπὸ τῶν ἐρωμένων. ἐναργεστάτῳ δὲ αὐτὸς κέχρηται πα- 30 ραδείγματι· πρὸς γὰρ τὰ ἄψυχα φίλησις μέν ἐστι, φιλία δ' οὐκ ἔστιν. οἷον πρὸς τὸν οἶνον. οὐ γάρ ἐστιν ἀντιφίλησις οὐδὲ βούλησις ἀγαθοῦ αὐτοῦ ἐκείνου ἕνεκα, οὐδὲ γὰρ βούλεται τῷ οἴνῳ τἀγαθά, ἀλλ' εἴπερ ἄρα, σώζεσθαι, βούλεται καὶ μένειν τὸν οἶνον ἑαυτοῦ ἕνεκα, ἵνα ἔχῃ χρῆσθαι. |

Ἐπεὶ δὲ ἐκ τῶν εἰρημένων δόξει τις φιλίαν αὐτὸν λέγειν βούλησιν ἀγα- 137r θοῦ, ἐκείνου αὐτοῦ ἕνεκεν, ᾧ βούλεται τἀγαθά, φησὶ τὸ τοιοῦτον εὔνοιαν 6 εἶναι. ὁ γὰρ βουλόμενός τῳ τὰ ἀγαθὰ αὐτοῦ ἐκείνου ἕνεκα, κἂν μὴ τὸ αὐτὸ παρ' ἐκείνου γίνηται, εὔνους ἐστίν· ἡ δὲ φιλία εὔνοιά ἐστιν ἐν ἀντιπεπονθόσιν· ἢ προσθετέον, φησί, μὴ λανθάνουσαν. ἐνδέχεται γὰρ εὐνοεῖν τινας ἀλλήλοις πεπυσμένους, ὅτι εἰσὶν ἐπιεικεῖς ἢ χρήσιμοι ἑαυτοῖς, λανθάνειν δὲ ἀλλήλους, ὅτι οὕτως ἔχουσι. τούτους μὲν οὖν οὐκ ἄν τις εἴποι φίλους, τοὺς δὲ εὐνοοῦντας μὲν ἀλλήλοις, μὴ λανθάνοντας δὲ φίλους ῥητέον. δόξει δὲ λέγων 10 ταῦτα φιλίαν λέγειν καὶ τῶν μηδέποτε ἀλλήλοις ἐντετυχηκότων, ἂν μόνον εὖνοι ὦσιν ἀλλήλοις, πεπιστευκότες δὲ ἑκάτερος ἑκατέρῳ ἀγαθὸς εἶναι, καὶ εἰδῶσιν, ὅτι οὕτως ἔχουσι πρὸς ἀλλήλους. ἢ τὸ μὴ λανθάνειν οὐχ οὕτως ἀποδεκτέον, ὡς ἐν τῷ πεπύσθαι μόνον ὅτι εὐνοοῦσιν ἀλλήλοις, ἀλλὰ καὶ ἐν τῷ ἐντετυχηκέναι πολλάκις. δεῖ γὰρ καὶ ὑπὸ τῆς συνουσίας καὶ συμβιώσεως συναφθῆναί πως καὶ συναρμοσθῆναι τὰς ψυχὰς τῶν ὡς ἀληθῶς ἐσομένων φίλων· δεῖ δὲ καὶ πείρας πολλῆς, ἵνα βεβαίως πιστεύσωσιν ἀλλήλοις ἐπιεικεῖς 15 εἶναι. λέγει δὲ καὶ αὐτὸς τοιαῦτα περὶ τῶν ὡς ἀληθῶς φίλων προελθών.

p. 1156a3 Δεῖ ἄρα εὐνοεῖν ἀλλήλοις ἕως τοῦ οὐ γὰρ πάνυ συνδυάζεται τὰ κατὰ συμβεβηκός.

Καὶ ἐκ τῶν προειρημένων καὶ ἐκ τῶν νῦν λεγομένων λάβοι ἄν τις, ὅτι 20 τὴν φιλίαν ὁρίζεται ὁ Ἀριστοτέλης εὔνοιαν ἐν ἀντιπεπονθόσι μὴ λανθάνουσαν· τὴν δὲ εὔνοιαν βούλησιν ἀγαθοῦ. αὐτοῦ ἐκείνου ἕνεκεν ᾧ βούλεται τὸ ἀγα-

---

1 καὶ ὁ ἐξ Z 2 ἔγγονα N ἔτι νήπια bis N καὶ φίλησις a: καὶ ἡ φίλησις ZNB οὐδαμοῦ a 4 ἐναργεστάτοι N 5 οὐκ ἔστιν ZN: οὔ Ba 6 οὐδὲ Ba: ἀλλ' οὐδὲ ZN 7 αὐτῷ a ἕνεκα NBa: ἐνεργειτικοῦ Z 8 μένειν N: μὲν Z 8 ἵνα ἔχῃ χρῆσθαι ZN: om. B: ἵνα χρᾶται αὐτῷ a 9 ἐπεὶ— ἕνεκα (11) om. B αὐτὸν] αὐτὴν a 12 εὔνοια om. Z ἀντιπεπονθέσει B 13 λανθάνουσα a 13. 14 ἀλλήλους Za 14 πεπεισμένους a 15 οἷον om. Z 16 λέγων] λέγον Z 17 μήποτε Ba 18 ὦσιν ἀλλήλοις Ba: ἀλλήλοις ὦσιν ZN ἑκάτεροι ἑκατέροις a ἀγαθὸς B: ἀγαθὸν ZNa 19 εἰδῶσιν] εἰδῶς ἦν a ἔχουσι B: ἔχωσι ZNa 20 εὐνουοῦσιν Z 21 τετυχηκέναι Z συμπόσεως a 22 ὡς N: om. ZBa 24 ὡς N: om. ZBa 25. 26 ἕως— συμβηβεκός om. a 27 ἐκ alterum om. Ba λεγομένων] λελεγμένων Z 28 ὁ om. a ἐν om. B 29 ἀγαθοῦ] ἀγαθὴν N ἕνεκεν οὗ ἕνεκεν Z

θόν. εἰ δέ ἐστιν ὁρισμὸς εἷς πάσης φιλίας, οὐκ ἂν ὁμώνυμοι εἶεν αἱ φιλίαι. 137r ὥσπερ δοκεῖ αὐτῷ. ἢ ἔστι καὶ πολλαχῶς τινων λεγομένων ἕνα λαβεῖν λόγον, οὐκ ἀκριβῆ μὲν ὁρισμόν, ὑπογραφὴν δὲ μᾶλλον. τίνων δὲ πολλαχῶς λεγομένων ἔφαμεν ἐγχωρεῖν ἕνα λαβεῖν λόγον, οὐκ ἄδηλον, ὅτι τῶν μὴ πολὺ διεστώτων, ἀλλ' ὅταν ἀφ' ἑνὸς τὰ πολλὰ λέγηται, ὥσπερ τὸ ἰατρικὸν βιβλίον καὶ ὄργανον ἀπὸ πρώτου λέγεται τοῦ ἰατρικοῦ ἀνθρώπου, ἔστι τύπῳ λαβεῖν ἕνα πάντων λόγον ἰατρικόν, λέγοντας πᾶν τὸ ἀπὸ ἰατρικῆς ὁπωσοῦν ὄν· καὶ ἐπὶ τῆς φιλίας δὲ ταὐτόν πως ἔστι. πρώτη μὲν γάρ ἐστι φιλία καὶ κυρίως, ὡς προελθὼν δηλώσει, ἡ τῶν ἀγαθῶν καὶ κατ' ἀρετὴν ὁμοίων, αἱ δ' ἄλλαι καθ' ὁμοιότητα ταύτης λέγονται καὶ ἀπὸ ταύτης ἔχουσι τὴν κλῆσιν, ὥστ' οὐδὲν κωλύει τύπῳ λόγον κοινὸν λαβεῖν αὐτῶν. ὅτι δὲ ὁμώνυμοί εἰσι, φανερὸν καὶ ἐκ τῶν φιλητῶν. τὸ γὰρ ἀγαθὸν καὶ τὸ χρήσιμον καὶ τὸ ἡδὺ οὐ ταὐτὸν ἔχουσι τὸ φιλητόν. τὸ μὲν γὰρ ἀγαθὸν καθ' αὑτὸ αἱρετὸν καὶ φιλητόν, τὸ δὲ ἡδὺ καὶ τὸ χρήσιμον κατὰ συμβεβηκὸς καὶ δι' ἕτερον· διότι γὰρ τῷ φιλοῦντι ἡδύ ἐστιν ἢ χρήσιμον, φιλεῖται· τὸ δ' ἀγαθὸν δι' αὑτό. δῆλον δὲ τοῦτο ἐπὶ τῶν ἀγαθῶν ἀνδρῶν μάλιστα. δι' οὐδὲν γὰρ ἕτερον ὁ ἀγαθὸς ὑπὸ τοῦ ἀγαθοῦ φιλεῖται ἢ δι' αὑτόν· ὁ δὲ χρήσιμος οὐ δι' αὑτὸν ἀλλὰ διὰ τὴν χρείαν, καὶ ὁ ἡδὺς διὰ τὴν ἡδονήν. μετάγει δὲ καὶ αὐτὸς τὰ φιλητὰ εἰς τοὺς κατὰ τὴν φιλίαν φιλητούς, ὧν ὁ μὲν ἀγαθὸς ἕν τι τῶν ἀγαθῶν ἐστι καὶ δι' αὑτὸ μάλιστα αἱρετῶν. ὁ δὲ χρήσιμος καὶ ἡδὺς δι' ἕτερα. μήποτε δὲ ὁ ἀποδιδόμενος τῆς φιλίας ὅρος τῆς πρώτης ἐστὶ καὶ κυρίως λεγομένης. ἔστι γὰρ ὁ ὅρος εὔνοια ἐν ἀντιπεπονθόσι μὴ λανθάνουσα, ἡ δὲ εὔνοια βούλησις ἀγαθοῦ, αὐτοῦ ἐκείνου ἕνεκεν, ᾧ βούλεται τἀγαθά. τὸ δὲ τὰ τῷ ὄντι ἀγαθὰ βούλεσθαι τοῦ ἀγαθοῦ ἐστιν ἀνδρός· οὗτος γὰρ εἰδὼς τἀγαθὰ βούλεται τῷ φίλῳ ὑπάρχειν· ὁ δὲ καθ' ἡδονὴν φίλος ἢ διὰ τὸ χρήσιμον οὐ τἀγαθὰ πάντως βούλεται τῷ φίλῳ· οὐδὲ γὰρ οἶδε τἀγαθά. ἔτι δὲ τὸ αὐτοῦ ἕνεκεν ἐκείνου βούλεσθαι τἀγαθὰ τῇ πρώτῃ φιλίᾳ ὑπάρχει. κατὰ δὲ τὰς ἄλλας φιλίας εἰς αὑτοὺς ἀναφέροντες βούλονται τἀγαθὰ τοῖς φίλοις, οἱ μὲν δι' ἡδονὴν φίλοι ἵνα ἔχωσιν ἥδεσθαι. οἱ δὲ διὰ τὸ χρήσιμον διὰ τὴν αὑτῶν χρείαν, ὥστε οὐδὲ κοινὸς ὁρισμός, ἀλλ' ὥσπερ ἡ μὲν πρώτη φιλία κυρίως, αἱ δὲ λοιπαὶ φαίνονται, οὕτως καὶ ὁ ὁρισμὸς τῆς μὲν πρώτης ἐστί, δοκεῖ δ' εἶναι καὶ τῶν ἄλλων. περὶ μὲν οὖν τοῦ μὴ εἶναι κοινὸν τὸν ὁρισμὸν τῶν φιλιῶν εἴρηται. φησὶ δὲ βούλεσθαι τοὺς φίλους ἀλλήλοις τὰ ἀγαθὰ μὴ λανθάνοντας δι' ἕν τι τῶν εἰρημένων. ἢ διὰ τὸ ἀγαθὸν ἢ διὰ τὸ ἡδὺ ἢ διὰ τὸ χρήσιμον· ταῦτα

1 post ὁρισμὸς N inserit ἕνεκα οὗ   ὁρισμὸς εἷς ZN   πάσης φιλίας Ba: πάσης τῆς φιλίας ZN   2 ὥσπερ ZN: ὡς Ba   3 ἀκριβῶς Z   ὑπογραφεῖν N   5 ὥσπερ ZN: ὡς Ba   6 λόγον om. Z   7 λέγονται Ba   ὄν] ἓν a   7. 8 καὶ ἐπὶ—λέγονται (10) om. B   8 ἐστι (ante φιλία) om. a   12 τὸ ante χρήσιμον et ante ἡδὺ om. Ba   13 φιλητὸν] λητὸν lac. Z   18 φιλείαν Z   19 τὴν om. Ba   21 ὅρος NBa: ὁρισμὸς Z   22 ἐν om. B   ἀντιπεπονθότος B   23 ᾧ βούλεται τἀγαθόν Ba   26 οὐδὲ ZN: οὐ Ba   αὑτοὺς ZN: αὑτὰς Ba   27 ὑπάρχει ZB: ὑπάρχειν Na   28 οἱ μὲν] ἡ μὲν Z   30 ὁρισμὸς ZN: ὅρος Ba   31 ὅρος Ba   δ' om. Na   32 μὲν om. Z   ὅρον Ba

δὲ διαφέρει ἀλλήλων. ὅτι δὲ οὐχ οὕτως διαφέρει ἀλλήλων, οὐδὲ ὡς ὑπὸ τὸ 137r
αὐτὸ γένος ὄντα ἀλλ' ὡς κοινωνοῦντα ὀνόματος, ἐλέχθη. ὥστε καὶ αἱ φι-
λήσεις αἱ καθ' ἕκαστον καὶ αἱ φιλίαι διοίσουσι τῷ εἴδει. καὶ οὐδὲ γένος
ἕξουσι κοινὸν αἱ φιλήσεις ἀλλήλαις οὐδὲ αἱ φιλίαι. διαφερόντων γὰρ τῶν φι-
λητῶν καὶ ταύτας διαφέρειν ἀνάγκη. τίνι δὲ διαφέρει φίλησις καὶ φιλία; ᾗ 30
ὅτι ἐν μὲν τῇ φιλήσει οὐκ ἔστιν ἀντιφίλησις, ἐν δὲ τῇ φιλίᾳ ὅτι ἔστιν, οὐκ
ἄδηλον. οἱ δὲ φιλοῦντες ἀλλήλους βούλονται τὸ ἀγαθὸν ἀλλήλοις
ταύτῃ ᾗ φιλοῦσιν. οἱ μὲν ἀγαθοὶ ᾗ ἀγαθοί εἰσι (διότι γὰρ ἀγαθοὶ φιλοῦσιν
ἀλλήλους), οἱ δὲ ἡδεῖς ᾗ ἡδεῖς, οἱ δὲ χρήσιμοι ᾗ χρήσιμοι. |

Οἱ μὲν οὖν διὰ τὸ χρήσιμον φιλοῦντες ἀλλήλους οὐ καθ' αὑ- 137v
τοὺς φιλοῦσιν, ἀλλὰ κατὰ συμβεβηκός· οὐ γὰρ δι' αὑτούς (καθ' αὑτοὺς 9
γὰρ ἂν ἐφίλουν), ἀλλ' ᾗ γίνεταί τι αὐτοῖς παρ' ἀλλήλων ἀγαθόν. τοῦτο δέ
ἐστι τὸ χρήσιμον, ὅθεν κατὰ συμβεβηκὸς αὐτῶν ἡ φιλία ἐστίν· διότι γὰρ 10
συμβαίνει τι ἀπ' αὐτῶν γίνεσθαι, συνίσταται· ἀλλ' οὐ δι' αὑτούς· ὁμοίως δὲ
καὶ διὰ τὴν αὐτὴν αἰτίαν οἱ δι' ἡδονὴν φιλοῦντες, οὐ καθ' αὑτοὺς φιλοῦσιν
ἀλλὰ κατὰ συμβεβηκός. οὐ γὰρ τῷ ποιούς τινας εἶναι, φησί, φιλοῦσι
τοὺς εὐτραπέλους. δόξει δ' εὔηθες διὰ τοῦτο λέγειν κατὰ συμβεβηκὸς τὴν
καθ' ἡδονὴν φιλίαν, ὅτι οὐ διότι ἀγαθοί εἰσι φιλοῦσιν. ὁμολογεῖται γὰρ οὐ
τὸ αὐτὸ εἶδος εἶναι. παραπλήσιον γὰρ ἦν λέγειν τὴν τῶν ἀγαθῶν φιλίαν κατὰ
συμβεβηκός. οὐ γὰρ διότι εὐτράπελοι φιλοῦνται ὑπ' ἀλλήλων. ἀλλ' ἔοικε ποι- 15
οὺς λέγειν τοὺς κατὰ ποιότητα λεγομένους ψιλήν, ἀλλὰ μὴ κατὰ τὸ πρός τι·
ὁ μὲν οὖν εὐτράπελος ποιός ἐστιν ἀπὸ τῆς εὐτραπελίας παρωνομασμένος, ὁ
δὲ ἡδὺς πρός τι· τινὶ γὰρ ἡδὺς καὶ εἰ ὁτιοῦν μάλιστα ἡ ἡδονὴ γίνεται τοῖς
φιλοῦσι τοὺς εὐτραπέλους ἀπ' αὐτοῦ, ὅμως οὐχ ᾗ εὐτράπελοι φιλοῦσιν αὐτούς,
ἀλλ' ᾗ αὐτοῖς ἡδεῖς. εἰ γοῦν εὐτράπελοι μὲν εἶεν, αὐτοῖς δὲ μὴ ἡδεῖς, οὐδὲ
φιλήσουσιν αὐτούς, καὶ διὰ τὸ χρήσιμον δὲ φιλοῦντες διὰ τὸ αὐτοῖς ὠφέλι-
μον στέργουσι. καὶ δι' ἡδονὴν διὰ τὸ αὐτοῖς ἡδύ, καὶ οὐχ ᾗ ὁ φιλούμενός 20
ἐστιν ὁποτέ ἐστιν. εἴτε εὐτράπελος εἴτε πλούσιος, ἀλλ' ᾗ ὁ μὲν παρέχει
ἡδονήν, ὁ δὲ χρείαν. εὐδιάλυτοι δὴ αἱ τοιαῦται φιλίαι, μὴ μενόντων
ὁμοίων τῶν πρόσθεν φιλουμένων. οὐδὲν γὰρ κωλύει ἔτι μένειν εὐτράπελον
ἢ ἔτι πλούσιον. ἀλλ' εἰ μὴ ἡδὺς ὁ εὐτράπελος τῷ πρόσθεν ἡδομένῳ, δια-
λύεται ἡ φιλία· ὁμοίως δὲ καὶ ἂν μηκέτι ᾖ χρήσιμος.

Ἐπισημειοῦται δέ, ὅτι ὡς ἐπὶ τὸ πλεῖστον ἐν τοῖς πρεσβύταις ἡ κατὰ 25
τὸ χρήσιμον γίνεται φιλία, καὶ ἔτι τῶν ἀκμαίων ὅσοι διώκουσι τὸ συμφέρον.
λαμβάνει δὲ πρεσβύτας καὶ ἐν ἀκμῇ οὐ τοὺς σπουδαίους ἀλλὰ τοὺς πολλούς·

2 ὀνόματι a 2. 3 αἱ φιλίαι Ba: φιλίαι ZN 3 διοίσουσι — φιλίαι (4) om. Z 4 ἀλλήλοις a 7 τὸ ἀγαθὸν] τἀγαθὰ Aristoteles 11. 12 αὑτούς (καθ' αὑτοὺς γὰρ] αὐτό, καὶ καθ' αὐτὸ a 12 ἀλήλων Z 13 ἐστίν (post φιλία) om. NBa 14 αὑτούς B: αὐτούς ZNa 15 καθ' αὑτοὺς] καθ' αὐτὸ a 16 ποιοὺς] φίλους a φασι a 22 παρονομασμένος N 25 ᾗ ZB: οἱ Na γοῦν] οὖν B 26 φιλήσουσιν] φιλοῦσιν a 30 μένειν] μὲν Z 31 ἡδὺς corr. ex ἡδεῖς B[2] 31 δὲ ὁ] ᾖ ὁ a 32 δὲ καὶ ZN: καὶ Ba 33 ὅτι ὡς Ba: ὡς ὅτι N: ὅτι Z πρεσβυτέροις Ba 35 πρεσβύτην Ba

οἱ μὲν γὰρ πρεσβύτεροι διὰ τὸ ἐν πολλαῖς γεγονέναι χρείαις καὶ μὴ καθεω- 137v ρακέναι τὸ καλὸν περὶ πολλοῦ ποιοῦνται τὸ κερδαίνειν καὶ διὰ τὴν αἰτίαν ταύτην τοὺς εἰς τοῦτο χρησίμους φίλους κτῶνται. οἱ δὲ ἐν ἀκμῇ μὲν ὄντες, συντεταγμένοι δὲ καὶ αὐτοὶ πρὸς τὸ κέρδος, οὐκ ἀξιοῦσιν ἄλλους ἢ τοὺς εἰς τὸ κέρδος χρησίμους κτᾶσθαι· οὐ πάνυ δὲ οἱ τοιοῦτοι συζῶσιν ἀλλήλοις. τὸ μὲν γὰρ συζῆν οὐκ ἔστι ἄνευ τοῦ ἥδεσθαι ἀλλήλοις. οἱ δὲ διὰ τὸ χρήσιμον ἐνίοτε οὐδὲ ἥδονται ἀλλήλοις, ἢ μόνον ὅσον χρήσιμοι. τὸ δὲ προσηνὲς καὶ ἡδὺ οὐκ ἔχουσιν, ὃ συναρμόζει τὰς συμβιώσεις. ἀπολείπονται οὖν τότε ἐν ταῖς ἀληθιναῖς φιλίαις μεγίστου καὶ καλλίστου, τοῦ συζῆν, καὶ τῆς ἐκ τοῦ συμβιοῦν ἀλλήλοις ἀπολαύσεως. ἡ δὲ τῶν νέων φιλία δι' ἡδονήν ἐστιν ὡς ἐπὶ τὸ πολύ· κατὰ πάθος γὰρ ζῶσιν, οὐ κατὰ λόγον· ἡ δ' ἡδονὴ πάθος. ὅταν οὖν ἡδεῖς ἀλλήλοις ὦσι, φιλοῦσιν ἀλλήλους. ἔστι δὲ καὶ ἡ τούτων φιλία εὐδιάλυτος. μεταβάλλει γὰρ ἅμα τῇ ἡλικίᾳ καὶ τὰ ἡδέα, σὺν τούτοις δὲ καὶ αἱ διὰ τὰ ἡδέα φιλίαι. πλὴν συζῶσιν ἀλλήλοις ἡδέως οὗτοι. ὡς γὰρ μάλιστα γίνεται αὐτοῖς τὰ κατὰ τὴν φιλίαν, ἣν ἔχουσιν. ἔστι μὲν γὰρ ἡ δι' ἡδονήν. συζῶντες δὲ μάλιστα τῆς ἀπ' ἀλλήλων ἡδονῆς ἀπολαύουσιν. ὅταν δὲ λέγῃ· μεταπιπτούσης δὲ τῆς τοιαύτης ἡδονῆς ταχεῖα ἡ μεταβολή, τῆς τοιαύτης λέγει τῆς διὰ πάθος φιλὸν ἢ τῆς διὰ τὴν ἡλικίαν. καὶ ἐρωτικοὶ γὰρ οἱ νέοι, φησί, κατὰ πάθος γὰρ ἢ δι' ἡδονὴν τὸ πολὺ τοῖς ἐρωτικοῖς. διὰ δὲ τούτων δηλοῖ, ὅτι οἱ νέοι ἐρωτικοὶ γίνονται κατὰ πάθος μόνον, οὐκ ἔτι δὲ καὶ κατὰ λόγον, ὥσπερ οἱ σπουδαῖοι. τοῖς γὰρ ἀγαθοῖς γίνεται μὲν καὶ πάθος τι πρὸς τοὺς εὐφυεῖς τῶν νέων, ὥσπερ τοῖς ἱππικοῖς πρὸς τοὺς εὐφυεῖς τῶν πώλων· ἔστι δὲ ἐν αὐτοῖς καὶ λόγος προστάττων ἐπιμελεῖσθαι τῶν τοιούτων· ὁ δὲ τῶν νέων ἔρως κατὰ πάθος ἐστί, δι' ἡδονὴν γὰρ τὸ πολὺ τοῖς τούτων ἐρωτικοῖς. τῆς δὲ τῶν σπου|138r δαίων τὸ πολὺ δι' ὠφέλειαν καὶ παίδευσιν τῶν νέων. ταύτης γὰρ ἐφιέμενοι μάλιστα ἐνδιδόασι πρὸς τοὺς τῶν εὖ πεφυκότων ἔρωτας. γράφεται δὲ καὶ οὕτως· ἐρωτικοὶ γὰρ οἱ νέοι, κατὰ πάθος γὰρ καὶ δι' ἡδονὴν τὸ πολὺ τῆς ἐρωτικῆς. αὕτη δὲ ἡ γραφὴ δηλοῖ, ὅτι εἰκότως οἱ νέοι ἐρωτικοί εἰσι· τὸ γὰρ πλεῖστον τῆς ἐρωτικῆς διὰ πάθος καὶ δι' ἡδονήν, ὀλίγων δὲ καὶ ἐν ὀλίγοις ὁ λόγος· ἐπεὶ οὖν κατὰ πάθος ζῶσιν οἱ νέοι, εὐλόγως εἰσὶν ἐρωτικοί. αἱ μὲν οὖν εἰρημέναι φιλίαι ἀτελεῖς εἰσιν.

1 γεγονέναι ZN: εἶναι Ba 3 φίλους χρησίμους (β α) Z οἱ] ἡ N μὲν ὄντες scripsi: μένοντες libri 4 ἀφιοῦσιν a ἄλλους] ἀλλήλους Ba 5 συζῶσιν libri ut Arist. LbOb: οὐδὲ συζῶσιν Arist. vulg. 7 τὸ δὲ] lac. Z 8 οὐκ ἔχουσιν] καὶ ἔχουσιν a 9 ἀληθινὲς Z καλίστου Z 10. 11 ὡς ἐπιτοπολὺ δι' ἡδονήν ἐστιν ZN 12 φιλοῦσιν ἀλλήλοις a 13 μεταβάλλει μὲν γὰρ ZN τούτοις δὲ ZN: οἷς Ba 15 ὁ om. Ba 16 λέγει Na 17 τῆς alterum om. B 18 φιλίας ante λέγει add. a τῆς ἡλικίας Z γὰρ libri: δὲ Arist. 19 ἢ libri: καὶ Arist. τοῖς ἐρωτικοῖς a, ut Arist. Mb: τῆς ἐρωτικῆς NB et Arist. vulg.: τῆς ἐρετικῆς Z 20 ἐρωτικοὶ γίνονται οἱ νέοι Z κατὰ τὰ πάθος a 21 ὥσπερ ZN: ὡς Ba 22 ὥσπερ ZN: ὡς Ba ἱππικοῖς ZN: ἱππεῦσι Ba 24 νέων] νέον Z ἔρως] ἔργων Ba 24. 25 τοῖς τούτων ἐρωτικοῖς Ba: τῆς τούτων ἐρωτικῆς ZN 25 τῆς — ἐρωτικῆς (28) om. N post σπουδαίων inserit ἐρωτικῆς Z 27 ἐρωτικοὶ γὰρ Ba: ἐρωτικοὶ δὲ ZN 28 τοῖς ἐρωτικοῖς a 29 τοῖς ἐρωτικοῖς a δι' om. a 31 εὐτελεῖς Z εἰσίν om. Ba

Τελεία δέ ἐστιν ἡ τῶν ἀγαθῶν φιλία καὶ κατ' ἀρετὴν ὁμοίων. 138r πάντα γὰρ ἔχουσι τὰ κατὰ τὸν ὁρισμὸν τῆς φιλίας· τὰ γὰρ ἀγαθὰ βούλονται 16 ἀλλήλοις δι' αὐτοὺς ἐκείνους, οἷς βούλονται τἀγαθά. ἀτελεῖς δὲ αἱ ἄλλαι· οὐ γὰρ ἔχουσι πάντα τὰ ἐν τῷ ὁρισμῷ· βούλονται μὲν γὰρ ἀλλήλοις τὰ ἀγαθά, ἃ οἴονται, ἀλλ' οὐ διὰ τοὺς φιλουμένους, ἀλλ' αὐτοὶ αὑτοὺς δι' αὑτοὺς φιλοῦντες. ἔτι οἱ μὲν καθ' αὑτοὺς φιλοῦσιν (ᾗ γὰρ ἀγαθοὶ φιλοῦσιν), οἱ δὲ κατὰ συμβεβηκός. οὐ γὰρ ᾗ εὐτράπελοι, ὡς ἔφαμεν, ἢ ᾗ πλούσιοι οἱ φιλού- 20 μενοι, ἀλλ' ᾗ αὐτοῖς γίνονται ἡδεῖς ἢ χρήσιμοι. τὸ μὲν οὖν καθ' αὑτὸ πᾶν τέλειον, τὸ δὲ κατὰ συμβεβηκὸς ἀτελές. τοῦτο δὲ καὶ αὐτὸ τεκμήριον τοῦ ὁμωνύμους εἶναι τὰς φιλίας. οὐ γὰρ οἷόν τε ὁμογενὲς εἶναι τὸ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκός. ὕστερον γὰρ τὸ κατὰ συμβεβηκὸς τοῦ καθ' αὑτό. εἰκότως οὖν διαμένει βέβαιος ἡ τῶν ἀγαθῶν φιλία· διὰ γὰρ τὸ ἀγαθοὺς εἶναι φιλοῦσιν ἀλλήλους καὶ διὰ τὴν ἀρετήν· βέβαιον δὲ καὶ μόνιμον ἡ ἀρετή. τοὺς μὲν οὖν ἡδεῖς τινι καὶ διὰ τοῦτο φιλουμένους οὐκ ἀνάγκη ἁπλῶς ἡδεῖς εἶναι οὐδὲ 25 τοὺς χρησίμους τινὶ ἁπλῶς χρησίμους εἶναι· ὁ δ' ἀγαθὸς καὶ ἁπλῶς ἀγαθὸς καὶ τῷ φίλῳ ἀγαθός. οὐ γὰρ μόνον ἀγαθοί εἰσιν ἀλλὰ καὶ ἀλλήλοις ὠφέλιμοι. τοῦτο μὲν οὖν παρηκολούθηκε τὸ ἀλλήλοις ὠφελίμους εἶναι· φιλοῦσι δὲ ἀλλήλους, διότι ἀγαθοί εἰσιν. εἰσὶ δὲ οἱ ἀγαθοὶ καὶ ἁπλῶς ἡδεῖς καὶ ἀλλήλοις. ἑκάστῳ γὰρ ἡδεῖαι αἵ τε οἰκεῖαι αὐτοῦ πράξεις καὶ αἱ ὅμοιαι αὐταῖς. αἱ δὲ τῶν ἀγαθῶν πράξεις ἢ τοιαῦταί εἰσιν ἢ πάντων μάλιστα ὅμοιαι· διόπερ καὶ ἡδεῖς εἰσιν ἀλλήλοις, καὶ διὰ τοῦτο οὖν τέλειός τε ἀλλὰ καὶ μόνιμος ἡ 30 τῶν ἀγαθῶν φιλία· πάντα γὰρ συνάπτει ἐν αὐτῇ τὰ ταῖς φιλίαις ὑπάρχοντα. πᾶσα γὰρ φιλία ἢ διὰ τὸ ἀγαθὸν ἢ δι' ἡδονήν, καὶ δι' ἀγαθὸν ἁπλῶς καὶ ἡδὺ ἁπλῶς, ὅπερ ὑπάρχει ἐν τῇ τῶν ἀληθῶν φιλίᾳ ἢ διὰ τὸ τῷ φιλοῦντι ἀγαθὸν ἢ ἡδὺ καθ' ὁμοιότητά τινα. οἱ γὰρ μὴ διὰ τὸ ἁπλῶς ἀγαθὸν ἢ τὸ ἁπλῶς ἡδὺ φιλοῦντες ἀλλὰ διὰ τὸ αὑτοῖς τὴν καθ' ὁμοιότητα λεγομένην φιλίαν ἔχοιεν ἄν, οὐ τὴν κυρίως· τῇ δὲ τῶν σπουδαίων πάντα ὑπάρχει. καὶ γὰρ κατὰ τὸ ἁπλῶς ἀγαθὸν φιλοῦσι καὶ τὸ αὑτοῖς ἀγαθὸν καὶ τὸ ἁπλῶς ἡδὺ καὶ 35 τὸ αὑτοῖς ἡδύ. ταύτῃ γὰρ ὅμοιοι, φησί, καὶ τὰ λοιπά. οὕτω μὲν οὖν ἐχούσης τῆς γραφῆς, ῥητέον ταῦτα, τουτέστι διὰ τοῦτο· λέγει δὲ διὰ τὸ ἀγαθοὺς αὐτοὺς εἶναι καὶ τὰ λοιπά, ὅτι ὅμοιοί εἰσιν ἡδεῖς τε ὁμοίως καὶ χρήσιμοι, οὐ μόνον ἀγαθοὶ ὁμοίως. ἢ ταύτῃ δὲ ὅμοια καὶ τὰ λοιπά, ἵν' ᾖ ταύτῃ δὲ τῇ φιλίᾳ ὅμοια καὶ τὰ λοιπὰ εἴδη τῆς φιλίας.

Σπάνιαι δ' αἱ τοιαῦται φιλίαι. ὀλίγοι γὰρ οἱ ἀγαθοί, ἔτι δὲ καὶ δεῖ 45

---

1 ἐστιν om. Ba 2 πάντες a 3 οἷς βούλεται a 5. 6 φιλοῦντες scripsi: φιλοῦντας ZN: φιλοῦνται Ba 9 τέλιον N 10 ὁμωνύμου Z οἷόν τε Ba: οἴονται ZN τὸ om. a 11 ὕστερον — συμβηβεκὸς om. B τοῦ] καὶ τὸ Z 12 τὸ ἀγα] lac. Z 16 γὰρ om. a 16. 17 ἀλλήλους ὠφελίμους NB 17. 18 δὲ ἀλλήλοις NBa 18 δὲ οἱ ἀγαθοὶ ZN: οἱ ἀγαθοὶ a: ἀγαθοὶ B 20 διόπερ] διὸ Ba 23 πᾶσα Z: πᾶσι Na: πᾶσα corr. ex πᾶσι B 24 ὅπερ] ὃ Ba ἀληθινῶν Ba 26 φιλοῦντες (R): φιλοῦνται ZNa τὴν αὑτοῖς Ba αὑτοῖς Diels: αὐτοῖς libri, ut 28. 29 27 ἔχειεν N τῇ corr. ex τὴν B πάντων a 29 ὅμοιοί Ba et Arist. Kb: ὅμοιά ZN et Arist. vulg. 30. 31 ἀγαθὸν a 32 ἵν' ᾖ Za: ἵνα (η supra) N ἵν' ᾖ — λοιπὰ (33) om. B

χρόνου πρὸς συνήθειαν καὶ πεῖραν· ἴσως μὲν γὰρ ἔστιν ὅτε καὶ ἐξ ὀλίγης 138r ἐντυχίας γνώῃ ἄν τινα ὁ σπουδαῖος· ἀλλ' ὅμως καὶ διαλάθοι ἄν τις αὐτὸν μέχρι τινὸς χρηστοὺς προβαλλόμενος λόγους. διὸ δεῖ πείρας καὶ χρόνου. διὰ δὴ ταῦτα ἐλέγομεν καὶ πρότερον ἐν τῷ τῆς φιλίας ὅρῳ, ὅτε ἔλεγεν εὔνοιαν ἐν ἀντιπεπονθόσι μὴ λανθάνουσαν, σημαίνειν ὅτι δεῖ καὶ ἐντετυχηκέναι ἀλλήλοις καὶ οὕτως εἰδέναι τὴν ἀλλήλων εὔνοιαν. πιστεύσειαν μὲν γὰρ ἴσως ἀλλήλοις εὔνους εἶναι καὶ ἀγαθοί, ἄλλῳ τινὶ πεῖραν λαβόντι καὶ ἀγαθῷ, ἀλλὰ τὸ τῆς συνηθείας πῶς ἂν γένοιτο μὴ ἐντυχοῦσι; δεῖ δὲ ταύτης πρὸς τὴν ἀληθῆ φιλίαν καὶ χωρὶς πάθους ἐσομένην.

Αὕτη μὲν οὖν, ἡ τῶν ἀγαθῶν φιλία. καὶ κατὰ τὸν χρόνον τελεία ἐστίν (ἐν πολλῷ γὰρ χρόνῳ κρίνεται) καὶ ⟨κατὰ⟩ τὰ λοιπά. καὶ γὰρ καθ' αὑτήν ἐστι φιλία οὐ κατὰ συμβεβηκὸς καὶ πάντα ἔχει τὸ ἀγα|θὸν τὸ ἡδὺ τὸ 138v χρήσιμον· τὸ δὲ πάντων τελειότατον ἐν αὐτῇ ἡ ἀρετή, ἢ ὁμολογουμένως τελειότατον τῶν ὄντων ἀγαθὸν πλὴν τῆς εὐδαιμονίας. ἔτι δὲ ὁμοία ἐστὶν ἑκατέρῳ παρ' ἑκατέρου, ὅπερ δεῖ τοῖς φίλοις ὑπάρχειν· ἰσότης γὰρ ἡ φιλία. αὕτη δ' οὐκ ἂν γένοιτο μὴ ὁμοίως ἀλλήλους φιλούντων. ἡ δὲ διὰ τὸ ἡδὺ φιλία καὶ ⟨ἡ⟩ διὰ τὸ χρήσιμον καθ' ὁμοιότητα ταύτης λέγονται· οἵ τε γὰρ δι' ἡδονὴν ἀλλήλοις ἡδεῖς καὶ οἱ διὰ τὸ χρήσιμον ἀλλήλοις χρήσιμοι. ἃ δὲ ἑξῆς λέγει, δῆλον ὅτι καὶ ἐν τούτοις αἱ φιλίαι διαμένουσιν, ἂν ἰσότητος ὡς δυνατόν ἐστιν ἅπτωνται, τὸ αὐτὸ καὶ ἀπὸ τοῦ αὐτοῦ ἢ τὸ ἡδὺ ἀντιπαρέχοντες ἀλλήλοις ἢ τὸ χρήσιμον, καὶ μὴ ὡς ἐραστὴς καὶ ἐρώμενος. λαμβάνει δὲ ἐραστὴν καὶ ἐρώμενον οὐ σπουδαίους. οἱ δὲ μὴ τὸ ἡδὺ ἀντικαταλλαττόμενοι ἐν τοῖς ἐρωτικοῖς ἀλλὰ τὸ χρήσιμον, ὡς οἱ ἐπ' ἀργυρίῳ συνόντες τοῖς ἐρασταῖς, οὔτε κυρίως φιλοῦσι καὶ ῥᾳδίως διαλύονται. οὐδέτερον δὲ λέγει τὸν μέσον, ὃς οὔτε φαῦλος οὔτε ἀγαθός ἐστιν. τοῦτον δέ φησι καὶ τῷ φαύλῳ ἔσεσθαι φίλον· καὶ δι' ἡδονὴν καὶ διὰ τὸ χρήσιμον συγχωρητέον· ἔτι δὲ τὸν μέσον καὶ τῷ σπουδαίῳ καὶ τῷ φαύλῳ· τὸ δὲ τῷ φαύλῳ τὸν σπουδαῖον ἔσεσθαι φίλον ἢ διὰ τὸ ἡδὺ ἢ διὰ τὸ χρήσιμον οὐ ῥᾴδιον πιστεῦσαι. οὔτε γὰρ ἂν ἡσθείη τῷ φαύλῳ ὁ σπουδαῖος οὔτε θελήσαι ἂν χρήσιμος αὐτῷ γενέσθαι, οὐδὲ ἐκεῖνος αὐτῷ. εἰ μὴ ἄρα φαῦλον λέγει τὸν μὴ ἀνιάτως ἔχοντα, ὃν ἰδὼν ὁ σπουδαῖος οὐκ ἀγεννῆ μὲν φύσιν ἔχοντα διεφθαρμένον δέ.

1 πρὸς Ba: πρός γε ZN καὶ om. Z 2 εὐτυχίας NBa διαλάθῃ a 3 προβαλόμενος Z 4 ἔλεγεν] c. 2 p. 1155b34 5 ὅτι] ὅς Z ἐντευχηκέναι] ἐντυχεῖν Ba 7 ἀγαθοὺς Ba λαβῶντι Z 11 γὰρ] δὲ N κατὰ ex Aristotele addidi δὲ post λοιπά add. ZN 13 πάν] lac. Z 14 ἀγαθῶν] N 14. 15 ἑκατέρα παρ' B 15 ὅπερ ZN: ὃ Ba 16 αὕτη—φιλούντων om. Z ἀλλήλων Ba 16. 17 ἡ δὲ διὰ τὸ ἡδὺ φιλία om. Z 17 ἡ addidi ex Arist.: om. libri ταύτῃ a λέγεται Ba 19 δῆλον ZBa: δῆλα N διαμένουσιν] διαβαίνουσιν N 20 ἐστιν om. a ἅπτονται Na ἢ τὸ scripsi: ἤτοι libri 20. 21 ἀντιπαρέχοντες scripsi: ἀντιπαρέχονται Z: ἀντιπαρέχοντα NBa 22 καὶ post ἐραστὴς om. a σπουδαῖον Ba 22. 23 ἀντικαταλαττόμενοι Z 23 ἐπ' ἀργυρίῳ] παρ' ἀργύριον a 24 κυρίως] ῥᾳδίως Ba φιλοῦσι N: φίλοι Z 25 ἐστιν om. Ba 26 διὰ τὸ χρήσιμον N: τὸ χρήσιμον ZBa 29 θελείσῃ a χρήσιμον et ἐκεῖνον libri: corr. a 30 λέγει] φησι Ba 31 ἀγεννῆ a διεφθαρμένην a

βουλόμενος ἐπανορθώσασθαι, ὑπομένει καὶ χρήσιμος αὐτῷ καὶ ἡδὺς γίνεσθαι, ἵνα διὰ τούτων προσαγόμενος ἐπανορθώσῃ. διὰ δὲ ταῦτα δέξεται παρ' ἐκείνου καὶ ἡδονήν τινα καὶ χρείαν· ἡ δὲ δι' αὐτοὺς τοὺς φιλουμένους γινομένη, ἐν μόνοις συνίσταται τοῖς σπουδαίοις καὶ ἀγαθοῖς· καὶ μόνη δὲ ἀδιάβλητος ἡ τῶν ἀγαθῶν φιλία. διὰ γὰρ τὸ πεῖραν εἰληφέναι ἀλλήλων ἱκανὴν οὐ πιστεύουσι τοῖς πειρωμένοις διαβάλλειν οὐδὲ ἀνέχονται λεγόντων, ἀλλήλοις δὲ σφόδρα πιστεύουσι καὶ οὐδέποτε ἂν ἀδικήσειεν ἀλλήλους. ταῦτα δὲ πάντα ὑπάρχειν μὲν δεῖ τῇ φιλίᾳ, ἐν μόνῃ δέ ἐστι τῇ τῶν ἀγαθῶν, ἐπεὶ οἵ γε μοχθηροὶ καὶ πιστεύουσιν ἐνίοτε τοῖς φαύλοις κατὰ τῶν φίλων λέγουσι καὶ ἀπιστοῦσι τοῖς φίλοις, ἔνιοι δὲ καὶ ἀδικοῦσιν, ὅθεν οὐ κυρίως εἰσὶ φίλοι· ἀλλ' ἐπεὶ λέγουσιν οἱ ἄνθρωποι καὶ τὰς τοιαύτας φιλίας ἐχόμενοί τινος ὁμοιότητος τῆς πρὸς τὴν ἀληθῶς φιλίαν, ῥητέον μὲν καὶ τοὺς τοιούτους φίλους. γνωστέον δὲ καὶ τὴν διαφορὰν καὶ ὅτι οὐ καθ' ἓν γένος λέγονται αἱ φιλίαι, ἀλλὰ κυρίως μὲν αἱ τῶν ἀγαθῶν, αἱ δὲ ἄλλαι καθ' ὁμοιότητα. οὐ πάνυ δὲ αὗται συνάπτουσιν ἀλλήλαις ἡ δι' ἡδονὴν τῇ διὰ τὸ χρήσιμον· ὅ τι γὰρ κατὰ συμβεβηκός, οὐ πάνυ συνδυάζεται. δόξει δὲ τοῦτο οὐκ ἀληθές· ὁ γὰρ αὐτὸς εἴη ἂν καὶ λευκὸς καὶ μουσικός, καὶ ἀμφότερα κατὰ συμβεβηκός. ἀλλ' ἔοικεν οὐ τὰ τοιαῦτα λέγειν. ἀλλ' ὅταν πρώτως μέν τι λέγηται καὶ κυρίως, ἀπ' ἐκείνου δὲ ἄλλα. πρώτως μὲν ὁ ἄνθρωπος ἰατρικός, κατὰ συμβεβηκὸς δὲ τὸ ὄργανον καὶ τὸ φάρμακον. οὐ γὰρ συνδυάζεται τὰ τοιαῦτα τῶν συμβεβηκότων. καὶ ἐνταῦθα φίλοι μὲν κυρίως οἱ ἀγαθοί, κατὰ συμβεβηκὸς δὲ καὶ ἀπὸ τῆς πρώτης φιλίας αἱ λοιπαί· ὅθεν οὐ ῥᾳδίως συνάπτονται. | 138v

p. 1157b1 Εἰς ταῦτα δὲ τὰ εἴδη τῆς φιλίας νενεμημένης ἕως τοῦ φαίνονται φιλίαι δι' ἀνομοιότητα ἐκείνης. 139r

Τῆς φιλίας εἰς εἴδη τρία νενεμημένης ὁμώνυμοι ἀλλήλοις οἱ φίλοι· κατὰ μὲν οὖν τὸ πρῶτον εἶδος οὐκ ἔσονται φίλοι ἀλλήλοις οἱ φαῦλοι. δι' ἀρετὴν γὰρ οἱ μὲν ἐπιεικεῖς φιλοῦσιν ἀλλήλους, τοῖς δὲ φαύλοις οὔτε ἀρετῆς μέτεστιν οὔτε τῆς δι' αὐτὴν φιλίας· δι' ἡδονὴν δὲ γένοιντ' ἂν φίλοι καὶ οἱ φαῦλοι. ἐνδέχεται γάρ τινας μοχθηροὺς ἡδονὴν ἀλλήλοις πορίζειν καὶ διὰ τοῦτο συνάπτειν ἀλλήλοις τὴν δι' ἡδονὴν φιλίαν. γίνοιντο δ' ἂν καὶ διὰ τὸ χρήσιμον· ἔνιοι γὰρ φαῦλοι μέν εἰσι, γίνονται δὲ ἀλλήλοις χρήσιμοι, καὶ σχεδὸν ταύτην μάλιστα οἱ φαῦλοι μετίασι τὴν φιλίαν· ἵνα γὰρ τύχωσιν ὧν δέονται παρά τινων, ἀνθυπουργοῦσιν αὐτοῖς, ὧν ἂν ἐκεῖνοι ἐν χρείᾳ ὦσι, καὶ λέγεται

---

3 δὲ post ἡ om. a 4 καὶ ἀγαθοῖς — φιλία (5) om. Z 5 εἰληφαίναι ZN 5. 6 πιστεύσωσι Na 7 ἀδικήσαιεν ZB ἀλλήλοις a ὑπάργει Z 8 δεῖ] δὴ Z 9 τῶν om. B 10 εἰσι corr. ex λέγουσι Z φίλοι] φιλίαι Z 11 τοιαύτας] αὐτὰς N ἐχόμενοι — φιλίαν (12) om. Z 11. 12 ἀληθῆ a 18 μέν τι] μέντοι N λέγηται corr. ex λέγειται N πρῶτος Ba 21 λοιπαὶ] λυπαὶ Z 23 εἰς — ἐκείνης (24) om. a 25 τῆς φίλιας εἰς εἴδη τρία (τρία εἴδη Z)] Εἰς εἴδη τρία τῆς φιλίας a 26 οὖν om. a 27 ἀλλήλοις a 28 γένοιντ' Ba: γένοιτ' ZN 32 ταύτην] ταῦτα N μετίασοι N 33 παρατείνων N

ἡ τοιαύτη ἀνταπόδοσις καὶ κοινωνία ὑπὸ τῶν ἀνθρώπων φιλία. καὶ γὰρ συγ- 139r γίνονται ἀλλήλοις, μέχρις οὗ χρήσιμοί εἰσι καὶ ἀνθυπουργοῦσι. ταύτῃ φησὶν ὅμοιοι ὄντες, τουτέστι κατὰ τοῦτο ὅμοιοι ὄντες καθὸ ἡδεῖς ἢ χρήσιμοι ἀλλήλοις καὶ ᾗ παρέχουσιν ἀλλήλοις ἡδονήν, καὶ δι' ἡδονὴν φίλοι εἰσίν. ἁπλῶς δὲ οὐκ εἰσὶν ὅμοιοι· οὔτε γὰρ αὑτοῖς ἀεὶ οἱ φαῦλοι ὅμοιοι οὔτε ἀλλήλοις· ἀλλ' οὐδὲν κωλύει ᾗ ἄνθρωποί εἰσιν, ἀνομοίους ὄντας τῷ ποριστικοὺς ἡδονῆς ἀλλήλοις εἶναι ὁμοιοῦσθαι· ᾗ δ' ἄνθρωποί εἰσιν ἐοίκασιν, ἂν τὰ ἤθη παραπλήσια 15 ἔχωσι. διὰ δὲ τὴν αὐτὴν αἰτίαν καὶ οἱ διὰ τὸ χρήσιμον φίλοι ταύτῃ εἰσὶν ὅμοιοι ᾗ χρήσιμοι. οἱ δὲ ἀγαθοὶ δι' αὑτοὺς φίλοι. ᾗ γὰρ ἀγαθοί· διόπερ οὗτοι μὲν ἁπλῶς καὶ καθ' αὑτοὺς φίλοι, ἐκεῖνοι δὲ κατὰ συμβεβηκός· πῶς δὲ κατὰ συμβεβηκός εἰσι φίλοι οἱ δι' ἡδονὴν καὶ τὸ χρήσιμον, εἴρηται. ὅτι δὲ φίλοι λέγονται οἱ τοιοῦτοι καθ' ὁμοιότητα τὴν πρὸς τοὺς δι' ἀρετὴν φίλους. ἐπεὶ γὰρ ἐκεῖνοι πρὸς τῷ καθ' αὑτοὺς εἶναι φίλοι ἔτι καὶ ἡδεῖς εἰσι καὶ χρήσιμοι ἀλλήλοις, ταύτῃ ἐοικέναι δοκοῦσιν αὐτοῖς. πλὴν οἱ μὲν ἀγαθοὶ οὔτε 20 τὸ χρήσιμον οὔτε τὸ ἡδὺ σκοπὸν ἔχουσι τῆς φιλίας, ἀλλὰ ταῦτα παρηκολούθηκεν αὐτοῖς, φιλοῦσι δὲ ἀλλήλους δι' αὑτούς· οἱ δὲ δι' ἡδονὴν ἢ τὸ χρήσιμον φίλοι ταῦτ' ἔχουσι τέλη τῆς φιλίας. ὥσπερ δ' ἐπὶ τῶν ἀρετῶν οἱ μὲν καθ' ἕξιν ἀγαθοὶ λέγονται, οἱ δὲ κατὰ τὴν ἐνέργειαν, κατὰ μὲν τὴν ἕξιν ὡς οἱ καθεύδοντες, κατὰ δὲ τὴν ἐνέργειαν, ὅταν πράττωσι τὰ κατὰ τὴν ἀρετήν. οὕτω φησὶ αὐτὸς καὶ ἐπὶ τῆς φιλίας. οἱ μὲν καθεύδοντες καθ' ἕξιν εἰσὶ φίλοι ἢ οἱ κεχωρισμένοι τοῖς τόποις, οἱ δὲ συζῶντες καὶ χαίροντες τῇ 25 συνουσίᾳ καὶ πορίζοντες τὰ ἀγαθὰ ἀλλήλοις κατ' ἐνέργειαν φίλοι. ἐνεργοῦσι γὰρ τὰ κατὰ τὴν φιλίαν, καὶ μάλιστα, ἂν ἀγαθοὶ ὦσι καὶ τὴν τελείαν φιλίαν ἔχωσι. καὶ γὰρποριοῦσι τὰ ἀγαθὰ αὐτῶν ἕνεκα τῶν φίλων, καὶ ἡσθήσονται μὲν ἀκούοντες εὖ πράττοντας, ἀνιάσονται δὲ ἄν τινι δυσχερεῖ πύθωνται περιπεπτωκότας τοὺς φίλους. ταῦτα δὲ πάντα ἐνέργειαι φιλικαί. τὸ δὲ μέγιστον ἐνεργήσουσιν αὐτῷ τῷ φιλεῖν. ἐπεὶ γὰρ φίλοι εἰσί, δι' αὑτοὺς καὶ οὐδὲν 30 ἄλλο δηλονότι ἱκανῶς ἐνεργήσουσι τὰ φιλικὰ φιλοῦντες ἀλλήλους.

Ὁ δ' Ἀριστοτέλης τὴν μὲν φιλίαν οὔ φησι διαλύεσθαι ὑπὸ τῶν τόπων, ἂν ὦσι κεχωρισμένοι, τὴν δὲ φιλικὴν ἐνέργειαν· ἴσως οὐκ ἀλόγως· τὴν γὰρ μεγίστην ἐνέργειαν διαλύει ἡ ἀπουσία. οὐδὲν γὰρ οὕτω φιλικὸν ὡς τὸ συζῆν τοὺς φίλους καὶ καρποῦσθαι τὴν ἐκ τῆς συνουσίας καὶ ὁμιλίας ἀπόλαυσιν καὶ ἀντιπαρέχειν ταύτην. ἴσως οὖν καὶ ἀσφαλέστατον ἦν οὕτως εἰπεῖν, ὅτι οὐκ

4 καὶ ᾗ—καὶ δι' om. B καὶ δι' ἡδονὴν om. Z 5 αὑτοῖς] αὐτοῖς libri ἀεὶ] αἰεὶ N φαῦλοι Z: φίλοι NBa 6 οὐδὲν scripsi: οὐδὲ libri 7 ἤθη αὐτῶν παραπλήσια a 8 post ἔχωσι addit ἀλλήλοις Z 9 αὑτοὺς] αὐτοὺς libri διόπερ ZN: διὸ Ba 11 χρήσιμον; εἴρηται ὅτι δὴ Diels 13 ἐπεὶ γὰρ] lac. Z τῷ ZB: τὸ Na ἡδὺς Z 15 post ἔχουσι add. τέλη Z τῆς φιλίας—ἔχουσι (17) om. Z 16 αὑτοὺς] αὐτοὺς libri 16. 17 διὰ τὸ χρήσιμον N 17 τέλος N ὥσπερ] ὡς Ba 19 κατὰ δὲ—οἱ μὲν καθεύδοντες (20) om. B κατὰ τὴν] κατ' a 20 οὕτω] οὗτος Z 23 φίλων] φίλον N 24 ἡσθήσεται N 25 ἀνιάσοντε N τινι om. Ba πύθονται a 25. 26 περιπεπτωκότες a 26 τοὺς φίλους om. ZBa 27 αὐτῷ B: αὐτῶν ZNa: *in amando ipsos* versio lat. αὑτοὺς Diels: αὐτοὺς libri 28 ἄλλο] ἄλλό τι Ba 29 οὔ φησι τὴν μὲν φιλίαν a 32 ἐκ τῆς συνουσίας καὶ ὁμιλίας ZN: ἐντεῦθεν Ba

ἐνεργήσουσι τὴν φιλικωτάτην ἐνέργειαν οἱ διεστῶτες τοῖς τόποις, ἂν δὲ χρόνιος, φησίν, ἡ ἀπουσία γίνηται, καὶ τῆς φιλίας λήθην δοκεῖ ποιεῖν. 139r εὖ δὲ προσέθηκεν ἐνταῦθα τὸ δοκεῖν· ἐπεὶ γὰρ οἱ δι' ἡδονὴν φίλοι ἢ διὰ τὸ χρήσιμον λήθην λαμβάνουσι τῆς φιλίας, ἂν χρόνιος ἡ ἀπουσία γίνηται, δοκεῖ τοῖς πολλοῖς τοιοῦτον ἡ φιλία εἶναι, εὐδιάλυτον καὶ ἀμαυρούμενον ὑπὸ τῆς ἀπουσίας, ὅταν χρόνιος ᾖ. οὐ μὴν ἥ γε τῶν ἀγαθῶν τοιαύτη ἀλλὰ βέβαιος καὶ μόνιμος καὶ οὐδὲν κρεῖττον αὐτῆς οὔτε χρόνος οὔτε διάστασις ἡ κατὰ τόπον. τὸ δὲ ἐπὶ τῶν πρεσβυτέρων εἰρημένον καὶ τῶν στρυφνῶν ὡς ἐπὶ τὸ πολὺ συμβαίνει, ὅταν μὴ σπουδαῖοι ὦσιν οἱ πρεσβῦται. ἥκιστα γὰρ φιλικοὶ γίνονται· μεθ' ἡδονῆς γὰρ πᾶσα φιλία, οἱ δὲ στρυφνοὶ καὶ οἱ πρεσβῦται, ὡς ἐπὶ τὸ πολὺ οὔτε ἀλλήλοις οὔτε ἄλλοις ἡδεῖς, ἂν μὴ ἡ ἀρετὴ αὐτοὺς ἡδεῖς ποιῇ. διὸ ἥκιστα δὴ φιλικοὶ οἱ μὴ ἐνάρετοι μέν, ὑπὸ γήρως δὲ σκυθρωπότεροι ὡς ἐπὶ τὸ πολὺ ἢ διὰ τὸ φύσει στρυφνοὶ εἶναι. οἱ δὲ ἀποδεχόμενοι ἀλλήλους καὶ ἐπαινοῦντες, μὴ συζῶντες δὲ εὔνοις ἐοίκασι μᾶλλον ἢ φίλοις. βούλονται μὲν γὰρ ἀλλήλοις τὰ ἀγαθά, τὸ δὲ μέγιστον καὶ τῇ φιλίᾳ οἰκεῖον παραλείπουσι, τὸ συζῆν. δηλοῖ δὲ ἐνταῦθα διὰ τί καὶ μικρῷ πρόσθεν ἔφη μὴ ἐνεργεῖν κατὰ τὴν φιλίαν τοὺς μὴ συζῶντας. λέγει γὰρ οὐδὲν γὰρ οὕτως ἐστὶ φίλων ὡς τὸ συζῆν. τὸ γὰρ οὕτως δηλοῖ μὲν ὅτι καὶ ἄλλα τινά ἐστι φιλικά, μέγιστον δὲ τὸ συζῆν. τούτου δὲ σημεῖον μέν ἐστι καὶ τὸ ἐν 139v τῷ αὐτῷ τόπῳ ὄντας τοὺς τῷ ὄντι φίλους μὴ αἱρεῖσθαι ἄνευ ἀλλήλων ζῆν, ὡς ταύτης οὔσης ἐνεργείας φιλικωτάτης. φέρει δὲ καὶ αὐτὸς τεκμήριον τὸ τοὺς εὐδαίμονας ὀρέγεσθαι τοῦ συνδιημερεύειν τοῖς φίλοις. οἱ μὲν γὰρ ἐνδεεῖς καὶ κατὰ τὴν χρείαν φίλοι ὠφελείας μόνης δέονται καὶ ἀπόχρη αὐτοῖς ἂν αὕτη γένηται, κἂν μὴ συζῶσιν ἀλλήλοις. οἱ δὲ εὐδαίμονες, οὗτοι δέ εἰσιν οἱ ἀγαθοί, ἅμα καὶ κατ' ἀρετὴν ἐνεργοῦντες δέονται τοῦ συνδιημερεύειν τοῖς φίλοις, μάλιστα μὲν τοῖς ὁμοίοις κατ' ἀρετήν, εἰ δὲ μή, τοῖς εὖ πεφυκόσι καὶ μέσοις. ἁπλῶς μὲν γὰρ οὐκ ἔστιν ὁ ἄνθρωπος μοναδικὸν ζῷον ὡς ὁ λέων ἢ ὁ λύκος ἢ εἴ τι ἄλλο ζῷον δύναται καθ' αὑτὸ ζῆν, ἀλλὰ πολιτικὸν καὶ κοινωνικόν. ὁ δὲ ἐνάρετος καὶ εὐδαίμων ἀκριβοῖ τὸ φύσει ὑπάρχον τῷ ἀνθρώπῳ καὶ δεῖται τοῦ συνδιημερεύοντος καὶ συζῶντος· εἰς τοῦτο δὲ μάλιστα ὁ φίλος ἐπιτήδειος. ὥστε καὶ ὁ σπουδαῖος καὶ ὁ εὐδαίμων φίλου δεῖται καὶ οὐκ ἂν ἕλοιτο ζῆν καθ' αὑτόν, οὐδ' εἰ μέλλοι πάντα τὰ ἄλλα ἀγαθὰ ἕξειν.

2 ἡ om. Ba   γίνηται corr. ex γένηται N   δοκῇ a   λήθην δοκεῖ ποιεῖν libri ut Arist. cod. Kb: δοκεῖ λήθην ποιεῖν Arist. vulg.   4 γίνηται corr. ex γένηται N   6 ἥ γε Z: ἡ NBa   βέβαιος] βαίβεος Z   7. 8 χρόνος οὔτε διάστασις ἡ κατὰ τόπον ZN: κατὰ τόπον διάστασις οὔτε χρόνος Ba, nisi quod χρόνιος a   8 εἰρημένων N   10 πρεσβύτεροι Ba   11 ἐπὶ τὸ πολὺ] ἐπιπολλοὶ N   ἀλλήλοις] . . . . λοις Z   ἡδεῖς αὐτοὺς Ba: αὐτοὺς om. N   12 δὴ om. Z   ὑπὸ] ἀπὸ a   δὴ om. Z   14 καὶ ἐπαινοῦντες om. Ba   16 διὰ τί] διότι Ba   18 γὰρ om. Z   τινα om. Ba   21 φιλικώτατον N   22 οὐ om. Ba   24 ἂν αὕτη γένηται om. Ba   δὲ (post οὗτοι) om. a   26 ὁμοίοις] σπουδαίοις Ba   7 μέσοις ZB: μένουσιν Na   μοναστικὸν a   ὡς] καθάπερ Z   28 εἴ τι] εἶτοι N   ζῆν καθ' αὑτὸ Ba   29 ἀκριβεῖ N   ὑπάργων N   30 τοῦτο δὲ] ὃ Ba   31 φίλου] φιλίας Ba   32 οὐδ' εἰ] εἰ καὶ Ba   ἄλλα om. Ba   ἕξειν] ἕξιν N

συνδιάγειν γὰρ μετ' ἀλλήλων μὴ ἡδεῖς ὄντας, οὐχ οἷόν τε. ἥδιστος δὲ ὁ φίλος τῷ φίλῳ. διὰ τοῦτο δὲ καὶ ἡ ἑταιρικὴ φιλία, αὕτη δ' ἐστὶν ἡ τῶν νέων καὶ μὴ κατὰ τὴν χρείαν συνάγει τοὺς ἑταίρους, ὅτι καὶ ἀλλήλοις χαίρουσι καὶ τοῖς αὐτοῖς πράγμασι. 139v

Μάλιστα μέν ἐστι φιλία, ὡς καὶ πρότερον εἴρηται, ἡ τῶν ἀγαθῶν. φιλητὸν μὲν γὰρ ἁπλῶς, καὶ αἱρετὸν τὸ ἁπλῶς ἀγαθόν· καὶ ἡδὺ τὸ ἁπλῶς ἡδύ. ἑκάστῳ δὲ τὸ ἑκάστῳ, τῷ δὲ ἀγαθῷ καὶ ἀγαθὸν καὶ ἡδὺ ὁ ἀγαθός. ἐοικέναι δέ φησι τὴν μὲν φίλησιν πάθει, τὴν δὲ φιλίαν ἕξει. καίτοι δοκοῦσί τινες φιλήσεις καὶ ἕξεις εἶναι οὐ μόνον πάθη. πάθη δ' εἰσὶν αἱ πρόσκαιροι κινήσεις αἱ κατὰ σῶμα ἢ ψυχήν, ἕξεις δὲ ποιότητές τινες ἔμμονοι, ἀφ' ὧν αἱ ἐνέργειαι. καλοῦμεν γάρ τινας φιλοίνους καὶ φιλόψους τῆς φιλήσεως τῆς ἐν αὐτοῖς ἕξεως οὔσης. λέγω δὲ ἐν αὐτοῖς ἕξιν τήν τε φιλοψίαν καὶ τὴν φιλοινίαν. μήποτ' οὖν πάθος καλεῖ οὐ μόνον τὴν πρόσκαιρον κίνησιν, ἀλλὰ καὶ τὴν παθητικὴν διάθεσιν· λέγω δὲ παθητικὴν διάθεσιν τὴν ἐν τῷ παθητικῷ μόνῳ, μηκέτι δὲ καὶ ἐν τῷ λογιστικῷ. ἡ μὲν γὰρ φιλία ⟨ἐν⟩ τῷ λόγον ἔχοντι τῆς ψυχῆς ἐστι καὶ ἐν τῷ ἀλόγῳ. καὶ γὰρ κρίνας κτᾶται τὸν φίλον καὶ παθὼν πρὸς αὐτόν, καὶ ἡ ἕξις ἐν ἀμφοτέροις γίνεται τοῖς μορίοις. ἡ δὲ κατὰ πάθος φίλησις κατὰ ψιλὸν τὸ πάθος ἐγγίνεται καὶ κατὰ τὸ πάθος ἐνεργεῖ. διὰ τοῦτο τὴν μὲν φίλησιν πάθος, τὴν δὲ φιλίαν ἕξιν εἴρηκεν. ἔστι δὲ καὶ ἡ φιλία ἡ μέν τις ἕξις, ἡ δὲ ἐνέργεια. νῦν δὲ τὴν ἕξιν παραβέβληκε τῇ φιλίᾳ. ὅτι δὲ ἡ μὲν φιλία ἕξις, οἵαν εἰρήκαμεν, ἡ ἐν ἀμφοτέροις τοῖς μορίοις τῆς ψυχῆς, ἡ δὲ φίλησις πάθος εἴρηται παθητική τις ἕξις οὖσα ἀφ' ἧς αἱ ἐνέργειαι κατὰ πάθος μόνον γίνονται, δῆλον ποιεῖ λέγων. τὴν μὲν φίλησιν οὐχ ἧττον πρὸς τὰ ἄψυχα εἶναι, ἀντιφιλεῖν δὲ μετὰ προαιρέσεως, τὴν δὲ προαίρεσιν ἀφ' ἕξεως. διὰ γὰρ τούτων φανερόν, ὅτι γίνεται ἡ φίλησις παθητική τις διάθεσις καὶ πρὸς ἄψυχα, οἷον ἡ μὲν φιλοινία πρὸς τὸν οἶνον. ἡ δὲ φιλοψία πρὸς τὸ ὄψον. ἀφ' ἧς ἕξεως κατὰ πάθος μόνον, ἡ ἐνέργεια ἡττωμένων κατὰ τὸ πάθος τῶν μὲν τοῦ οἴνου, τοῦ δὲ τοῦ ὄψου. ἡ δὲ φιλία, ἐπειδὴ μετὰ προαιρέσεως, ἡ δὲ προαίρεσις ὄρεξις βουλευτική, εἴη ἂν ἕξις ἡ φιλία ἔν τε τῷ λόγον ἔχοντι καὶ ἐν τῷ παθητικῷ, ἀφ' ἧς βούλονται τἀγαθὰ τοῖς φίλοις αὐτῶν ἐκείνων ἕνεκα, οὐ κατὰ πάθος ψιλὸν ἀλλὰ κατά τινα ἐν ἀμφοτέροις τοῖς μορίοις τῆς ψυχῆς ἕξιν. φιλοῦντες δὲ τὸν φίλον ἅμα μὲν τὸν φίλον φιλοῦσιν. ἅμα δὲ τὸ αὑτοῖς ἀγαθόν. ὁ γὰρ φίλος ἀγαθὸς τῷ φίλῳ καὶ ἀνταποδιδόασι τὸ ἴσον ἀλλήλοις. καὶ γὰρ βούλεται ἑκάτερος ἑκατέρῳ τἀγαθὰ αὐτοῦ ἐκείνου

---

4 καὶ om. Z 5 μὲν οὖν Arist. 7 ἑκάστῳ δὲ τὸ ἑκάστου a 8 οὖν φησι a πάθει ZNa: ἕξει B ἕξει ZNa: πάθει B 11 καλοῦσι Ba φιλοψύχους a 12 τε om. Ba φιλοψίαν NB: φιλοψΐχειν Z: φιλοψυχίαν a τὴν (post καὶ) om. Ba 13 πάθη B 14 λέγω — διάθεσιν om. a 15 μηκέτοι N τὴν ἐν τῷ λογιστικῷ a ἐν (post φιλία) addidi ἔχοντα N 16 γὰρ om. Z 17 παθὼν corr. ex παθὸν N ἀμφετέροις Z 21 εἰρήκαμεν] εἴπομεν Ba τοῖς Z: τῆς N: om. Ba 23 δῆλον δὲ ποιεῖ a 26 φιλοψία] φιλοψυχία Z 28 τὸ (ante πάθος) om. Ba τοῦ ante οἴνου et ante ὄψου om. Ba ἐπειδὴ] ἐπεὶ Ba 30 καὶ ἐν τῷ Z: καὶ τῷ NBa 31 τινα] τε Ba 32 τῆς ψυχῆς om. a ἕξιν om. Z 33 αὐτοῖς libri

ἕνεκα. καὶ ἡδὺς ἐστιν ἑκάτερος ἑκατέρῳ. διὸ καὶ λέγεται φιλία ἀνταπόδοσίς 139v
τις οὖσα τοῦ φίλου, μάλιστα δὲ ταῦτα τῇ τῶν ἀγαθῶν φιλίᾳ ὑπάρχει. αἱ
δὲ ἄλλαι καθ' ὁμοιότητα αὐτῆς λέγονται, δι' ἃς εἴπομεν αἰτίας. ἃ δὲ λέγει
περὶ τῶν πρεσβυτῶν καὶ στρυφνῶν, διὰ τί ἧττον γίνονται φίλοι, καὶ περὶ τῶν
νέων, ὅτι μᾶλλον φίλοι γίνονται, καὶ σαφῆ ἐστι καὶ εἴρηται πρότερον.

Πολλοῖς δὲ εἶναι φίλον, οὔ φησιν εἶναι ῥᾴδιον, κατὰ τὴν τελείαν 140r
φιλίαν, ὥσπερ οὐδὲ ἐρᾶν πολλῶν. ὑπερβολὴ γάρ τίς ἐστιν ἐν τῷ φιλεῖν. 7
τοῦτο δὲ οὐ ῥᾴδιον πρὸς πολλούς· αἱ γὰρ ὑπερβολαὶ πρὸς ὀλίγους. λεκτέον
δ' ὑπερβολὴν τὴν κατὰ τὸ εὖ. διὰ τί οὖν οὐκ ἂν εἴη πρὸς πολλούς, ἀπο-
ρήσαι ἄν τις. εἰ γὰρ καθ' ὑπόθεσιν εἶεν πολλοὶ ἀγαθοί, τί κωλύει τὸν ἀγα-
θὸν ἔμπειρον αὐτῶν γινόμενον πᾶσιν ὁμοίως εἶναι φίλον; ἢ συναπτέον ἃς ἐπι- 10
φέρει αἰτίας τοῦ μὴ πολλοὺς ἀρέσκειν τῷ ἀγαθῷ. οὔτε γὰρ ἀγαθὸν εἶναι
οἷόν τε πολλοῖς, ἀλλ' ἀγαπητὸν ἑνὶ ἢ δυσὶν ἐντυχεῖν. οὔτε πεῖραν οἷόν τε
πολλῶν ἅμα λαβεῖν, δεῖ δὲ πάντως πείρας πρὸς τὸ ἀδιάβλητον εἶναι· ἔτι δὲ
καὶ συνηθείας, αὕτη γάρ ἐστι πρὸς τῇ ἀρετῇ συνάπτουσα καὶ προσοικειοῦσα
ἀλλήλοις τὰς τῶν ἀγαθῶν ψυχάς· διὰ τὸ χρήσιμον δὲ καὶ τὸ ἡδὺ ἐν-
δέχεται πολλοῖς εἶναι φίλον. καὶ γὰρ πολὺ τὸ τῶν τοιούτων γένος, ἔτι δὲ
οὐδὲ πολλοῦ χρόνου δεῖ οὐδ' ἐξετάσεως· ἐν ὀλίγῳ γὰρ χρόνῳ εὐθέως φανεραὶ 15
γίνονται αἱ περὶ τῶν χρησίμων καὶ τῶν ἡδέων ὑπηρεσίαι, καὶ καταμάθοι ἂν
τις ταχέως τὸν αὐτῷ ἡδὺν ἢ χρήσιμον. ὅταν δὲ μηκέτι γένηται τούτων ὁπο-
τεροῦν, λύεται ἡ φιλία· ἐν ὀλίγῳ γὰρ χρόνῳ συστᾶσα καὶ τὴν ὕπαρξιν ἔχει
ὀλιγοχρόνιον. ἀμφοτέρων δὲ καθ' ὁμοιότητα τὴν πρὸς τὴν πρώτην λεγομένων
φιλίαν, τῆς τε δι' ἡδονὴν καὶ τῆς διὰ τὸ χρήσιμον, μᾶλλον ἔοικε τῇ πρώτῃ
φιλίᾳ ἡ δι' ἡδονήν, ὅταν ἑκατέρῳ παρ' ἑκατέρου γένηται τὸ ἡδύ. δεῖ γὰρ
τοὺς τῷ ὄντι φίλους ἡδέως συνεῖναι καὶ χαίρειν ἀλλήλοις, ὅπερ ὑπάρχει τοῖς 20
δι' ἡδονὴν φιλοῦσιν, ἔτι δὲ ἐλευθεριωτέρα ἐστὶ τῆς διὰ τὸ χρήσιμον· οὐ γὰρ
διὰ κέρδος οὐδὲ δι' ὠφέλειαν τὴν ἐκ χρημάτων ἢ ἄλλης χρείας φίλοι εἰσίν,
ἀλλὰ προσπάσχοντες ἐνίοτε ἀλλήλοις ἢ τοῖς αὐτοῖς χαίροντες, οἷον γυμνασίοις
μαθήμασι παιδιαῖς. ἡ δὲ διὰ τὸ χρήσιμον φιλία μᾶλλον ἀγοραίων ἐστὶν
ἀνθρώπων καὶ ἀνελευθέρων. τεκμήριον δὲ τοῦ τὴν διὰ τὸ ἡδὺ φιλίαν ἐοικέναι
μᾶλλον τῇ ἀληθινῇ, ὅτι καὶ οἱ μακάριοι καὶ εὐδαίμονες (οὗτοι δέ εἰσιν οἱ
κατ' ἀρετὴν ἐνεργοῦντες ἐν προηγουμένοις) χρησίμων μὲν οὐ δέονται φί- 25
λων, ἡδέων δέ. μάλιστα μὲν γὰρ ἂν βούλοιντο τελειοτέρους κατ' ἀρετὴν
ἔχειν τοὺς φίλους, καὶ πάντῃ ἑαυτοῖς ὁμοίους, ἂν δὲ μὴ εὐπορῶσιν, ἀπόχρη

1 ἑκατέρῳ om. a φιλία a: φίλου ZNB: Z in marg. γρ. ἡ φιλία 4 πρεσβυτέρων a ἧττον] οὐ Ba 5 γίνονται Ba: γίνεται ZN 6 φίλον] φίλοις N φασι a εἶναι Z: ἐστὶν N: om. Ba 7 ἐστιν om. Ba 9 διὰ τί] διότι a 11 ἔμπορον a αὐτὸν N 12 πολλὰ a οὔτε] lac. Z 13 πολλοῖς] πολλοὺς B πεῖραν] πεῖ N 15 αὕτη] ὥτο Z τῇ ἀρετῇ] ἀρετὴ N 16 δὲ] ἢ a 17 φίλους Ba πολὺ Z: πολλοὶ N δὲ om. a 18 οὐδὲ om. Z εὐθὺς B 20 τὸν] τῷ Z μηκέτι] μὴ B 22 δὲ] γὰρ Ba λεγομένων corr. exemplum Spanhemii Berolinense: λεγομένην libri 25 ὃ Ba τοῖς] τῆς Z 27 ὠφέλιαν N ἄλλης] ἄλλοις Z 28 προσπάσχοντες Ba: προπάσχοντες ZN 29 παιδιαῖς Ba: παιδία N: παιδεία Z ἐστὶν om. Ba 31 καὶ οἱ εὐδαίμονες Na εἰσιν om. Ba 34 πάντῃ Ba: πάντα ZN

αὐτοῖς, ἂν μέσοι μὲν τύχωσιν, ἡδεῖς δὲ αὐτοῖς. συζῆν μὲν γὰρ βούλονταί 140r τισιν, ἐπειδὴ ἀδύνατον μονώτας εἶναι, ὡς εἴρηται πρότερον. τὸ δὲ λυπηρὸν ἀδύνατον ἐπὶ πολὺ φέρειν. οὐδὲ γὰρ αὐτὸ τὸ ἀγαθόν, εἰ λυπηρὸν εἴη, ὑπομεῖναι ἄν τις. τοῦτο δὲ πῶς εἴρηκεν; αὐτὸ γὰρ τὸ ἀγαθόν τί ἄλλο ἐστὶν ἢ εὐδαιμονία, ἣν ἀδύνατον λυπηρὰν εἶναι; ἅμα γὰρ λυπηρὸν καὶ οὐκέτι εὐδαιμονία, ἀλλ' ὅμως ἐξ ὑποθέσεως ὁ Ἀριστοτέλης εἴρηκεν, εἰ λυπηρὸν ἡ εὐδαιμονία ποιεῖ τὸν βίον, μηδένα ἂν εὐδαιμονεῖν ἐθελῆσαι. δῆλον οὖν ὡς διά τε ἄλλα ἐστὶν αἱρετὸν ἡ εὐδαιμονία καὶ ὅτι μεθ' ἡδονῆς ἐστιν ὁ κατ' αὐτὴν βίος. διό, φησι, οἱ ἄνθρωποι ζητοῦσιν ἡδεῖς εἶναι τοὺς φίλους, ὡς τῆς φιλίας μὴ δυναμένης ἄνευ τούτων συστῆναι. δεῖ δὲ μὴ μόνον ἡδεῖς ζητεῖν, ἀλλὰ καὶ ἀγαθούς. ὃ δ' ἐπιφέρει λέγων, καὶ ἔτι αὐτοῖς ἀγαθούς, μήποτε οὐκ οἰκεῖον ᾖ τοῖς ἀγαθοῖς, καὶ τοῖς τελείαν κτωμένοις φιλίαν. οὐ γὰρ εἰς αὐτοὺς ἀναφέροντες φιλοῦσι τοὺς φίλους καὶ εἴ τι αὐτοῖς γίνεται ἀγαθὸν τοῖς φιλοῦσι παρὰ τῶν φιλουμένων, ἀλλὰ διότι ἀγαθοί εἰσιν οἱ φιλούμενοι. ᾗ συνήρμοσται ἀλλήλοις καὶ οὐ διέζευκται ταῦτα. ὁ μὲν γὰρ ἀγαθὸς καὶ τῷ φίλῳ ἀγαθός. ζητεῖν δὲ κελεύει τοὺς τῷ ὄντι ἀγαθοὺς φίλους κτᾶσθαι. εἶεν δ' ἂν οὗτοι οἱ ἅμα ἀγαθοὶ καὶ τοῖς φίλοις ἀγαθοί.

Οἱ δ' ἐν ταῖς ἐξουσίαις (λέγει δ' ἐν ταῖς ἐξουσίαις τοὺς τυράννους 11 καὶ τοὺς καλουμένους βασιλεῖς, οὐκ ὄντας δέ, ἅτε τρυφῶντας) διῃρημένοις χρῶνται τοῖς ὀνομαζομένοις αὐτῶν φίλοις. οἱ μὲν γάρ εἰσιν αὐτοῖς ἡδεῖς, οἱ δὲ χρήσιμοι· αἴτιον δέ, ὅτι οὔτε ἡδεῖς ζητοῦσι μετ' ἀρετῆς (οἱ αὐτοὶ γὰρ ἂν ἦσαν καὶ χρήσιμοι) οὔτε χρησίμους εἰς τὰ καλά (οἱ αὐτοὶ γὰρ ἂν ἦσαν καὶ ἡδεῖς)· χρήσιμοι γὰρ εἰς τὰ καλὰ οἱ ἐνάρετοι. εἴρηται δὲ ὅτι οἱ ἐνάρετοι καὶ ἡδεῖς εἰσιν, οἱ δὲ δυνάσται ἐφιέμενοι μὲν τοῦ ἡδέος, τοὺς εὐτραπέλους κτῶνται φίλους, εἰς δὲ τὰς χρείας τοὺς δεινοὺς τὰ προσταχθέντα πρᾶξαι. οὐ συνδυάζεται δὲ ταῦτα ἐν τοῖς πολλοῖς· οἵ τε γὰρ καλούμενοι εὐτράπελοι, ὄντες δὲ βωμολόχοι, ὡς ἐπὶ τὸ πολὺ εἰς τὰς πράξεις ἀχρεῖοι, οἵ τε δεινοὶ καὶ παρακλητικοὶ τῶν προστατομένων πάσης χάριτος καὶ εὐτραπελείας ἐστέρηνται. ἡδὺς δὲ καὶ χρήσιμος ἅμα μόνος ὁ σπουδαῖος. πρακτικὸς μὲν γὰρ τῶν καλῶν δι' ἀρετὴν ἡδὺς δὲ τῷ ἀγαθῷ διά τε τὴν τοῦ ἤθους ὁμοιότητα καὶ τὰς καλὰς πράξεις. ἀλλὰ ὑπερέχοντι οὐ γίνεται φίλος ὁ σπου-

---

1 μέσοι] μέσι Z 2 ἐπεὶ Ba μονώτας NB: μονώσας Z: μονώτερον a πρότερον] c. 6 p. 1157b21 4 ἄλλο] ἄλλον Z 5. 6 εὐδαιμονία alterum] εὐδαίμονα a 6 εἴρηκεν] εἶπεν Ba 7 μηδένα ZN: οὐδένα B: οὐδεὶς a εὐδαιμονὴν Z θελήσῃ Ba ὡς om. a 8 ἐστὶν om. Ba utrubique αὐτὴν N: αὐτὸν Z 9 οἱ ἄνθρωποι ζητοῦσιν ZN: καὶ ζητοῦσιν οἱ ἄνθρωποι Ba 11 καὶ (ante ἔτι) om. Z ἔτι Arist.: ὅτι libri αὐτοῖς] αὑτοῖς libri 12 τελείαν] τ...... Z 13 ἀναφέροντες B: ἀναφέρονται ZNa καὶ εἴ τι B: καὶ ἤτι N: lac. Z: εἴτι a γίνεται Na 14 παρὰ] περὶ N δὲ] οὖν N 18 λέγω B ταῖς om. NBa 19 ἅτε Z: οὔτε NBa τρυφόντας Z 21. 22 γὰρ αὐτοὶ ἦσαν ἂν Ba 22 ἂν in versiculi fine om. N 23 χρήσιμοι— εἰσιν (24) N in marg. ὅτι καὶ οἱ Z 24 ἐφέμενοι Z 25 κτῶντε Z: χρῶνται a 26 ἐν τοῖς om. a 27. 28 οἱ δέ τε δεινοὶ a 30 τε om. Ba 31 ἀλλὰ καὶ a ὑπερέχοντος] ὑπερέχοντι a

δαῖος, ἂν μὴ καὶ τῇ ἀρετῇ ὑπερέχηται ὁ ὑπερέχων κατὰ τὴν δύναμιν. 140r δεῖ δὲ οὕτως ἀκούειν, τοῦ ὑπερέχεσθαι τὸν δυνάστην, ὥστε καὶ εἰδέναι καὶ ἔχειν πρὸς τὸν σπουδαῖον ὡς πρὸς | κρείττονα. οὕτω γὰρ ἔσται ἡ κατὰ ἀνα- 140v λογίαν ἰσότης, ἂν οἴηται μὲν πλούτῳ καὶ δυνάμει ὑπερέχειν, θαυμάζῃ δὲ τὸν ἀγαθὸν ὡς κατ' ἀρετὴν αὑτοῦ διαφέροντα. εἴη δ' ἂν τις τοιοῦτος δυνάστης εὐφυής, ὁ τῶν καλῶν ζηλώτης· δῆλον δὲ καὶ ὡς ἐγχειριεῖ τὴν αὑτοῦ ἐπιμέλειαν τῷ σπουδαίῳ· τοιούτῳ δὴ ἴσως ἀνάσχοιτ' ἂν γινόμενος φίλος ⟨ὁ⟩ ἀγαθός, ἄλλῳ δ' οὐκ ἂν ὑπομεῖναι· ὑπερηφανίαν γὰρ τυραννικὴν καὶ θεραπείαν ἀνελεύθερον ἥκιστα δύναται φέρειν ὁ γενναῖος. οὐ πάνυ δὲ εἰώθασι τοιοῦτοι 5 γίνεσθαι οἱ ἐν ταῖς ἐξουσίαις, οἷον ὡς πρὸς ὑπερέχοντας ἔχειν τοὺς σπουδαίους· διὸ οὐ γίνονται φίλοι αὐτοῖς οἱ ἀγαθοί.

Ἐπεὶ δὲ εἶπε μὴ ἂν ἄλλως ἔσεσθαι τὸν σπουδαῖον δυνάστῃ φίλον, εἰ μὴ 13 ἔχοι οὕτως ὁ δυνάστης πρὸς αὐτὸν ὡς κατ' ἀρετὴν ὑπερέχοντα, ζητοῦσί τινες, εἰ ὁ ἐν τῇ ἐξουσίᾳ εἴη σπουδαῖος, ἆρά γε οὐκ ἔσται φίλος αὐτῷ ὁ σπουδαῖος, 15 ἐπεὶ μὴ ὑπερέχει αὐτοῦ κατὰ τὴν ἀρετήν· εὐήθης δὲ ἡ ἀπορία. τοῦτο μὲν γὰρ ἤδη ὁμολογεῖται τὸν ἀγαθὸν τῷ ἀγαθῷ ἀσμένως φίλον γίνεσθαι· κἂν ἐν δυνάμει οὖν ᾖ ἅτερος, οὐδὲν διακωλύσει ἡ δύναμις τὴν φιλίαν αὐτῶν, ἀλλὰ δῆλον ὅτι συνέσονται τὰ μὲν ἄλλα πάντα ἴσοι, ὅσα δὲ νόμιμά ἐστι κατὰ τὴν πολιτικὴν κοινωνίαν ἀσμένως ἅτερος συγχωρήσεται τῷ ἐν ἀρχῇ. δῆλον γὰρ ὡς νομίμως ἄρξει ὁ σπουδαῖος, καὶ ὁ φίλος οὖν ἀρχθήσεται νομίμως. παντὸς γὰρ μᾶλλον, φύλαξ ὁ σπουδαῖος τῆς πολιτικῆς κοινωνίας. ἡ μὲν οὖν τῶν ἀγα- 20 θῶν φιλία πάντως κατ' ἰσότητα· εἰσὶ δέ πως καὶ αἱ λοιπαὶ ἐν ἰσότητι. καὶ γὰρ οἱ δι' ἡδονὴν ἀνταποδιδόασιν ἀλλήλοις ἡδονὴν καὶ οἱ διὰ τὴν χρείαν ἀνθυπουργοῦσι τὰ χρήσιμα. ἔνιοι δ' ἕτερον ἀνθ' ἑτέρου καταλλάττονται, οἷον ἡδονὴν παρέχοντες λαμβάνουσι τὴν κατὰ χρήσιμον ὠφέλειαν, ὡς οἱ διὰ τὴν εὐτραπελίαν ἀξιοῦντες τυγχάνειν χρημάτων. ὅτι δὲ καὶ ἧττον φίλοι εἰσὶν οἱ τοιοῦτοι καὶ ἧττον μένουσιν, εἴρηται. δῆλον δὲ καὶ ὃ ἑξῆς λέγει, ὅτι καθ' 25 ὁμοιότητα τοῦ αὐτοῦ καὶ ἀνομοιότητα δοκοῦσι φιλίαι καὶ οὐ δοκοῦσιν. ᾗ μὲν γὰρ ὑπάρχει τῇ κατ' ἀρετὴν φιλίᾳ καὶ τὸ ἡδὺ καὶ τὸ χρήσιμον, ταύτῃ ἐοικυῖαι αὗται φιλίαι νομίζονται· ᾗ δὲ ἡ μὲν τῶν ἀγαθῶν ἀδιάβλητος καὶ μόνιμος, αὗται δὲ καὶ διαβολὴν δέχονται καὶ μεταπίπτουσι, ῥᾳδίως οὐκ ἔστι. διαφέρουσι δὲ καὶ ἄλλως τῷ τὴν μὲν τῶν ἀγαθῶν καθ' αὑτὴν εἶναι· δι' αὑ-

1 ὑπερέχηται] ὑπερέχειται N 4 οἴηται] εἴη τε Z πλούτῳ καὶ δυνάμει Ba: πλούτου καὶ δυνάμεως ZN θαυμάζῃ scripsi: θαυμάζοι NBa: θαυμάζει Z 5 διαφέροντα Ba: διαφέροντος ZN 6 ὡς καὶ a ἐγχειριεῖ N: ἐγχωριεῖ ZBa αὑτοῦ] αὐτοῦ ZNa: αὐτὴν B 7 ὁ inserui 8 ὑπεριφανίαν Za θεραπείαν corr. ex θεωρίαν, sed ut evaserit θεωραπείαν Z 10 πρὸς ὑπερέχοντας Z: πρὸς ὑπερέχοντα N: πρὸς τὸν ὑπερέχοντα Ba 12 τῷ δύναστῃ BNa 13 ἔχει a οὕτως om. Ba 14 γε om. Ba ἔσται] ἔστι a 15 εὐήθεια a ἀπορία] ἀπόκρισις Ba μὲν om. Ba 16 τὸν ZB: τῷ N: τὸ a ἀσμένως] ἀμέσως a γίνεσθαι] γενέσθαι Z 17 διακωλύει a αὐτοῦ Ba 19 τῷ] αὐτῷ a 20 παντὸς ZB: πάντως Na 21 ὁ σπουδαῖος om. a 23 οἱ δι' ἡδονὴν] ἡ δι' ἡδονὴν Z ἀνταποδιδώασιν N 25 παρέχοντα N 28 φιλίαι] φίλοι a 31 διαβολαὶ Z δέχονται om. om. N ῥᾳδίως] ῥᾷον Ba 32 post ἄλλως add. οἷον N εἶναι om. N

τοὺς γὰρ φιλοῦσιν ἀλλήλους· τὰ δ' ἄλλα κατὰ συμβεβηκός, καὶ οἱ μὲν ἀγα- 140v θοὶ πόρρω εἰσὶ τοῦ ἀδικῆσαι ἂν ἀλλήλους. οἵ γε οὐδὲ τοὺς μηδὲν προσή-κοντας ἀδικοῦσιν, οἱ δὲ τὰς ἄλλας φιλίας ἔχοντες κἂν ἀδικήσαιεν ἀλλήλους. εὕροι δ' ἄν τις καὶ ἄλλας πολλὰς αὐτῶν διαφοράς, ταύτῃ δ' ἀνόμοιοι οὖσαι τῇ πρώτῃ φιλίᾳ οὐ φαίνονται φιλίαι.

p. 1158b11 Ἕτερον δέ ἐστι φιλίας εἶδος, τὸ καθ' ὑπεροχήν ἕως ταῦτα μὲν οὖν ἀφείσθω.

Καὶ γάρ ἐστιν ἀλλοτριώτερον ὥσπερ καὶ δίκαιον τὸ μὲν κατ' ἰσότητά ἐστι, τὸ δὲ καθ' ὑπεροχήν, οἷον πατρὸς πρὸς υἱὸν καὶ δεσπότου πρὸς δοῦλον καὶ ἀνδρὸς πρὸς γυναῖκα καὶ ὅλως ἄρχοντος πρὸς ἀρχόμενον, οὕτω καὶ φιλία. ἡ μὲν κατ' ἰσότητα, ἡ δὲ καθ' ὑπεροχήν. ἔοικε γάρ πως τῇ δικαιοσύνῃ. ἔστι δὲ καὶ ἡ καθ' ὑπεροχὴν φιλία ἐν τοῖς αὐτοῖς ἐν οἷς καὶ τὸ καθ' ὑπεροχὴν δίκαιον. ἡ γὰρ πατρὸς πρὸς υἱὸν φιλία καὶ ὅλως πρεσβυτέρου πρὸς νεώτερον (ἔστι δὲ φρονιμώτερος ὁ πρεσβύτερος ἵνα ἄρχῃ) καὶ ἡ ἀνδρὸς πρὸς γυναῖκα καὶ ὅλως ἄρχοντος φιλία πρὸς ἀρχόμενον καθ' ὑπεροχήν ἐστι. δῆλον γὰρ ὡς τὸ μὲν ἄρχον ὑπερέχει, τὸ δὲ ἀρχόμενον ὑπερέχεται. σὺν τούτῳ οὖν καὶ ἡ φιλία, σὺν τῷ τὸν μὲν ἄρχειν τὸν δὲ ἄρχεσθαι. διαφέρουσι δὲ καὶ αὗται αἱ καθ' ὑπεροχὴν ἀλλήλων. οὐ γὰρ ταὐτὰ ὑπάρχει γονεῦσι παρὰ τέκνων καὶ ἄρχουσι παρὰ ἀρχομένων οὐδὲ υἱοῖς παρὰ γονέων καὶ ἀρχομένοις παρὰ ἀρχόντων. ἀλλ' εἰσί τινες φυσικαὶ οἰκεῖαι γονεῦσι παρὰ τέκνων ὑπουργίαι, καὶ τέκνοις παρὰ γονέων προστάξεις καὶ ἐπιμέλειαι, ὧν οὐδὲν μέτεστι τοῖς ἄρχουσι καὶ ἀρχομένοις· καὶ αἱ φιλίαι οὖν ταύτῃ διοίσουσιν. ὅτι δὲ πατρὶ πρὸς υἱὸν καὶ υἱῷ | πρὸς πατέρα οὐ τὰ αὐτὰ ὑπάρχει, οὐδὲ 141r ἀνδρὶ πρὸς γυναῖκα καὶ γυναικὶ πρὸς ἄνδρα. γονεῦσι μὲν γὰρ καὶ ἀνδράσι προσήκει ἄρχειν, υἱέσι δὲ καὶ γυναιξὶ οὔ. καὶ τοῦτο ποιεῖ τὴν φιλίαν αὐτῶν οὐ κατ' ἰσότητα ἀλλὰ καθ' ὑπεροχήν. ταῦτα μὲν οὖν πᾶς ἂν συγχωρήσειεν, ἣν δ' ἐπιφέρει αἰτίαν τοῦ μὴ τὴν αὐτὴν εἶναι φιλίαν πατρὶ πρὸς υἱὸν καὶ υἱῷ πρὸς πατέρα καὶ ἀνδρὶ πρὸς γυναῖκα καὶ γυναικὶ πρὸς ἄνδρα. σφόδρα ἐστὶν ἀμφισβητήσιμος. λέγει δὲ οὕτως· ἑτέρα γὰρ ἑκάστῳ τούτων ἀρετὴ καὶ ἔργον. οὔ φασι δή τινες ἄλλην ἀρετὴν εἶναι πατρὸς καὶ ἄλλην

2 ἄν ante εἰσὶ Ba 2. 3 προσήκοντα N 3 ἀδικῆσαι Z 4 τις om. Ba πολλὰς superscriptum N αὐτῶν πολλὰς Z 6 φιλίας εἶδος Z: εἶδος φιλίας N 8 ἀλλοτριωτέρα NB 10 ἄρχοντος Ba: ἄρχοντα N: ἄρχον Z 12 ἐν τοῖς αὐτοῖς—φιλία (13) Z in marg., sed habet ἐν τοῖς τοσαύτοις 14 φρονιμότερον N 15 φιλία om. Ba καθ' ὑπεροχὴν δέ ἐστι N 16 ἄρχειν] ἄρχον Z τούτῳ B ex τούτοις Za: τοῦτο N 17 ἡ φιλία] ὁ φίλος B σὺν τῷ NB: . . . τῷ Z 18 γονεῦσαι N 18. 19 παρὰ τέκνων] περὶ τέκνων N 20 οἰκεῖς N περὶ τέκνων N 21 τέκνοις] τέκνων Za μέτεσι] μετέστη N 22 δὲ om. Z 23 οὐ τὰ αὐτὰ ὑπάρχει οὐδὲ] καὶ N 24 γονεῦσι—ἄνδρα (28) om. N γὰρ om. Z 25 γυναιξὶ δὲ καὶ υἱέσιν Ba 26 αὐτῶν Z: αὐτοῖς Ba καθ' ὑπεροχὴν] μετὰ ὑπεροχῆς Z πᾶς] πῶς B ἂν om. a 29 ἑκάστῳ Na: ἑκάστῃ ZB 30 καὶ τὸ ἔργον Arist.

υἱοῦ οὐδὲ ἄλλην ἀνδρὸς γυναικὸς δὲ ἑτέραν. ἐξαρκεῖ δὲ ἐπ' ἀνδρὸς καὶ γυ- 141r
ναικὸς ἐξετάσαι τὸν λόγον· τὰ γὰρ αὐτὰ καὶ περὶ πατρὸς ῥητέον καὶ υἱοῦ. ἐρωτῶσι δὲ τὸν τρόπον τοῦτον καὶ μάλιστα οἱ Σωκρατικοί. ἆρα τὸν μὲν ἄνδρα χρὴ δίκαιον εἶναι, τὴν δὲ γυναῖκα ἄδικον; οὐ δῆτα. τί δέ; τὸν μὲν ἄνδρα σώφρονα, τὴν δὲ γυναῖκα ἀκόλαστον; οὐδὲ τοῦτο. οὕτω δὴ καθ' ἑκάστην ἐπιόντες ἀρετὴν καὶ λαβόντες, ὅτι δεῖ καὶ τὸν ἄνδρα καὶ τὴν γυναῖκα πάσας ἔχειν τὰς ἀρετὰς συμπεραίνονται, ὅτι ἡ αὐτὴ ἀνδρὸς καὶ γυναικὸς ἀρετή. τί οὖν ῥητέον πρὸς τὰ τοιοῦτα; ἢ ἀρκτέον ἀπὸ τοῦ ἄρχοντος καὶ ἀρχομένου. εἰ γὰρ τοῦ μὲν ἄρχοντος ἀρετὴ ἐν τῷ ἄρχειν καλῶς, τοῦ δὲ ἀρχομένου ἐν τῷ ἄρχεσθαι καλῶς, οὐκ ἂν εἴη ἡ αὐτὴ ἄρχοντος καὶ ἀρχομένου ἀρετή. καὶ γὰρ κακία μὲν ἀρχομένου, ἂν τὰ τοῦ ἄρχοντος πράττῃ, κακία δὲ ἄρχοντος, ἂν τὰ τοῦ ἀρχομένου ποιῇ, ὥσπερ καὶ κυβερνήτου μὲν ἀρετή, ἂν τὰ τοῦ κυβερνήτου ποιῇ καὶ ἄρχῃ τῶν ναυτῶν, τῶν δέ γε ναυτῶν ἀρετή, ἂν ἄρχωνται ὑπὸ τοῦ κυβερνήτου. εἰ δὲ τῆς αὐτῆς ἐπιστήμης ἐστὶ τὸ ἄρχειν καὶ τὸ ἄρχεσθαι, οὐδὲν τοῦτο ἐμποδὼν τῷ λόγῳ. τάχα μὲν γὰρ καὶ πρὸς τοῦτο ἐνσταίη ἄν τις, ὡς ἱκανοῦ τινος ἐσομένου ἄρχεσθαι, μὴ πάντως δὲ ἄρχειν. οἱ γὰρ εἰθισμένοι ὑπακούειν τῶν ἀρχόντων, ἄρχεσθαι μὲν ἂν δύναιντο κατ' ἔθος, ἄρχειν δὲ οὐκ ἴσασιν. εἰ δὲ καὶ δοθείη τὸν αὐτὸν ἐπίστασθαι ἄμφω, ἀλλ' ᾗ μὲν ἄρχει ἄλλη ἀρετή, ᾗ δὲ ἄρχεται ἑτέρα. εἰ δὲ ἄλλη μὲν ἀρετὴ ἄρχοντος, ἑτέρα δὲ ἀρχομένου (εἰσὶ δὲ ἐν ταῖς εἰρημέναις πάσαις κοινωνίαις ἄρχοντες καὶ ἀρχόμενοι· πατὴρ μὲν γὰρ ἄρχει, υἱοὶ δὲ ἄρχονται καὶ ἀνὴρ μὲν ἄρχει, γυνὴ δὲ ἄρχεται), ἄλλη ἂν εἴη τούτων ἑκάστου ἀρετή. ταῦτα μὲν οὖν μᾶλλον ἐπισκεπτέον.

Ἐν πάσαις δὲ ταῖς ἀρχαῖς καὶ ταῖς καθ' ὑπερβολὴν φιλίαις οὐ μόνον τὴν φιλίαν δεῖ εἶναι ἀνάλογον ἀλλὰ καὶ τὴν φίλησιν. καὶ σχεδὸν διὰ τὴν φίλησιν καὶ ἡ φιλία ἕξει ἀνάλογον. ἂν γὰρ ὁ κρείττων καὶ ὠφελιμώτερος μᾶλλον φιλῆται τοῦ ἧττον τοιούτου, ἀνάλογον ἕξει καὶ ἡ φίλησις καὶ ἡ φιλία. ὡς γὰρ ἐν ταῖς πολιτικαῖς διανομαῖς κατ' ἀξίαν δεῖ τὴν τιμὴν νέμεσθαι, οὕτως καὶ ἐν ταῖς φιλίαις ταῖς καθ' ὑπεροχὴν τὸ φιλεῖσθαι κατ' ἀξίαν νέμεσθαι. ἔσται γὰρ ἰσότης, ἂν τὸ φιλεῖν καὶ τὸ φιλεῖσθαι ἀνάλογον γίνηται καὶ κατ' ἀξίαν. οὗτος δ' ὁ λόγος μηνύει δεῖν τοὺς γονεῖς μᾶλλον φιλεῖσθαι ὑπὸ τοῦ υἱῶν ἢ φιλεῖν, εἰ καὶ μὴ συμβαίνει οὕτως· εἰσὶ γὰρ καὶ ὠφελιμώτεροι καὶ κρείττους. ὁ δ' αὐτὸς λόγος καὶ περὶ τῶν ἄλλων ἀρχόντων. ὅσῳ γὰρ

2 ἐξαιτάσαι N 3 cf. Arist. Polit. I, 13 p. 1260a22 4 ἄδικον om. Z 6 λαμβάνοντες a 6. 7 ἔχειν τὰς ἀρετὰς πάσας a 8 τὰς τοῦ ἄρχοντος Z 11 πράττῃ] πράττει N 12 ποιῇ om. Ba ὥσπερ] ὡς Ba κυβερνήτου a: κυβερνήτης Z: κυβερνίτης N 12. 13 τοῦ κυβερνήτου] κυβερνίτου N 13 ποιῇ] ποιεῖ N ἄρχῃ] ἄρχοντος a τῶν δέ γε ναυτῶν ἀρετὴ ZN: ναυτῶν δὲ Ba 14 κυβερνήτου] κυβερνίτου N αὐτῆς om. Z ἐστὶ om. Ba τὸ (post καὶ) om. Ba 18 τὸν αὐτὸν] τῶν αὐτῶν Z 19 ἄρχει] ἄρχειν Z 20 ἑτέρα] ἄλλη Ba 21 καὶ ἀνὴρ — ἄρχεται (22) om. Ba 22 δὲ om. a 25 εἶναι corr. ex εἰδέναι Z 27 φιλῆται ZB: corr. ex φιλεῖται N: φιλεῖται a ἀναλόγως Ba 28 νέμεσθαι] γίνεσθαι Ba 29 καὶ om. NBa 31 δ' om. a 32 καὶ — οὕτως om. a

ἀμείνους, μᾶλλον αὐτοὺς δεῖ φιλεῖσθαι. ζητῆσαι δ' ἄν τις περὶ τῶν καθ' 141^{r}
ὑπεροχὴν φιλιῶν πότερον ἐν τοῖς εἰρημένοις εἴδεσι γίνονται ἢ ἄλλα τινὰ φι- 31
λίας εἴδη ταῦτά ἐστι. λέγει δὲ καὶ Εὔδημος καὶ Θεόφραστος, ὅτι καὶ αἱ καθ'
ὑπεροχὴν φιλίαι ἐν τοῖς αὐτοῖς γίνονται, ἢ δι' ἡδονὴν ἢ διὰ τὸ χρήσιμον ἢ
δι' ἀρετήν. γένοιντο γὰρ ἂν καὶ σπουδαῖοι φίλοι ὁ μὲν ἄρχων ὁ δὲ ἀρχό-
μενος· καὶ τὰ μὲν ἄλλα ἔσονται φίλοι. τὰ δὲ νόμιμα φυλάξουσιν ἐν τῷ εἶναι 35
φίλοι, ὁ μὲν ὑπερεχόμενος ὅσα προστάττει ὁ νόμος, ὁ δὲ ὑπερέχων. καὶ
πατὴρ καὶ υἱὸς σπουδαῖοι· καὶ παντὸς μὲν μᾶλλον τὴν πατρικὴν ὑπεροχὴν
συγχωρήσει τῷ πατρὶ ὁ υἱός. ὁμοίως δὲ καὶ γυνὴ σπουδαία ἀνδρὶ σπουδαίῳ·
ἑκάτερος γὰρ αὐτῶν ἀκολουθῶν τῇ φύσει ὁ μὲν ἄρξεται ἡ δὲ ἀρχθήσεται.
ἐν δὲ τοῖς μὴ σπουδαίοις, μέσοις δὲ δῆλον ὡς ἐγχωρεῖ καὶ δι' ἡδονὴν φίλους
εἶναι καὶ διὰ τὸ χρήσιμον, τὸν μὲν ὑπερέχοντα τὸν δὲ ὑπερεχόμενον. οἷον
ἄρχοντα καὶ ἀρχόμενον, καὶ γυναῖκα δὲ ⟨καὶ⟩ ἄνδρα ἀμφοτέρους ἔστι φίλους εἶναι.
περὶ δὲ υἱοῦ καὶ πατρὸς ἀπορήσαι ἄν τις, εἰ οἷόν τε κατὰ τὸ χρήσιμον φιλεῖν 40
ἀλλήλους ἢ δι' ἄλλο τι βούλεσθαι τἀγαθὰ τῷ υἱεῖ τὸν πατέρα, ἢ δι' αὐτὸν
τὸν υἱόν, ἄν γε κατὰ φύσιν φιλῇ· ὥστ' ἔοικε φυσική τις φιλία αὕτη εἶναι
μᾶλλον. παρακολουθεῖ δ' ἴσως καὶ τῇ τοιαύτῃ, ὅταν φυσικῶς γίνηται, καὶ τὸ
ἡδὺ καὶ τὸ χρήσιμον. ταῦτα μὲν οὖν ἐπισκεπτέον ὡς ἔχει.

Φησὶ δὲ μὴ ὁμοίως ἔχειν τὸ ἴσον ἐν τοῖς δικαίοις καὶ ἐν τῇ φιλίᾳ· 50
ἐν μὲν γὰρ τοῖς δικαίοις πρῶτον μὲν ἴσον τὸ κατ' ἀξίαν καὶ τὸ μὴ τῶν
αὐτῶν τυγχάνειν τὸν κρείττονα τῷ ἐλάττονι, δευτέρως δὲ τὸ κατὰ τὸ ποσόν.
λέγει δὲ ἐν ἄλλοις ἴσον τὸ κατ' ἀριθμόν. γίνεται δ' ἐπειδὰν ἴσων τυγχά-
νωσιν οἱ ἐλεύθεροι πάντες. μάλιστα δ' ἀξιοῦσι ταύτῃ χρῆσθαι τῇ ἰσότητι οἱ
δημοκρατούμενοι. διὰ γὰρ τὸ ἐλεύθεροι εἶναι πάντες τῶν αὐτῶν καὶ ὁμοίων
τυγχάνειν ἀξιοῦσιν. ἐν δὲ τῇ φιλίᾳ τὸ μὲν κατὰ ποσὸν ἴσον πρῶτον (δεῖ 141^{v}
γὰρ τοὺς τῷ ὄντι φίλους εἶναι ἀλλήλοις ἴσους). τὸ δὲ κατ' ἀξίαν δευτέρως.
οὐ βούλεται γὰρ ἡ κυρίως φιλία ἐν ὑπεροχῇ εἶναι τοῦ ἑτέρου. δῆλον δὲ ἐν
οἷς πολὺ τὸ διάστημά τινων πρὸς ἀλλήλους. οὐ γὰρ γίνεται φίλος ὁ μηδενὸς
ἄξιος τῷ ἐναρέτῳ καὶ σπουδαίῳ οὐδὲ τοῖς βασιλεῦσιν οἱ πολὺ καταδεέστεροι·
οὐδὲ τοῖς θεοῖς δὲ τὴν κυρίως φιλίαν εἰσὶ φίλοι οἱ σπουδαῖοι καὶ οἱ καλού-

2 γίνονται NB: γίνεται Za 3 καὶ αἱ (αἱ om. a) καθ' ὑπεροχὴν φιλίαι post γίνονται (4) ZN 4 ἢ δι' ἀρετήν] finis Z
5 Hinc libri RNBa
7 προστάττει] πράττει B 8 μὲν om. R 9 γυνὴ B: ἡ γυνὴ NRa 10 κολουθῶν R 13 post ἀρχόμενον repetunt καὶ διὰ τὸ χρήσιμον Na γυναῖκες R δὲ καὶ ἄνδρα Diels: δ' ἀνδρὶ libri ἀνδρία R φίλους Ba: φιλίαν NR 14 ἀπορήσειεν Ba 15 τἀγαθὸν Ba υἱεῖ] υἱῷ Ba 16 φιλῇ] φυλῇ R 14 παρακολουθῇ R 19 ἐν τοῖς libri, ut Arist. codd. M^{b}O^{b}: ἔν τε τοῖς Arist. vulg. 20 πρῶτον libri cum Arist. cod. M^{b}: πρώτως Arist. vulg. τὸ κατ'] τῷ κατ' N 22 ἐν ἄλλοις] Eth. Nicom. E 10 p. 1134^{a}28 τὸ κατ' N: κατ' RBa 23 ἐλευθέριοι Na ἀξιοῦσι corr. ex ἀξιοῦσθαι N cf. Polit. E 1 p. 1301^{b}29; Z 2 p. 1317^{b}4 24 ἐλευθέριοι a 25 μὲν om. R κατὰ τὸ ποσὸν Ba 29 καὶ οὐδὲ N: οὐ καὶ R πολὺ] πολλοὶ N 30 δὲ τὴν] ἐστί τις a φιλίαν] φίλος a εἰσὶ δὲ φίλοι a

μενοι θεοφιλεῖς, λέγω δὲ τὴν κατ' ἰσότητα· πολὺ γὰρ τὸ μεταξὺ διάστημα. 141v
ἀλλ' ἀγαπητόν, ἂν εὐμενεῖς καὶ ἵλεως αὐτοὺς ἔχωμεν, ἡμῖν δέ ὦσι σεβάσμιοι. 6
φανερὸν οὖν, ὡς καὶ τὰ ὀνόματα διαφέρει ταῦτα τῶν πραγμάτων διαφερόν-
των. οὐ γὰρ λέγομεν, ὅτι σέβεται ὁ φίλος τὸν φίλον οὐδ' ὡς ἵλεώς ἐστι καὶ
ἐπήκοος αὐτοῦ ταῖς εὐχαῖς· ἀλλὰ τὸ μὲν σέβεσθαι πολὺ καταδεεστέρου, τὸ δὲ
ἵλεως εἶναι πολὺ ὑπερέχοντος.

Ἀκριβῶς μὲν οὖν οὐκ ἔστι λόγῳ διορίσαι μέχρι πόσου τῆς ὑπεροχῆς 23
οὔσης ἐγχωρεῖ φιλίαν εἶναι. οὐδὲ γὰρ τὰ ἄλλα τὰ πρακτὰ δυνατὸν ἀκριβῶς
διορίσαι. ὅμως δ' ὅταν πολὺ ᾖ τὸ μεταξὺ διάστημα, οὐ γίνεται φιλία. διὸ 25
καὶ ἀπορεῖται εἰ βουλήσεται ὁ φίλος τῷ φίλῳ τὰ μέγιστα ἀγαθά, οἷον θεὸν
γενέσθαι. φανερὸν μὲν οὖν ὅτι τὰ ἀδύνατα οὐ βουλήσεται ὁ φρόνιμος· τοι-
οῦτον δὲ τὸ ἐξ ἀνθρώπου θεὸν γενέσθαι· ἀλλ' ἐξ ὑποθέσεως, εἰ δυνατὸν εἴη
θεὸν γενέσθαι, ἆρά γε βουλήσεται; σχεδὸν γὰρ θελήσει τὸν φίλον μὴ εἶναι
φίλον. ὥστε οὐδὲ ἀγαθὸν αὐτῷ. ὁ γὰρ φίλος ἀγαθός, εἰ τῷ φίλῳ βούλεται
ὁ φίλος αὐτοῦ ἐκείνου ἕνεκεν τὰ ἀγαθά, ἐθελήσει πᾶσαν αὐτὸν ὑπεροχὴν ἔχειν
ἀγαθοῦ. ταῦτα μὲν οὖν ἀπορείσθω. ἃ δ' ἑξῆς λέγει φάσκων τὸν φίλον αὐ- 30
τῷ μάλιστα βούλεσθαι τἀγαθά, οὐ περὶ τῶν τὴν πρώτην φιλίαν ἐχόντων εἴ-
ρηται ἀλλὰ περὶ τῶν ὁμωνύμως λεγομένων φίλων. λέγει δ' ἑξῆς τὴν αἰτίαν,
δι' ἣν οἱ πολλοὶ βούλονται φιλεῖσθαι μᾶλλον ἢ φιλεῖν. διὰ γὰρ τὴν φιλοτι-
μίαν τοῦτο πάσχουσιν, ἡγούμενοι ταὐτὸν εἶναι τὸ φιλεῖσθαι τῷ τιμᾶσθαι· ἔστι
δὲ ἕτερον. τὸ μὲν γὰρ τιμᾶσθαι οὐ δι' αὑτὸ αἱροῦνται ἀλλὰ κατὰ συμ-
βεβηκός. ὑπὸ μὲν γὰρ τῶν ἐν ταῖς ἐξουσίαις χαίρουσι τιμώμενοι δι' ἐλ- 35
πίδα τοῦ τεύξεσθαί τινων καὶ ἅμα δυνάμεως ἐφιέμενοι· ὑπὸ δὲ τῶν υἱῶν,
ἡγούμενοι μάρτυρας ἔχειν, ὅτι εἰσὶν ἀγαθοί. ἀσμενίζουσιν οὖν βεβαιοῦντες ἣν
ἔχουσι περὶ αὑτῶν δόξαν. τῷ φιλεῖσθαι δὲ καθ' αὑτὸ χαίρουσι. κρεῖτ-
τον οὖν τὸ φιλεῖσθαι τοῦ τιμᾶσθαι καὶ ἡ φιλία τῆς τιμῆς. τὸ γὰρ καθ'
αὑτὸ αἱρετὸν βέλτιον τοῦ δι' ἕτερον.

Ἔστι μὲν οὖν ἡ φιλία ἐν τῷ φιλεῖν καὶ φιλεῖσθαι· μᾶλλον δὲ δοκεῖ ἐν 51
τῷ φιλεῖν εἶναι ἢ ἐν τῷ φιλεῖσθαι. ἡ γὰρ ἐνέργεια ἑκατέρων τῶν φίλων ἐν
τῷ φιλεῖν· τὸ δὲ φιλεῖσθαι οὐκ ἔστιν αὐτῶν ἐνέργεια. ἕκαστον δὲ περὶ ἐκεῖνό
ἐστι περὶ ὃ ἔχει τὴν ἐνέργειαν. σημεῖον δὲ φέρει τούτου τὸ καὶ τὰς μητέρας
τῷ φιλεῖν χαίρειν, κἂν μὴ φιλῶνται. ὑπὸ γοῦν τῶν εἰς τροφὴν δοθέντων ἀλ-

1 τὴν] τοῦ Ba 2 αὐτοὺς ἔχωμεν] ἑαυτοῖς ἔχομεν a ὦσι Diels: εἰσι libri 4 οὐδ' ὡς] οὐδὲ a 5 εὐχαῖς NRa: ψυχαῖς B; cf. Plat. Phileb. p. 25 B σέβεσθαι superscripto ἐν R πολὺ R: πολὺ corr. ex πολλὺ N καταδεεστέρου πολὺ a 7 λόγῳ R² πό-σου] πόσης R 8 δυνατὰ a 9 διωρίσαι R 10 εἰ] ἡ N 11 γενέσθαι] γεγέσθαι R² ὁ om. R 12 γενέσθαι NR: ὑπάρχειν Ba 14 ἀγαθὸς εἴη τῷ φίλῳ NRB: ὁ γὰρ φίλος ἀγαθὸς εἴη εἰ γοῦν τῷ φίλῳ a 15 ὁ φίλος a: φίλος NRB 16 ἀπορήσθω R: ἠπορείσθω N: ἠπορήσθω B ἃ N: ἡ R 16. 17 αὐτῷ libri 17 τἀγαθὰ δὲ, οὐ Na φιλίαν post ἐχόντων add. B 18 περὶ R² τὴν αἰτίαν om. NR 20 εἶναι om. Ba 21 αὐτὸ libri 22 ταῖς om. B 23 τεύξεσθαι] φεύξεσθαι R καὶ om. R 25 αὐτῶν libri τῷ—οὖν (26) om. R χαίρουσι καθ' αὑτό Ba 29 ἑκατέρου) R 30 αὐτῶν B: αὐτοῦ RNa ἕκαστον R: ἕκαστος NBa δὲ (post ἕκαστον R² 31 δὲ om. R 32 τροφὴν scripsi: βολὴν NR: lac. 16 fere litt. B

λαις γυναιξὶν ἀγνοούμεναι ἐνίοτε οὐ φιλοῦνται μέν, ἱκανὸν δὲ αὐταῖς ἂν 142r
ὁρῶσιν εὖ πράττοντας. εἴληφε δὲ οὐ φιλίαν, ἀλλὰ φίλησιν· ἡ γὰρ φιλία
ἐν τοῖς ἀντιφιλοῦσιν. ἀλλ' ὅμως ἴχνος τι φιλίας ἡ τῶν γονέων πρὸς τὰ τέ-
κνα. ἴχνος δὲ λέγω, διότι ἐνίοτε οὐκ ἀντιφιλοῦσιν οἱ υἱεῖς· πλὴν σφόδρα ἔοικε
τῇ φιλίᾳ, διότι βούλονται τἀγαθὰ τοῖς υἱέσιν οἱ γονεῖς αὐτῶν ἐκείνων ἕνεκα.
ἐν τούτῳ δέ ἐστι τὸ μάλιστα τῆς φιλίας ἔργον. εἰ οὖν μᾶλλον ἡ φιλία ἐν 5
τῷ φιλεῖν ἢ ἀντιφιλεῖσθαι καὶ ἐπαινοῦνται οἱ φιλοῦντες τοὺς φίλους, ἀρετὴ
ἂν εἴη φίλων τὸ φιλεῖν. ἑκάστῳ γὰρ

* *

*

Εἰπὼν ἐν ἀρχῇ ὡς τὸ ἐναντίον τοῦ ἐναντίου ἐφίεται, οἷον 'ἐρᾶν ὄμβρου 27
γαῖαν ξηρανθεῖσαν', ἐπιφέρει τούτου τὴν λύσιν μαλακῶς· καί φησιν ὡς οὐ καθ'
αὑτὸ ἀλλὰ κατὰ συμβεβηκὸς τὸ ἐναντίον τοῦ ἐναντίου ἐφίεται· καθ' αὑτὸ
γὰρ τοῦ μέσου ἐφίεται· ἔστι γὰρ τοῦτο τὸ ἀγαθόν. παραδείγματα δὲ τοῦ τὸ
ἐναντίον τοῦ ἐναντίου ἐφίεσθαι μὴ καθ' αὑτὸ ἀλλὰ κατὰ συμβεβηκὸς ταῦτά 30
φησιν. οἷον τὸ ὑγρὸν οὐχ ὑπερξηρανθῆναι βούλεται ἀλλὰ πρὸς τὸ μέσον ἐλ-
θεῖν· εἰ γὰρ ὁ ἀὴρ ὑπερυγρανθείη, οὐ διὰ τοῦτο τὸν ὄμβρον ὠθεῖ πρὸς τὸ
κάτω, ἵν' ὑπερξηρανθῇ, ἀλλ' ἵνα τὴν πολλὴν ἀποβάλλῃ ὑγρότητα· ὁμοίως δὲ
καὶ τὸ θερμὸν καὶ τὰ ἄλλα. |

p. 1159b25 ⟨Ἔοικε δέ, καθάπερ ἐν ἀρχῇ εἴρηται, ἕως πολλὰ γὰρ τὰ 142v
κοινὰ ἴσοις οὖσιν⟩.

Ἔοικε δέ, ὃ καὶ ἐν ἀρχῇ εἴρηται, ἐν οἷς ἔλεγε "καὶ τῶν δικαίων τὸ μά- 4
λιστα φιλικὸν εἶναι" τοῖς νῦν εἰρημένοις εἶναι ὅμοιον. ἡ γὰρ φιλία καὶ τὸ 5
δίκαιον περὶ τὰ αὐτά ἐστι καὶ ἐν τοῖς αὐτοῖς, οἷς φιλία ἐστὶν ἐν τοῖς συστρα-
τιώταις καὶ τοῖς λοιποῖς ὁμοτέχνοις, ἀλλὰ καὶ τὸ δίκαιον ἐν τούτοις. οὐ γὰρ
αἱρήσεταί τις ἐκ τούτων τὸ παρ' ἀξίαν λαβεῖν. ἀλλὰ καὶ περὶ τὰ αὐτά· περὶ
τὰ στρατιωτικὰ γὰρ ἡ φιλία τοῖς στρατιώταις. κατασκευάζων δὲ τὸ ἐν οἷς

3 τοῖς] ταῖς N 4 πλὴν] πλεῖν R 7 cum verbis φιλεῖν ἢ desinit R, ubi quae sequuntur a manu altera transcripta sunt ex N 8 post verba ἑκάστῳ γὰρ B habet ζῃ; de librorum turbis exposui in praefatione; hic hiatum significasse sat habui: deest enim paraphrasis eorum quae Aristoteles disputat c. 10 p. 1159a35—b19 11 ἐν ἀρχῇ] Θ 2 p. 1155b3 12 τὴν λύσιν τούτου νῦν ἐπιφέρει N: ἐπιφέρει τούτου τὴν λύσιν Ba 13 κατὰ om. N 17 ὑπερυγρανθείη N: ὑπερυγρανθείη Ba 18 ἵν' ὑπερξηρανθῇ Ba: ἵνα ξηρανθῇ N ἀποβάλλει N δὲ om. Ba 20 lemma intercidit in exemplaribus graecis, servarunt latina: *Videtur autem quemadmodum in principio dictum est usque multa enim communia equalibus existentibus* 22 ἔλεγε] Θ 1 p. 1155a28 24. 25 συστρατιώταις scripsi ex Arist.: στρατιώταις libri 26 τὰ αὐτὰ N: αὐτὰ Ba 27 κατασκευάζωνται a

ἐστι φιλία ἐν τοῖς αὐτοῖς καὶ τὸ δίκαιόν φησι. πάσῃ γὰρ κοινώσει δοκεῖ τι 142v δίκαιον εἶναι καὶ φιλία. καθ' ὅσον δὲ κοινωνοῦσι· καθ' ἃς φησι τέχνας κοινωνοῦσι κατὰ ταύτας καὶ φίλοι εἰσίν, οἷον εἴ τις τύχοι καὶ στρατιώτης καὶ δικαστὴς ὤν, ἕτερος δὲ στρατιώτης μόνον, καθ' ὃ κοινωνοῦσι καὶ τὴν φιλίαν κατὰ τοῦτο ἕξουσιν, ἔτι δὲ καὶ τὸ δίκαιον. ἐν ᾗ γὰρ κοινωνοῦσι τέχνῃ, τὸ κατ' ἀξίαν λαμβάνειν ἐθέλουσιν. ἔστι δὲ ἀδελφοῖς μὲν καὶ ἑταίροις κοινὰ καὶ πλοῦτος καὶ κτήματα καὶ τἄλλα, μόνοις δὲ στρατιώταις τὰ στρατιωτικά· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. καὶ τοῖς μὲν ἀδελφοῖς πλείω τὰ κοινά, τοῖς δ' ἄλλοις ἐλάττω. καὶ γὰρ καὶ φιλία μᾶλλον ἡ τῶν ἀδελφῶν ἢ ἡ τῶν συστρατιωτῶν. ἀλλὰ καὶ τὸ δίκαιον τοιοῦτον. διαφέρει γὰρ τὸ ἐν τοῖς ἀδελφοῖς δίκαιον καὶ τὸ ἐν τοῖς λοιποῖς· αὔξησιν δὲ λαμβάνει τὸ δίκαιον τῷ μᾶλλον πρὸς φίλους γίνεσθαι. βουλόμενος δὲ τοῦτο δεῖξαι, ἐκ τοῦ ἐναντίου ἐπιχειρεῖ· εἰ γὰρ δεινότερόν ἐστιν τὸ χρημάτων ἀποστερῆσαι ἑταῖρον ἢ πολίτην, καὶ τὸ πρὸς φίλους γινόμενον δίκαιον κρεῖττόν ἐστιν. εἰ δ' αὔξεται ἡ φιλία, αὔξεται καὶ τὸ δίκαιον, ὡς ἐν τοῖς αὐτοῖς ὄντα. μόρια δὲ τῆς πολιτικῆς αἱ κοινωνίαι τῶν στρατιωτῶν καὶ τῶν λοιπῶν εἰσιν, ἀκολουθοῦσι δὲ αἱ φιλίαι τῶν στρατιωτῶν ταῖς ἐκείνων κοινωνίαις.

*   *

*

Τρίτον εἶδος πολιτείας φησὶ τὴν τιμοκρατίαν, ἣ λέγεται διὰ τὸ ἀπὸ τιμημάτων γίνεσθαι. διδόντες γὰρ χρήματα τὸ ἄρχειν ἐλάμβανον· διὰ τοῦτο καὶ τιμοκρατία ἐλέγετο. 37 ⟨* * *⟩ κακίᾳ δὲ τῶν ἀρχόντων εἰσίν, ὅταν ἐξ ἀριστοκρατίας εἰς ὀλιγαρχίαν μεταβῇ, καὶ ταύτην φαύλην. εἰ γὰρ ἡ ὀλιγαρχία ἀγαθή, οὐδὲν συμβήσεται χείριστον. ⟨* * *⟩ ἥκιστα δὲ μοχθηρόν ἐστιν ἡ δημοκρατία. τὴν δημοκρατίαν ἐλάττω φησὶν εἶναι κακίαν τυραννίδος καὶ ὀλιγαρχίας διὰ τὸ ἐπὶ μικρὸν παρεκβαίνειν τὴν δημοκρατίαν, ἥτις ἐστὶ πολιτεία. εἰ γὰρ καθ' αὑτὸ σκοπήσεις, χείρω ἂν εὑρήσεις τὴν δημοκρατίαν τῶν ἑτέρων. εἰ γὰρ ἐν τῇ δημοκρατίᾳ πάντες ἄρχουσιν, ἐν τῇ τυραννίδι καὶ

---

1 τοῖς αὐτοῖς scripsi: αὐτοῖς Ba: τούτοις N 3 τύχοι B: τύχει N: τύχῃ a 3. 4 στρατιώτης ὢν καὶ δικαστὴς N 5 ἔτι B: εἰ N: ἕτεροι a καὶ ἐν ᾗ γὰρ a 7 τοῖς στρατιώταις B τὸ στρατιωτικὸν a δὲ om. Ba 9 καὶ φιλία Ba: ἡ φιλία N 10 γὰρ om. Ba 11 τῷ Ba: καὶ N 13 ἐστιν om. Ba χρημάτων libri et Arist. cod. Mb: χρήματα Arist. vulg. 14 καὶ κρεῖττον Ba 16 καὶ τῶν—στρατιωτῶν (17) om. B εἰσὶν post λοιπῶν om. a 18. 19 desunt quae explicarint Aristotelia p. 1160a9—33 20 τιμοκρατείαν BNa ubique ἣ Ba: ἤτοι N 22 τιμοκρα ἐλέγετο B (superscr. τ) hiatum indicavi, pergit p. 1160b12 κακίᾳ δὲ τῶν ἀρχόντων scripsi ex Arist.: κακίαι δὲ τῶν ἀνθρώπων libri 22. 23 ἀριστοκρατείας N 24 ἀγαθὸν Ba συμβῇ Ba hiatum indicavi 25 δημοκρατεία N δημοκρατείαν N τε καὶ N 26 ἐπὶ om. Ba δημοκρατείαν N 26. 26 πολιτείας a 27 σκοπήσῃ a εὑρήσῃ a: εὕρεις N δημοκρατείαν N 28 δημοκρατεία N

ὀλιγαρχίᾳ τῇ μὲν ὀλίγοι τῇ δὲ εἷς, χεῖρον δέ ἐστι τὸ πολλοὺς φαύλους ἄρ- 142v
χειν ἢ καὶ ὀλίγους ἢ καὶ ἕνα· χείρων ἄρα καὶ ἡ δημοκρατία τῶν λοιπῶν
παρεκβάσεων. |

* *

*

Καθ' ἑκάστην δὲ τῶν πολιτειῶν. τρία εἴδη πολιτείας εἰπὼν καθ' 143r ἕκαστόν φησι φιλίαν εἶναι ἐφ' ὅσον καὶ τὸ δίκαιον. εἰ γὰρ μεῖζον τὸ δίκαιον τὸ τοῦ βασιλέως πρὸς τοὺς ὑπ' αὐτόν, παρὰ τῶν ἀριστοκρατῶν καὶ τιμοκρατῶν πρὸς τοὺς ὑπὸ χεῖρα, καὶ ἡ φιλία καλλίων. ἀνάλογος δὲ τῇ βασιλικῇ καὶ ἡ πατρική. διαφέρει δὲ ἡ πατρικὴ τοῖς εὐεργετήμασιν. αἴτιος γὰρ ὁ πατὴρ τοῦ εἶναι, ὅ ἐστι μέγιστον. ἀλλὰ καὶ τοῖς προγόνοις ταῦτα ἀπονέμεται, ἤτοι συγκεχώρηται παρ' ἡμῶν τὸ ἀγαγεῖν εἰς τὸ εἶναι ἡμᾶς καὶ τὰ λοιπά, εἰ καὶ μὴ ἀμέσως ἀλλὰ διὰ μέσων τῶν πατέρων, ἢ καὶ τοῖς προγόνοις ταῦτα ἀπονέμεται παρὰ τῶν πατέρων ἡμῶν τὸ ἀγαγεῖν αὐτοὺς εἰς τὸ εἶναι. ὑπερέχει δὲ ἡ φιλία τῶν πατέρων καὶ βασιλέων καὶ οὐ τὸ αὐτὸ δίκαιον πατρὶ πρὸς υἱοὺς καὶ βασιλεῖ πρὸς ἀρχομένους· οὐδ' ἡ φιλία ὁμοία· ἡ δὲ τοῦ ἀνδρὸς πρὸς τὴν γυναῖκα φιλία ὁμοία τῇ ἀριστοκρατίᾳ· κατὰ τὸ πρέπον γάρ· καὶ γὰρ ἀνδρὶ πλέον ἀγαθόν· οὕτω καὶ τὸ δίκαιον.

Εἰπὼν ὁμοίαν εἶναι τὴν τῶν ἀδελφῶν φιλίαν τῇ τιμοκρατίᾳ, νῦν τῇ ἑταιρικῇ φησι διὰ τὸ ὁμοίους εἶναι, εἰ καὶ μικρὸν ἡ ἑταιρικὴ κρείττων. τῇ δ' ἑταιρικῇ ἔοικε καὶ ἡ τιμοκρατική. ὡς γὰρ οἱ ἀπὸ τῶν τιμημάτων ἄρχοντες ἴσοι βούλονται εἶναι, οὕτω καὶ οἱ ἑταῖροι. | [⟨* * *⟩ ἑκάστῳ γὰρ καὶ ἡ φιλία 142r πρὸς τὰ τέκνα τῆς φιλίας τοῦ βασιλέως, ἣν ἔχει πρὸς τοὺς βασιλευομένους, καὶ τοῦ δικαίου τοῦ πρὸς αὐτοὺς καὶ πάντων δὲ τῶν προγόνων ἡ πρὸς τοὺς ἐγγόνους φιλία καὶ τὸ δίκαιον ἐν ὑπεροχῇ πάντων, καὶ εἰ ἔτι τῶν ἄνωθέν τις ζωή· καὶ τὸ δίκαιον δὲ ἐν τούτοις τὸ κατ' ἀξίαν, οὐ τὸ κατ' ἰσότητα· ἀνδρὸς δὲ πρὸς γυναῖκα ἀριστοκρατικὴ φιλία καὶ δίκαιον ἀριστοκρατικόν, ἡ δὲ τῶν ἀδελφῶν φιλία τῇ ἑταιρικῇ ἔοικεν.] ἑταιρικὴ δέ ἐστιν ἡ τῶν ἴσων καὶ ἡλικιωτῶν καὶ ὁμοηθῶν ἀλλήλοις καὶ ὁμοιοπαθούντων. τοιαύτη δὲ καὶ ἡ τῶν ἀδελφῶν. ἥλικες γάρ πως καὶ οὗτοι καὶ συνήθεις καὶ ὁμοιοπαθεῖς, ἄν γε μὴ διεφθαρμένοι τύχωσι τὰς ψυχάς· τοιαύτη δὲ καὶ ἡ τιμοκρατική· καὶ γὰρ οἱ ἐν τῇ πολιτείᾳ ταύτῃ ἴσοι βούλονται εἶναι καὶ ἐπιεικεῖς, οὐκ ἀκριβεῖς μὲν κατ' ἀρετήν, ἠγμένοι δὲ ἐλευθερίως καὶ πεπαιδευμένοι μετρίως κατὰ

2 δημοκρατεία N λοιπῶν] πολλῶν a 3 post παρεκβάσεων statim afferunt verba Aristotelia καθ' ἕκαστον δὲ τῶν πολιτειῶν libri 6 ἑκάστην scripsi ex Aristotele: ἕκαστον libri 7 ἑκάστην in commentario B: ἕκαστον Na 8 αὐτὸν Ba: αὐτὸν ex αὐτῶν N 11 ὃ Ba: ὅπερ N 16 πρὸς τοὺς ἀρχομένους N 17 τὴν om. B 18 τὸ ante πλέον rubro inserit B 19 τιμοκρατεία N 19. 20 ἑταιρικῇ rubro corr. ex ἑτερικῇ B 22—28 iterum explicantur Aristotelis verba p. 1161a19—25 22 ἑκάστῳ B: ἑκάστου N 24 ἡ N: αἱ Ba 25 φιλία N: φιλίαι Ba ἔτι] ἔστι a 29 δὲ om. N 31 ἄν γε N: ἄνπερ Ba 32 εἶναι om. N 33 κατὰ N: καὶ Ba

τοὺς νόμους. διὸ καὶ βελτίων ἐστὶ τῆς δημοκρατίας, ἐν ᾗ καὶ οἱ τυχόντες 142r
καὶ μηδέποτε ἐλευθερίου παιδείας μετέχοντες ἄρχειν εἰώθασιν. ἐν δὲ ταῖς 16
τιμοκρατίαις ἐν μέρει τὸ ἄρχειν καὶ ἐξ ἴσου. οὕτω δὴ καὶ αἱ φιλίαι, ἴσαι
δηλονότι καὶ οὐ μεθ' ὑπερβολῆς. ἐν δὲ ταῖς παρεκβάσεσιν, ὥσπερ καὶ
τὸ δίκαιον μικρόν ἐστιν, οὕτω καὶ ἡ φιλία. ἥκιστα δὲ ἐν τῇ χειρίστῃ
ἔνεστι φιλία, λέγω δὴ τῇ τυραννίδι. καὶ γὰρ τὸ δίκαιον ἐν ταύταις ⟨ἥκιστα⟩
ἔνεστιν. | ἐν μέρει δ' ἄρχουσιν οἱ τιμοκρατικοί, καὶ ἡ φιλία αὐτῶν ἐν μέρει· 143r
ἐν οἷς γὰρ ἄρχουσιν. ὥσπερ δὲ οἱ παρεκβάντες ἐπὶ μικρὸν ἔχουσι τὸ δί-
καιον, οὕτω καὶ τὴν φιλίαν, ὁ δὲ τύραννος οὐδαμοῦ φιλεῖ, ὀργάνοις δὲ πρὸς
κακίαν χρῆται τοῖς ἀρχομένοις καὶ ὥσπερ σῶμα τῇ ψυχῇ. ὡς γὰρ τὸ σῶμα 40
ψυχῆς ἄνευ εἶναι οὐ δύναται, οὕτως οὐδ' οὗτος ἄνευ τῶν πορίζοντων αὐτῷ.
ἐπὶ μικρὸν μὲν οὖν πολλάκις φιλοῦσιν οἱ τύραννοι διὰ τὸ χρῆσθαι πρὸς κα-
κίαν. ἐν οἷς γὰρ μηδέν ἐστι κοινὸν ἄρχοντι καὶ ἀρχομένῳ ἀλλὰ πάντα περι-
σπᾷ εἰς ἑαυτὸν καὶ ἁρπάζει ὁ ἄρχων, οὔτε φιλία ἐστὶν οὔτε δίκαιον. οὔτε
γὰρ τεχνίτῃ πρὸς ὄργανόν ἐστί τις φιλία οὔτε δίκαιον οὔτε ψυχῇ πρὸς
σῶμα οὔτε πρὸς δοῦλον δεσπότῃ. κήδονται μὲν γὰρ τούτων οἱ ἄρχοντες
καὶ ὠφελοῦσιν ⟨ἀλλ' οὐ φιλοῦσιν⟩ αὐτά, τὸ μὲν ὄργανον ὁ τεχνίτης κατασκευ- 45
άζων ἐπιμελῶς, τὸ δὲ σῶμα ἡ ψυχή, τὸν δὲ δοῦλον ὁ δεσπότης, ἀλλ' αὐτῶν
ἕνεκα καὶ ἵνα ὑπουργῇ αὐτοῖς. ὅπως δὲ δῆλον γένηται πῶς εἶπε μὴ εἶναι
φιλίαν δεσπότῃ πρὸς δοῦλον, ἐπεξηγεῖται λέγων, ᾗ μὲν οὖν δοῦλος οὐκ ἔστι
φιλία πρὸς αὐτόν * * * ἰσότητα ἀλλὰ πάντα προστάττειν τῷ οἰκέτῃ τὸν
δεσπότην, εἰς αὐτὸν ἀναφέροντα τὴν χρείαν· ᾗ δ' ἄνθρωπός ἐστιν, ἔσεσθαί
τινα αὐτοῖς φιλίαν. καὶ ἤδη τινὲς κατανοήσαντες δούλους κρείττονας τῆς ὑπαρ-
χούσης τύχης αὐτοῖς, ἑταίρους ἀντὶ δούλων αὐτοὺς ἐκτήσαντο. καὶ ἐν ταῖς 50
τυραννίσι δὴ ἐπὶ μικρὸν ἢ οὐδ' ὅλως εἰσὶ φιλίαι πρὸς τοὺς ἀρχομένους τοῖς
τυράννοις, ἐν δὲ ταῖς δημοκρατίαις ἐπὶ πλέον ἐστὶν ἡ φιλία καὶ τὸ δίκαιον
ἤπερ ἐν ταῖς ἄλλαις παρεκβάσεσι. πολλὰ γὰρ τὰ κοινὰ ἴσοις οὖσιν· ὅπου
δὲ κοινωνία ἔνεστι καὶ φιλία τις καὶ δίκαιον. |

p. 1161b11 Ἐν κοινωνίᾳ μὲν οὖν ἕως περὶ μὲν τούτων ἐπὶ τοσοῦτον 143v
εἰρήσθω.

Ὅτι μὲν οὖν πᾶσα φιλία ἐν κοινωνίᾳ ἐστίν, εἴρηται. ἀφορίσειε δ' ἄν τις, φησί, τὴν συγγενικὴν καὶ τὴν ἑταιρικὴν φιλίαν, ἤτοι χωρίσειεν

3 τῇ τιμοκρατίᾳ B ἴσαι B: ἴσω Na 4 ὥσπερ N: ὡς Ba 5 δὴ N: om. Ba ἥκιστα addidi 7 οἱ Ba: οὐ N 8 ἔχουσι corr. ex ἔχοντες N 10 σῶμα τῇ ψυχῇ Ba: σῶμα καὶ τῇ ψυχῇ N 13 μηδὲν Na: οὐδὲν B ἄρχοντα N 14 φιλία ἐστιν Ba: φιλία ἔνεστιν N 15 τεχνίτου a ψυχῆς a 16 οὔτε δὲ πρὸς N δεσπότου a 17 ὠφελοῦσιν ἀλλ' οὐ φιλοῦσιν scripsi: οὐ φιλοῦσιν Ba: ὠφελοῦσιν N 19 ὑπουργῇ Ba: ὑπουργοῖ N 20 δεσπότου a 20. 21 ᾗ μὲν οὖν δοῦλος οὐκ ἔστι φιλία πρὸς αὐτόν * * * ἰσότητα B: ᾗ μὲν δοῦλον * * * ἰσότητα N: ἡ μὲν δοῦλον οὐκ ἔχειν δεῖ πρὸς δεσπότην ἰσότητα a 23 αὐτοῖς N: ἀμφοῖν Ba δούλων N: φίλων Ba 26 ἐπὶ πλέον a: ἐπὶ πλεῖον B: ἐπὶ πλεῖστον N 29 lemma deest a 30 εἰρήσθω ἐπὶ τοσοῦτον B 32 ἤτοι Ba: τουτέστι N

ὡς ἐχούσας τι διαφέρον τῶν κοινωνικῶν. λαμβάνει δὲ κοινωνικὰς τὰς καθ' 143v
ὁμολογίαν τινά. καὶ τοῦτο ποιεῖ δῆλον λέγων· αἱ δὲ πολιτικαὶ καὶ φυλε-
τικαὶ καὶ συμπλοϊκαὶ καὶ ὅσαι τοιαῦται κοινωνικαῖς ἐοίκασιν. οἷον
γὰρ καθ' ὁμολογίαν τινὰ φαίνονται εἶναι. εἰ δὲ τοιοῦτόν ἐστιν ἡ κοι- 20
νωνικὴ φιλία, εἰκότως οὔτε ἡ συγγενικὴ οὔτε ἡ ἑταιρική εἰσι κοινωνίαι. οὐ
γὰρ καθ' ὁμολογίαν φιλοῦσιν ἀλλήλους οἱ συγγενεῖς ἀλλ' ὑπὸ τῆς φύσεως
προαγόμενοι· οὐδ' οἱ ἑταῖροι. ἐν κοινωνίᾳ μὲν οὖν πᾶσαι φιλίαι. διὰ τὸ κοι-
νωνεῖν φησι φιλοῦσιν οἵ τε συμπλωτῆρες καὶ οἱ συνναυπηγοῦντες καὶ οἱ λοι-
ποί, οἷον πολῖται καὶ φυλέται. τὴν γὰρ συγγενικὴν καὶ ἑταιρικὴν χωριστέον
τῶν τοιούτων. οὐ γὰρ ἡ φιλία τοῖς τοιούτοις διὰ τὴν κοινωνίαν ἀλλὰ δι'
αὐτὸ τὸ καλόν. φυσικῶς γὰρ τοὺς συγγενεῖς στέργουσι πάντες οἱ συγγενεῖς.
ἀλλὰ καὶ ἡ ἑταιρικὴ φιλία δι' αὐτὸ τὸ ἀγαθὸν καὶ διὰ συνήθειαν καὶ τὸ ἴσους 25
εἶναι καθ' ἡλικίαν. εἰς τὰς κοινωνικὰς δὲ τὴν ξενικήν τις τάξειε. πολυει-
δὴς δὲ καὶ ἡ συγγενικὴ φιλία, οἷον ἡ τοῦ πατρὸς πρὸς υἱούς, ἡ τῶν υἱῶν
πρὸς πατέρα, ἡ τῶν ἀδελφῶν πρὸς ἀλλήλους καὶ τῶν λοιπῶν συγγενῶν· ἐκ
πατέρων δ' αὗται τὴν ἀρχὴν ἔχουσι. καὶ μᾶλλον ὁ πατὴρ οἰκεῖος τῷ τέκνῳ
ἢ τὸ τέκνον τῷ πατρί. τῶν δὲ παίδων οὐδὲν τῷ πατρὶ οἰκεῖον. ταὐτὸν γὰρ
τοὺς ἀδελφοὺς ἀλλήλοις ποιεῖ ἡ πρὸς τοὺς γονεῖς ταυτότης διὰ τὸ τὰ τῷ
αὐτῷ ταὐτὰ καὶ ἀλλήλοις εἶναι ταὐτά. ἀνάλογον δ' ἔχει αἷμα καὶ ῥίζα· ὡς 30
γὰρ οἱ ἀπὸ τῆς ῥίζης φύντες κλάδοι καὶ πρὸς ἀλλήλους καὶ πρὸς τὴν ῥίζαν
τὴν ὁμοιότητα ἔχουσιν [ἀλλὰ τὴν πρὸς ἀλλήλους ὁμοιότητα] διὰ τὸ ἀπὸ τῆς
αὐτῆς εἶναι ῥίζης, οὕτω καὶ οἱ ἀπὸ τοῦ τῶν γονέων αἵματος ἔχουσι πρὸς
ἀλλήλους τὴν ὁμοιότητα διὰ τὸ ἀπὸ τοῦ αὐτοῦ εἶναι αἵματος. ἔχουσι δὲ καὶ
πρὸς τὸ αἷμα τὴν ὁμοιότητα. οἱ αὐτοί τέ εἰσι τῷ πατρὶ διῃρημένοι κατὰ τὰ
σώματα.

Ἀνεψιοὶ δὲ καὶ οἱ λοιποὶ συγγενεῖς οἷον ἔκγονοι καὶ δισέκγονοι πρὸς 34
ἀλλήλους ἔχουσιν οἰκειότητα διὰ τὸ | ἀπὸ τῶν αὐτῶν γεννηθῆναι ἀδελφῶν. 144r
μᾶλλον δ' εἰσὶν οἰκεῖοι, ὅσοι τῷ τοῦ γένους ἀρχηγῷ πλησιάζουσιν. ὅσῳ,
φησίν, ἀναγκαιότερον οἰκία πόλεως καὶ πρότερον, τοσοῦτον καὶ τεκνοποιία
τοῖς ζῴοις καὶ μᾶλλον ἀνθρώποις. ὡς γὰρ οὐκ ἂν πόλις συσταίη μὴ γινο-
μένης οἰκίας, οὕτως οὐδὲ βίος ἀνθρώπινος οὐδὲ φιλία γένηται μὴ γεννηθέντων
τῶν φιλτάτων παίδων. ὁ δὲ ζητῶν βίον ἀνδρὸς πρὸς γυναῖκα καὶ φίλου πρὸς 5
φίλον οὐδὲν ζητεῖ ἢ εἰ ὅμοιον τὸ δίκαιον ἔχουσιν· ἐπεὶ δ' οὐχ ὅμοιον τὸ δί-
καιον, οὐδ' ὁμοίως βιώσουσι.

Τριττῶν δὴ οὐσῶν τῶν φιλιῶν. τριττὴν εἰπὼν εἶναι τὴν φιλίαν, διά 21
τε τὸ ἀγαθὸν καὶ τὸ ἡδὺ καὶ τὸ χρήσιμον, καθ' ἑκάστην φιλίαν εἰσὶ καὶ

1 διαφέρον corr. ex διαφέρων N κοινωνικὰς Ba: κοινωνίας N 2. 3 φιλετι-καὶ N 3 σύμπλων B 4 ὁμολόγη N εἰ δὲ] ἤδη a 5 ἑτερικὴ N 6 ἀλλήλοις a 8 συμπλοτῆρες B: συμπληρωτικοὶ N 11 τοὺς] οἱ a πάντες] πάλιν BN: πάντες a οἱ] τοὺς a 14 καὶ om. a 15 πρὸς πατέρας B 18 ποιεῖ B: ποιῆσαι Na 21 διὰ τὸ — ὁμοιότητα (23) om. B 24 αἷμα] εἶναι a 26 δισίκγονοι a: corr. ex δυσέκγονοι B: δυσέκγονοι N 28 ἀρχιγῷ N 33 ζητεῖ scripsi: ζητεῖν BNa 35 τριττῶν Ba: τριῶν N δὴ Ba: δὲ N τῶν om. a 36 ἑκάστην γε τε φιλίαν Na 36 ἑκάστην γε τὴν φιλίαν Na

ἴσοι καὶ ὑπερέχοντες· ἴσοι μὲν ὡς ὅταν ἀμφότεροι ἀγαθοί, καθ' ὑπεροχὴν δὲ 144r
ὅταν ὁ μὲν ἀγαθός, ὁ δὲ πλούσιος. προσθετέον δὲ καὶ τὸ εἰδέναι τὸν πλού-
σιον, ὡς ὅσον ὑπερέχει τῷ πλούτῳ, τοσοῦτον τῇ ἀρετῇ ὑπερέχεται. ἢ τὸ
καθ' ὑπεροχὴν ὡς ὅταν ὁ μὲν ἀγαθός, ὁ δὲ φαῦλος, τοιοῦτος δὲ ὡς μὴ 25
πάντῃ διεφθαρμένος, ἀλλὰ δυνάμενος ἐπαναχθῆναι πρὸς τὸ βέλτιον. ἴσοι δὲ
πάλιν καὶ ὅταν οἱ δύο εὐτράπελοι, καθ' ὑπεροχὴν δὲ ὅταν ὁ μὲν ὑπερέχῃ
τῇ εὐτραπελίᾳ, ὁ δὲ τῷ πλούτῳ. ὁμοίως δὲ καὶ ἴσοι μὲν ὅταν ὁμοίως χρη-
σιμεύωσιν, ὑπεροχὴ δὲ γίνεται ὅταν ὁ μὲν πλέον, ὁ δὲ ἔλαττον· τοὺς ἴσους
κατ' ἰσότητα τὴν διὰ τὸ ἀγαθὸν καὶ ἡδὺ καὶ χρήσιμον δεῖ καὶ κατὰ τὸ φι-
λεῖν ἰσάζειν. εἰ γὰρ ἴσοι ἀγαθοί εἰσι, φιλήσουσιν, ὁμοίως κἀπὶ τῶν ἄλλων·
εἰ δ' ἄνισοι εἶεν, δεῖ ἀναλόγως ἀποδιδόναι τὸν μὲν πλούσιον τιμᾶσθαι ὡς 30
πλούσιον, τὸν δ' ὡς ἐνάρετον. οὐδεὶς δὲ τὸν εὖ ποιοῦντα δυσχεραίνει, ἀλλ'
ἂν ⟨ᾖ⟩ χαρίεις ὁ πάσχων, ἀμύνεται, ἤγουν βοηθεῖ, τῷ εὐεργέτῃ εὖ δρῶν.

Ὥσπερ δέ φησι τὸ δίκαιον τὸ μὲν ἔγγραφον, τὸ δὲ ἄγραφον (ἄγραφον 46
μὲν ὅταν ἀπὸ ἔθους τις δικαιωθῇ, ἔγγραφον δ' ὅταν ἀπὸ νόμου), οὕτω καὶ
ἡ διὰ τὸ χρήσιμον φιλία ἠθικὴ καὶ νομική. ἐγκαλοῦσιν οὖν ὅταν μὴ διαλυ-
θῶσιν ὡς καὶ συνήλλαξαν. εἰ γάρ τις ὡς φίλῳ δῴη τινὶ πεντήκοντα νομί-
σματα, μηδὲν περὶ τόκου εἰπὼν ἀλλ' ἀγράφως συναλλάξας, εἶθ' ὕστερον ἀπαι-
τεῖ τόκον, ἄλλως μὲν συνήλλαξεν, ἄλλως δὲ σπεύδει διαλυθῆναι. ἡ νομικὴ 50
μὲν οὖν ἡ ἀγοραία τοιαύτη, ὡς τόδε μὲν λαβεῖν, τόδε δὲ δοῦναι, ἡ δὲ εἰς
χρόνον, οἷον εἰ δῴη μέχρι τοῦ μέλλοντος ἐνιαυτοῦ δέκα νομίσματα, ἵνα μοι
δῴης ταῦτα καὶ ἕτερα πέντε. δῆλον οὖν ἐν τῇ ἐλευθερίᾳ νομικῇ τὸ ὄφλημα·
εἰ ⟨δέ⟩ ποτε ἀναβάλληται ὁ λαβὼν καὶ μὴ ἀποδῷ, φιλικὸν τὸ μὴ ἀπαιτῆσαι.
ὡς φίλῳ μὲν οὖν ἡ ἠθικὴ δίδωσιν, ἀπαιτεῖ δὲ τὸ ἴσον ἢ πλέον ὡς μὴ
δεδωκὼς χάριν ὠφελείας τοῦ λαβόντος, ἀλλ' ὡς χρήσας ἵν' ἐκ τούτων κερ-
δάνῃ. χωρὶς μὲν οὖν τόκου | συναλλάξας, μετὰ δὲ τόκου διαλυθῆναι σπεύδων 144v
ἐγκαλέσαι, τὸ δὲ ἐγκαλεῖν καὶ ἄλλως μὲν συναλλάττεσθαι καὶ ἄλλως διαλύε-
σθαι συμβαίνει διὰ τὸ θέλειν τινὰς καλοὺς φαίνεσθαι. διδόασι μὲν οὖν πρῶτον
μηδὲν ἐπερωτήσαντες, ἵν' ἀγαθοὶ δόξωσιν, ὕστερον δὲ ὠφελεῖσθαι βούλονται
καὶ διὰ τοῦτο ἐγκαλοῦσι. δυναμένῳ δὲ τῷ λαβόντι δεῖ ἀποδοῦναι τὴν ἀξίαν
ὧν ἔπαθεν. ἄκοντα γὰρ οὐ ποιητέον φίλον τὸν δέοντα· ὡς δὴ ἁμαρτόντα 5
σὲ τὸν λαβόντα ἐν τῇ ἀρχῇ, διὰ τὸ παθεῖν εὖ ὑφ' οὗ οὐκ ἔδει, ἐπεὶ οὖν
μετὰ κακοῦ συνήλλαξας ἀπόδος, ὡς ἐπὶ ῥητοῖς συμφωνήσας, εἰ καὶ μὴ συνε-
φώνησας. μὴ εὐποροῦντας δὲ δοῦναι, οὐδὲ ὁ δοὺς λαβεῖν ἠξίωσεν. ἐν ἀρχῇ
δὲ ἐπισκεπτέον· δεῖ φησι σκοπεῖν, εἰ ὑπὸ ἀγαθοῦ εὐεργετεῖται καὶ ἐπὶ τίνι
συμφωνίᾳ, ἵν' ἐμμείνῃ τούτοις ἢ μή.

1 ἴσον N 3 τοσοῦτον καὶ τῇ Na 5 διηφθαρμένη N 7 εὐτραπελεία N 10 εἰσι N: ἴσως B 13 ᾖ add. a ut Aristoteles: om. BN ἀμύνεται B et Arist.: ἀμείβεται Na 17 πεντίκοντα N 18 τόκου Na: τόκων B 22 νομικὴ libri 23 δὲ ins. Diels ἀναβάλληται Diels: ἀναβάλλεται libri 24. 25 μὴ δεδωκὼς Ba: μηδὲ δοκεῖ N 27 ἐγκαλέσει B: ἐγκαλεῖσθαι Na 29 ὠφελεῖσθαι B: ὑφελεῖσθαι N 31 δὴ N: δὲ Ba 32 σε N: δὲ B 33 ῥητῆς a συμφωνήσας B: συμφωνίας Na 34 εὐποροῦντα B: εὐποροῦντας N: εὐποροῦντες a 35 εὐεργετῆται a

Ἀμφισβήτησιν δ' ἔχει πότερον δεῖ πιστεύειν τῇ τοῦ παθόντος ὠφε- 144v
λείᾳ καὶ οὕτως ἀνταποδιδόναι ἢ τῇ τοῦ δόντος εὐεργεσίᾳ. λύων οὖν φησιν, 17
ἐπεὶ ἡ φιλία διὰ τὸ χρήσιμον, μέτρον ἐστὶ τῆς ἀνταποδόσεως ἡ τοῦ παθόν-
τος ὠφέλεια. εἰ γάρ τις δέδωκέ τινι δέκα νομίσματα, ὁ δὲ ἐκέρδανεν ἑκα-
τόν, δεῖ τὰ ἡμίση διδόναι τῷ εὐεργέτῃ. οὕτω γὰρ δέδωκεν ὡς τὰ ἴσα τοῦ
κέρδους κομιουμένου. ὁ λαβὼν δέ ἐστιν ὁ δεόμενος. εἰ οὖν ὁ λαβὼν ἑκατὸν 20
ὠφελήθη, τοσοῦτον ὁ δοὺς ἐβοήθησεν. καὶ ἀποδοτέον τὸ ἥμισυ τοῦ κέρδους
ἢ καὶ τὸ πλέον. ἐπὶ δὲ τῶν κατ' ἀρετὴν οὐκ ἔστιν ἐγκαλεῖν. εἰ γὰρ μέτρον 33
ἐστὶν ἡ τοῦ δράσαντος τὸ ἀγαθὸν προαίρεσις, οὐδὲν δ' αἰτεῖ ὁ δρῶν, οὐδ'
ἐγκαλέσει ποτέ.

Ἐπεὶ τρεῖς εἰσιν αἱ φιλίαι, ἔχουσι δὲ καὶ ὑπεροχάς, διαφορὰ γίνε-
ται καὶ ἐν ταῖς ὑπεροχαῖς. ἀξιοῖ γὰρ ὁ βελτίων, ἤγουν ὁ ἀγαθός, ἔχειν 35
πλεῖον, πάλιν δὲ ὁ πλούσιος· οὕτω γὰρ ὠφελιμώτερος. φησὶ γὰρ ὁ μὲν
πλούσιος, ὡς ἀχρεῖόν σε ἐν πλούτῳ ὄντα οὐ χρὴ ἴσον ἔχειν ἐμοί. ὑπηρεσία
γάρ ἐστι τὸ ἐμὲ μὲν μόνον κομίζειν, λαμβάνειν δὲ καὶ σὲ ἐξ ἴσου ἐμοί· ὁμοίως
δὲ πάλιν καὶ ὁ ἕτερος. δεῖ οὖν φησι τῷ μὲν ὑπερέχοντι κατὰ πλοῦτον ἢ ἀρε-
τὴν διδόναι τιμήν, χρήματα δὲ τῷ ἐνδεεῖ.

Φαίνονται δὲ καὶ ἐν ταῖς πολιτείαις τιμώμενοι οἱ ὑπερέχοντες πλούτῳ b1
καὶ τὸ κοινὸν εὐεργε|τοῦντες. οὐκ ἔστιν οὖν θαυμαστὸν καὶ λαμβάνειν χρή- 145r
ματα καὶ τιμᾶσθαι; οὐδεὶς γὰρ αἱρεῖται τὸ ἔλαττον, ὥστε καὶ διδόναι χρή-
ματα καὶ τιμᾶσθαι. τῷ γὰρ διδόντι χρήματα τιμὴν νέμειν δεῖ καὶ τῷ
ὠφελοῦντι καὶ λαμβάνοντι ἢ εἰς ἀρετὴν ὁδηγουμένῳ τιμὴν δεῖ ἀνταποδιδόναι
καθ' ὅσον ἐνδέχεται καὶ δυνατόν. οὐ γὰρ πᾶσι τὸ κατ' ἀξίαν. διὰ τοῦτό
φησι δόξειε μὴ ἐξεῖναι υἱῷ τὸν πατέρα ἀρνήσασθαι· ὀφείλοντα γὰρ τὸν 5
υἱὸν δεῖ ἀποδιδόναι, οὐδὲν δὲ ποιήσας ὁ υἱὸς ἄξιον δέδρακε τῶν πεπραγμέ-
νων παρὰ τοῦ πατρὸς πρὸς αὐτόν. ἐξουσία οὖν τῷ πατρὶ ἀφεῖναι, ᾧ καὶ
χρεωστεῖ ὁ υἱός. οὐδεὶς δέ ποτε ἀποστήσεται τοῦ υἱοῦ, εἰ μὴ μοχθηρὸν ἴδοι
αὐτὸν ὄντα. βούλονται γὰρ πάντες τὸ βοηθεῖσθαι, τῷ δὲ υἱῷ ἐπίφευκτον τὸ
ἐπαρκεῖν ἢ οὐ σπουδαστόν. καὶ περὶ μὲν τούτων τάδε μοι εἴρηται.

---

1 πότερα Arist. 2 ἀνταποδιδόναι Na: ἀποδιδόναι B 5 ἡμίσυ a 8 μέτρον N: om. Ba 9 δ' αιτεῖ] δι' αἰτίαν a 10 ἐγκαλέσας Na 11 δὲ om. B 12 γίνονται B 14 ἀχρεῖσε a ἴσως a ὑπηρεσία B: ὑπηρέτης Na 17 δὲ ἐν τῷ N 19 τῷ κοινῷ a θαυμαστὸν N et B, sed in marg. οἶμαι δυνατὸν B² 20 καὶ οὐ τιμᾶσθαι a αἱρεῖται B: ἐρεῖται N 21 τιμᾶσθαι rubro corr. in τιμᾶν B, recte ut videtur 22 ὠφιλοῦντι N λαμβάνοντι χρήματα ἢ a 23 οὐ γὰρ ζητεῖ φιλία πᾶσι a 27 ἀνταστήσεται N 28 ἐπεὶ φευκτὸν a 29 βοηθεῖν B: ἐπαρκεῖν Na

INDICES

I INDEX VERBORUM

Verba ἀκολαστότης, διεξάγονται, φιλοσκοπεῖν, τιμοκρατής desiderantur in lexicis.

II INDEX NOMINUM

(Aristoteles)

Ethica Nicomachea

Ζ 7	p. 1141b22	141,26
Ζ 13	p. 1144a28	140,31
Ζ 13	p. 1144b2	136,31
Η 3	p. 1146a31	135,3
Η 10	p. 1151b12	137,15
Θ 2	p. 1155b3	180,11
Θ 2	p. 1155b34	168,1
Θ 6	p. 1157b21	174,2
Κ 4	p. 1174b33	151,22

Ἀχιλλεύς. οἷον ὁ ποιητὴς πεποίηκε τὸν Ἀχιλλέα λέγοντα "φρονέω δὲ τετιμῆσθαι Διὸς αἴσῃ" 109,11

Βόηθος [εἴρηκε] το πάθος τῆς ψυχῆς κίνησιν [ἄλογον ἔχουσάν τι μέγεθος 44, 24

Δῆλος. οὐκ ὀρθῶς ὁ ἐν Δήλῳ ἐπιγράψας "κάλλιστον τὸ δικαιότατον" 23,23

Δημητηρ. ἐπαινοῦσι τὸν μὲν Διόνυσον διότι οἶνον ἔδωκε, τὴν δὲ Δήμητραν διότι πυρόν 33,1

Διόνυσος cf. Δημήτηρ.

Ἕλληνες. οἱ δ' ἀνδρεῖοι πρὸ τῶν δεινῶν ἡσύχιοι ὄντες, ὅταν ἐν τοῖς δεινοῖς γένωνται, τὸ θάρρος ἐνδείκνυνται. παράδειγμα δὲ καὶ τούτων οἱ Ἕ., "οἳ δ' ἄρ' ἴσαν σιγῇ μένεα πνεόντες" 83,14 — ἀόργητοί τινες ἀεὶ ἐλέγοντο ὑπὸ τῶν Ἑλλήνων 53,7

Ἐνδυμίων. τίς γὰρ ἂν εἴποι εὐδαίμονα τὸν ἔχοντα τὴν ἀρετήν, ἀπρακτοῦντα δὲ καὶ καθεύδοντα παρ' ὅλον τὸν βίον, οἷον καὶ τὸν Ἐνδυμίωνα μυθολογοῦσιν; 10,24

Εὔδημος. σημεῖον δὲ τοῦ μὴ εἶναι τοῦτ' Ἀριστοτέλους ἀλλ' Εὐδήμου τὸ ἐν τῷ * λέγειν περὶ ἡδονῆς ὡς οὐ δήπω περὶ αὐτῆς διειλεγμένου· πλὴν εἴτε Εὐδήμου ταῦτά ἐστιν εἴτε Ἀριστοτέλους. ἐνδόξως εἴρηται 151,25 — λέγει δὲ καὶ Εὔδημος καὶ Θεόφραστος, ὅτι αἱ καθ' ὑπεροχὴν φιλίαι ἐν τοῖς αὐτοῖς γίνονται, ἢ δι' ἡδονὴν ἢ διὰ τὸ χρήσιμον ἢ δι' ἀρετήν 178,3

Εὔδοξος. λέγει δὲ καὶ Εὔδοξον καλῶς συνηγορῆσαι τῇ ἡδονῇ. λέγει γὰρ διὰ τοῦτο ἀρίστην εἶναι τῶν ἀγαθῶν αὐτὴν ἁπάντων, ὅτι ἀγαθὸν οὖσα οὐκ ἐπαινεῖται 33,17

Euripides Antigon. fr. 157 N.　31,25
　　Orest. 234　157,19

Ζάλευκος. καὶ ὅσοι δὲ μεγάλας τινὰς πράξεις διεπράξαντο ἐν τῇ πόλει, οὐκ ἄνευ δυνάμεως, οἷον Λυκοῦργος . . . καὶ Σόλων καὶ Ζ., ἑκάτερος μέγα δυνάμενοι ἐν ταῖς ἑαυτῶν πατρίσι 24,20

Ζεύς. τῷ γὰρ ὄντι οὐδενὸς ἀναθήματος ἔλαττόν ἐστι δῶρον καλῶς διδόμενον ἢ Διὸς Φιλίου χάριν ἢ Ξενίου 107,6 — οὐ μὰ Δία 109,6 νὴ Δία 10,5 21,7 137, 25

Hesiod. Opp. 293　10,9
　　Opp. 763　152,19

Θεαίτητος cf. Πλάτων.

Θεοδέκτης. ὁ παρὰ τῷ Θεοδέκτῃ Φιλοκτήτης ὑπὸ τῆς ἔχεως πεπαρμένος κρύπτειν βουλόμενος τοὺς περὶ τὸν Νεοπτόλεμον μέχρι μέν τινος ἀνέχει, ὕστερον δὲ οὐχ ὑπομένων τὸ μέγεθος τῶν ἀλγηδόνων φανερὸς γίνεται 133,6

Θεόφραστος. οὐ γὰρ εἴ τις ὡς Θ. λέγει γευσάμενος τῆς ἀμβροσίας ἐπιθυμεῖ αὐτῆς μέμφεσθαι ἄξιος 133,13 — λέγει δὲ καὶ Εὔδημος καὶ Θ. ὅτι καὶ αἱ καθ' ὑπεροχὴν φιλίαι ἐν τοῖς αὐτοῖς γίνονται, ἢ δι' ἡδονὴν ἢ διὰ τὸ χρήσιμον ἢ δι' ἀρετήν 178,3 — τὸν Ἀναξαγόραν αἰτιᾶται Θ. ἐν Ἠθικοῖς λέγων ὅτι ἐξελαύνει ἡδονὴ λύπην κτλ. 156, 17

Θρασύμαχος. μήποτε δὲ οὐκ ἦν εἴρων ὁ Σωκράτης. τεκμήριον δὲ τὸ μηδένα τῶν ἑταίρων αὐτοῦ οὕτως αὐτὸν ὀνομάζειν ἀλλὰ τοὺς πολλοὺς διαμαρτάνοντας αὐτοῦ, οἷον Θρασύμαχον ἢ Μένωνα 54,19

Καρκῖνος. ἔοικε δὲ καὶ ὁ Κ. εἰσάγειν τὸν Κερκύονα ἡττώμενον ὑπὸ μεγάλων ἀλγηδόνων 133,10

Κερκύων cf. Καρκῖνος.

Λακεδαιμόνιοι. φησὶ δὲ καὶ τοὺς Λακεδαιμονίους τῇ σφόδρα εὐτελείᾳ τῆς ἐσθῆτος ἀλαζονεύεσθαι 124,24 — οὐ βουλεύονται Λ. πῶς ἂν Σκῦθαι καλῶς πολιτεύσαιντο 71,35 — cf. Ἀργεῖοι.

Λάχης cf. Πλάτων.

Λέων. τῶν τριάκοντα κελευσάντων ἄγειν ἐπὶ θάνατόν τινα τῶν πολιτῶν Λέοντα ὄνομα 60,27

Λυκοῦργος. ὅσοι μεγάλας τινὰς πράξεις διεπράξαντο ἐν τῇ πόλει, οὐκ ἄνευ δυνάμεως, οἷον Λ. ἐγχειρισθεὶς τὴν ἐπιτροπὴν τῶν πραγμάτων διὰ τὴν τοῦ βασιλέως ἐνομοθέτησε 24,20 — τῆς παιδείας τῶν νέων μάλιστα ἐπιμελοῦνται (αἱ ἄρισται πολιτεῖαι), ὡς ἡ Λυκούργου 26,28

CORRIGENDA

p. 46, 10 not. scribatur: indicavit

p. 113, 27 σεμνύνεσθαι

p. 133, 8 ἀντέχει corr. Nauck Fragm. trag. ^{2} 79

p. 158 not. δεῖ om. Ba referatur ad vers. 13, non ad versum 12

p. 175, 6 scribatur: ζηλωτής

p. 175, 31 not. δέχονται om. N

19-2

COMMENTARIA
IN ARISTOTELEM
GRAECA

EDITA CONSILIO ET AUCTORITATE

ACADEMIAE LITTERARUM REGIAE BORUSSICAE

VOLUMINIS XIX

PARS II HELIODORI IN ETHICA NICOMACHEA PARAPHRASIS

BEROLINI
TYPIS ET IMPENSIS GEORGII REIMERI
MDCCCLXXXIX

HELIODORI
IN ETHICA NICOMACHEA
PARAPHRASIS

CONSILIO ET AUCTORITATE

ACADEMIAE LITTERARUM REGIAE BORUSSICAE

EDIDIT

GUSTAVUS HEYLBUT

BEROLINI
TYPIS ET IMPENSIS GEORGII REIMERI
MDCCCLXXXIX

PRAEFATIO

Daniel Heinsius post primam editionem quam curavit anonymam et sibi persuasit et iis qui eum secuti sunt fidem esse habendam notitiae *indoctissimi hominis*, qui *barbara manu* codici Leidensi adscripsit Ἀνδρονίκου Ῥοδίου περιπατητικοῦ φιλοσόφου. contra Heliodoro Prusensi in codice Parisiensi 1879 (immo 1870) vere tribui hunc librum primus quantum scio vidit Sainte-Croix *examen des hist. d' Alexandre* ed. 2 (Paris. 1804) p. 524, post eum Valentinus Rose Hermae vol. II, 212.

Qui codex Parisinus 1870 (Colbert. 570) saeculo XVI scriptus a B
Constantino Palaeocappa titulum habet Ἡλιοδώρου Προυσαέως παράφρασις τῶν Ἀριστοτέλους ἠθικῶν νικομαχείων; ad finem vero perductus non est, cum extrema verba sint libri VI cap. 4 ἐπιστήμη μὲν οὖν ἐστι γνῶσις τῶν ἀ f. 102 (edit. nostrae p. 117,14). inde ab hoc loco contulimus

Parisinum 1872 saeculo XVI ab Arsenio Monembasiae archiepiscopo D
confectum. cui inscribitur παράφρασις τῶν Ἀριστοτέλους ἠθικῶν νικομαχείων τὸ α'. capitum tituli ultra VIII, 6 non apparent. ad huius codicis similitudinem quam proximo accedit

Parisinus 1871 eiusdem aetatis male scriptus et correctus ab altera manu. inscribitur παράφρασις τῶν ἠθικῶν νικομαχείων. capitum tituli hic quoque post VIII, 6 desiderantur, est tamen ubi a manu altera adscripta sint.

Affines sunt: codex Vindobonensis gr. phil. 9 Nessel s. XVI folia continens 188, cuius titulus hic est παράφρασις τῶν ἀριστοτέλους ἠθικῶν Νικομαχείων; capitum tituli usque ad VIII, 6 extant;

Laurentianus 80, 3 eadem libri inscriptione et capitum titulis usque ad VIII, 6 insertis, ubi in fine libri VI haec apparet subscriptio: τὸ βιβλίον γέγονε δι' ἐξόδου τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου βασιλέως ἡμῶν.

ἰωάσαφ μοναχοῦ τοῦ καντακουζινοῦ: ἐν ἔτει ͵ϛωοε μηνὸς νοεμβρίου κδ ἰνδ. ε: — unde Heliodorum anno 1367 scripsisse discimus. idem libri titulus, eadem subscriptio in codice

Monacensi gr. LXXVII (*v. cat. Hardtii*) et in

Marciano App. Gr. IV, 21. 22. totus liber ad finem usque perducitur, subscriptio aeque ut in Laurent. 80, 3 post librum VI legetur.

Ambrosiani A 195 inf. et J 95 sup. eandem inscriptionem anonymam, eandem subscriptionem, hi vero in fine libri praebent.

Borbonicus III E 13 (n. 335 Cyrilli II 443) inscriptionem habet et ille anonymam, in fine: τοῦ ἰοασὰφ μοναχοῦ παραφράσεως εἰς τὰ ἠθικὰ τοῦ ἀριστοτέλους ἠθικὰ νικομαχεία τέλος (sic!).

Barberinus gr. II 39 mutilus eandem inscriptionem et paraphrasin usque ad VI, 8 praebet, ubi finitur verbis ἔστι γὰρ ἡ μὲν μερικὴ σοφία, ἡ δὲ καθόλου (p. 121, 18);

Sub Olympiodori nomine idem liber traditur in codicibus Vaticanis 272 et 273.

Et Vaticani quidem 272 fol. chart. saec. XVI conscripti fol. 1 incipit πίναξ τοῦ παρόντος βιβλίου ubi post titulum capitis VIII, 8 sequitur λείπει ἐνταῦθα ὁ πίναξ; inde capita enumerantur tantum, nisi quod in libro decimo capitum α′—δ′ ιβ′ ιγ′ etiam tituli servantur. post indicis finem f. 6: ὀλυμπιοδώρου φιλοσόφου παράφρασις εἰς τὰ τοῦ ἀριστοτέλους ἠθικά, βιβλία δέκα. de capitum titulis moneo l. VIII cap. 7 inscribi περὶ τοῦ τί ἐστιν ἐν τῇ φιλίᾳ πάθος καὶ ἕξεις (corr. a. man. 2 ex ἕξις), cap. 8 ὅτι ἐν τοῖς στρυφνοῖς καὶ πρεσβυτικοῖς ἧττον γίνεται ἡ φιλία, tum tituli desinunt, sed extant libri X c. 1 περὶ ἡδονῆς, c. 2 περὶ ἡδονῆς ἔτι, καὶ τῶν περὶ αὐτῆς δοξῶν, c. 3 τί ἐστι ἡδονὴ, καὶ ποῖον τί, c. 4 ὅτι ἡ ἡδονὴ ἕπεται τοῖς ἐνεργείαις τῆς αἰσθήσεως καὶ τῆς διανοίας, c. 7 περὶ εὐδαιμονίας τύπος, c. 12 πόσα τὰ περὶ τῆς ἀρετῆς αἴτια, c. 13 πῶς ἄν τις δυνηθείη νομοθετικὸς γενέσθαι. admodum similis est

Vaticanus gr. 273 fol. chart. saec. XVI. eadem est libri inscriptio, iidem capitum tituli, quorum tamen post VIII, 8 nullus estat. neque capitum tabula praemittitur.

Vaticanum gr. 1902 paraphrasis nostrae fragmentum f. 27 sqq. sub titulo Ὀλυμπιοδώρου φιλοσόφου παράφρασις εἰς τὰ τοῦ Ἀριστ. ἠθικὰ Νικομ. continere Brandis indicavit *Die aristot. Handschr. im Vatican* p. 30.

Canonicum 120 fol. chart. XVI saec. totum librum sub titulo Ὀλυμπιοδώρου φιλοσόφου παράφρασις εἰς τὰ τοῦ ἀριστοτέλους ἠθικὰ βιβλία exhibere dicit Torstrik. —

Andronici denique Rhodii nomine inscripta paraphrasis nostra non legitur nisi in Parisino lat. 6251 (olim Colbert. 5087) saec. XVI, ubi est Ἀνδρονίκου Ῥοδίου περιπατητικοῦ φιλοσόφου ἡ παράφρασις τοῦ ε̄ Ἀριστοτέλους ἠθικῶν νικομαχείων ἐκ βιβλίου ἐν ᾧ παράφρασις τῶν ἠθικῶν νικομ. ἁπάντων. Supra vero scriptum est a manu paullo recentiore: In aliis libris est ἡλιοδώρου προυσαέως παράφρασις τῶν ἀριστοτέλους ἠθικῶν νικομαχείων[1]). librum enim Leidensem (vide Catalog. libr. bibl. publ. Lugduno-Bat. 1716 p. 334 no. 18), ad cuius fidem D. Heinsius editionem suam confecit, anonymam praebere paraphrasim praefationis nostrae principio diximus.

Praetera nomino codices Escorialenses T-II-18 et Φ-I-8, Matritensem O-37, Parisinos Supplementi Graeci 181 et 768.

Typis editus liber saepius est:

Aristotelis Ethicorum Nicomacheorum paraphrasis Incerto Auctore antiquo et eximio peripatetico; ex bibliotheca Lugduno batava nunc primum Graece edita, emendata et Latine reddita a Daniele Heinsio. Lugd. Batav. ex officina Johannis Patij Academiae Typographi. CIↃ IↃ. CVII. 4°.

ΑΝΔΡΟΝΙΚΟΥ ΡΟΔΙΟΥ περιπατητικοῦ φιλοσόφου παραφράσις τῶν ἠθικῶν νικομαχείων . . . cum interpret. Danielis Heinsii, hac editione plurimis tum descriptoris tum operarum mendis ab autore vindicata. Lugduni Batavorum. excudit Ioannes Patius. . . . Anno 1617. 8°.

ΑΝΔΡΟΝΙΚΟΥ ΡΟΔΙΟΥ περιπατητικοῦ φιλοσόφου παραφράσις τῶν ἠθικῶν νικομαχείων . . . cum interpret. Danielis Heinsii . . . Cantabrigiae excud. Johannes Hayes, 1679. 8°.

Andronici Rhodii ethicorum Nicomacheorum paraphrasis cum interpr. . . Danielis Heinsii . . . Oxonii 1809. 8°.

Hi omnes libri ad codicum fidem numquam redierunt. neque vero Mullachius, cui novissime librum tamquam Androniceum Fragmentorum philos. graec. volumini III inserere placuit, aliis auxiliis quam editione Heinsiana usus est.

Iam vero ne hunc quidem commentarium sine aliquo fructu ad Ethica Aristotelia cognoscenda adhiberi uno saltem exemplo probabo.

[1]) In cod. Ottoboniano lat. 3064 saec. XVI libros empturis commendatur fol. 226v Ἡλιοδώρου προυσιέως εἰς τὰ ἠθικὰ ἀριστοτέλους ἐξήγησις (βιβλίον ὡραιότατον καὶ πολλοῦ ἄξιον).

Aristotelis libro VIII c. 13 p. 1161ª26 vulgo legitur οἱ τοιοῦτοι δ' ὁμοπαθεῖς καὶ ὁμοήθεις ad fidem K[b] libri; contra plurimi codices et cum iis Heliodorus p. 180, 19 non ὁμοπαθεῖς sed ὁμομαθεῖς praebent, quod equidem praetulerim, collato imprimis Aristot. p. 1162ª9—14 ἔστι δὲ καὶ ἐν τῇ ἀδελφικῇ καὶ μᾶλλον ἐν τοῖς ἐπιεικέσι καὶ ὅλως ἐν τοῖς ὁμοίοις, ὅσῳ οἰκειότεροι καὶ ἐκ γενετῆς ὑπάρχουσι στέργοντες ἀλλήλους, καὶ ὅσῳ ὁμοηθέστεροι οἱ ἐκ τῶν αὐτῶν καὶ σύντροφοι καὶ παιδευθέντες ὁμοίως.

Hamburgi. GUSTAVUS HEYLBUT.

ΗΛΙΟΔΩΡΟΥ ΠΡΟΥΣΑΕΩΣ ΠΑΡΑΦΡΑΣΙΣ ΤΩΝ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΗΘΙΚΩΝ ΝΙΚΟΜΑΧΕΙΩΝ ΤΟ Ā 1

Ὅτι ἔστι τι ἔσχατον τέλος, πρὸς ὃ πᾶσαι τάττονται αἱ ἀνθρώπιναι πράξεις. κεφ. α′.

Ἐν πάσῃ τέχνῃ καὶ μεθόδῳ ἀγαθόν τι ζητοῦμεν· καὶ προαιρούμεθα δὲ καὶ πράττομεν ἐκεῖνα, ὅθεν ἀγαθόν τι προσδοκῶμεν λαβεῖν. διὰ τοῦτο καλῶς ἀπεφήναντο ἐκεῖνο εἶναι τὸ ἀγαθόν, οὗ πάντα ἐφίεται. καὶ γὰρ οὐ μόνον τὰ λογισμῷ κινούμενα ἕνεκά τινος ἀγαθοῦ κινεῖται, ἀλλὰ καὶ τὰ φύσει κινούμενα πρός τι φέρεται τέλος ἀγαθὸν ἀλόγως, καθάπερ τὸ βέλος εἰς τὸν σκοπόν. ἔστι μὲν οὖν πάσης πράξεως καὶ κινήσεως τέλος. διαφορὰ δέ τις φαίνεται τῶν τελῶν. ἔστι γὰρ πράξεως τέλος ἔργον, ὥσπερ τῆς ναυπηγικῆς τὸ πλοῖον· ἔστι δὲ πάλιν πράξεως τέλος ἄλλη 10 πρᾶξις, ὥσπερ τῆς ἱππικῆς τὸ ἱππεύειν. ἐφ᾽ ὧν δὲ οὐχ ἡ πρᾶξις τέλος ἀλλὰ ἔργον, ἐπ᾽ ἐκείνων βέλτιον τὸ ἔργον τῆς πράξεως. πολλῶν δὲ πράξεων οὐσῶν | πολλὰ γίνεται καὶ τὰ τέλη. ἰατρικῆς μὲν γὰρ τέλος 2 ὑγίεια, ναυπηγικῆς δὲ πλοῖον, στρατηγικῆς δὲ νίκη, οἰκονομικῆς δὲ πλοῦτος. συμβαίνει δὲ πολλὰς πράξεις καὶ τέχνας ὑπὸ μίαν δύναμιν εἶναι καὶ τέχνην πολλάκις, ἡνίκα διὰ τὸ τέλος ἐκείνης τῆς τέχνης ἐκεῖναι ζητοῦνται, οἷον ἡ χαλινοποιητικὴ καὶ ἡ ἱππικὴ καὶ πᾶσα πολεμικὴ πρᾶξις τὸ τέλος ζητοῦσι τῆς στρατηγικῆς· πᾶσαι γὰρ ἕνεκα τῆς νίκης ἐπιτηδεύονται. καὶ διὰ τοῦτο αἱ μὲν ὑπὸ τὴν στρατηγικὴν λέγονται εἶναι, ἡ δὲ στρατηγικὴ ἀρχιτεκτονικὴ πρὸς αὐτὰς καλεῖται· δύναται γὰρ ὅπερ ὁ ἀρχιτέκτων ἐν τοῖς 10 τέκτοσι. καθάπερ γὰρ ἐκεῖνος ἀποβλέπων εἰς τὸ εἶδος τῆς οἰκίας ἐκεῖνα κελεύει ποιεῖν τοὺς τέκτονας, ἃ πρὸς ἐκεῖνο φέρει τὸ εἶδος, οὕτω καὶ ἡ στρατηγικὴ καὶ εἴ τις ἄλλη τοιαύτη ἀπὸ τοῦ ἰδίου τέλους ταῖς ἄλλαις δίδωσι τοὺς κανόνας. καὶ γὰρ καὶ τὸν χαλινὸν ὁ χαλινοποιὸς πρὸς τὴν νίκην ὥσπερ εἰς κανόνα ἀποβλέπων, τοιοῦτον ἐποίησεν, ὥστε ἁρμόττειν καὶ ἐπιτήδειον

---

1. 2 Ἀνωνύμου παράφρασις τῶν Ἀριστοτέλους ἠθικῶν Νικομαχείων b   1 capitum indices inscriptionibus praeponit b   7 ἐφίεται B: ἐφίενται b   12 ναυπηγικῆς B: ναυτικῆς b

εἶναι τῷ ἐπειγομένῳ νικᾶν. καὶ τὴν ἐφεστρίδα ἕτερος, καὶ ἄλλοι ὅσοι τεχνῖται τῶν ἱππικῶν ὀργάνων εἰσί· καὶ ὁ ἱππικὸς οὕτω διέθηκεν ἑαυτόν. ὥστε δυνηθῆναι νικᾶν καὶ ὁ στρατιώτης καὶ ὅλως πάσας τὰς ὑπὸ τὴν στρατηγικὴν τὸ τέλος αὐτῆς διατίθησιν. ἔστι μὲν οὖν ἑκάστῃ τῶν ὑπὸ τὴν ἀρχιτεκτονικὴν τέλος. καθάπερ χαλινοποιητικῇ χαλινὸς καὶ ἱππικῇ τὸ ἱππεύειν καὶ ταῖς ἄλλαις ἄλλο τι. ἔστι δὲ καὶ τῇ ἀρχιτεκτονικῇ τέλος, καθάπερ τῇ στρατηγικῇ ἡ νίκη· ἀλλὰ τὸ τέλος τῆς ἀρχιτεκτονικῆς βέλτιον καὶ προτιμότερον τῶν ἄλλων τελῶν. διότι καὶ τὰ τῶν ἄλλων τέλη τῶν ὑπ' αὐτὴν διὰ τὸ ταύτης τέλος ζη|τεῖται, καθάπερ εἴρηται. εἰ δὲ καὶ μὴ 3 πράξεις εἶεν τὰ τέλη τῶν πράξεων ἀλλὰ ἔργα, οὐδὲν κωλύει βέλτιον εἶναι καὶ αἱρετώτερον καὶ αὐτῶν τῶν ἔργων τὸ τῆς ἀρχιτεκτονικῆς τέλος, καὶ πρᾶξις ὄν. ὥσπερ χαλινοποιητικῆς μὲν τέλος ἔργον· χαλινὸς γάρ· στρατηγικῆς δὲ τέλος πρᾶξις· νίκη γάρ. καὶ οὐδὲν κωλύει τὴν νίκην βελτίω εἶναι καὶ αἱρετωτέραν τοῦ χαλινοῦ· τὸ γὰρ ἔργον βέλτιον τῆς πράξεως, οὐ πάσης, ἀλλὰ μόνης ἐκείνης, ἧς ἀποτέλεσμά ἐστι, διότι τέλος ἐκείνης ἐστί· τὸ δὲ τέλος ἀεὶ τιμιώτερον τοῦ πρὸς αὐτὸ τεταγμένου. ἔστι δὲ πολλαῖς ἓν τέλος, τὸ τῶν ἀρχιτεκτονικῶν· ἔστι δὲ καὶ πάσαις ὁμοῦ τέλος ἓν ἔσχατον, δι' ὃ τὰ τῶν ἄλλων τέλη ζητοῦνται, καὶ οὐκέτι ἐκεῖνο δι' ἄλλο, ἀλλὰ αὐτὸ δι' ἑαυτό. καὶ γὰρ εἰ μὴ ἕν τι εἴη ἔσχατον τέλος, ἀλλὰ ἀεί τι δι' ἕτερον αἱρούμεθα καὶ ἐκεῖνο δι' ἄλλο καὶ ἀεὶ ἐν τῷ παρόντι ἄλλο ζητήσομεν, οὐδέποτε ἐπιτευξόμεθα, οὗ ἐφιέμεθα· καὶ οὕτω συμβαίνει ματαίαν καὶ κενὴν τὴν ὄρεξιν εἶναι, οὐκ ὄντος ἐφ' οὗ στήσεται φερομένη. τοῦτο δὲ ἄτοπον· οὐδεμία γὰρ φυσικὴ ἔφεσις μάτην. ἀνάγκη τοίνυν ἕν τι ἔσχατον εἶναι τέλος· τοῦτο δ' ἂν εἴη τὸ ἀγαθὸν καὶ τὸ ἄριστον. ὥστε καὶ ἡ γνῶσις αὐτοῦ μεγάλη ἡμῖν πρὸς τὸν βίον ἔσται βοήθεια· συμβήσεται γὰρ τοῦ δέοντος μᾶλλον ἐπιτυγχάνειν, καθάπερ τοξόταις εἰς τὸν σκοπὸν βλέπουσιν.

Ὅτι τῆς πολιτικῆς ἐστι τέλος τὸ ἔσχατον τέλος. κεφ. β'.

Εἰ δὲ τοῦτο οὕτως ἔχει, πειρατέον ὁρίσασθαι ὡς ἐν τύπῳ, τί ποτέ ἐστι τοῦτο τὸ ἔσχατον τέλος καὶ τίνος ἐστὶ προσ|εχῶς τῶν ἐπιστημῶν καὶ 4 τῶν πράξεων. ἔστι μὲν γὰρ ἁπάσης τέχνης καὶ δυνάμεως κοινὸν τέλος, ἔστι δὲ καὶ προσεχῶς μιᾶς τινος δυνάμεως· καθάπερ τὸ τέλος τῆς ἀρχιτεκτονικῆς ἐστι μὲν καὶ πασῶν τῶν ὑπὸ τὴν ἀρχιτεκτονικήν, ἔστι δὲ καὶ προσεχῶς αὐτῆς τῆς ἀρχιτεκτονικῆς. δοκεῖ τοίνυν εἶναι τέλος τῆς κυριωτάτης τῶν τεχνῶν καὶ μάλιστα ἀρχιτεκτονικῆς. τοιαύτη δὲ ἡ πολιτική· ταῖς γὰρ ἄλλαις τέχναις τὴν τάξιν καὶ τὸν καιρὸν αὐτὴ δίδωσι. τίνας γὰρ ἐπιστήμας ἐν ταῖς πόλεσιν εἶναι προσήκει, καὶ τίνας ἀνθρώπους ποίας ἐπιστήμας δέον μανθάνειν καὶ μέχρι τίνος, μόνης τῆς πολιτικῆς ἐστι σκοπεῖν· μόνη γὰρ ἡ πολιτικὴ τὰς μὲν πονηρὰς τῶν τεχνῶν τῆς πόλεως

5 τὸ om. b 18 οὐκέτι B: οὐκ ἔστι b 32 καὶ om. b

ἀπελαύνει, τὰς δὲ λυσιτελούσας οὐ συγχωρεῖ πάντας μανθάνειν ἢ μαθόντας
ἀεὶ μεταχειρίζεσθαι. οὐ γὰρ εἴ τις δυνάμενος στρατηγεῖν καὶ σῴζειν τὴν
πόλιν, τοῦτον ἐᾷ σκυτοτομεῖν. οὐδὲ στρατιώτην εἶναι δίκαιον ἔτι ὄντα στρα-
τηγὸν ἐποίησε· τῷ δὲ προσήκοντι τῇ τέχνῃ τοὺς καιροὺς ἀποδίδωσιν.
ὥστε μὴ στρατηγεῖν, ὅτε ἡσυχίαν ἄγειν προσῆκεν. ὁ γὰρ πολιτικὸς πέμπει
μὲν τὸν στρατηγὸν ὁπόταν δέῃ, κελεύει δὲ ἡσυχίαν ἄγειν ὅτε τούτου και- 20
ρός. εἰ γὰρ καὶ ὁ στρατηγὸς πολλάκις ἑαυτῷ δίδωσι τὸν καιρόν, ἀλλ' οὐ
τῇ στρατηγικῇ τέχνῃ. πάντες γὰρ οἱ τῆς τέχνης κανόνες τὸ τέλος τῆς
τέχνης ἐκείνης μόνον σκοποῦσιν· ὃς δὲ πρὸς τοὐναντίον ἢ πρὸς ἄλλο φέ-
ρεται, οὐκ ἔστι τῆς τέχνης ἐκείνης κανών. ὥστε ὁ στρατηγὸς σκοπῶν,
ὁπότε δεῖ πολεμεῖν καὶ διὰ τοῦτο ἡσυχάζων πολλάκις καὶ περὶ εἰρήνης
διαπρεσβευόμενος δῆλός ἐστιν οὐ τῷ κανόνι τῆς στρατηγικῆς κεχρημένος.
ἀλλ' ἑτέρας τινὸς | τέχνης μείζονος καὶ κυριωτέρας, ἥτις ἐστὶν ἡ πολιτική. 5
ἐπεὶ τοίνυν καὶ τὰς τιμιωτάτας τῶν τεχνῶν ὑφ' ἑαυτὴν ἡ πολιτικὴ ποιεῖται,
λέγω δὴ στρατηγικὴν οἰκονομικὴν καὶ ῥητορικήν, καὶ ταῖς λοιπαῖς τῶν
πρακτικῶν χρῆται πρὸς τὸ οἰκεῖον δηλαδὴ τέλος (πάσας γὰρ τάττει πρὸς
τὸ κοινὸν τῆς πόλεως ἀγαθὸν καὶ διὰ τοῦτο νομοθετεῖ, τί δεῖ πράττειν
καὶ τίνων ἀπέχεσθαι), τὸ ταύτης τέλος περιέχοι ἂν τὰ τῶν
ἄλλων. ἐπεὶ δὲ πάντα τὰ τῶν ἄλλων τέλη ζητεῖται διὰ τὸ εὖ εἶναι τὸν
ἄνθρωπον, τὸ δὲ τέλος ἐστὶ τῆς πολιτικῆς, δι' ὃ τὰ τῶν ἄλλων τέλη
ζητοῦνται, φανερὸν ὅτι τοῦτο ἂν εἴη τὸ ἀνθρώπινον ἀγαθόν. καὶ 10
δῆλον μέν, ὅτι τὸ αὐτὸ ἀγαθὸν ζητεῖται καὶ παρὰ ἑνὸς ἀνθρώπου καὶ
παρὰ πόλεως, ἀλλ' ὅμως μεῖζον καὶ τελειότερον τὸ τῆς πόλεως φαίνεται
ἀγαθὸν καὶ λαβεῖν καὶ λαβόντα διασῶσαι. ἔστι μὲν γὰρ καὶ τὸ ἐν ἑνὶ
ἀνθρώπῳ τὸ ἀγαθὸν διασῶσαι ἀγαπητόν, ἄν τε ἐν ἑτέρῳ τις ἄν τε ἐν
ἑαυτῷ δυνηθῇ φυλάξαι· κάλλιον δὲ καὶ θειότερον ἔθνει καὶ πόλε-
σιν, ὅσον ἡ τῶν πολλῶν εὐδαιμονία τῆς ἑνὸς ἀμείνων ἐστίν. ὥστε δικαιό-
τερον ἂν εἴη τὸ τῆς πολιτικῆς τέλος ἔσχατον εἶναι τέλος καὶ ἔσχατον
ἀγαθόν, ἥτις οὐχ ἓν μόνον τέλος ἀλλὰ τῶν ἄλλων πασῶν σκοπεῖ ὡς οἰκεῖα, 20
κοινή τις οὖσα τέχνη καὶ πολιτική.

Ὅτι οὐ δεῖ ἀκριβεστάτην ἀπόδειξιν ἐν τοῖς περὶ τῆς πολιτικῆς λόγοις ζητεῖν, ὅτι οὐ δίδωσιν ἡ κατ' αὐτὴν ὕλη. κεφ. γ'.

Λέγειν δὲ περὶ τούτου τοῦ τέλους προθυμουμένοις ἱκανὸς ἂν γένοιτο
περὶ αὐτοῦ λόγος ὁ τῇ ὑποκειμένῃ ὕλῃ προσήκων· οὐ γὰρ ὁμοίως ἐν πᾶσι
λόγοις τὸ ἀκριβὲς ζητή|σομεν. οὐ γὰρ δυνατὸν ἐπὶ πάσης ὕλης ὁμοίως 6
τὴν ἀκριβεστάτην ἀλήθειαν εὑρεῖν. ἀλλ' ἐν μὲν τοῖς μαθηματικοῖς ἅτε
ἀναγκαίαν ἔχουσιν ὕλην καὶ ἀεὶ ὡσαύτως ἔχουσαν, ἀμιγὴς ἡ ἀλήθεια
καὶ οὐδὲν ἡ ὕλη κωλύει τὸ ἀκριβές. ἐν δὲ τοῖς ἄλλοις, ἐν οἷς τὰ ὑποκεί-

5 ὅτε B: ὅτι h πέμπει B: πέμψει h 6 κελεύει B: κελεύσει h 29 ἀλλὰ τὰ τῶν ἄλλων desideres

μενα οὐκ ἀναγκαῖα οὐδὲ ἀεὶ ὁμοίως ἔχει, ἀρκετός ἐστι λόγος ὁ ἀπὸ τῶν ὡς ἐπὶ τὸ πλεῖστον συνάγων. οὕτω δὲ καὶ ἐπὶ τῶν δημιουργικῶν τεχνῶν ἔχει· τὸ γὰρ τεχνητὸν εἶδος οὐχ ὁμοίως ἐφαρμόζει ταῖς ὕλαις. ἀλλ᾽ ἐν μὲν ταῖς ἐπιτηδειοτέραις ἀκριβέστερον, ἐν δὲ ταῖς ἑτέρως ἐχούσαις οὐχ ὁμοίως· ⟨τὸ γὰρ ἀνθρώπινον εἶδος οὐχ ὁμοίως ἐφαρμόσει⟩ ταῖς ὕλαις ὅ τε πλάστης καὶ ὁ ζωγράφος· ὁ μὲν γὰρ ζωγράφος καὶ τὸ χρῶμα παρίστησι καὶ ὄγκον τινὰ δοκεῖ μιμεῖσθαι καὶ διάστασιν (ἡ γὰρ ὕλη συγχωρεῖ), ὁ δὲ πλάστης τὸν μὲν ὄγκον ἐφαρμόζει τῇ ὕλῃ, τὸ χρῶμα δὲ ἀπὸ τῆς ὕλης οὐκ ἔχει δεῖξαι· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν. διὰ τοῦτο οὐ τὴν αὐτὴν ἀκρίβειαν παρὰ πάσης τέχνης ἀπαιτεῖν δεῖ. ἀλλ᾽ ὅσην ἡ ὕλη δίδωσι· τοιαύτη δέ ἐστι καὶ ἡ τῆς πολιτικῆς ὕλη πρὸς τὴν ἀλήθειαν. τὰ γὰρ καλὰ καὶ τὰ δίκαια, περὶ ὧν ἡ πολιτικὴ σκοπεῖ καὶ ἅπερ ὕλην ποιεῖται. τοσαύτην ἔχει διαφορὰν καὶ πλάνην, ὥστε καὶ δοκεῖ μὴ τὸ καλὸν φύσει καλὸν εἶναι μηδὲ τὸ δίκαιον φύσει δίκαιον, ἀλλὰ θέσει τινὶ καὶ νόμῳ· καὶ διὰ τοῦτο τὸ κατὰ ἀλήθειαν καλὸν καὶ δίκαιον δυσχερές ἐστι τοῦ δοκοῦντος διελεῖν. οὐ μόνον δὲ ἀλλὰ καὶ αὐτὰ τὰ ἀγαθά, ἐξ ὧν δοκεῖ συνίστασθαι ἡ εὐδαιμονία, ἀνδρείαν λέγω ἢ πλοῦτον ἢ τοιοῦτόν τι, καὶ αὐτὰ πλάνην ἔχει πολλὴν διὰ τὸ πολλοῖς συμβαίνειν βλάβας ἀπ᾽ αὐτῶν. ἤδη γάρ τινες ἀπώλοντο διὰ πλοῦτον, | ἕτεροι δὲ δι᾽ ἀνδρείαν. ἀγα- 7
πητὸν οὖν περὶ τοιούτων λέγοντας καὶ τοῦ ἐκ τούτων τέλους παχυλῶς καὶ ὡς ἐν τύπῳ τὴν ἀλήθειαν ἐνδείξασθαι· καὶ καθόλου περὶ τῶν ἐνδεχομένων ὡς ἐπὶ τὸ πολὺ λέγοντα καὶ τοῦ ἐκ τούτων τέλους ἱκανὸν ἂν εἴη τοιαῦτα καὶ συμπεραίνεσθαι. ὥσπερ δὲ ὁ περὶ τῆς πολιτικῆς λέγων οὐ δύναται ἀκριβεστέραν ἀλήθειαν εὑρεῖν ἢ ὅσην ἡ ὕλη δίδωσιν, οὕτω καὶ ὁ κρίνων τοὺς τοιούτους λόγους καλῶς ἂν κρίνοι, εἰ κατὰ τὸν ἴσον τρόπον μὴ ἀκριβεστέραν ἀλήθειαν ἀπαιτεῖ ἢ ὅσην ἡ ὕλη δίδωσιν, ἀλλὰ τὴν ἐνδεχομένην ἀποδέχεται· πεπαιδευμένου γάρ ἐστιν ἐπὶ τοσοῦτον τὸ ἀκριβὲς ἐπιζητεῖν καθ᾽ ἕκαστον γένος μεθόδου, ἐφ᾽ ὅσον ἡ τοῦ πράγματος φύσις ἐπιδέχεται. ἐν μὲν γὰρ τῷ τῶν μαθηματικῶν γένει, καθὼς εἴρηται, οὐδὲν ἐνδεχόμενον συγχωρήσει, ἐν δὲ τοῖς λογικοῖς ἢ τοῖς φυσικοῖς ἢ τοῖς ἄλλως ἔχουσιν οὐχ ὡσαύτως. παραπλήσιον γάρ ἐστι μαθηματικοῦ πιθανολογοῦντος ἀποδέχεσθαι καὶ ῥητορικὸν ἀποδείξεις ἀπαιτεῖν.

Ὅτι τὸν ἀκροατὴν τῶν περὶ τῆς πολιτικῆς λόγων ἔμπειρον εἶναι δεῖ τῶν κατὰ τὸν βίον πράξεων. κεφ. δ΄.

Ἡ μὲν οὖν προσήκουσα κρίσις τῶν λόγων τοιαύτη. κρινεῖ δὲ ἐκεῖνα καλῶς ἕκαστος ἃ καλῶς γινώσκει καὶ τούτων ἐστὶν ἀγαθὸς κριτής.

2 καὶ om. h   3 ἐφαρμόσει h   5 τὸ γὰρ — ἐφαρμόσει h: om. B   8 ἐφαρμόσει h   12 ὕλη h   13 δοκεῖν h (ut Arist.)   14 μηδὲ Mullach: οὐδὲ Bh
37 ἕκαστος om. h   καλῶς (ante γινώσκει) om. h

ὥστε καὶ ἐπὶ τῆς πολιτικῆς ἐκεῖνος κρινεῖ καλῶς, ὃς πεπαιδευμένος ἐστὶ τὰ πολιτικὰ καὶ ἀπὸ τοῦ χρόνου πεῖραν ἔλαβεν αὐτῶν· καὶ ὁ μὲν ἔν τισι μερικοῖς πεπαιδευμένος ἐκεῖνα κρινεῖ καλῶς, ὁ δὲ περὶ πᾶν πεπαιδευμένος 8
ἀξιόχρεως ἔσται περὶ πάντων κριτής. διὰ τοῦτο τῶν περὶ τῆς πολιτικῆς λόγων οὐκ ἔστιν ὁ νέος οἰκεῖος ἀκροατής· ἄπειρος γὰρ τῶν κατὰ τὸν βίον πράξεων. οἱ δὲ τῆς πολιτικῆς λόγοι, οἱ μὲν περὶ τούτων διαλαμβάνουσιν, οἱ δὲ ἐκ τούτων συμπεραίνονται. ἔτι δὲ οὔπω κατὰ λόγον ζῶν ἀλλ' ἔτι πάθεσι καὶ ἀνέσει καὶ συνηθείᾳ ἀκολουθῶν ματαίως ἀκούσεται καὶ ἀνωφελῶς· οὐ γὰρ πρὸς τὸ τέλος ἀφικέσθαι δυνήσεται τῶν λόγων καὶ τὸ ἦθος ἀμεῖψαι καὶ κατὰ λόγον ζῆν, ὑπὸ τῆς συνηθείας ἔτι κρατούμενος. τὸ γὰρ τέλος τῶν τοιούτων λόγων οὐ γνῶσις ἀλλὰ πρᾶξις. οὐ μόνον δὲ ὁ νέος ἀλλὰ καὶ ὁ νεαρὸς τὸ ἦθος, εἰ καὶ τὴν ἡλικίαν ὑπερέξῃ τῶν νέων, ὁμοίως ἀνωφελῶς ἀκούσεται τῶν περὶ τῆς πολιτικῆς λόγων, ζῶν ἔτι τὴν προσήκουσαν τοῖς νέοις ζωήν. καὶ γὰρ καὶ τῷ νέῳ τὴν ἡλικίαν οὐ παρὰ τὸν χρόνον ἡ ἔλλειψις ἀλλὰ διὰ τὸ μὴ λογισμῷ διοικεῖσθαι ἀλλὰ κατὰ πάθος ἔτι ζῆν καὶ κατὰ πάθος πάντα ζητεῖν. τοῖς γὰρ τοιούτοις ἡ γνῶσις τῶν λόγων τούτων ἀνωφελής, καθάπερ τοῖς πάντῃ ἀκολάστοις καὶ περὶ τὰς ἡδονὰς ἀκρατέσι. τοῖς δὲ κατὰ λόγον τὰς ὀρέξεις ποιουμένοις καὶ πράττουσι πολλὴν ὠφέλειαν φέρει τὸ περὶ τῶν τοιούτων λόγων εἰδέναι. ἐν ἐκείνοις γὰρ ὁ λογισμός, ἃ νοήσει δέοντα παρὰ τούτων τῶν λόγων καὶ δυνήσεται ποιεῖν τῆς τῶν παθῶν δουλείας ἀπηλλαγμένος καὶ δυνάμενος ἤδη τῇ ἰδίᾳ χρῆσθαι δυνάμει.

Ὅτι τῆς πολιτικῆς τέλος ἐστὶν ἡ εὐδαιμονία καὶ ὅτι ἐπιγνωσόμεθα αὐτὴν τίς ἐστιν ἀπὸ τῶν πράξεων τῆς πολιτικῆς. κεφ. ε΄. 9

Ὁποῖον μὲν οὖν εἶναι δεῖ τὸν ἀκροατὴν τῶν περὶ τῆς πολιτικῆς λόγων καὶ πῶς κρίνειν δεῖ καὶ ἀποδέχεσθαι τοὺς λόγους καὶ τί τὸ προκείμενον ἡμῖν ἐν τῷ παρόντι, ἱκανῶς ἐπροοιμιασάμεθα. ἀναλαβόντες δὲ τὸν λόγον λέγωμεν ἤδη· ἐπειδὴ πᾶσα γνῶσις καὶ προαίρεσις ἀγαθοῦ τινος ἐφίεται, τί ἐστιν οὗ λέγομεν τὴν πολιτικὴν ἐφίεσθαι; καὶ πασῶν πράξεων ἐπί τι ἀγαθὸν φερομένων, καθὼς εἴρηται, πρὸς τί αὕτη φέρεται; καὶ τί τὸ πάντων ἀκρότατον τῶν πρακτικῶν ⟨ἀγαθῶν⟩, ὃ τέλος ἐστὶ τῆς πολιτικῆς; τὸ μὲν οὖν ὄνομα αὐτοῦ ἓν παρὰ τῶν πλείστων καὶ τὸ αὐτὸ λέγεται καὶ ἐν τούτῳ καὶ οἱ πολλοὶ καὶ οἱ βέλτιστοι τῶν ἀνθρώπων συμφωνοῦσιν. εὐδαιμονίαν γὰρ αὐτὸ ὀνομάζουσι πάντες. τὸ δὲ εὖ ζῆν καὶ εὖ πράττειν ταὐτὸν ὑπολαμβάνουσι τῷ εὐδαιμονεῖν. περὶ δὲ τοῦ τί ἐστιν ἡ εὐδαιμονία ἀμφισβητοῦσι καὶ οὐχ ὁμοίως τοῖς πολλοῖς οἱ σοφοὶ λέγουσι περὶ αὐτῆς. οἱ πολλοὶ γὰρ ἕν τι τῶν ἐναργῶν καὶ δοκούντων ἀγαθῶν τὴν εὐδαιμονίαν φασίν, οἷον ἡδονὴν ἢ πλοῦτον ἢ τιμήν· ἄλλοι δὲ ἄλλο τοιοῦτον. καὶ πολλάκις δὲ ὁ αὐτὸς οὐκ ἀεὶ τὸ αὐτὸ

31 ἀγαθῶν h et Arist.: om. B   35 καὶ τὸ εὖ Arist.

εὐδαιμονίαν ὀνομάζει, ἀλλὰ νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο· νοσήσας μὲν
γὰρ τὴν ὑγίειαν, πενόμενος δὲ πλοῦτον, καὶ ὅλως ἀεὶ οὗ νῦν ἐπιθυμεῖ τις,
εὐδαιμονίαν ὀνομάζει. οἱ δὲ σοφίας ἐρῶντες, ὧν ἑαυτοῖς συνίσασιν ἀγνοοῦ-
σιν, ἐφίενται μανθάνειν καὶ τοὺς μέγα τι καὶ ὑπὲρ αὐτοὺς λέγοντας
θαυμάζουσιν. ἔνιοι δὲ ἐνόμισαν παρὰ τὰ πολλὰ ταῦτα ἀγαθὰ ἄλλο τι 10
ἀγαθὸν εἶναι τὴν εὐδαιμονίαν, καθ' ἑαυτὸ ὀρεκτόν, ὃ καὶ τοῖς ἄλλοις αἴτιον
εἶναι τῆς ἀγαθότητος. ἁπάσας μὲν οὖν ἐξετάζειν τὰς περὶ τῆς εὐδαιμονίας
δόξας μάταιον ἴσως ἐστίν· ἱκανὸν δέ ἐστιν εἰ ἐξετάσομεν τὰς ἐπὶ τὸ πολὺ
καὶ ὑπὸ πλειόνων νομιζομένας ἢ δοκούσας ἔχειν τινὰ λόγον. ἐπεὶ δὲ
περὶ ἀρχῆς ὁ λόγος (ἀρχὴ γὰρ καὶ αἰτία ἐστὶ τὸ τέλος τῶν πράξεων· δι'
ἐκεῖνο γάρ τι πράττομεν), ζητητέον, πῶς δεῖ ποιήσασθαι τὸν περὶ αὐτῆς 10
λόγον· ἔχει γὰρ διαφοράν. καὶ πρῶτον περὶ τῶν αἰτίων μικρὸν διαληψό-
μεθα. τῶν γὰρ αἰτίων τὸ μὲν τελικόν ἐστι, τὸ δὲ εἰδικόν, τὸ δὲ ὑλικόν,
τὸ δὲ ποιητικόν. καὶ ποιητικὸν μὲν ἡ ἐνέργεια τοῦ τεχνίτου, ὑλικὸν δὲ
τὰ ξύλα καὶ οἱ λίθοι ἐξ ὧν ἡ οἰκία, εἰδικὸν δὲ τὸ εἶδος τῆς οἰκίας, τελικὸν
δέ, δι' ὃ ἡ οἰκία γέγονεν. ἐπεὶ δὲ ταῦτα αἴτιά εἰσι τοῖς πράγμασι τοῦ
εἶναι, αἴτιά εἰσι καὶ τῆς γνώσεως αὐτῶν καὶ δι' αὐτῶν δύνανται ἐκεῖνα
γινώσκεσθαι. ἐὰν γάρ τις εἰδῇ τὴν τέχνην τοῦ τεχνίτου, καθ' ἣν τὴν
οἰκίαν ἐδημιούργησεν, εἴσεται τὴν οἰκίαν ἢ ἀγαθὴν ἢ φαύλην, ὅσον τῇ
τέχνῃ προσῆκε· καὶ ὁ τὴν ὕλην εἰδὼς καὶ ὁ τὸ εἶδος, ὁμοίως. πάλιν δὲ
γινώσκοντες τί τὸ τέλος αὐτῆς, εἰσόμεθα ἢ ἀγαθὴν ἢ φαύλην. συμβαίνει 20
δὲ καὶ τὸ ἀνάπαλιν, ἀπὸ τοῦ εἰδέναι τὸ ἀποτέλεσμα τὰς αἰτίας γινώσκειν·
ὁ γὰρ εἰδὼς τὴν οἰκίαν τὴν τέχνην εἴσεται τοῦ τεχνίτου, καὶ τὰ ἄλλα
ὁμοίως. ὥστε τοὺς λόγους διχῶς ἀνάγκη γίνεσθαι· ἢ ἀπὸ τῶν ἀποτε-
λεσμάτων τὰς ἀρχὰς ἀποδεικνύναι, ἢ ἀπὸ τῶν ἀρχῶν | τὰ ἀποτελέσματα. 11
χρησόμεθα δὲ ἑκατέρᾳ τῶν μεθόδων κατὰ καιρόν. καὶ ἀπὸ μὲν τῶν ἀρχῶν
ἀποδείξομεν, ὅταν αὗται δῆλαι ὦσιν· τὸ δὲ ἀνάπαλιν, ὅταν τὰ ἀποτελέσματα
φανερώτερα ᾖ. διὰ τοῦτο καὶ Πλάτων καλῶς ἐζήτει τοῦτο καὶ ἠπόρει,
ὡς οὐκ ἀδιάφορον ὂν ἐπὶ παντός, πότερον ἀπὸ τῶν ἀρχῶν ἡ προσήκουσα
τῆς ἀποδείξεως ὁδὸς ἢ ἐπὶ τὰς ἀρχάς, ὥσπερ ἐν σταδίῳ ἀπὸ τῶν ἀθλο-
θετῶν ἐπὶ τὸ πέρας ἢ τὸ ἀνάπαλιν. διττῆς οὖν οὔσης τῆς ὁδοῦ, πόθεν
ἡμῖν ἀρκτέον; ἢ δῆλον ὅτι ἀπὸ τῶν ἀποτελεσμάτων, δηλονότι τῶν πολιτι- 10
κῶν πράξεων, ὧν ἀρχὴ καὶ αἴτιον τὸ πολιτικὸν τέλος ἐστί. δεῖ γὰρ ἀπὸ
τῶν γνωρίμων ἄρξασθαι οὐ τῇ φύσει ἀλλ' ἡμῖν. φύσει μὲν γὰρ γνώριμα
λέγονται αἱ ἀρχαὶ καὶ τὰ αἴτια· ἐκεῖνα γὰρ ἡ φύσις πρότερα παρίστησι
καὶ πρὸς ἐκεῖνα πρώτως ὁρᾷ. ἡμῖν δὲ τὰ ἀποτελέσματα γνώριμα, ὅθεν
ἀρκτέον· οὕτω γὰρ σαφὴς ἔσται ὁ λόγος ἀπὸ τῶν ἡμῖν γνωρίμων γινόμενος.

Ὅτι τὸν ἀκουσόμενον τῶν περὶ τῆς πολιτικῆς λόγων ἐν ἤθει
δεῖ εἶναι τῶν ἀγαθῶν πράξεων. κεφ. ϛʹ.

Διὰ τοῦτο τὸν ἀκουσόμενον τῶν τοιούτων λόγων, εἰ μέλλει καλῶς αὐ- 20

23 οἰκίαν B: αἰτίαν h

τοὺς γινώσκειν καὶ κρίνειν ὀρθῶς καὶ ἐκ τούτων ὠφελεῖσθαι, προσήκει ἐν ἔθει εἶναι τῶν καλῶν καὶ δικαίων πράξεων. εἰ μὲν γὰρ ἀπὸ τῶν ἀρχῶν ἀπεδείκνυμεν τὰς πολιτικὰς πράξεις ἀγαθὰς εἶναι, καὶ τὸν μὴ πεπαιδευμένον ἐν ταῖς τοιαύταις πράξεσιν ἐπείθομεν ἄν, λόγων ἀνάγκῃ δήσαντες· ἐπεὶ δὲ ἀπὸ τῶν ὑστέρων τὴν ἀρχὴν βουλόμεθα ἀποδεικνύναι, τῶν πολι- 12
τικῶν πράξεων δηλονότι, καὶ δεῖ ὑποκεῖσθαι περὶ αὐτῶν καθάπερ ἀρχὴν ἀποδείξεως ὅτι ἀγαθαί, φανερὸν ὅτι οὐ δύνανται πεισθῆναι, εἰ μὴ ὁ πείρᾳ καλὰς καὶ δικαίας τὰς τοιαύτας πράξεις εἰδώς. εἰ γὰρ τὸ ὅτι ἀγαθαὶ αἱ πράξεις ἀρκούντως δέξαιτό τις, οὐδὲν δεησόμεθα τοῦ διότι· τὴν δὲ αἰτίαν τὸ τέλος δηλονότι, ἢ γινώσκει ἤδη ἢ ἀκούσας ῥᾳδίως γνώσεται· ὃς δὲ οὐδέτερον ἔχει τούτων, καὶ μήτε αὐτὸς γινώσκει, μήτε παρ' ἑτέρου δύναται μανθάνειν, ἀκουσάτω τῶν Ἡσιόδου·

οὗτος μὲν πανάριστος, ὃς αὐτὸς πάντα νοήσῃ, 10
ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντι πίθηται·
ὃς δέ κε μήτ' αὐτὸς νοέῃ μήτ' ἄλλου ἀκούων
ἐν θυμῷ βάλληται, ὅδ' αὖτ' ἀχρήϊος ἀνήρ.

Ὅτι τρεῖς εἰσι βίοι· ὁ καθ' ἡδονήν, ὁ τὴν τιμὴν ζητῶν, ἐν οἷς καὶ ὁ χρηματιστικὸς θεωρεῖται, καὶ τρίτος ὁ θεωρητικός· καὶ ὅτι οὔτε ὁ τὴν ἡδονὴν οὔτε ὁ τὴν τιμὴν οὔτε ὁ τὰ χρήματα ζητῶν τὴν εὐδαιμονίαν ζητεῖ. ⟨κεφ. ζ'.⟩

Ἡμεῖς δὲ λέγωμεν ὅθεν παρεξέβημεν. ἦν δὲ ἡμῖν ὁ λόγος 20
περὶ τοῦ ὅτι διαφόρους οἱ ἄνθρωποι περὶ τῆς εὐδαιμονίας ἔχουσι δόξας. ἕκαστος τοίνυν ἀκολούθως τῷ οἰκείῳ βίῳ τὴν εὐδαιμονίαν ὁρίζεται· ὥστε καὶ οἱ πολλοὶ καὶ ἀκόλαστοι τὴν ἡδονήν φασι τὴν εὐδαιμονίαν εἶναι· διὰ τοῦτο καὶ τὸν βίον ἀγαπῶσι τὸν ἀπολαυστικόν. οἱ γὰρ καθολικοὶ βίοι μάλιστα τρεῖς εἰσιν· ὅ τε καθ' ἡδονὴν καὶ ὁ πολιτικὸς καὶ τρίτος ὁ θεωρητικός. ὁ μὲν οὖν πρῶτος βίος οὐδὲν ἱερόν· ἀνδραποδώδεις γὰρ ἐπιεικῶς οἱ τοῦτον διώκοντες καὶ βοσκημάτων βιοῦσι βίον. λόγου δέ τινος 13
ἄξιος φαίνεται διὰ τὸ πολλοὺς τῶν ἐν ἐξουσίαις τοῦτον αἱρουμένους τὸν βίον ὁμοιοπαθεῖν Σαρδαναπάλῳ. τὸν δὲ δεύτερον οἱ βελτίους τῶν ἀνθρώπων αἱροῦνται καὶ οἱ τὰς ἀγαθὰς διώκοντες πράξεις ἡγοῦνται τὴν τιμήν· σχεδὸν γὰρ καὶ πολιτικοῦ βίου τὸ τέλος (οὐ τὸ ὂν λέγω ἀλλὰ τὸ παρὰ πάντων ζητούμενον) ἡ τιμή ἐστι. φαίνεται δέ, ὅτι οὐ τοῦτό ἐστι τὸ ἔσχατον ἀγαθόν, ἀλλὰ τῶν δοκούντων καὶ αὐτό ἐστι καὶ φαινομένων ἀγαθῶν. τὸ γὰρ ἀληθῶς ἀγαθόν, δι' οὗ τις εὐδαιμονεῖ, ἐν αὐτῷ δεῖ εἶναι· ἡ δὲ 10
τιμὴ οὐκ ἔστιν ἐν τῷ τιμωμένῳ ἀλλὰ μᾶλλον ἐν τῷ τιμῶντι· οὐκ ἄρα

7 δύναται h 11 ἑτέρων h 12 Hesiod. Opp. 293 13 post πάντα νοήσῃ addit φρασσάμενος τά κ' ἔπειτα καὶ ἐς τέλος ᾖσιν ἀμείνω h 17 καὶ ὁ τὴν τιμὴν h οἷς B: ᾧ h 20 κεφ. ζ' h (et Vaticani 272. 273): om. B 28. 29 λόγου .. τινος ὅλως ἄξιος h 32 καὶ B: τοῦ h et Arist. οὐ τὸ ὂν B: οὗτος ὂν h ἀλλὰ B: καὶ h

ἐν τῇ τιμῇ ἡ εὐδαιμονία. δεῖ γὰρ τῷ εὐδαίμονι οἰκεῖον εἶναι τὸ ἀγαθὸν καὶ δυσαφαίρετον. ἔτι διὰ τοῦτό τις τὴν τιμὴν διώκει, ἵνα πιστεύσῃ περὶ ἑαυτοῦ ὅτι ἀγαθός ἐστι· καὶ διὰ τοῦτο ζητεῖ ὑπὸ τῶν φρονίμων τιμᾶσθαι καὶ παρ' οἷς γινώσκεται, καὶ ἐπ' ἀρετῇ. φαίνεται τοίνυν, ὅτι διὰ τοῦτό τις τὴν τιμὴν διώκει, ἵνα ἀγαθὸς δοκῇ καὶ σπουδαῖος διὰ τὴν ἀρετήν· ὥστε δῆλον, ὅτι οὐ δι' ἑαυτὴν ἡ τιμὴ διώκεται ἀλλὰ διὰ τὴν ἀρετήν. καὶ διὰ τοῦτο αὐτὴ μὲν οὐκ ἂν εἴη ἔσχατον τέλος ἀλλὰ μᾶλλον ἡ ἀρετή. 20
ἔστι δὲ καὶ αὐτὴ ἀτελής, καὶ οὐκ ἂν εἴη ἐν αὐτῇ τὸ τέλειον ἀγαθὸν ἡ εὐδαιμονία· ὅτι δὲ ἀτελής ἐστι, δῆλον· δυνατὸν γάρ τινα ἕξιν ἀρετῆς ἔχειν καὶ μὴ ἐνεργεῖν κατ' αὐτήν, ἢ καθεύδοντα ἢ ἄλλον τρόπον ἀπρακτοῦντα διὰ βίου ἢ κακοπαθοῦντα καὶ δυστυχοῦντα καὶ ἀτυχοῦντα τὰ μέγιστα, καὶ οὕτως ἀτελῆ τὴν ἀρετὴν ἔχειν. τὸν δὲ οὕτω βιοῦντα οὐδεὶς ἂν εὐδαιμονίσειεν, εἰ μή που αὐτὸ ὑπόθοιτο καὶ ὀνομάζοι εὐδαιμονίαν τὴν ἕξιν τῆς ἀρετῆς. | καὶ περὶ μὲν τοῦ καθ' ἡδονὴν βίου καὶ τοῦ πολιτικοῦ εἴρηται. 14
ἱκανῶς γὰρ ἐν τοῖς ἐγκυκλίοις περὶ αὐτῶν εἴπομεν· περὶ δὲ τοῦ βίου τοῦ θεωρητικοῦ μετὰ ταῦτα ἐπισκεπτέον· νῦν γὰρ τὸ προκείμενον ἄλλο. ἔστι δὲ καὶ ἄλλος βίος ἐν αὐτοῖς θεωρούμενος τοῖς εἰρημένοις, ὁ τοῦ χρηματιστοῦ· καὶ γὰρ καὶ ὁ τὴν ἡδονὴν καὶ ὁ τὴν τιμὴν διώκων χρήματα ἐθέλει συλλέγειν. καὶ διὰ τοῦτο τρεῖς ἔφαμεν τοὺς μάλιστα προέχοντας βίους. οὗτος γὰρ ἐν αὐτοῖς θεωρεῖται καὶ ἔστι βίαιος. οὔτε γὰρ τὸ ἀγαθὸν διώκει, 10
ὃ τέλειόν ἐστιν, οὔτε πάνυ δοκεῖ διώκειν. ὅθεν οὐ πολλοῖς ἐστιν ἐραστός· ὀλίγοι γὰρ εἵλοντο πάσης τῆς ἐν βίῳ σπουδῆς τέλος τὰ χρήματα ἔχειν. ὅτι δὲ οὐδ' αὐτὸς τὸ ἔσχατον ἀγαθὸν ζητεῖ, πρόδηλον· ὁ γὰρ πλοῦτος διὰ τὴν χρῆσίν ἐστιν ἀγαθὸς καὶ ἄλλου χάριν ζητεῖται, τιμῆς ἕνεκα ἢ ἡδονῆς· τὸ δὲ ἔσχατον ἀγαθὸν δι' ἑαυτὸ δεῖ ἀγαθὸν εἶναι. διὸ μᾶλλον τὰ πρότερον λεχθέντα τέλη τις ἂν ὑπολάβοι. ἡδονὴν λέγω καὶ τὴν τιμήν· δι' αὐτὰ γὰρ ἀγαπᾶται. φαίνεται δὲ οὐδ' ἐκεῖνα τὰ τέλεια ἀγαθά· καίτοι πολλοὶ λόγοι περὶ αὐτῶν ἐγένοντο πολλοῖς τῶν παλαιῶν, τῶν μὲν τὴν ἡδονὴν τῶν δὲ τὴν τιμὴν λεγόντων ἔσχατον ἀγαθόν. ταῦτα μὲν 20
οὖν ἀφείσθω.

Ὅτι οὐκ ἔστι μία ἰδέα τοῦ ἀγαθοῦ. κεφ. η'.

Ἐπεὶ δὲ περὶ τοῦ ἐσχάτου τέλους ὁ λόγος ἡμῖν, ὃ δοκεῖ καθόλου τι ἀγαθὸν εἶναι, σκεπτέον περὶ τοῦ καθόλου πῶς λέγεται καὶ εἰ ἔστι τις ἰδέα τοῦ ἀγαθοῦ. καίτοι προ|σάντης ὁ λόγος οὗτος ἡμῖν διὰ τὸ φίλους εἶναι 15
τοὺς εἰσενεγκόντας τὸν περὶ τῶν ἰδεῶν λόγον. ὁ δὲ λόγος, εἶναί τινα ἰδέαν ἑκάστου τῶν ὄντων, καθ' ἑαυτὴν ὑφεστηκυῖαν. δόξειε δ' ἂν ἴσως βέλτιον εἶναι καὶ δεῖν καὶ τὰ οἰκεῖα ἀναιρεῖν, ἐπὶ τῷ σῶσαι τὴν ἀλη-

---

10 καὶ μὴ ἐνεργεῖν κατ' αὐτήν om. h   13 εἰ om. h   15 γὰρ καὶ ἐν h et Arist. 17 θεωρούμενος h: θεωρουμένοις B   27 αὐτὰ Mullach ex Aristotele recte videtur restituisse: ἐκεῖνα Bh   31 κεφ. η'] κε. ζ' Bh   37 τῷ Mullach: τὸ B

θειαν, ἄλλως τε καὶ φιλοσόφους ὄντας. ἀμφοῖν γὰρ ὄντων φίλων, τῆς τε ἀληθείας καὶ τοῦ περὶ τῶν ἰδεῶν εἰπόντος, ὅσιον προτιμᾶν τὴν ἀλήθειαν. οἱ δὲ ταύτην εἰσαγαγόντες τὴν δόξαν οὐκ ἔλεγον ἐκείνων τῶν ὄντων μίαν ἰδέαν εἶναι, ἐν οἷς τὸ πρότερον καὶ ὕστερον ἦν. καὶ διὰ τοῦτο οὐδὲ τοῦ ἀριθμοῦ μίαν ἐποίουν ἰδέαν, ὅτι τὸ πρῶτον καὶ δεύτερον ἔχει. ἐπεὶ δὲ ἐν τῷ ἀγαθῷ τὸ πρότερον καὶ τὸ ὕστερόν ἐστι, φανερὸν ὅτι οὐκ ἂν εἴη μία αὐτοῦ ἰδέα. ὅτι δὲ τὸ πρότερον καὶ τὸ ὕστερον ἔστιν ἰδεῖν ἐν τῷ ἀγαθῷ, δῆλον. ἔστι γὰρ τὸ ἀγαθὸν καὶ ἐν τῇ οὐσίᾳ, οἷον νοῦς ἢ θεός, καὶ ἐν τῷ ποιῷ αἱ ἀρεταί, καὶ ἐν τῷ πρός τι τὸ χρήσιμον, καὶ ἐν τῷ ποσῷ τὸ σύμμετρον, καὶ ἐν τῷ ποῦ δίαιτα (ἡ γὰρ δίαιτα τόπος ἐστίν, ἐν ᾧ εὖ διάγομεν), καὶ ἐν τῷ πότε καιρός (ἔστι γὰρ ὁ καιρὸς ὁ ἐπιτήδειος ἑκάστῳ χρόνος), καὶ ἐν τοῖς ἄλλοις ὁμοίως. ἐν τούτοις δὲ τὸ πρότερον καὶ τὸ ὕστερόν ἐστιν· ἡ γὰρ οὐσία προτέρα ἐστὶ τοῦ πρός τι, καὶ ὅτι ἡ μὲν καθ' αὑτό ἐστι, τὸ δὲ ἐν ἑτέρῳ ἔχει τὸ εἶναι, καὶ ὅτι ἡ μὲν ἄσχετος, τὸ δὲ ἐν σχέσει ἐστί· παραφυάδι γὰρ ἔοικε καὶ συμβεβηκότι τοῦ ὄντος. ἔτι ἐπεὶ τὸ ἀγαθὸν ἰσαχῶς λέγεται τῷ ὄντι, πολλαχῶς δὲ λέγεται τὸ ὄν, πολλαχῶς ἂν λέγοιτο καὶ τὸ ἀγαθόν, καὶ οὐκ ἂν εἴη κοινόν τι καὶ καθόλου καὶ ἕν· οὐ γὰρ ἂν ἐν πάσαις ταῖς κατηγορίαις ἐλέγετο, καθὼς εἴρηται, ἀλλ' ἐν μιᾷ μόνῃ. ἔτι ἐπεὶ μιᾶς ἰδέας μία ἐστὶν ἐπιστήμη, ἦν ἂν καὶ μία ἐπιστήμη τοῦ ἀγαθοῦ, εἴ γε ἦν μία ἰδέα. ἀλλὰ τοῦτο οὐκ ἔστιν· οὐκ ἄρα μία ἐστὶν ἰδέα τοῦ ἀγαθοῦ. ὅτι δὲ πολλαὶ ἐπιστῆμαι τοῦ ἀγαθοῦ, φανερόν. οὐ μόνον γὰρ τῶν ἐν διαφόροις ὄντων κατηγορίαις οὐκ ἔστι μία ἐπιστήμη ἀλλὰ καὶ τῶν ὑπὸ μίαν, οἷον ἐν τῷ πότε τὸ ἀγαθὸν ὁ καιρός ἐστιν. οὗτος δὴ ὁ καιρὸς καὶ ἐν πολέμῳ ἐστὶ καὶ ἐν νόσῳ, οὐ τῆς αὐτῆς δὲ ἐπιστήμης· ἀλλ' ὁ μὲν ἰατρικὸς τὸν ἐν τῇ νόσῳ καιρόν, ὁ δὲ στρατηγικὸς τὸν ἐν τῷ πολέμῳ γινώσκει. καὶ τὸ σύμμετρον, ὅ ἐστι τοῦ ποσοῦ, καὶ ἐν τροφῇ καὶ ἐν πόνοις· καὶ τὸ μὲν γυμναστικῆς, τὸ δὲ ἰατρικῆς εἰδέναι. ἔτι ἐπεὶ ἐν τῷ ἀνθρώπῳ καὶ ἐν τῷ αὐτοανθρώπῳ εἷς καὶ ὁ αὐτὸς ὁρισμός ἐστι, καὶ ἐν τῷ ἵππῳ καὶ ἐν τῷ αὐτοΐππῳ, τῇ ἰδέᾳ δηλονότι (εἰ γὰρ διάφορος, πῶς ἂν εἴη αὐτοῦ ἰδέα;), φανερὸν ὅτι οὐδὲν διαφέρει ὁ ἄνθρωπος ᾗ ἄνθρωπος τοῦ αὐτοανθρώπου· καὶ ἐπὶ πάντων ὁμοίως· ὥστε καὶ τὸ ἀγαθὸν ᾗ ἀγαθὸν οὐδὲν διαφέρει τοῦ αὐτοαγάθου. φανερὸν γάρ, ὅτι οὐ διοίσουσιν ὡς ἀγαθά, ὅτι τὸ μὲν αὐτοάγαθον ἀΐδιον, τὸ δὲ οὔ, ὥσπερ οὐδὲ τὸ πολυχρόνιον λευκὸν τοῦ ἐφημέρου λευκότερον. οὐκ ἄρα οὔτε ἄλλου τινὸς τῶν ὄντων ἰδέα ἐστὶν ὑπὲρ αὐτὸ οὔτε τοῦ ἀγαθοῦ. οἱ δὲ Πυθαγόρειοι πιθανώτερον ἐοίκασι λέγειν περὶ τοῦ ἀγαθοῦ· οὐ γὰρ ἓν ἔλεγον τὸ ἀγαθόν, ἀλλὰ τὸ ἀνάπαλιν τὸ ἓν ἐν τῇ τῶν ἀγαθῶν ἔταξαν συστοιχίᾳ, οἷς δὴ καὶ Σπεύσιππος ἀκολουθῆσαι δοκεῖ. ἡ δὲ συστοιχία τῶν ἀγαθῶν, ἣν ἔλεγον, αὕτη· τὸ πέρας τὸ περισσὸν τὸ ἓν τὸ δεξιὸν τὸ ἄρρεν τὸ εὐθὺ τὸ φῶς τὸ

4 καὶ τὸ ὕστερον h 18 καὶ καθόλου Bh: καθόλου Aristoteles 37 οὐ γὰρ — τῶν ἀγαθῶν (38) B: τὸ γὰρ ἓν ἐν ᾗ ἔλεγον τοῦ ἀγαθοῦ h

τετράγωνον τὸ ἠρεμοῦν τὸ ἀγαθόν· ἡ τινι ἑτέραν ἐποίουν ἀντικειμένην τὸ 17 ἄπειρον τὸ ἄρτιον τὸ πλῆθος τὸ ἀριστερὸν τὸ θῆλυ τὸ καμπύλον τὸ σκότος τὸ ἑτερόμηκες τὸ κινούμενον τὸ κακόν.

Ὅτι οὐκ ἔστιν ἰδέα μία τῶν καθ' ἑαυτὰ ἀγαθῶν. κεφ. θ'.

Ἀλλὰ περὶ μὲν τούτων ἄλλος ἔσται λόγος· ἐροῦμεν δὲ ἔτι περὶ τοῦ ἀγαθοῦ ἀκριβέστερον. τὰ γὰρ εἰρημένα δεῖταί τινος ἐξετάσεως καὶ ἀκριβείας διὰ τὸ μὴ περὶ παντὸς ἀγαθοῦ κατὰ μέρος εἰρῆσθαι τοὺς λό- 10 γους. νῦν δὲ διελόντες ἀκριβέστερον ποιήσομεν τὸν λόγον. διπλῶς τοίνυν λέγεται τὸ ἀγαθόν· τὰ μὲν γὰρ δι' ἑαυτά εἰσιν ἀγαθὰ καὶ δι' ἑαυτὰ ζητοῦνται καὶ ἀγαθὰ λέγονται καὶ ἀγαπῶνται, τὰ δὲ οὐ δι' ἑαυτὰ ἀλλὰ δι' ἐκεῖνα· διώκονται γάρ, ὅτι φυλακτικά εἰσι τῶν δι' ἑαυτὰ ἀγαθῶν ἢ ποιητικὰ ἢ τῶν ἐναντίων κωλυτικά. καὶ καθ' ἑαυτὰ μὲν ἀγαθὰ ὑγίεια καὶ ἀρετὴ τὸ φρονεῖν τὸ ὁρᾶν, οὐ δι' ἑαυτὰ δὲ ἀσκήσεις, ἃ πρὸς ἀρετὴν φέρει, γυμνάσια φαρμακεῖαι, ἃ τῆς ὑγιείας ἕνεκα ζητοῦνται. ταῦτα δὲ καὶ ὠφέλιμα καλοῦνται. διελόντες οὖν ἀπὸ τῶν ὠφελίμων τὰ ἀγαθά, ἃ καθ' 20 ἑαυτά εἰσι, σκεψώμεθα εἰ μία ἰδέα τούτων ἐστί· φαίνεται τοίνυν μάταιον εἶναι, ἰδέαν λέγειν τῶν καθ' ἑαυτὰ ἀγαθῶν. τί γὰρ ἂν τούτων καὶ διαφέροι, εἴπερ καὶ ταῦτα καθ' ἑαυτά εἰσιν ἀγαθὰ καθάπερ ἐκείνη; τὸ γὰρ φρονεῖν καὶ ὁρᾶν καὶ ἡδοναί τινες, αἱ σώφρονες, καὶ τιμαί, εἰ καὶ δι' ἄλλα ζητοῦνται, ἀλλ' ὅμως καὶ χωρὶς τῆς ἐκείνων προσθήκης | αὐτὰ δι' ἑαυτὰ 18 καὶ αἱρετά εἰσι καὶ διωκτά· ὥστε κατὰ τοῦτο καθ' ἑαυτὰ ἀγαθά εἰσι. καὶ οὐ μόνῃ τῇ ἰδέᾳ τοῦτο δώσομεν. ἔτι εἰ ἔστιν ἰδέα μία τῶν καθ' ἑαυτὰ ἀγαθῶν, αὐτὸς ὁ ὁρισμὸς τοῦ ἀγαθοῦ ⟨ἐφαρμόσει πᾶσι· καθάπερ ὁ αὐτὸς⟩ ἐφαρμόζει λόγος ὁ τῆς λευκότητος ἔν τε χιόνι καὶ ψιμμυθίῳ· ἀλλ' οὐκ ἔστι. φρονήσεως γὰρ καὶ ἡδονῆς, καθ' ὃ ἀγαθά, διάφοροι οἱ ὁρισμοί· ἄλλο γὰρ τὸ τῆς ἡδονῆς ἀγαθὸν καὶ ἄλλο τὸ τῆς φρονήσεως.

Ὅτι τὰ ἀγαθὰ κατ' ἀναλογίαν ἑνὶ ὀνόματι λέγονται· καὶ ὅτι 10 οὐδεμία βοήθεια τῷ ἠθικῷ ἀπὸ τοῦ τὴν ἰδέαν αὐτὸν εἰδέναι. κεφ. ι'.

Ἐπεὶ δὲ τὰ ἀγαθά, καθὼς εἴρηται, οὐ συνωνύμως λέγονται (οὐ γὰρ τὸν αὐτὸν ἔχουσιν ὁρισμόν), ζητητέον πῶς λέγονται. ἢ γὰρ ὁμωνύμως ἢ ὡς τὰ ἀφ' ἑνὸς ἢ πρὸς ἓν συντελοῦντα ἢ κατὰ ἀναλογίαν· ὥσπερ λέγεται ὁ νοῦς ὀφθαλμός, ὅτι τὸν αὐτὸν λόγον ἔχει πρὸς τὴν ψυχήν, ὃν ὁ ὀφθαλμὸς πρὸς τὸ σῶμα. δοκεῖ δὲ τὰ ἀγαθὰ κατὰ ἀναλογίαν ἑνὶ ὀνόματι λέγεσθαι. καθάπερ γὰρ ψυχὴν ἀγαθὴν λέγομεν, οὕτω καὶ χρόνον καὶ τόπον·

3 post finem capitis bonorum et malorum tabulas repetit B, illis ἡ τῶν ἀγαθῶν συστοιχία, his ἡ τῶν κακῶν συστοιχία inscribens 4 κεφ. θ'] κε. η' Bh 5 ἔσται Bh, ut Arist. KbMb: ἔστω Arist. vulg. 23 ἐφαρμόσει — ὁ αὐτὸς b: om. B 29 κεφ. ι'] κε. θ' Bh

ἔχει γὰρ ἀνάλογον· καὶ ὅπερ ἐν ψυχῇ ἀρετή, τοῦτο ἐν χρόνῳ καιρὸς καὶ ἐν τόπῳ δίαιτα καὶ ἐν ποσῷ συμμετρία. ἀλλὰ ταῦτα μὲν ἀφετέον νῦν· ἐξακριβοῦν γὰρ ὑπὲρ αὐτῶν ἄλλῃ ἂν εἴη φιλοσοφίᾳ οἰκειότερον· οὐ γὰρ τῇ ἠθικῇ ταῦτα προσήκει. ὁμοίως δὲ καὶ τὸ περὶ τῆς ἰδέας λέγειν καθόλου· θεολογικοῦ γάρ τινος καὶ τοῦτο καὶ οὐδὲν συντελεῖ τῷ ζητοῦντι τὸ πολιτικὸν ἀγαθόν. | ἡ γὰρ ἰδέα τοῦ ἀγαθοῦ εἰ καὶ ἔστιν, ἥτις κοινῇ τῶν 19
ἄλλων καὶ καθόλου κατηγορεῖται καὶ χωριστὸν τῶν ἄλλων καὶ καθ' ἑαυτὸ ὑφεστός, δῆλον ὡς οὐκ ἂν εἴη δυνατὸν ἀνθρώπῳ πρᾶξαι τοῦτο ἢ κτήσασθαι· ἡμῖν δὲ περὶ τοιούτου ἀγαθοῦ ὁ λόγος. ἐν αὐτῷ γὰρ καὶ τὴν εὐδαιμονίαν συστῆναι δυνατόν· εὐδαιμονεῖ γάρ τις ἐν ᾧ ἔπραξεν ἢ ἐν ᾧ ἐκτήσατο. ὥστε οὐκ ἂν εἴη προσῆκον ἡμῖν περὶ τοῦ μὴ τοιούτου λέγειν· τάχα δέ τῳ δόξειεν ἂν τοὐναντίον, βέλτιον εἶναι μᾶλλον καὶ συμφορώτερον εἰς τὸ πρᾶξαι καὶ κτήσασθαι τὰ κτητὰ καὶ πρακτὰ ἀγαθά, τὸ εἰδέναι αὐτὴν τὴν ἰδέαν τοῦ ἀγαθοῦ· καθάπερ γὰρ παραδείγματι χρώμενοι ταύτῃ γνωσόμεθα, ποῖα τῶν πρακτῶν καὶ κτητῶν εἰσιν ἡμῖν ἀγαθά· κἂν εἰδῶμεν, ἐπιτευξόμεθα αὐτῶν. πιθανότητα μὲν οὖν ἔχει τινὰ οὗτος ὁ λόγος· ἔοικε δὲ ταῖς ἐπιστήμαις διαφωνεῖν· πᾶσαι γὰρ αἱ ἐπιστῆμαι ἀγαθοῦ τινος ἐφίενται καὶ τὸ ἐνδεὲς ἀναπληρῶσαι ἐπιζητοῦσιν, ὥσπερ ἰατρικὴ μὲν τὸ ἐλλεῖπον τῆς ὑγιείας, γυμναστικὴ δὲ τῆς ἰσχύος καὶ τῆς ἀνδρίας. οὕτω δὲ ἔχουσαι πρὸς τὴν ζήτησιν τοῦ ἀγαθοῦ, τοῦ καθόλου τούτου ἀγαθοῦ τὴν γνῶσιν παραλιμπάνουσιν· οὐκ ἂν δὲ παρελίμπανον, εἰ βοήθειά τις ἦν αὐταῖς ἀπ' αὐτοῦ. βοήθημα γὰρ τηλικοῦτον ἅπαντας ἀγνοεῖν τοὺς τεχνίτας καὶ μὴ ἐπιζητεῖν, οὐκ εὔλογον. ὥστε καὶ διὰ τοῦτο ματαίαν τινὰ τὴν ἰδέαν εἶναι. ἄπορον δὲ καὶ τί ὠφεληθήσεται ὑφάντης ἢ τέκτων πρὸς τὴν αὑτοῦ τέχνην, εἰ γινώσκει αὐτὸ τὸ ἀγαθὸν τὸ καθόλου, ἢ ἰατρὸς πῶς ἰατρικώτερος ἔσται ἢ στρατηγὸς πῶς ἂν γένοιτο στρατηγικώτερος, ὁ τὴν ἰδέαν αὐτὴν τοῦ ἀγαθοῦ τεθεαμένος· οὐ γὰρ τὸ καθόλου ὁ τεχνίτης σκοπεῖ, ὥσπερ ὁ ἰατρὸς οὐ τὴν καθόλου ὑγίειαν σκοπεῖ ἀλλὰ τὴν τοῦ ἀνθρώπου, μᾶλλον δὲ οὐδὲ τοῦ καθόλου ἀνθρώπου ἀλλὰ τὴν τοῦ ἀτόμου· καθ' ἕκαστον γὰρ ἰατρεύει.

Ὅτι τέλειόν ἐστιν ἀγαθὸν τὸ ζητούμενον τῇ πολιτικῇ τέλος καὶ αὔταρκες. κεφ. ια'.

Καὶ περὶ μὲν τούτων ἐπὶ τοσοῦτον εἰρήσθω. πάλιν δὲ ἐπανέλθωμεν ἐπὶ τὸ ζητούμενον, καὶ σκοπῶμεν τί ποτ' ἂν εἴη· λέγω δὴ τὸ ζητούμενον τῇ πολιτικῇ τέλος. ἔστι μὲν γὰρ ἄλλο ἐν ἄλλῃ τέχνῃ ἀγαθόν· ἄλλο γὰρ ἐν ἰατρικῇ καὶ ἄλλο ἐν στρατηγικῇ καὶ ταῖς λοιπαῖς ὁμοίως· ἑκάστῃ δὲ ἀγαθὸν τὸ τέλος ἐστίν, οὗ ἕνεκα τὰ ἄλλα ποιεῖ. ὥσπερ ἐν ἰατρικῇ μὲν ὑγίεια τὸ ἀγαθὸν καὶ ἐν στρατηγικῇ νίκη καὶ ἐν οἰκοδομικῇ

24 δὲ om. h 28 ἰατρός. οὐ γὰρ τὴν h 32 κεφ. ια'] κε. ι' Bh 38 οἰκοδομικῇ h: οἰκοδομῇ B

οἰκία. ἐπεὶ τοίνυν ἐν πάσῃ πράξει καὶ τέχνῃ ἐκεῖνό ἐστι τὸ ἀγαθόν,
οὗ ἕνεκα τὰ ἄλλα γίνεται, τὸ τέλος δηλονότι, καὶ καθόλου εἰ εὑρήσομεν
τὸ τέλος πασῶν τῶν πράξεων, οὗ ἕνεκα πάσας ποιοῦμεν, τοῦτο ἂν εἴη τὸ
ἐν πάσαις ταῖς πράξεσιν ἀγαθόν· καὶ καθάπερ ἰατρικὸν ἀγαθὸν τὸ τέλος
ἐστὶ τῆς ἰατρικῆς καὶ στρατηγικὸν τὸ τέλος τῆς στρατηγικῆς, οὕτω καὶ 20
πρακτικόν τι ἔσται ἀγαθὸν τὸ τέλος πασῶν τῶν πράξεων. εἰ δὲ καὶ μὴ
ἓν ἀλλὰ πλείω εἴη, ταῦτα ἂν εἴη τὰ πρακτὰ ἀγαθά. τοῦτο δὲ τί ἐστι,
πειρατέον ἔτι διασαφῆσαι· οὔπω γάρ τι περὶ αὐτοῦ σαφὲς εἴπομεν ἀλλ'
ἔτι ζητοῦμεν τί ἐστι· μεταβαίνων γὰρ ὁ λόγος οὐδὲν ἤνυσε πλέον ἀλλ'
εἰς τὸ αὐτὸ ἀφίκετο, ὃ καὶ ἐν τοῖς προοιμίοις ἐλέγομεν, ὅτι τὸ πάσης
πράξεως τέλος τοῦτο ἂν εἴη τὸ | ἀγαθὸν καὶ τὸ ἄριστον. ἐπεὶ τοίνυν πολλὰ 21
φαίνεται τῶν πράξεων τὰ τέλη, τούτων δέ τινα οὐ δι' ἑαυτὰ αἱρούμεθα,
ἀλλὰ δι' ἕτερα τέλη ἄλλων ἐπιστημῶν τῶν ἀρχιτεκτονικῶν, καθὼς εἴρηται,
καί εἰσι χρήσιμα πρὸς ἐκεῖνα, ὥσπερ ὁ πλοῦτος, ὃ τοῦ χρηματιστοῦ ἐστι
τέλος, χρησιμεύει τῷ πολιτικῷ εἰς τὸ ἴδιον τέλος, καὶ ὁ αὐλὸς τέλος μὲν
τοῦ αὐλοποιοῦ, χρήσιμον δὲ τῷ αὐλητῇ διὰ τὸ αὐλεῖν, ὁμοίως δὲ καὶ
πάντα τὰ ὄργανα. ἐπεὶ τοίνυν εἰσί τινα τῶν τελῶν μὴ δι' ἑαυτὰ ἀγαθά,
οὐκ ἂν εἴη πάντα τὰ τέλη τέλεια. τὸ δὲ ἀγαθόν, οὗ ἕνεκα πάντα πράτ- 10
τομεν, τέλειον δεῖ εἶναι· ὥστε οὐκ ἂν εἴη ἓν τῶν τοιούτων τελῶν, ἅπερ
ἀτελῆ εἰσιν. ἀλλ' εἰ μὲν πολλά εἰσι τὰ τέλεια, τὸ τελειότατον τούτων·
εἰ δὲ ἕν, ἐκεῖνό ἐστι τὸ ζητούμενον ἐν πάσαις ταῖς ἀνθρωπίναις πράξεσιν
ἀγαθόν. καὶ τὸ μὲν δι' ἑαυτὸ ζητούμενον τοῦ δι' ἄλλο ζητουμένου τε-
λειότερον λέγομεν· πάλιν δὲ ἐπεί τινα τῶν ἀγαθῶν καὶ δι' ἑαυτὰ καὶ δι'
ἄλλα ζητοῦνται, ὥσπερ τὸ ὑγιαίνειν καὶ τὸ φρονεῖν, τελειότερον τούτων
ἐστίν, ὅπερ δι' ἑαυτὸ μόνον ζητεῖται, οὐδέποτε δὲ δι' ἄλλο· καὶ οὐ μόνον
κατὰ σύγκρισιν τελειότερον ἄλλου ἀλλὰ καὶ ἁπλῶς τέλειον ἀγαθὸν τοῦτό 20
ἐστι. τοιοῦτον δὲ ἡ εὐδαιμονία μάλιστα εἶναι δοκεῖ· ταύτην
γὰρ αἱρούμεθα ἀεὶ δι' ἑαυτήν· τιμὴν δὲ καὶ ἡδονὴν καὶ φρόνησιν
καὶ πᾶσαν ἀρετὴν αἱρούμεθα μὲν δι' ἑαυτά (μηδενὸς γὰρ ἀποβαί-
νοντος ἄλλου ἀπὸ τῆς κτήσεως αὐτῶν ἑλοίμεθα ἂν ἕκαστον αὐτῶν).
αἱρούμεθα δὲ καὶ τῆς εὐδαιμονίας χάριν, διὰ τούτων ὑπολαμ-
βάνοντες εὐδαιμονήσειν. τὴν δὲ εὐδαιμονίαν οὐδεὶς αἱρεῖται
διὰ ταῦτα ἢ ὅλως δι' ἄλλο, ἀλλὰ μόνον δι' ἑαυτήν· ὥστε ἡ εὐδαιμονία
ἂν εἴη τὸ ζητού|μενον παρὰ τῶν ἀνθρωπίνων πράξεων ἀγαθόν. ἔτι δὲ καὶ 22
ἐκεῖθεν δῆλον· καὶ γὰρ τὸ τέλειον ἀγαθόν, ὃ ζητεῖται, αὔταρκες εἶναι δοκεῖ·
αὔταρκες δέ, ὃ ἀρκεῖ οὐ μόνον ἑνί τινι ζῶντι βίον μονώτην ἀλλὰ καὶ
γονεῦσι καὶ τέκνοις καὶ γυναικὶ καὶ ὅλως τοῖς φίλοις καὶ πολί-
ταις, ἐπεὶ καὶ τοῦ ἐν τούτοις ἀγαθοῦ ὁ ἄνθρωπος χρῄζει, φύσει πολιτι-
κὸς ὢν καὶ κοινωνικός. καὶ ὅλως αὔταρκές ἐστιν, ὃ μονούμενον ἄρκιον
καὶ αἱρετὸν ποιεῖ τὸν βίον καὶ μηδενὸς ἐνδεᾶ· τοιοῦτον δὲ τὴν
εὐδαιμονίαν οἰόμεθα εἶναι. φαίνεται ἄρα τὸ ζητούμενον ἀγαθὸν τὴν 10
εὐδαιμονίαν εἶναι. ἔτι τὴν εὐδαιμονίαν οὐ λέγομεν συναριθμεῖσθαι τοῖς

38 χρῆσαι b

ἄλλοις ἀγαθοῖς· τῶν γὰρ αἱρετῶν ἡγούμεθα εἶναι τὸ ἄκρον· καὶ εἰ σύ-
στοιχον αὐτὴν τοῖς ἄλλοις ποιήσομεν ἀγαθοῖς, φανερὸν ὅτι, εἰ προσθήσομέν
τι τῶν ἄλλων αὐτῇ, αἱρετωτέραν ποιήσομεν. καὶ οὕτως οὐκ ἂν εἴη αὐτὴ
τὸ ἄκρον τῶν αἱρετῶν· τὸ γὰρ προστιθέμενον τῶν ἀγαθῶν μετὰ τῆς εὐδαι-
μονίας ἀγαθόν τι ἀποτελέσει τῆς εὐδαιμονίας αἱρετώτερον· τοιοῦτον δὲ
καὶ τὸ ζητούμενον ἀγαθόν ἐστιν, οὐ συναριθμούμενον τοῖς ἄλλοις ἀλλὰ τῶν
αἱρετῶν ἄκρον ὑπάρχον· τέλειον γάρ ἐστι· τὸ δὲ τέλειον αἱρετώτατον· ἀεὶ 20
γὰρ τὸ τελειότερον ἀγαθὸν μᾶλλον αἱρούμεθα· ἡ ἄρα εὐδαιμονία ἐστὶ τὸ
ζητούμενον τέλος. ἔχει δέ τινα ἀπορίαν ὁ περὶ τοῦ αὐτάρκους λόγος. εἰ
γὰρ τότε τὸ ἀγαθὸν αὐταρκές τινι, ὅταν αὐτῷ καὶ πᾶσι τοῖς οἰκείοις ἀρ-
κέσῃ καὶ τοῖς πολίταις καὶ τοῖς φίλοις καὶ ἔτι τοῖς οἰκείοις καὶ συγγενέσιν
ἐκείνων, ἐπεὶ τοῦτο εἰς ἄπειρον πρόεισιν, οὐκ ἂν συσταίη τὸ αὔταρκες
ἀγαθόν. ὥστε ἀνάγκη λαβεῖν τινα ὅρον τῶν οἰκείων, ἐφ' οὓς δεῖ προϊέναι
τὸ ἀγαθόν. ἀλλὰ | τοῦτο μὲν εἰσαῦθις ἐπισκεπτέον· λέγωμεν δὲ περὶ τοῦ 23
προκειμένου.

Ὅτι ἐν τῇ κατὰ λόγον τοῦ ἀνθρώπου ζωῇ ἡ εὐδαιμονία συνί-
σταται καὶ ἔστι ψυχῆς ἐνέργεια κατ' ἀρετὴν ἐν βίῳ τελείῳ.
κεφ. ιβ'.

Τὸ μὲν οὖν λέγειν τὴν εὐδαιμονίαν αὐτὸ εἶναι τὸ ζητούμενον τῇ πολι-
τικῇ ἀγαθὸν τὸ ἄριστον, ὁμολογούμενόν τι φαίνεται. ποθεῖται δὲ λεχθῆναι
περὶ αὐτῆς ἐναργέστερον, τί ἐστι. τοῦτο δὲ γένοιτ' ἄν, εἰ τὸ ἔργον εὑρή-
σομεν τοῦ ἀνθρώπου, καθ' ὅ ἐστιν ἄνθρωπος. ὥσπερ γὰρ παντὸς τεχνί- 10
του ἀγαθὸν ἐν τῷ ἔργῳ αὐτοῦ ἐστι, καὶ αὐλητοῦ μὲν ἐν τῷ αὐλεῖν, ἀγαλ-
ματοποιοῦ δὲ ἐν τῷ ἀγάλματι, καὶ ὅλως ἐπὶ παντὸς ἔργου καὶ πράξεως
οὕτως ἔχει, οὕτω καὶ τὸ ἀνθρώπινον ἀγαθὸν ἐν τῷ ἔργῳ αὐτοῦ ἐστιν,
εἴπερ τι ἔργον ἐστὶ τοῦ ἀνθρώπου, καθ' ὅ ἐστιν ἄνθρωπος. πότερον
οὖν τέκτονος μὲν καὶ σκυτέως ἐστὶν ἔργα τινὰ καὶ πράξεις, ἀν-
θρώπου δὲ οὐδέν ἐστιν, ἀλλ' ἀργὸν πέφυκεν; ἢ καθάπερ ὀφθαλ-
μοῦ καὶ χειρὸς καὶ ποδὸς καὶ ὅλως ἑκάστου τῶν μορίων φαί-
νεταί τι ἔργον, οὕτω καὶ ἀνθρώπου παρὰ πάντα ταῦτα θείη τις
⟨ἄν⟩ ἔργον τι. τί οὖν ἐστι τὸ τοῦ ἀνθρώπου ἔργον; τὸ μὲν οὖν ζῆν 20
κοινόν ἐστι καὶ τοῖς φυτοῖς, ἡμεῖς δὲ τὸ ἴδιον τοῦ ἀνθρώπου ζητοῦμεν,
ὥστε ἐατέον τὸν περὶ τούτου λόγον. ἐπεὶ δὲ μετὰ τὴν θρεπτικὴν καὶ
αὐξητικὴν ζωήν, τὴν φυτικὴν δηλονότι, ἑπομένη ἐστὶν ἡ αἰσθητική, ἔγγιον
γὰρ τῆς λογικῆς, σκεπτέον καὶ περὶ αὐτῆς. ἀλλὰ καὶ αὕτη κοινὴ καὶ
ἵππῳ καὶ βοῒ καὶ παντὶ ζώῳ. ὥστε οὐδὲ αὐτή ἐστι τὸ ζητούμενον
ἔργον τοῦ ἀνθρώπου. λείπεται δὴ ἡ ἐν λόγῳ πρακτικὴ ζωή. καὶ αὕτη
δὲ διπλῆ τις | φαίνεται. τὸ μὲν γὰρ αὐτῆς ἄλογον μέν, ἐπιπειθὲς δὲ καὶ 24

6 ἀλλὰ B: καὶ h 13 ὥστε h: ὥσπερ B 18 κεφ. ιβ'] κε. ια Bh 31 ἂν ex Arist. inserui

ὑπεῖκον τῷ λόγῳ· τὸ δὲ λόγον ἔχον καὶ διανοούμενον. καὶ τὸ μὲν λόγον ἔχον καὶ διανοούμενον τάττει καὶ ῥυθμίζει, τὸ δὲ ἄλογον τάττεται καὶ ῥυθμίζεται. ὥστε τὸ λογικὸν κυριώτερον ἀνθρωπίνη ἐνέργειά ἐστιν, ἐπεὶ καὶ τοῦτό ἐστιν ἐνέργεια· θάτερον γὰρ παθητικὸν λέγεται. ἔστι τοίνυν ἔργον ἀνθρώπου ψυχῆς ἐνέργεια κατὰ λόγον, ὅταν διανοῆται, ἢ οὐκ ἄνευ λόγου, ὅταν κατὰ τὸ παθητικὸν μέρος κινῆται μετὰ λόγου. ἐπεὶ τοίνυν ἐνέργειά ἐστιν ἀνθρωπίνη ἡ κατὰ λόγον, εἰ καὶ εὖ καὶ καλῶς γίνοιτο, οὐδὲν κωλύει ἀνθρωπίνην ἐνέργειαν πάλιν εἶναι· οὐ γὰρ ἑτερογενῆ τὸ τοῦ κιθαριστοῦ ἔργον καὶ τὸ τοῦ σπουδαίου κιθαριστοῦ· κιθαριστοῦ μὲν ⟨γὰρ⟩ τὸ κιθαρίζειν, σπουδαίου δὲ τὸ εὖ κιθαρίζειν· καὶ οὐκ εἰσὶν ἑτερογενῆ, ὥσπερ οὐδὲ ὁ ἵππος τοῦ ἀγαθοῦ ἵππου ἕτερος τῷ γένει. εἰ δ' οὕτω ταῦτα, ἀνθρώπου δὲ τίθεμεν ἔργον ζωήν τινα, ταύτην δὲ ψυχῆς ἐνέργειαν καὶ πράξεις μετὰ λόγου, σπουδαίου ἀνθρώπου ἂν εἴη ἔργον τὸ εὖ καὶ καλῶς κατὰ λόγον ἐνεργεῖν. εὖ δέ τι καὶ καλῶς γίνεται ἕκαστον κατὰ τὸ προσῆκον αὐτῷ ἀγαθόν, καὶ ἡ ἀνθρωπίνη ἄρα ἐνέργεια εὖ καὶ καλῶς ἔσται κατὰ τὸ προσῆκον αὐτῷ ἀγαθόν. τὸ δὲ προσῆκον αὐτῷ ἀγαθὸν ἡ ἀρετή ἐστιν, ὥστε τὸ ἀνθρώπινον ἀγαθὸν ἐκεῖνο ἂν εἴη, ψυχῆς ἐνέργεια κατ' ἀρετήν· εἰ δὲ πολλαὶ αἱ ἀρεταί, κατὰ τὴν ἀρίστην αὐτῶν καὶ τελειοτάτην. εὕρηται ἄρα τὸ ἀνθρώπινον ἀγαθόν. τὸ δὲ ἐν ἑκάστῳ ἀγαθὸν τὸ τέλος ἐστίν, ὥσπερ εἴρηται. εὕρηται ἄρα τὸ τέλος τῶν ἀνθρωπίνων πράξεων. τὸ δὲ τέλος τῶν ἀνθρωπίνων πράξεων ἐδείχθη ταὐτὸν τῇ εὐδαιμονίᾳ· ἡ εὐδαιμονία ἄρα εὕρηται, ὅπερ ἔδει ποιῆσαι. ἔτι δὲ προσήκει τὸ ἀνθρώπινον ἔργον, εἰ μέλλοι πάντη τέλειον εἶναι, ἐν βίῳ εἶναι τελείῳ· μία γὰρ χελιδὼν ἔαρ οὐ ποιεῖ οὐδὲ μία ἡμέρα· οὕτω δὲ οὐδὲ μακάριον καὶ εὐδαίμονα μία ἡμέρα οὐδὲ ὀλίγος χρόνος. ὡρίσθω μὲν οὖν τὸ ἀγαθὸν τὸ ἀνθρώπινον ἡ εὐδαιμονία τοῦτον τὸν τρόπον, ψυχῆς ἐνέργεια κατ' ἀρετὴν ἐν βίῳ τελείῳ. δεῖ γὰρ ἴσως ὑποτυπῶσαι πρῶτον, εἶτα τελείως γράψαι καθάπερ εἰκόνα τὸν περὶ τοῦ ἀγαθοῦ λόγον. τὸ δὲ τὰ καλῶς τυπωθέντα προαγαγεῖν εἰς τὸ βέλτιον καὶ διαρθρῶσαι δόξειεν ἂν εὔκολον εἶναι καὶ τοῦ βουλομένου παντός· συντελεῖ γὰρ καὶ ὁ χρόνος, εὑρετὴς ὢν καὶ συνεργὸς ἀγαθὸς τῶν τοιούτων. ἀπὸ τούτου γὰρ καὶ αἱ τῶν τεχνῶν ἐπιδόσεις γεγόνασι· παντὸς γὰρ προσθεῖναι τὸ ἐλλεῖπον.

Ὅτι ⟨δεῖ⟩ κατὰ τὸ προσῆκον τῇ ὕλῃ τοὺς περὶ αὐτῆς λόγους ἀπαιτεῖν. καὶ ὅτι οὐκ ἐν ταῖς ἀρχαῖς τὸ διότι ζητήσομεν.

κεφ. ιγ΄.

Χρὴ δὲ καὶ τῶν προειρημένων λόγων μεμνῆσθαι καὶ τὴν ἀκρίβειαν μὴ ὁμοίως ἐν ἅπασιν ἀπαιτεῖν, ἀλλ' ἐν ἑκάστοις κατὰ τὴν ὑπο-

10 γὰρ h et Arist.: om. B 30 εὔκολον B: εὔλογον h 34 δεῖ h: om. B
36 κεφ. ιγ΄] κε. ιβ̅ Bh

κειμένην ὕλην καὶ ἐπὶ τοσοῦτον, ἐφ' ὅσον οἰκεῖον τῇ μεθόδῳ. καὶ τέκτων καὶ γεωμέτρης οὐχ ὁμοίως ἐπιζητοῦσι τὴν ὀρθήν· ἕκαστος γὰρ ἐφ' ὅσον οἰκεῖον τῇ προκειμένῃ μεθόδῳ· ὁ μὲν γὰρ τέκτων τοσοῦτον ἐπιζητεῖ, ὅσον χρησιμεῦσαι αὐτῷ πρὸς τὸ ἔργον, ὁ δὲ γεωμέτρης αὐτὴν τὴν ὀρθὴν ζητεῖ, τί ἐστι καὶ ποῖόν τι· οὐ γὰρ ἔργον τι κατασκευάσαι βούλεται δι' αὐτῆς ἀλλὰ τὸν ἀληθῆ ζητεῖ περὶ αὐτῆς λόγον. τὸν αὐτὸν 26
δὴ τρόπον καὶ ἐν τοῖς ἄλλοις ποιητέον, ὅπως μὴ τὰ πάρεργα τῶν ἔργων πλείω γίνηται. εἰ γὰρ τὸν τέκτονα ἀπαιτήσομεν τὸν περὶ τῆς ὀρθῆς λόγον, ὅπερ πάρεργόν ἐστιν αὐτῷ πρὸς τὸ ἔργον, πλείονος ζητήσεως αὐτῷ δεήσει ἢ τὰ πρὸς τὰ τέχνης ἔργα. οὐκ ἀπαιτητέον δὲ οὐδὲ τὴν αἰτίαν ὁμοίως ἐν ἅπασιν. ἱκανὸν γὰρ ἔν τισιν, εἰ δειχθεῖεν καλῶς ὅτι εἰσὶ καὶ εἰ μὴ προσθήσομεν τὸ διότι. τοῦτο δὲ συμβαίνει καὶ περὶ τὰς ἀρχὰς τῶν ἐπιστημῶν· ἐν αὐταῖς γὰρ οὐ τὸ διότι ζητήσομεν ἀλλὰ τὸ ὅτι μόνον. καὶ τοῦτο ἐν πάσαις ταῖς ἐπιστήμαις ἀρχή ἐστιν· εἰ 10
γὰρ ζητήσομεν τῶν ἀρχῶν αἰτίαν, οὐδέποτε ἀρξόμεθα ἀλλ' ἐπ' ἄπειρον βαδιούμεθα. φανερὸν δὲ γίνεται ἐν ταῖς ἀρχαῖς τὸ ὅτι ἢ ἐπαγωγῇ ἢ αἰσθήσει ἢ ἐθισμῷ· ἐπαγωγῇ μέν, ὥσπερ τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα· δείξομεν γὰρ ἀριθμούς τινας καὶ μεγέθη εἰσαγαγόντες· ἐπαγωγὴ γάρ ἐστιν ἡ ἀπὸ τῶν μερικῶν δεῖξις· αἰσθήσει δέ, ὅταν δεικνύῃ ὁ φυσικὸς τὸ πῦρ θερμὸν καὶ τὸ ὕδωρ ψυχρόν, ἅτινα ἀρχαί εἰσι τῆς ἐπιστήμης. ἐθισμῷ δὲ αἱ ἀρχαὶ τοῦ ἠθικοῦ γινώσκονται. καὶ γὰρ ἀδύνατον εἰς γνῶσιν ἐλθεῖν τῶν περὶ ἀρετῆς λόγων μὴ ἐν ἔθει γενόμενον τῶν σπουδαίων πρά- 20
ξεων, ὡς ἐν τῷ ϛ̄ εἴρηται κεφαλαίῳ. πειρατέον δὲ μετέρχεσθαι ἑκάστην τῶν ἀρχῶν καθὼς πέφυκε δείκνυσθαι, καὶ σπουδαστέον, ὅπως δι' ὁρισμοῦ φανῶσι καλῶς. μεγάλην γὰρ παρέχουσι βοήθειαν ταῖς ἀποδείξεσι ταῖς ἑπομέναις αὐταῖς. καὶ διὰ τοῦτο φαίνεται πλέον ἢ τὸ ἥμισυ τῆς ἀποδείξεως δύνασθαι τὴν ἀρχήν, καὶ πολλὰ τῶν ζητουμένων ἐμφανῆ γίνεσθαι δι' αὐτῆς· ἐν γὰρ τῇ μείζονι προτάσει ἀεὶ ἡ ἀρχὴ παραλαμβάνεται· ἡ δὲ μείζων πρότασις τὸ πᾶν δύναται τῆς ἀποδείξεως σχεδόν. καὶ ἴσως εἰ καὶ 27
δι' ἄλλην αἰτίαν, ἀλλὰ καὶ διὰ τοῦτο μείζων καλεῖται.

Ὅτι οὐ πάντῃ ἀπᾴδουσιν οἱ λεγόμενοι περὶ τῆς εὐδαιμονίας παρὰ τῶν παλαιῶν λόγοι τῷ λεχθέντι αὐτῆς ὁρισμῷ. κεφ. ιδ'.

Ταῦτα μὲν οὖν καθόλου περὶ τῶν ἀρχῶν εἴρηται. περὶ δὲ τῆς προκειμένης ἡμῖν ἀρχῆς, τῆς εὐδαιμονίας δηλονότι, σκεπτέον ἔτι, οὐ μόνον τὸν ὁρισμὸν αὐτῆς ἐξετάσαντες καὶ τοὺς λόγους τοὺς συμπεράναντας αὐτόν, ἀλλὰ 10
καὶ τοὺς λεγομένους περὶ αὐτῆς παρὰ τῶν παλαιῶν ἀληθεῖς λόγους, εἰ συνᾴδουσι τῷ ὁρισμῷ. τῷ μὲν γὰρ ἀληθεῖ ὁρισμῷ καὶ πάντα συνᾴδει τὰ προσόντα τῷ ὁριστῷ καὶ διὰ τοῦτο καὶ τἄλλα τὰ λεγόμενα περὶ αὐ-

4 χρησιμεύσει Mullach 5 τὴν om. h 14 ταῖς om. h 15 ἀρχῶν h: ἀρχαίων B
32 κεφ. ιδ'] κε. ιγ̄ Bh 35 ἐξετάσαντες scripsi: ἐξετάσαντας Bh 38 τ' ἄλλα h: πάντα B

τοῦ. τῷ δὲ ψευδεῖ ταχὺ διαφωνεῖ τὸ ἀληθές. τῶν ἀγαθῶν τοίνυν
εἰς τρία διαιρουμένων καὶ τῶν μὲν λεγομένων ἐκτός. τῶν δὲ περὶ ψυχήν.
τῶν δὲ περὶ σῶμα, τὰ περὶ ψυχὴν ἀγαθὰ κυριώτατα καὶ μάλιστα ἀγαθὰ
κοινῇ πάντες λέγομεν. περὶ ψυχὴν δὲ λέγομεν ἀγαθὰ τὰς πράξεις καὶ
τὰς ἐνεργείας τὰς ψυχικάς. οὐκοῦν αἱ ψυχικαὶ πράξεις καὶ ἐνέργειαι αἱ 20
ἀγαθαὶ κυριώτατα καὶ μάλιστά εἰσιν ἀγαθά. ἐν τῇ κατὰ ψυχὴν ἄρα ἀγαθῇ
ἐνεργείᾳ τὸ κυριώτατον καὶ μάλιστα ἀγαθὸν συνίσταται. τοῦτο δέ ἐστιν ἡ
εὐδαιμονία. ἔστιν ἄρα ἡ εὐδαιμονία ψυχῆς ἐνέργεια κατ' ἀρετὴν καὶ κατὰ
ταύτην τὴν δόξαν παλαιὰν οὖσαν καὶ ὁμολογουμένην ὑπὸ τῶν
φιλοσοφούντων. ὀρθῶς δὲ πράξεις τινὲς λέγονται καὶ ἐνέργειαι ἡ εὐ-
δαιμονία· οὕτω γὰρ ἂν εἴη τῶν περὶ ψυχὴν ἀγαθῶν καὶ οὐ τῶν ἐκ- 25
τός. διὰ τοῦτο καὶ ὁ εὐδαίμων εὖ πράττειν λέγεται καὶ εὖ ζῆν, ἃ ἐνέρ-
γειαν καὶ πρᾶξιν δηλοῦσι. φαίνεται δὲ ὅτι καὶ τὰ ζητούμενα παρὰ τῶν
ἀνθρώπων εἰς τὴν εὐδαιμονίαν ἐνυπάρχουσι τῷ λεχθέντι. τὰ ἐπιζητού-
μενα δὲ τοῖς μὲν ἀρετή, τοῖς δὲ φρόνησις, ἄλλοις δὲ σοφία τις· τοῖς
δὲ καὶ πάντα ταῦτα εὐδαιμονία εἶναι δοκεῖ. τοῖς δὲ τούτων τι μεθ' ἡδονῆς.
ἀλλὰ τῆς ἀπ' αὐτῶν τούτων τικτομένης· ἕτεροι δὲ καὶ τὴν ἐκτὸς εὐ- 10
ετηρίαν συμπαραλαμβάνουσι. τούτων δὲ τὰ μὲν πολλοὶ καὶ πα-
λαιοὶ λέγουσι, τὰ δὲ ὀλίγοι καὶ ἔνδοξοι ἄνδρες· ὧν οὐδετέρους εὔ-
λογον τῆς ἀληθείας ἐν πᾶσι διαμαρτάνειν, ἀλλὰ καθ' ἕν τι μόνον ἴσως.
ἐν τοῖς πλείστοις δὲ ἀληθεύειν. τοῖς μὲν οὖν λέγουσι πᾶσαν ἀρετὴν
τὴν εὐδαιμονίαν εἶναι ἢ τῶν ἀρετῶν τὴν ἀρίστην, συνῳδὸς ὁ ἡμέτερος
περὶ αὐτῆς λόγος. κατὰ γὰρ τὴν τῆς ἀρετῆς ἐνέργειαν ἡ εὐδαιμονία ἐστί.
διαφέρει δέ, ὅτι οἱ μὲν ἐν τῇ ἕξει καὶ κτήσει τῆς ἀρετῆς τὴν εὐδαιμονίαν 20
εἶναί φασιν, ἡμεῖς δὲ ἐν τῇ χρήσει καὶ τῇ ἐνεργείᾳ. διαφορὰ δέ ἐστιν
οὐκ ὀλίγη τοῦ ἐν κτήσει ἢ χρήσει τὸ ἄριστον ὑπολαμβάνειν καὶ
ἐν ἕξει ἢ ἐνεργείᾳ. τὴν μὲν γὰρ ἕξιν ἐνδέχεται ὑπάρχουσαν μηδὲν
ἀποτελεῖν. οἷον τῷ καθεύδοντι ἢ ἄλλως πως ἐξηργηκότι· τὴν δ'
ἐνέργειαν οὐχ οἷόν τε. πράξει γὰρ ἐξ ἀνάγκης ὁ τὴν ἐνέργειαν
ἔχων· καὶ εἰ τὴν ἀγαθὴν ἐνεργείαν ἔχει, εὖ πράξει. τοῦτο δέ ἐστι τὸ
εὐδαιμονεῖν. ὥσπερ γὰρ Ὀλυμπίασιν οὐχ | οἱ κάλλιστοι καὶ ἰσχυρό- 29
τατοι στεφανοῦνται ἀλλ' οἱ ἀγωνιζόμενοι (τούτων γάρ τινες καὶ
νικῶσιν), οὕτω καὶ τῶν ἐν τῷ βίῳ καλῶν καὶ ἀγαθῶν οὐχ οἱ δυνάμενοι
πράττειν ὀρθῶς, ἀλλ' οἱ πράττοντες ὀρθῶς ἐπήβολοι γίνονται.

Ὅτι ἥδιστος δι' ἑαυτόν ἐστιν ὁ κατ' ἀρετὴν βίος καὶ μάλιστα ἀγαθὸς καὶ καλός. κεφ. ιε'.

Ἔστι δὲ καὶ ὁ βίος αὐτῶν καθ' ἑαυτὸν ἡδύς. οὐκ ἔξωθεν ἔχων
τὴν ἡδονήν. ἐπεὶ γὰρ τὸ ἥδεσθαι τῆς ψυχῆς ἐστιν. οὐδὲν κωλύει τὴν τῆς 10

28 ἢ ἄλλως πως Bh et Arist. Mb: ἢ καὶ ἄλλως πως Arist. vulg. 32. 33 καὶ νικῶσιν Bh et Arist. Mb: νικῶσιν Arist. vulg. 36 κεφ. ιε'] κε' ιδ Bh

ψυχῆς κατ᾽ ἀρετὴν ἐνέργειαν μεθ᾽ ἡδονῆς εἶναι. ὅτι δὲ καὶ ἔστι, δῆλον.
ἐπεὶ γὰρ ἑκάστῳ ἐκεῖνό ἐστιν ἡδύ, πρὸς ὃ λέγεται φιλοτοιοῦτος. οἷον
ὁ ἵππος ἡδὺ τῷ φιλίππῳ καὶ θέαμα τῷ φιλοθεώρῳ, καὶ τῷ φιλαρέτῳ ἄρα
ἡδεῖα ἡ ἀρετὴ καὶ αἱ κατ᾽ αὐτὴν πράξεις. τὰ μὲν οὖν δοκοῦντα τοῖς
πολλοῖς ἡδέα μάχεται· ἄλλος γὰρ ἄλλο νομίζει ἡδὺ καὶ τὸ ἄλλο ἀηδές.
αἴτιον δέ, ὅτι οὐκ ἔστι φύσει ἡδέα. τοῖς δὲ φιλοκάλοις ἡδέα δοκεῖ τὰ καὶ
φύσει ἡδέα· ἀρίστοις γὰρ οὖσι τὰ ἀληθῶς ἡδέα διώκειν ἀκόλουθον· διώ- 20
κουσι δὲ τὰς κατ᾽ ἀρετὴν πράξεις. ὥστε δῆλον, ὅτι αἱ κατ᾽ ἀρετὴν πρά-
ξεις ἡδεῖαί εἰσι τοῖς φιλαρέτοις καὶ δι᾽ ἑαυτάς· τὸ γὰρ φύσει ἡδὺ οὐκ ἔστι
δι᾽ ἕτερον ἡδύ. διὰ τοῦτο οὐ προσδεῖται ὁ βίος αὐτῶν ἄλλης ἔξωθεν
ἡδονῆς καθάπερ τινὸς περιάπτου, ἀλλ᾽ ἔχει τὴν ἡδονὴν ἐν ἑαυτῷ. εἰ
δέ τις εἴποι μὴ πάντας τοὺς σπουδαίους ἥδεσθαι τῇ ἀρετῇ (εἰσὶ γὰρ οἱ
οὐ μεθ᾽ ἡδονῆς ταύτην πράττουσιν), ἐροῦμεν, ὅτι οὐκ ἔστιν ἀγαθὸς οὐδὲ
σπουδαῖος ὁ μὴ χαίρων ταῖς καλαῖς πράξεσιν. οὔτε γὰρ δίκαιον 30
οὐδεὶς ἂν εἴποι τὸν μὴ χαίροντα τῷ δικαιοπραγεῖν οὔτε ἐλευ-
θέριον τὸν μὴ χαίροντα ταῖς ἐλευθερίοις πράξεσιν· ὁμοίως δὲ
καὶ ἐπὶ τῶν ἄλλων. εἰ δ᾽ οὕτω, δι᾽ ἑαυτὰς ἂν εἶεν αἱ κατ᾽ ἀρε-
τὴν πράξεις ἡδεῖαι· ἀλλὰ μὴν καὶ ἀγαθαί γε καὶ καλαί, καὶ μά-
λιστα τούτων ἕκαστον, εἴπερ καλῶς κρίνει περὶ αὐτῶν ὁ σπου-
δαῖος· μὴ καλῶς γὰρ κρίνειν οὐκ εὔλογον· κρίνει δὲ ἀγαθὰς εἶναι καὶ
καλάς. ἄριστον ἄρα καὶ κάλλιστον καὶ ἥδιστον ἡ εὐδαιμονία· καὶ
οὐκ ἄλλο μὲν κάλλιστον, ἄλλο δὲ ἄριστον, ἄλλο δὲ ἥδιστον κατὰ τὸ Δη-
λιακὸν ἐπίγραμμα 10

κάλλιστον τὸ δικαιότατον, λῷστον δ᾽ ὑγιαίνειν.
ἥδιστον δὲ πέφυχ᾽ οὗ τις ἔραται τυχεῖν.

ἅπαντα γὰρ ταῦτα ταῖς ἀρίσταις ἐνεργείαις ὑπάρχει. ταύτας δέ φαμεν εἶναι
τὴν εὐδαιμονίαν ἢ μίαν τούτων τὴν πασῶν ἀρίστην.

Ὅτι δεῖται καὶ τῶν ἔξωθεν ὁ μέλλων εὐδαιμονεῖν, εἰ καὶ μὴ ἐν τοῖς ἔξωθεν ἡ εὐδαιμονία συνίσταται· καὶ ὅτι οὐκ ἔστιν ἀπὸ τύχης ἡ ἀνθρωπίνη εὐδαιμονία. κεφ. ιϛ´.

Ἔστι μὲν οὖν τὸ εἶναι τῆς εὐδαιμονίας ἐν ταῖς ἀγαθαῖς πράξεσι· φαί- 20
νεται δ᾽ ὅμως καὶ τῶν ἐκτὸς ἀγαθῶν προσδεομένη, καθάπερ εἴ-
πομεν. ἀδύνατον γὰρ ἢ οὐ ῥᾴδιον τὰ καλὰ πράττειν μὴ βοηθού-
μενον τοῖς ἔξωθεν. πολλὰ γὰρ τῶν ἀρίστων πράττεται διὰ τῶν ἔξωθεν.
καθάπερ δι᾽ ὀργάνων ἢ διὰ φίλων ἢ διὰ πλούτου ἢ διὰ τῆς ἐν τῇ
πόλει τιμῆς καὶ ἀρχῆς καὶ δυνάμεως. ὥσπερ καὶ οἵ τινων τούτων στερι-
σκόμενοι ἀκαλλῆ τινα τὴν εὐδαιμονίαν | ποιοῦσιν, οἷον εἴ τις στέροιτο εὐγε- 31
νείας ἢ εὐτεκνίας ἢ κάλλους. οὐ πάνυ γὰρ εὐδαιμονικὸς ὁ τὴν θέαν πάν-

5 ἄλλο h: ἄλλῳ B 13 οὐ B: μὴ h 25 ἔραται B: ἐρᾷ τὸ h: cf. lectiones Arist.
30 κεφ. ιϛ´] κε´ ιε´ Bh 34 πράττεσθαι h 37 ἀκαλῆ B

αισχρος ἢ δυσγενὴς ἢ μονώτης καὶ ἄτεκνος ἢ κακοὺς παῖδας ἔχων ἢ ἀγαθοὺς ἀποβαλών· διὰ τοῦτό φαμεν, τὴν εὐδαιμονίαν προσδεῖσθαι καὶ τῆς τοιαύτης εὐημερίας. καὶ τούτου χάριν τινὲς τὴν διὰ τῶν ἔξωθεν εὐτυχίαν ταὐτὸν εἶναι ἐνόμισαν τῇ ζητουμένῃ εὐδαιμονίᾳ· ἔνιοι δέ φασιν εἶναι τὴν ἀρετήν, ὅτι καὶ ἀμφοτέρων χρεία τῷ κυρίως εὐδαίμονι. καὶ διὰ τοῦτο ἀπορεῖται. πότερον μαθητόν ἐστι καὶ διὰ μεθόδου τινὸς παραγίνεται ἢ ἐκ τοῦ ἐθίζεσθαι ταῖς κατ' ἀρετὴν πράξεσιν ἢ δι' ἄλλης τινὸς ἀσκήσεως ἢ θεόθεν δίδοται τοῖς ἀνθρώποις ἢ ἀπὸ τύχης τινός. δοκεῖ δέ. ὅτι εἰ καὶ ἄλλο τι δώρημά ἐστι παρὰ θεοῦ τοῖς ἀνθρώποις, καὶ τοῦτο ἂν εἴη δικαίως· καὶ μάλιστα δὲ τῶν ἄλλων εἴη ἂν ἡ εὐδαιμονία θεόσδοτος, ὅσῳ καὶ βέλτιστον τῶν ἀνθρωπίνων ἁπάντων. ἀλλὰ τὸ μὲν περὶ τούτων λέγειν τῶν περὶ προνοίας ἂν εἴη λόγων καὶ ἄλλης πραγματείας, ἡμῖν δὲ κατὰ τὸ προσῆκον τῇ προκειμένῃ μεθόδῳ σκεπτέον. φαίνεται τοίνυν, εἰ καὶ μὴ θεόσδοτός ἐστιν ἡ εὐδαιμονία, ἀλλὰ δι' ἀρετὴν ἢ ἄλλην τινὰ ἄσκησιν παραγίνεται, ὅμως τῶν θειοτάτων εἶναι. τὸ γὰρ τῆς ἀρετῆς ἆθλον καὶ τέλος. ὅπερ ἐστὶν αὐτὴ ἡ εὐδαιμονία, ἄριστον εἶναι φαίνεται καὶ θεῖόν τι καὶ μακάριον· γένοιτο δ' ἂν καὶ πᾶσι κοινόν. δυνατὸν γὰρ πᾶσι τοῖς μὴ τὴν διάνοιαν βεβλαμμένοις καὶ πάντῃ ἀκινήτοις πρὸς τὴν κτῆσιν τῆς ἀρετῆς διά τινος μαθήσεως καὶ ἐπιμελείας ὑπάρξαι τὴν εὐδαιμονίαν. εὔλογον δὲ ἀπὸ ἀσκήσεως μείζονα καὶ τελειοτέραν ὑπάρξαι τὴν εὐδαιμονίαν ἢ ἀπὸ τύχης· ὁμοίως δὲ καὶ τὰ ⟨ἀπὸ⟩ πάσης ἄλλης αἰτίας γινόμενα ἢ τεχνικῆς ἢ φυσικῆς βελτίω τῶν ἀπὸ τύχης γινομένων· καὶ μάλιστα τὰ ἀπὸ τῆς ἀρίστης αἰτίας γινόμενα, ἥτις ἐστὶν ἡ ἀρετή. ἄλλως τε τὸ μέγιστον ἀγαθὸν καὶ κάλλιστον τὴν εὐδαιμονίαν ἐπιτρέψαι τῇ τύχῃ λίαν πλημμελὲς ἂν εἴη. τοῦτο δὲ φανερόν ἐστι καὶ ἐκ τοῦ εἰρημένου τῆς εὐδαιμονίας ὁρισμοῦ· εἴρηται γὰρ ψυχῆς ἐνέργεια κατ' ἀρετὴν ἐν βίῳ τελείῳ. τὰ δὲ λοιπὰ ἀγαθά. τά τε σωματικὰ αὐτοῦ τοῦ σώματος καὶ τὰ περὶ τὸ σῶμα, τὰ μὲν ἀναγκαῖα πρὸς τὴν εὐδαιμονίαν. τὰ δὲ καθάπερ ὄργανά εἰσι πρὸς αὐτήν· ἀναγκαῖα μέν. οἷον ὑγίεια σώματος καὶ ζωῆς ἐπίτασις καὶ τἄλλα, ὧν χωρὶς οὐκ ἔνι τελειωθῆναι τὴν εὐδαιμονίαν· ὄργανα δέ, ὥσπερ πλοῦτος καὶ φίλοι. εἰ τοίνυν οὗτός ἐστιν ὁ ὁρισμὸς τῆς εὐδαιμονίας, πῶς ἂν αἰτίαν ἔχοι τὴν τύχην; ἡ γὰρ ψυχικὴ ἐνέργεια οὐκ ἀπὸ τύχης. τούτῳ δὴ τῷ ὁρισμῷ καὶ τὰ εἰρημένα περὶ τοῦ τέλους τῆς πολιτικῆς ἀκόλουθα. τὸ γὰρ τῆς πολιτικῆς τέλος τὸ ἄριστον ἐλέγομεν εἶναι καὶ διὰ τοῦτο ἐν αὐτῇ εἶναι τὴν ἀνθρωπίνην εὐδαιμονίαν. εἰκότως οὖν οὔτε ἵππον οὔτε βοῦν οὔτε ἄλλο τι τῶν ζῴων εὔδαιμον λέγομεν· οὐδὲν γὰρ αὐτῶν οἷόν τε κοινωνῆσαι τοιαύτης ἐνεργείας. διὰ ταύτην δὲ τὴν αἰτίαν οὐδὲ παῖς εὐδαίμων ἐστίν· οὔπω γὰρ πρακτικὸς τῶν τοιούτων διὰ τὴν ἡλικίαν. οἱ δὲ λεγόμενοι εὐδαίμονες παῖδες διὰ τὴν ἐλπίδα μακαρίζονται. δεῖ γάρ. ὡς εἴπομεν.

21 ἀπὸ h: om. B   30 ἔνι B: ἔστι h   36 οὔτε βοῦν οὔτε ἵππον Aristoteles   ἄλλο τι τῶν Bh, ut Arist. H^{a} M^{b} O^{b}: ἄλλο τῶν Arist. vulg.   40 ὡς Bh, ut Arist. M^{b}: ὥσπερ Arist. vulg.

καὶ ἀρετῆς καὶ βίου τελείου. πολλαὶ γὰρ μεταβολαὶ γίνονται καὶ παντοῖαι τύχαι κατὰ τὸν βίον καὶ ἐνδέχεται τὸν μάλιστα εὐθηνοῦντα μεγά|λαις συμφοραῖς περιπεσεῖν ἐπὶ γήρως, καθάπερ ἐν 33 τοῖς ἡρωϊκοῖς περὶ Πριάμου μυθεύεται· τὸν δὲ τοιαύταις χρησάμενον τύχαις καὶ τελευτήσαντα ἀθλίως οὐδεὶς εὐδαιμονίζει.

Εἰ δεῖ ζῶντας μακαρίζειν. κεφ. ιζ'.

Πότερον οὖν οὐδ' ἄλλον οὐδένα ἀνθρώπων εὐδαιμονίζειν ἄξιον ἕως ἂν ζῇ, ἀλλὰ χρεὼν τὸ τέλος ὁρᾶν, καθά φησι Σόλων; καὶ εἰ τοῦτο θήσομεν, ἔσται ἄρα τις εὐδαίμων τότε ἐπειδὰν ἀποθάνῃ; ἢ τοῦτό γε παντελῶς ἄτοπον ἐν τῷ τεθνάναι τὴν εὐδαιμονίαν λαβεῖν, ἄλλως τε 10 καὶ ὅτι ἡ εὐδαιμονία ἔν τινι ἐνεργείᾳ ἐστίν. ἐκ τούτου δὲ φαίνεται μᾶλλον ἐν ἀργίᾳ παντελεῖ εἶναι. λέγομεν δέ, ὅτι οὔτε ἡμεῖς οὔτε ὁ Σόλων τὸν τεθνεῶτα μακαρίζει διὰ τὸ τεθνάναι, ἀλλ' ὅτι μέχρι παντὸς ὁ βίος αὐτῷ μακάριος ἦν. καὶ ὅτι τηνικαῦτα ἄν τις ἀσφαλῶς μακαρίσειεν ἄνθρωπον, ὡς ἐκτὸς ἤδη τῶν κακῶν ὄντα καὶ δυστυχημάτων. πάλιν δὲ οὐκ ἀρκοῦσα ἡ λύσις δοκεῖ. ἀπορία γάρ ἐστιν ἔτι, εἰ λέγομεν εἶναί τι τῷ τεθνεῶτι καὶ κακὸν [τι] καὶ ἀγαθόν, μὴ αἰσθανομένῳ δέ, ὥσπερ καὶ τῷ ζῶντι. μακαρίζεται γὰρ καὶ ταλανίζεται καὶ ἀτιμάζεται 20 καὶ τιμᾶται· καὶ τέκνων δὲ καὶ ἀπογόνων εὐπραξίαι εἰς τὴν εὐδαιμονίαν αὐτοῖς λογίζονται· εὐδαίμονες γὰρ καὶ μακάριοι διὰ τὴν τῶν ἀπογόνων εὐδαιμονίαν, καθάπερ δυστυχεῖς διὰ τὴν αὐτῶν δυστυχίαν· ἀπορίαν γὰρ καὶ τοῦτο παρέχει. τῷ γὰρ μακαρίως βεβιωκότι καὶ τελευτήσαντι κατὰ λόγον ἐνδέχεται πολλὰς μεταβολὰς ἐκβαίνειν περὶ τοὺς ἐκγόνους, καὶ | τοὺς μὲν αὐτῶν ἀγαθοὺς εἶναι καὶ τυχεῖν 34 βίου τοῦ κατ' ἀξίαν, τοὺς δὲ ἐξ ἐναντίας. ἄτοπον δὲ γένοιτ' ἄν, εἰ συμμεταβάλλοι καὶ ὁ τεθνεὼς καὶ γίνοιτο ποτὲ μὲν εὐδαίμων, πάλιν δὲ ἄθλιος. ἄτοπον δὲ πάλιν κἀκεῖνο δοκεῖ, τὸ μὴ κοινωνεῖν τοὺς ζῶντας τοῖς ἀπελθοῦσι τῆς τύχης διὰ τὴν ἐκ τοῦ γένους οἰκειότητα. ἀλλ' ἐπανιτέον ἐπὶ τὴν προτέραν ἀπορίαν καὶ ζητῶμεν, εἰ οὐ δεῖ ζῶντας ἀλλὰ μετὰ τελευτὴν μακαρίζειν· τάχα γὰρ ἂν ἐξ ἐκείνης θεωρηθείη καὶ τὸ νῦν ἐπιζητούμενον. εἰ δὴ τὸ τέλος ὁρᾶν δεῖ καὶ τότε μακαρίζειν ἕκαστον, οὐχ ὡς ὄντα διὰ τὸ τεθνάναι μακάριον ἀλλ' ὅτι πρό- 10 τερον μακάριος ἦν, πῶς οὐκ ἄτοπον, εἰ ὅτε ἐστὶν εὐδαίμων, μὴ ἀληθεύσεται κατ' αὐτοῦ τὸ ὑπάρχον αὐτῷ, μηδὲ ἐροῦμεν αὐτὸν ἀληθῶς εὐδαίμονα, διὰ τὸ μὴ τοὺς ζῶντας ἐθέλειν εὐδαιμονίζειν, σκοποῦντας τὰς τοῦ βίου μεταβολὰς τῷ μόνιμόν τι τὴν εὐδαιμονίαν ὑπολαμβάνειν καὶ μηδαμῶς εὐμετάβολον, τὴν δὲ τύχην πᾶν τοὐναντίον; δη-

6 κεφ. ιζ'] κε' ιϛ Bh 15 καὶ Bh, ut Arist. $H^a L^b O^b$: καὶ τῶν Arist. vulg. 17 τι post κακόν uncinis inclusi μὴ B: καὶ h 21 γὰρ Bh cum Arist. M^b: δὲ Arist. vulg. 26 συμμεταβάλλοι h et Arist.: συμμεταβάλοι B

λον γάρ, ὡς, εἰ συνακολουθοίημεν ταῖς τύχαις. τὸν αὐτὸν εὐδαίμονα καὶ πάλιν ἄθλιον ἐροῦμεν πολλάκις. χαμαιλέοντά τινα τὸν εὐδαίμονα ἀποφαίνοντες καὶ σαθρῶς ἱδρυμένον. λέγομεν 20 τοίνυν πρὸς τὴν ἀπορίαν, ὅτι τὸ μὲν ταῖς τύχαις ἐπακολουθεῖν οὐδαμῶς ὀρθόν· οὐ γὰρ ἐν ταύταις ἡ εὐδαιμονία συνίσταται ἢ τοὐναντίον, ἀλλὰ προσδεῖται μὲν τούτων πρὸς τὴν εὐδαιμονίαν ὁ ἀνθρώπινος βίος, καθάπερ εἴπομεν· ἡ δὲ οὐσία τῆς εὐδαιμονίας οὐκ ἐν αὐταῖς ἀλλ' ἐν τῇ κατ' ἀρετὴν ἐνεργείᾳ συνίσταται, καθὼς εἴρηται. μόνιμον γὰρ δεῖ εἶναι τὴν εὐδαιμονίαν· καὶ διὰ τοῦτο οὐ δυνατὸν αὐτὴν ἐν τοῖς ἀπὸ τύχης συνίστασθαι. καὶ τούτῳ | μαρτυρεῖ ἡ προκειμένη ζήτησις· ἀπὸ 35 τούτου γὰρ ἔλαβε τὴν ἀρχὴν τοῦ ὑποκεῖσθαι τὴν εὐδαιμονίαν μόνιμον εἶναι. περὶ οὐδὲν γὰρ τῶν ἀνθρωπίνων ἔργων τοσαύτη βεβαιότης ὑπάρχει, ὡς ταῖς κατ' ἀρετὴν ἐνεργείαις, ἐν αἷς ἡ εὐδαιμονία· μονιμώτεραι γὰρ καὶ τῶν ἐπιστημῶν αὗται τυγχάνουσι. τούτων δὲ πάλιν τῶν ἀρετῶν αἱ τιμιώτεραι μονιμώτεραι διὰ τὸ ζῆν ἐν αὐταῖς τοὺς μακαρίους μάλιστα καὶ συνεχέστατα, μὴ διακοπτομένης ποτὲ οὐδ' ἐν ἐλαχίστῳ χρόνῳ τῆς περὶ τὰς πράξεις τῆς ἀρετῆς αὐτῶν ἐργασίας διὰ τὸ ἡδεῖαν αὐτοῖς τὴν τοιαύτην 10 εἶναι ζωήν, καθὼς εἴρηται. καὶ διὰ τοῦτο οὐδὲ λήθην αὐτῶν λαμβάνουσιν. ἐπεὶ τοίνυν οὐκ ἐν τῇ τύχῃ ἡ εὐδαιμονία συνίσταται ἀλλ' ἐν ταῖς κατ' ἀρετὴν πράξεσιν, ὑπάρξει τὸ ζητούμενον τῷ εὐδαίμονι, τὸ μόνιμον δηλονότι αὐτῷ εἶναι τὸ ἀγαθόν, καὶ ἔσται διὰ βίου εὐδαίμων· ἀεὶ γὰρ ἢ μάλιστα πάντων πράξει καὶ θεωρήσει τὰς κατ' ἀρετὴν πράξεις καὶ θεωρίας· καὶ πρὸς τὰς τύχας στήσεται καὶ ὑπὸ τῶν ἐναντίων οὐδεμίαν πείσεται μεταβολήν, ἀλλ' οἴσει τὰ ἐπιόντα κάλλιστα καὶ ἐμμελέστατα ὅ γε ὡς ἀληθῶς ἀγαθὸς καὶ τετράγωνος ἄνευ ψόγου. πολλῶν 20 δὲ ὄντων τῶν ἐπερχομένων ἀπὸ τῆς τύχης καὶ τῶν μὲν μεγάλων ὄντων, τῶν δὲ μικρῶν, τὰ μὲν μικρὰ τῶν ἀτυχημάτων, ὁμοίως δὲ καὶ τῶν εὐτυχημάτων οὐ παρέξει πράγματα τῷ σπουδαίῳ οὐδὲ ἐπάξει τῷ βίῳ μεταβολήν. τὰ δὲ μεγάλα καὶ πολλά, εὐτυχήματα μὲν ὄντα, μακαριώτερον τὸν βίον ποιήσει (καὶ γὰρ αὐτὰ συνεπικοσμεῖ τὴν εὐδαιμονίαν· χρῆται γὰρ αὐτοῖς ὁ σπουδαῖος ἐπὶ τὰ κάλλιστα). | ἀτυχήματα δὲ ὄντα 36 θλίβει μὲν καὶ λυμαίνεται τὸ μακάριον καὶ ἐμποδίζει πολλαῖς ἐνεργείαις, ὅμως δὲ καὶ ἐν τούτοις διαλάμπει τὸ καλόν, ἐπειδὰν φέρῃ τις εὐκόλως πολλὰς καὶ μεγάλας ἀτυχίας, οὐ δι' ἀναλγησίαν καὶ ἀναισθησίαν, ἀλλὰ γεννάδας ὢν καὶ μεγαλόψυχος. | εἰ γὰρ ἐν ταῖς κατ' ἀρετὴν ἐνεργείαις ἡ μακαριότης ἔχει τὸ εἶναι καὶ αὗται κύριαί εἰσι τῆς τοῦ εὐδαίμονος ζωῆς, οὐδεὶς ἂν γένοιτο τῶν μακαρίων ἄθλιος· οὐδέποτε γὰρ πράξει τὰ μισητὰ καὶ φαῦλα. τὸν γὰρ ὡς ἀληθῶς καὶ ἔμφρονα καὶ ἀγαθὸν πάσας οἰόμεθα τὰς τύχας εὐ- 10

1 συνακολουθοίημεν B: συνακολουθείημεν h 7 εἴπομεν Bh cum Arist. HaLbMbOb: εἴπαμεν Arist. vulg. 27 ἀτυχημάτων B: εὐτυχημάτων h 27. 28 εὐτυχημάτων B: ἀτυχημάτων h 39 καὶ ἔμφρονα καὶ ἀγαθὸν B: ἔμφρονα καὶ ἀγαθὸν h cf. lectionem libror. Arist.

σχημόνως φέρειν· καὶ καθάπερ ὁ ἄριστος τεχνίτης ἀπὸ τῆς τυχούσης ὕλης τὴν ἰδίαν ἐπιδείκνυται τέχνην καὶ στρατηγὸς μὲν τῷ παρόντι στρατοπέδῳ, καὶ εἰ μὴ ἀξιόλογον εἴη, χρῆται πολεμικώτατα, καὶ ὁ σκυτοτόμος ὁ ἄριστος ἐκ τῶν δοθέντων σκυτῶν κάλλιστον ὑπόδημα ποιεῖ. τὸν αὐτὸν δὲ τρόπον καὶ οἱ ἄλλοι τεχνῖται ἅπαντες· οὕτω καὶ ὁ μακάριος οὐκ εὔροιαν ἀεὶ ζητήσει, ἀλλ' ἐκ τῆς παρούσης τύχης ἀεὶ τὰ κάλλιστα πράξει. καὶ διὰ τοῦτο ἄθλιος μὲν οὐδέποτε γένοιτ' ἄν. ἀλλὰ μόνον οὐ μακάριος τῆς γε τύχης ἕνεκα, ἐὰν Πριαμικαῖς περιπέσῃ τύχαις. οὐδὲ δὴ ποικίλος γε καὶ εὐμετάβολος ἔσται· οὔτε γὰρ ἀπὸ τῆς εὐδαιμονίας κινηθήσεται ῥᾳδίως οὔτε ὑπὸ τῶν τυχόντων ἀτυχημάτων ἀλλ' ὑπὸ μεγάλων ἴσως καὶ πολλῶν· καὶ οὐδὲ ὑπὸ τούτων ῥᾳδίως. ἐπεὶ καὶ ἀπαλλαγεὶς τῶν δυστυχημάτων οὐκ ἐν ὀλίγῳ χρόνῳ πρὸς τὸ τέλειον ἀγαθὸν μεταπεσεῖται, οὗ μικρὸν παρέκλινε, διὰ τὸ μὴ εὐκί|νητος εἶναι· ἀλλ' 37 ἐν πολλῷ χρόνῳ ἔσται τοιοῦτος, μεγάλων καὶ καλῶν ἐν τούτῳ γενόμενος ἐπιτυχής. τί οὖν κωλύει τὸν τοιοῦτον ἄνθρωπον εὐδαίμονα λέγειν, ὃς κατ' ἀρετὴν μὲν τελείαν ἐνεργεῖ, δυστυχήσας δὲ τοῖς ἔξωθεν πάλιν εἰς τὴν εὐτυχίαν ἐπανελεύσεται καὶ ἱκανῶς ὑπὸ τῶν ἐκτὸς χορηγηθήσεται ἀγαθῶν οὐ τὸν τυχόντα χρόνον ἀλλὰ τὸν μέχρι τελευτῆς, καὶ βιωσάμενος οὕτω καὶ τελευτήσας κατὰ λόγον. προστίθημι δὲ καὶ τὰ ἔξωθεν ἀγαθὰ διὰ τὸ τὴν εὐδαιμονίαν τέλος εἶναι τῶν ἀνθρωπίνων πράξεων καὶ διὰ τοῦτο προσήκειν τέλειον ἀγαθὸν εἶναι καὶ μηδενὸς ἐλλείπειν. εἰ δὲ τοῦτο οὕτως, οὐ μετὰ τὴν τελευτὴν μακαρίσομεν τοὺς εὐδαίμονας ἀλλὰ ζῶντας ἔτι, οἷς ὑπάρχει καὶ ὑπάρξει τὰ λεχθέντα· μακαρίους δέ, ὡς ἀνθρώπους τὴν ἀνθρωπίνην μακαριότητα. ἥτις οὐ πάντῃ τέλειον ἔχει τὸ ἀγαθόν. καὶ τὸ μὲν ὅτι δεῖ ζῶντας τοὺς εὐδαίμονας μακαρίζειν, ἐπὶ τοσοῦτον εἰρήσθω.

Εἰ κοινωνοῦσι τῆς τύχης τῶν ἀπογόνων οἱ μακάριοι μετὰ τελευτήν. κεφ. ιη'.

Ῥητέον δὲ πρὸς τὴν ἄλλην ἀπορίαν, εἰ ἐκ τῶν ἀπογόνων δυστυχούντων ἢ τῶν φίλων χείρονα δόξει τοῖς μακαρίοις τὰ πράγματα. τὸ μὲν οὖν μηδ' ὁτιοῦν ἐκ τῶν ἀπογόνων ἢ ἄλλως οἰκείων εἰς τοὺς εὐδαίμονας ἔρχεσθαι ἢ εὐτυχίας ἢ δυστυχίας ἀκοινώνητόν ἐστι καὶ ἀλλότριον τῶν ἀνθρωπίνων· κοινωνικὸν γὰρ ὁ ἄνθρωπος· καὶ πρός γε ἔτι καὶ ταῖς κοιναῖς δόξαις ἐναντίον· κοινὰ γὰρ τὰ τῶν φίλων εἶ|ναι πᾶσι δοκεῖ. πολλῶν δὲ 38 ὄντων τῶν συμβαινόντων τοῖς οἰκείοις τῶν μακαρίων καὶ παντοίας ἐχόντων διαφοράς, καὶ τῶν μὲν μᾶλλον συντελούντων εἰς τὴν εὐδαιμονίαν ἢ δυστυχίαν, τῶν δὲ ἧττον, τὸ μὲν κατὰ μέρος διαιρεῖν αὐτὰ μακρὸν καὶ ἄπειρον φαίνεται· εἰ δὲ ὁλοσχερῶς καὶ ὡς ἐν τύπῳ εἴποιμεν περὶ αὐτῶν, ἱκανὸν ἂν εἴη. διαιρήσομεν τοίνυν καὶ ταῦτα. καθάπερ τὰ συμβαίνοντα

10 οὔτε Bh, ut Arist. codd. $H^a K^b L^b O^b$: οὐδ' Arist. vulg. 27 κεφ. ιη'] κε' ιζ' Bh
35 ἢ δυστυχίαν om. h

δυστυχήματα τοῖς μακαρίοις, ὅτι τὰ μὲν μεγάλα καὶ ἀξιόλογα καὶ βάρος ἔχει πρὸς τὸν βίον, τὰ δὲ μικρὰ καὶ ἐλαφρότερα. ἔχει δὲ διαφορὰν ὅσα ζώντων ἔτι τῶν μακαρίων τοῖς οἰκείοις συμβαίνει τῶν συμβαινόντων μετὰ τὴν αὐτῶν τελευτήν. ὅσην ἔχει τὰ ἐν ταῖς τραγῳδίαις πλαττόμενα κακὰ τῶν προϋπαρξάντων πραγμάτων, ὧν ταῦτα σκιαί. σκεπτέον οὖν περὶ τῆς διαφορᾶς. βέλτιον δέ ἐστι σκέψασθαι. εἰ κοινωνοῦσιν οἱ μακάριοι τοῖς οἰκείοις μετὰ τελευτὴν τῆς τύχης. φαίνεται τοίνυν. ὅτι εἰ καὶ ἔρχεταί τι πρὸς αὐτοὺς ἀπὸ τούτων, εἴτε ἀγαθὸν εἴτε φαῦλον. ἀσθενὲς μέντοι καὶ μικρόν. ἢ διότι καὶ τῇ ἑαυτοῦ φύσει μικρόν ἐστιν ἢ ἐκείνοις μικρόν. κἂν μέγα ὑπάρχῃ, διὰ τὸ μὴ ζῆν τὴν ἐνταῦθα ζωήν· εἰ δ' ἔχει τινὰ δύναμιν. ἀλλ' οὐ τοσαύτην γε καὶ τοιαύτην. ὥστε ποιεῖν εὐδαίμονας τοὺς μὴ τοιούτους ἢ τοὺς ὄντας ἀφαιρεῖσθαι τὴν μακαριότητα. ὥστε ἔρχεται μέν τι ἀπὸ τῶν ζώντων τοῖς τεθνεῶσι· τοιαῦτα δὲ καὶ τοσαῦτα ὡς μηδεμίαν ἐπάγειν μεταβολήν.

Ὅτι τῶν τιμίων ἡ εὐδαιμονία. κεφ. ιθ'.

Διωρισμένων δὲ τούτων. σκεψώμεθα περὶ τῆς εὐδαιμονίας. πότερον τῶν δυνάμεών ἐστιν ἢ τῶν ἐπαινετῶν ἢ τῶν τιμίων ἡ εὐδαιμονία. καὶ δυνάμεις μέν εἰσιν αἱ ἕξεις τῶν τεχνῶν, οἷον κυβερνητικῆς ἢ ἰατρικῆς δηλονότι τὸ δύνασθαι ἰατρεύειν ἢ κυβερνᾶν, ἐπαινετὰ δὲ τὰ ἤδη κατορθωθέντα καὶ εἰς ἐνέργειαν ἐλθόντα ἀγαθά, τίμια δὲ τὰ θεῖα καὶ ὑπὲρ ταῦτα. τούτων οὕτως ἐχόντων. ζητητέον τί τούτων ἐστὶν ἡ εὐδαιμονία. δύναμις μὲν οὖν οὐκ ἔστιν· ἔστι γὰρ τέλειον ἀγαθόν· ἡ δὲ δύναμις ἀτελές. ἄλλως τε ἡ μὲν εὐδαιμονία οὐ συναριθμεῖται πολλοῖς, ἡ δὲ δύναμις τοιαύτη· πολλαὶ γὰρ δυνάμεις· ἡ εὐδαιμονία ἄρα οὐκ ἔστι δύναμις. καὶ μὴν οὐδὲ τῶν ἐπαινετῶν ἐστιν· ἐπαινεῖται γὰρ ἃ μετέχει τινὸς ἀγαθοῦ. τὸν γὰρ δίκαιον καὶ τὸν ἀνδρεῖον καὶ ὅλως τὸν ἀγαθὸν καὶ τὴν ἀρετὴν ἐπαινοῦμεν διὰ τὸ ποιότητός τινος ἀγαθοῦ μετέχειν καὶ σχέσιν ἔχειν πρὸς ἀγαθόν τι καὶ σπουδαῖον. διὰ τοῦτο καὶ οἱ τοὺς θεοὺς ἐπαινοῦντες γελοῖοί εἰσιν. ἡμῖν αὐτοὺς ἐξισοῦντες. τοῦτο δὲ συμβαίνει διὰ τὸ γίνεσθαι τοὺς ἐπαίνους ἕνεκα τῆς πρὸς τὸ ἀγαθὸν ἀναφορᾶς καὶ σχέσεως. τὰ μὲν οὖν ἐπαινετὰ τοιαῦτα· ἡ εὐδαιμονία δὲ οὐ τοιοῦτον· ἔστι γὰρ τὸ ἀγαθὸν καὶ τὸ ἄριστον. τοῦ δὲ ἀγαθοῦ καὶ τοῦ ἀρίστου οὐκ ἔστιν ἔπαινος· οὐ γὰρ πρός τι ἀναφέρεται ἀγαθόν. διὰ τοῦτο οὐδὲ τοὺς θεοὺς ἐπαινοῦμεν ἀλλὰ μακαρίζομεν καὶ εὐδαιμονίζομεν· ὁμοίως δὲ καὶ τῶν ἀνδρῶν τοὺς θειοτάτους καὶ τὰ ἀγαθά. ὅσα δι' ἑαυτά εἰσιν ἀγαθά. οἷα ἐστὶν ἡ εὐδαιμονία. οὐδεὶς γὰρ τὴν εὐδαι|μονίαν ἐπαινεῖ καθάπερ τὸ δίκαιον, ἀλλ' ὡς θειότερόν τι καὶ βέλτιον μακαρίζει. ἐπεὶ τοίνυν τὰ μὲν ἐπαινετὰ διά τι τέλος ἀγαθὸν ἐπαινοῦνται. ἡ δὲ εὐδαιμονία εἰς οὐδὲν ἀναφέρεται τέλος (ἔστι γὰρ αὐτὴ τὸ ἔσχατον τέλος), οὐκ ἂν εἴη τῶν ἐπαινετῶν· λείπεται δὴ τῶν τιμίων εἶναι. τούτῳ δὲ τῷ λόγῳ καὶ ὁ Εὔ-

4 an πραττόμενα? 15 κεφ. ιθ'] ιη Bh 31 ἔστι h: ἔσται B

δοξος μαρτυρεῖ· τὴν γὰρ ἡδονὴν βουλόμενος δεῖξαι ἄριστον εἶναι καὶ τέλειον ἀγαθόν, ἀπὸ τούτου ἔλεγε δείκνυσθαι, ὅτι οὐκ ἔστι τῶν ἐπαινετῶν ἀλλὰ βέλτιον τούτων, ἀπὸ τοῦ μὴ ἐπαινεῖσθαι ἀγαθὸν οὖσαν· τοιοῦτον δὲ ἔλεγεν εἶναι τὸν θεὸν καὶ τὸ ἀγαθόν. πρὸς ταῦτα γὰρ καὶ τἄλλα ἀναφερόμενα ἀγαθὰ λέγεσθαι καὶ ἐπαινετὰ εἶναι. ἐπαινεῖται μὲν γὰρ ἡ ἀρετή, ὅτι πρακτικοὶ γίνονται οἱ ἄνθρωποι τῶν καλῶν ἀπὸ ταύτης· ἐγκωμιάζονται δὲ τὰ ἔργα ὁμοίως τὰ ἀγαθά, τά τε σωματικὰ καὶ τὰ ψυχικά, ὅτι πρός τι τέλος φέρουσιν ἀγαθόν· αὐτὴ δὲ ἡ εὐδαιμονία οὐκ ἂν ἐπαινεθείη· οὐ γὰρ πρός τι τέλος ἀγαθὸν φέρει· αὐτὴ γάρ ἐστι τὸ ἔσχατον τέλος, καθὼς εἴρηται. ἀλλὰ τὸ μὲν περὶ ἐπαίνων καὶ ἐγκωμίων λέγειν τίσιν ἁρμόττει, οὐκ ἔστιν ἡμῖν προκείμενον· οἰκειότερον γὰρ ἄλλοις· ἡμῖν δὲ περὶ τοῦ προκειμένου ῥητέον. φαίνεται μὲν οὖν ἀπὸ τῶν εἰρημένων, ὅτι ἐστὶ τῶν τιμίων καὶ τελείων· φαίνεται δὲ καὶ ἀρχὴ καὶ αἰτία τῶν ἄλλων ἀγαθῶν· ταύτης γὰρ χάριν τὰ ἄλλα πράττομεν· τὴν δὲ ἀρχὴν καὶ τὸ αἴτιον τῶν ἀγαθῶν τίμιόν τι καὶ θεῖον τίθεμεν.

Περὶ ἀρετῆς, ἐν ᾧ περὶ τῶν δυνάμεων τῆς ψυχῆς. κεφ. κ′. 41

Ἐπεὶ δέ ἐστιν ἡ εὐδαιμονία ψυχῆς ἐνέργεια κατ' ἀρετὴν τελείαν, σκεψώμεθα περὶ τῆς ἀρετῆς· ἡ γὰρ περὶ αὐτῆς σκέψις σαφέστερον ποιήσει τὸν περὶ τῆς εὐδαιμονίας λόγον. φαίνεται δέ, ὅτι καὶ ὁ κατὰ ἀλήθειαν πολιτικὸς περὶ αὐτῆς σκέπτεται· βούλεται γὰρ ἀγαθοὺς ποιεῖν τοὺς πολίτας καὶ τῶν νόμων ὑπηκόους, καθάπερ οἱ Κρητῶν καὶ Λακεδαιμονίων νομοθέται, καὶ εἴ τινες ἕτεροι τοιοῦτοι γεγένηνται· ὥστε δῆλον ὅτι ἡ ζήτησις αὕτη ἀκόλουθος ἂν εἴη τῷ ἐξ ἀρχῆς τοῦ λόγου σκοπῷ. ἦν γὰρ ἐκεῖνος περὶ τοῦ τέλους τῆς πολιτικῆς. περὶ ἀρετῆς τοίνυν ἐπισκεπτέον, ἀνθρωπίνης δηλονότι, ἐπεὶ καὶ ἐξ ἀρχῆς τὸ ἀνθρώπινον ἀγαθὸν ἐζητοῦμεν. ἐπεὶ τοίνυν ἡ ἀνθρωπίνη ἀρετὴ οὐ τοῦ σώματός ἐστιν ἀλλὰ τῆς ψυχῆς (καὶ τὴν εὐδαιμονίαν γὰρ ψυχῆς ἐνέργειαν λέγομεν), ὁ πολιτικὸς δὲ σκέπτεται περὶ τῆς ἀνθρωπίνης ἀρετῆς, δῆλον ὅτι δεῖ τὸν πολιτικὸν εἰδέναι πῶς ἔχει τὰ περὶ ψυχήν, ὥσπερ καὶ τὸν μέλλοντα ὀφθαλμὸν θεραπεύσειν τοῦ σώματος παντὸς τὴν γνῶσιν ἔχειν ἀνάγκη· καὶ τοσούτῳ πλέον ὁ πολιτικὸς δικαίως εἴσεται τὰ περὶ ψυχὴν ἢ ὁ ἰατρὸς τὸ σῶμα, ὅσῳ βελτίων ἡ πολιτικὴ τῆς ἰατρικῆς καὶ τιμιωτέρα· καὶ οἱ βέλτιστοι δὲ τῶν ἰατρῶν πολλὰ πραγματεύονται περὶ τὴν τοῦ σώματος γνῶσιν. ὥστε εἰκὸς ἂν εἴη τὸν πολιτικὸν περὶ τῆς ψυχῆς εἰδέναι. θεωρητέον δὲ περὶ ψυχῆς τοσαῦτα, ὅσα ἀρκέσει ἡμῖν πρὸς τὸν προκείμενον περὶ ἀρετῆς λόγον· τὸ γὰρ ἐπὶ πλεῖον ἐξακριβῶσαι περὶ 42 ψυχῆς καὶ τὸν καθόλου περὶ αὐτῆς ἐκθέσθαι λόγον μεῖζον ἔργον ἐστὶ τῶν προκειμένων. περὶ ψυχῆς τοίνυν οὐ μόνον ἐν συγγράμμασιν ἀλλὰ καὶ ἀπὸ

15 τι om. h 16 κεφ. κ′] κε′ ιθ′ Bh 17 ἐνέργεια Bh cum Arist. Mb: ἐνέργειά τις Arist. vulg. 18 τελείαν h: τελεία B 31 τοσούτῳ h: τοσοῦτο B

στόματος πρὸς τοὺς ἐντυγχάνοντας ἀρκούντως εἴπομεν εἶναι· καὶ χρηστέον αὐτοῖς. λέγομεν τοίνυν, ὅτι τῆς ψυχῆς τὸ μὲν λογικόν ἐστι, τὸ δὲ ἄλογον. ταῦτα δὲ πότερον κεχωρισμένα εἰσὶν ἀλλήλων, καθάπερ τὰ τοῦ σώματος μέρη καὶ τὰ ἄλλα τὰ μεριστά, ἢ πράγματι μὲν ἕν εἰσι, λόγῳ δὲ δύο, καθάπερ ἐν τῇ περιφερείᾳ τὸ κυρτὸν καὶ τὸ κοῖλον (ἓν μὲν γάρ εἰσι πρᾶγμα καὶ ἀχώριστα πέφυκε, τῷ ὁρισμῷ δὲ διαφέρουσιν· ἄλλος γὰρ ὁρισμὸς τῆς περιφερείας καθὸ κοίλης καὶ ἄλλος καθὸ κυρτῆς). τοῦτο μὲν οὖν ζητεῖν οὐδὲν συντείνει πρὸς τὴν προκειμένην μέθοδον. ἐροῦμεν δὲ περὶ τοῦ ἀλόγου. ἔστι τοίνυν τοῦ ἀλόγου τῆς ψυχῆς τὸ μὲν φυτικόν, λέγω δὲ τὸ θρεπτικὸν καὶ αὐξητικόν, ὅπερ κοινόν ἐστι καὶ τοῖς φυτοῖς καὶ τοῖς ζῴοις πᾶσιν· αὕτη γὰρ ἡ δύναμις ἐν ἅπασι τοῖς τρεφομένοις ἐστὶ καὶ ἐν τοῖς ἐμβρύοις· ἡ αὐτὴ δὲ καὶ ἐν τοῖς τελείοις τῶν ἀνθρώπων ἐστίν· οὐ γὰρ ἄλλην εὔλογον λέγειν. ἐν ταύτῃ μὲν οὖν τῇ δυνάμει οὐκ ἔστιν εὑρεῖν ἰδίως ἀρετὴν ἀνθρωπίνην ἀλλὰ κοινὴν ἅπασιν. ἡ γὰρ τοιαύτη ἀρετὴ τὸ τρέφεσθαι καὶ αὐξάνεσθαι καὶ ὑπνώττουσιν ἐνεργεῖται καὶ μάλιστα τότε, ἡ δὲ ἀνθρωπίνη ἀρετὴ οὐδαμῶς· ὁ γὰρ ἀγαθὸς καὶ κακὸς ἥκιστα διάδηλος ὑπνώττων. καὶ διὰ τοῦτό φασι μηδὲν διαφέρειν τὸ ἥμισυ τοῦ βίου, τὸν τοῦ ὕπνου καιρὸν δηλονότι, τοὺς εὐδαίμονας τῶν ἀθλίων· καὶ εἰκότως· ἀργία γάρ ἐστιν ὁ ὕπνος καὶ τῇ σπουδαίᾳ καὶ τῇ φαύλῃ ψυχῇ. πλὴν εἰ μή τις ἐκεῖνο εἴποι, ὅτι καὶ οἱ ὕπνοι τῶν σπουδαίων βελτίους, τῶν μεθημερινῶν κινήσεων τρόπον τινὰ καὶ ἐπὶ τοὺς ὕπνους διερχομένων καὶ διὰ τοῦτο τῶν καθ' ὕπνους φαντασμάτων ἀμεινόνων τοῖς σπουδαίοις γινομένων ἢ τοῖς τυχοῦσιν· ἀλλὰ περὶ τούτων ἅλις. τὸ γὰρ θρεπτικὸν ἄμοιρον τῆς ἀνθρωπίνης ἀρετῆς, περὶ ἧς ἡμῖν ὁ λόγος. ἔστι δὲ καὶ ἄλλη τις φύσις τῆς ψυχῆς οὐ πάντη ἄλογος κατὰ τὴν εἰρημένην, ἀλλά πῃ μετέχουσα λόγου καὶ μαχομένη πρὸς τὸν λόγον. διὸ καὶ τὸν τοῦ ἐγκρατοῦς λόγον καὶ τὸν τοῦ ἀκρατοῦς δὲ ἐνίοτε ἐπαινοῦμεν, ὅτι ἀντέχουσι πρὸς τὸ ἀντιτεῖνον· ὁ μὲν μέχρις οὗ δεῖ, ὁ δὲ ἐνίοτε καὶ μέχρι τινός. καὶ διὰ τοῦτο φαίνεται ἄλλο τι ὂν ἐν αὐτοῖς παρὰ τὸν λόγον, ὃ μάχεται καὶ ἀντιτείνει τῷ λόγῳ. ἀτεχνῶς γάρ, καθάπερ τὰ παραλελυμένα τοῦ σώματος μόρια εἰς τὰ δεξιὰ προαιρουμένων κινῆσαι, τοὐναντίον καὶ εἰς τὰ ἀριστερὰ παραφέρεται· οὕτω καὶ ἐπὶ τῆς ψυχῆς. ἐπὶ τἀναντία γὰρ αἱ ὁρμαὶ τῶν ἀκρατῶν φέρονται τῆς τοῦ λόγου κινήσεως. ἀλλ' ἐν τοῖς σώμασι μὲν ὁρῶμεν τὸ παραφερόμενον, ἐπὶ δὲ τῆς ψυχῆς οὐχ ὁρῶμεν. εἰ δὲ καὶ μὴ ὁρᾶται, ὅμως ἐστὶ καὶ νομιστέον εἶναί τι παρὰ τὸν λόγον ἐναντιούμενον τούτῳ καὶ ἀντιβαῖνον· πῶς δέ, πρὸς τὸ προκείμενον λέγειν οὐδὲν συντελεῖ. φαίνεται δὲ καὶ τοῦτο λόγου μετέχον, ὥσπερ εἴπομεν, καθόσον τῷ λόγῳ πειθαρχεῖ. καὶ γὰρ τῷ τοῦ ἐγκρατοῦς λόγῳ τοῦτο τὸ ἄλογον, τὸ θυμικὸν λέγω καὶ τὸ ἐπιθυμητικόν, ἄγεται καὶ πείθεται. ἔτι δὲ μᾶλλον πείθεται καὶ εὐηκοώτερόν ἐστι τῷ λόγῳ τοῦ σω-

23. 24 περὶ μὲν τούτων Aristoteles   30 μάχεται καὶ B et Arist. codd. $L^b O^b$: μάχεταί τε καὶ Arist. vulg.

φρονος καὶ ἀνδρείου· ἐν αὐτῷ γὰρ πάντα τῷ λόγῳ συμφωνεῖ. ὥστε φαί-
νεται τὸ ἄλογον τῆς ψυχῆς διττὸν εἶναι, τὸ μὲν πάντῃ ἄλογον τὸ φυτικόν,
τὸ | αὐξητικὸν δηλονότι καὶ θρεπτικόν, τὸ δέ πῃ λόγου μετέχον, τὸ θυμι- 14
κὸν καὶ ἐπιθυμητικόν· τοῦτο γὰρ κοινωνεῖ λόγου καθ' ὅσον κατήκοόν
ἐστιν αὐτοῦ καὶ πειθαρχικόν. ὅτι δὲ πείθεταί πως ὑπὸ λόγου τὸ
ἄλογον, φανερὸν ἀπὸ τῶν νουθεσιῶν καὶ τῶν παρακλήσεων καὶ ἐπιτιμή-
σεων· ἀπὸ τούτων γὰρ πολλαὶ τῶν ἀλόγων κινήσεων ῥυθμίζονται. διττῶς
δὲ λέγεται τὸ λόγου μετέχειν καθάπερ καὶ τὸ λόγον ἔχειν. λέγομεν γὰρ
τοῦ πατρὸς καὶ τῶν φίλων λόγον ἔχειν τὸ ἐπιστρέφεσθαι πρὸς αὐτοὺς καὶ
οἷς κελεύουσιν ἐξακολουθεῖν, λέγομεν δὲ καὶ τῶν μαθηματικῶν λόγον ἔχειν 10
τὸ εἰδέναι αὐτὰ καὶ γνῶσίν τινα καὶ ἐπιστήμην αὐτῶν ἔχειν. κατὰ τοῦτον
τὸν τρόπον διπλῶς λέγεται καὶ τὸ λόγου μετέχειν· τὸ μὲν κυρίως καὶ ⟨ἐν⟩
ἑαυτῷ, ὥσπερ αὐτὸ τὸ λογικόν, τὸ δὲ διὰ τὸ ἐκείνῳ πειθαρχεῖν λόγου
μετέχειν λέγεται, ὥσπερ τις τῷ πατρὶ πείθεται. διαιρεῖται δὲ καὶ ἡ ἀρετὴ
κατὰ τὴν διαφορὰν ταύτην· λέγομεν γὰρ αὐτὰς τὰς μὲν διανοητικάς,
αἳ τοῦ λογικοῦ εἰσι, τὰς δὲ ἠθικάς, αἳ τοῦ θυμικοῦ καὶ ἐπιθυμητικοῦ εἰσι.
καὶ διανοητικαὶ μέν εἰσι σοφία σύνεσις καὶ φρόνησις, ἠθικαὶ δὲ ἐλευθε- 20
ριότης καὶ σωφροσύνη. ὅταν γὰρ περὶ τοῦ ἤθους λέγωμεν, οὐ λέγομεν
τὸν ἄνθρωπον σοφὸν ἢ συνετὸν ἀλλὰ πρᾷον καὶ σώφρονα. ἐπαινοῦμεν
δὲ καὶ τὸν σοφὸν διὰ τὴν ἀγαθὴν ἕξιν, ἥτις ἐστὶν ἀρετή· τὰς γὰρ ἐπαι-
νετὰς ἕξεις ἀρετὰς λέγομεν.

12 ἐν ins. Mullach 18 λέγωμεν Mullach: λέγομεν Bh 20 καὶ om. h

Ὅτι οὔτε φύσει οὔτε παρὰ φύσιν ἐν ἡμῖν γίνονται αἱ ἀρεταί, ἀλλὰ ἀπὸ τοῦ ἔθους. κεφ. α΄.

Ἐπεὶ δὲ ἡ ἀρετὴ τῆς ψυχῆς ἐστι τελειότης, τῆς ψυχῆς δὲ τὸ μέν ἐστι λογικόν, τὸ δὲ ὀρεκτικόν, διττὴν ἀνάγκη καὶ τὴν ἀρετὴν εἶναι, καὶ τὴν μὲν τοῦ διανοητικοῦ, ἥτις ἐστὶν ἡ σοφία καὶ ἡ φρόνησις, τὴν δὲ τοῦ ὀρεκτικοῦ, ἥτις ἠθικὴ καλεῖται. καὶ ἡ μὲν διανοητικὴ ἔχει μὲν καὶ ἀπὸ τῆς φύσεως τὴν ἀρχήν (δεκτικὸν γὰρ ὁ ἄνθρωπος ἐπιστήμης) καὶ ἀπὸ ἤθους αὔξησιν λαμβάνει τινά, τὸ δὲ πλέον ἀπὸ τῆς διδασκαλίας καὶ τὴν γένεσιν καὶ τὴν αὔξησιν ἔχει. διόπερ ἐμπειρίας δεῖται καὶ χρόνου, ἡ δὲ ἠθικὴ ἐξ ἔθους περιγίνεται. ἡ μὲν γὰρ φύσις ἐκεῖνο δίδωσι μόνον, τὸ δύνασθαι σπουδαίους γενέσθαι, ἡ δὲ διδασκαλία γινώσκειν ὅτι δέον γενέσθαι, τὸ δὲ καὶ ἐνεργείᾳ ἤδη γενέσθαι σπουδαίους μόνον τὸ ἔθος παρέχεται. ἀπὸ τούτου δὲ καὶ τὸ ὄνομα ἔλαβεν· ἠθικὴ γὰρ καλεῖται, μικρὸν παρεγκλῖνον ἀπὸ τοῦ ἔθους. ὥστε δῆλον, ὅτι οὐδεμία τῶν ἠθικῶν ἀρετῶν φύσει ἡμῖν περιγίνεται. εἰ γὰρ φύσει σπουδαῖοι ὑπήρχομεν, οὐκ ἂν ἐκινούμεθα πρὸς τοὐναντίον ἀπὸ τοῦ ἔθους, νυνὶ δὲ κινούμεθα. οὐδεμία ἄρα τῶν ἠθικῶν ἀρετῶν φύσει ἡμῖν περιγίνεται· οὐδὲν γὰρ τῶν φύσει κινουμένων ὑπὸ τοῦ ἔθους ἐπὶ τὴν ἐναντίαν μεταβάλλει ῥοπήν. οὔτε γὰρ τὸν λίθον ἐθίσει τις ἄνω φέρεσθαι, κἂν μυριάκις ἄνω ῥίπτῃ, οὔτε τὸ πῦρ κάτω, οὐδὲ ἄλλο τῶν ἄλλως πεφυκότων ἄλλως ἂν ἐθισθείη. οὔτ' ἄρα φύσει οὔτε παρὰ φύσιν ἡμῖν ἐγγίνονται αἱ ἀρεταί, ἀλλὰ τὸ δύνασθαι μὲν ἀπὸ φύσεως ἔχομεν καὶ πεφύκαμεν δέχεσθαι τὰς ἀρετάς, δεχόμεθα δὲ καὶ τελειούμεθα διὰ τοῦ ἔθους. ἔτι τῶν φυσικῶν τὰς δυνάμεις πρῶτον τελείας ἔχοντες, εἶτα χρώμεθα· τὴν γὰρ ὀπτικὴν ἢ ἀκουστικὴν δύναμιν τελείαν ἔχοντες ἐχρησάμεθα· οὐ γὰρ ἀπὸ τοῦ πολλάκις ἰδεῖν ἢ πολλάκις ἀκοῦσαι τὰς αἰσθήσεις ἐλάβομεν, ἀλλὰ τὸ ἀνάπαλιν ἔχοντες ἐχρησάμεθα· τὰς δὲ ἀρετὰς λαμβάνομεν

1 Ἀριστοτέλους ἠθικῶν βιβλίον β h 15 παρεγκλῖνον Bh cum Arist. codd. K[b]N[b]: παρεκκλῖνον Arist. vulg.

ἐνεργήσαντες πρότερον. ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων ἔχει τεχνῶν·
ἃ γὰρ δεῖ μαθόντας ποιεῖν, ταῦτα ἀπὸ τοῦ ποιεῖν μανθάνομεν. οἷον
οἰκοδομοῦντες μὲν οἰκοδόμοι γινόμεθα, κιθαρίζοντες δὲ κιθαρισταί. οὕτω
δὴ καὶ τὰ δίκαια πράττοντες δίκαιοι γινόμεθα καὶ τὰ σώφρονα σώφρονες
καὶ τὰ ἀνδρεῖα ἀνδρεῖοι. μαρτυρεῖ δὲ καὶ τὸ γινόμενον ἐν ταῖς πό- 20
λεσιν· οἱ γὰρ νομοθέται τῷ ἔθει ἀγαθοὺς τοὺς πολίτας ποιοῦσι. συνε-
λαύνουσι γὰρ ἀμοιβαῖς ἀγαθῶν καὶ τιμωρίαις ἐπὶ τὰς ἀγαθὰς πράξεις καὶ
οὕτω σπουδαίους ἀποτελοῦσιν. εἰ δὲ καὶ μὴ πάντες τοῦτο ποιοῦσιν, ἁμαρ-
τάνουσιν· ἡ γὰρ ἐπαγγελία καὶ τὸ βούλημα παντὸς νομοθέτου τοῦτό ἐστι,
τὸ τοὺς πολίτας ἐπὶ τὰς ἀγαθὰς πράξεις ἐθίζειν. οὐκ ἄρα ἀπὸ φύ|σεως 47
ἀλλὰ ἀπὸ τοῦ ἔθους αἱ ἀρεταί. ἔτι ἐκ τῶν αὐτῶν καὶ διὰ τῶν αὐ-
τῶν ἐθῶν καὶ ἔργων καὶ γίνεται πᾶσα ἀρετὴ καὶ φθείρεται· γίνε-
ται μὲν ἀγαθῶν ὄντων τῶν ἐθῶν, φθείρεται δὲ ἀπὸ τῶν ἐναντίων. ὁμοίως
δὲ καὶ τέχνη· ἐκ γὰρ τοῦ κιθαρίζειν καὶ οἱ ἀγαθοὶ καὶ οἱ κακοὶ
ἀποτελοῦνται κιθαρισταί· ἐκ μὲν τοῦ καλῶς οἱ ἀγαθοί, ἐκ δὲ τοῦ κακῶς
κιθαρίζειν κακοί· ὁμοίως δὲ καὶ οἱ οἰκοδόμοι καὶ πάντες ἄλλοι τεχνῖται
ἀπὸ τῆς κατὰ τέχνην ἐνεργείας ἢ ἀγαθοὶ ἢ κακοὶ γίνονται· ἐκ μὲν γὰρ
τοῦ εὖ οἰκοδομεῖν ἀγαθοὶ γίνονται οἰκοδόμοι, ἐκ δὲ τοῦ κακῶς 10
κακοί. εἰ γὰρ μὴ ἀπὸ τῶν τοιῶνδε ἦν ἐνεργειῶν ἡ τοιάδε τέχνη, ἀλλὰ
φύσις ἦν ἡ τὸν τεχνίτην ποιοῦσα, οὐκ ἂν ἐδέησεν οὐδενὶ διδασκάλου πρὸς
⟨τὴν⟩ τέχνην, ἀλλὰ πάντες ἂν εὐθὺς ἐγίνοντο ἢ ἀγαθοὶ ἢ τοὐναντίον. τοῦ-
τον δὴ τὸν τρόπον καὶ ἐπὶ τῶν ἀρετῶν ἔχει. πράττοντες γὰρ τὰ συν-
αλλάγματα τὰ πρὸς τοὺς ἀνθρώπους γινόμεθα οἱ μὲν δίκαιοι, οἱ δὲ
ἄδικοι, τὸ μὲν ἀπὸ τοῦ πάντα δικαίως πράττειν καὶ κατὰ νόμον, τὸ δὲ
ἀπὸ τῆς ἐναντίας πολιτείας. πάλιν δὲ ἐπειδὰν δεινοῖς τισι περιπέσωμεν,
ἐθιζόμεθα φοβεῖσθαι ἢ θαρρεῖν καὶ οἱ μὲν ἀνδρεῖοι οἱ δὲ δειλοὶ γινόμεθα. 20
ὁμοίως δὲ καὶ περὶ τὰς ἐπιθυμίας ἔχει καὶ τὰς ὀργάς· ἀπὸ γὰρ
τῶν ἐθῶν καὶ τῆς ἐν αὐτοῖς ἀναστροφῆς οἱ μὲν σώφρονες καὶ πρᾶοι
γίνονται, οἱ δὲ ἀκόλαστοι καὶ ὀργίλοι· καὶ ἑνὶ λόγῳ τὸ πᾶν συνε-
λόντα εἰπεῖν, πᾶσα ἕξις ἀπὸ τῆς ὁμοίας ἐνεργείας τίκτεται. ἀγαθὴ μὲν
ἀγαθῆς, φαύλη δὲ φαύλης. διὰ τοῦτο οὐ δεῖ τῆς ἀγαθῆς ἕξεως ἐνέργειαν
ἁπλῶς αἰτίαν λέγειν ἀλλ' ἀγαθὴν οὐδὲ τῆς κακῆς ἁπλῶς ἐνέργειαν ἀλλὰ
κακήν· ὥσπερ ἐπὶ τῆς οἰκοδομικῆς· οὐ γὰρ τῆς ἀγαθῆς οἰκοδομικῆς ἕξεως 48
τὴν οἰκοδομικὴν ἁπλῶς ἐνέργειαν αἰτίαν ἐροῦμεν ἀλλὰ τὴν ἀγαθὴν οἰκοδο-
μικὴν ἐνέργειαν τῆς ἀγαθῆς καὶ τῆς φαύλης ⟨τὴν⟩ φαύλην αἰτίαν καὶ ὅλως
τοιάσδε τινὰς ἀποδοτέον ἑκάστῃ τῶν ἕξεων τὰς ἐνεργείας. κατὰ γὰρ τὰς
τούτων διαφορὰς ἀκολουθοῦσιν αἱ ἕξεις. διὰ ταῦτα πολλὴ διαφορὰ
πρὸς τὴν ἕξιν ἀπὸ τοῦ καλῶς ἢ κακῶς ἐκ νέων ἐθίζεσθαι· μᾶλλον δὲ
πᾶσα ἡ τῶν ἕξεων διαφορὰ ἐκεῖθέν ἐστιν.

2 μαθόντας B: μαθόντες h 4 δὴ Bh et Arist. L^b: δὲ Arist. vulg.: om. M^b τὰ (ante δίκαια) om. h 7 ἀγαθῶν B: ἀγαθαῖς h 20. 21 πρὸς τὴν τέχνην h: πρὸς τέχνην B 27 καὶ περὶ Bh et Arist. codd. L^bM^b: καὶ τὰ περὶ Arist. vulg. 28 ἐθῶν h: ἐθνῶν B 35 τὴν inserui: καὶ τὴν φαύλην καὶ τῆς φαύλης αἰτίαν h

Ὅτι αἱ κατ᾽ ἀρετὴν πράξεις μεσότητές εἰσι καὶ ὑπὸ ὑπερβολῆς καὶ ἐλλείψεως φθείρονται. κεφ. β΄.

Ἐπεὶ οὖν ἡ παροῦσα πραγματεία οὐκ ἔστι τοῦ θεωρητικοῦ τῆς φιλοσοφίας μέρους, ὃ τὴν θεωρίαν τῆς ἀληθείας μόνον ἔχει τέλος (καταγίνεται γὰρ περὶ τὰ ὄντα, ἃ μόνον γνωστά εἰσιν, οὐ μέντοι καὶ πρακτά), ἀλλὰ τοῦ πρακτικοῦ μέρους ἐστίν, ὃ τέλος ἔχει τὸ ποιῆσαι τὸ ἀγαθόν· οὐ γὰρ ἵνα εἰδῶμεν τί ἐστιν ἀρετὴ σκεπτόμεθα, ἀλλ᾽ ἵν᾽ ἀγαθοὶ γενώμεθα· ἐπεὶ εἰ οὕτως εἶχεν, οὐδὲν ἂν ἦν ὄφελος ἡμῖν τῆς σπουδῆς, μὴ πρὸς τὸ τέλος ἀφικνουμένοις. ἐπεὶ οὖν αἱ πράξεις τὸ τέλος, σκεψώμεθα τὰ περὶ τὰς πράξεις, αἳ κύριαί εἰσι, καθάπερ εἴρηται, τοῦ ἀγαθὰς ἢ πονηρὰς τὰς ἕξεις γενέσθαι, ὑπὲρ ὧν ὁ λόγος ἡμῖν. τὸ μὲν οὖν οὕτω διορίσασθαι τὰς ἀγαθὰς πράξεις τὰς κατὰ τὸν ὀρθὸν γινομένας λόγον, καὶ τὰς πονηρὰς τοὐναντίον, ἀληθὲς μέν, οὐκ ἔστι δὲ ἱκανὸν τὰς πράξεις σημᾶναι. τὸ γὰρ κατὰ τὸν ὀρθὸν λόγον γίνεσθαι, καθόλου τί ἐστι, τὸ δὲ τοιοῦτον ἀποδιδόμενον οὐχ ἱκανὸν | πρᾶγμα ἀγνοούμενον ἀποδεῖξαι. τὸν γὰρ 49 ἐρωτῶντα περὶ τοῦ ἀνθρώπου τί ἐστι, τὸ ζῷον ἀποδιδόμενον οὐκ ἀρκεῖ διδάξαι τὸν περὶ αὐτοῦ λόγον. διὰ τοῦτο τοῦτο μὲν ὑπερκείσθω. ῥηθήσεται δὲ ὕστερον περὶ αὐτοῦ, καὶ τί ἐστιν ὀρθὸς λόγος, καὶ πῶς ἔχει πρὸς τὰς ἄλλας ἀρετάς. ἐκεῖνο δὲ προδιομολογείσθω, ὅτι πάντα τὸν ⟨περὶ τῶν πρακτῶν λόγον, δηλονότι τὸν⟩ περὶ τῶν πράξεων, τίνες αὐτῶν ἀγαθαὶ καὶ τίνες αἱ φαῦλαι, οὐκ ἀκριβῶς ἀλλ᾽ ὡς ἐν τύπῳ γίνεσθαι δεῖ, ὥσπερ καὶ κατ᾽ ἀρχὰς εἴπομεν, ὅτι ταῖς ὕλαις ἀκολούθως τοὺς λόγους τοὺς περὶ αὐτῶν ἀπαιτεῖν προσήκει, ἐπεὶ καὶ αἱ πράξεις καὶ τὰ ἐν αὐταῖς συμφέροντα οὐ τὰ αὐτά εἰσιν ἀεί, ὥσπερ οὐδὲ τὰ [νῦν] ὑγιεινά, ἀλλὰ νῦν μὲν τοῦτο νῦν δὲ τοὐναντίον ἅπαν (ταῖς γὰρ διαθέσεσι τῶν σωμάτων καὶ ταῖς τοῦ καιροῦ μεταβολαῖς συμμεταβάλλουσιν), οὕτω δὴ καὶ ἐπὶ τῶν πράξεων ἔχει· αἱ αὐταὶ γὰρ νῦν μὲν βλαβεραί, νῦν δὲ ὠφέλειαν ἤνεγκαν, καὶ τοῖς αὐτοῖς ἀνθρώποις πολλάκις. οὕτω δὲ ἀκριβῶς διωρίσθαι μὴ δυναμένου τοῦ περὶ τῶν καθόλου λόγου, ἔτι μᾶλλον σφαλερώτερος ὁ περὶ τῶν καθ᾽ ἕκαστα· τὰ γὰρ καθ᾽ ἕκαστα τῶν καθόλου ἧττον δυνάμεθα γινώσκειν· ἡ γὰρ περὶ ταῦτα σκέψις οὔτε ὑπὸ τέχνην ἐστί τινα οὔτε μέθοδον καὶ παραγγελίαν ὡρισμένην. καὶ διὰ τοῦτο δέον ἐστὶ τοὺς πράττοντας πρὸς τὸν καιρὸν βλέπειν καὶ ἀπὸ τούτου ζητεῖν τὸν περὶ τῶν πράξεων λόγον· γνώσονται γὰρ εἰ ἀγαθαί εἰσιν αἱ πράξεις ἢ φαῦλαι τοῦτον τὸν τρόπον σκοποῦντες, ὥσπερ καὶ ἰατροὶ καὶ κυβερνῆται ποιοῦσι· τὰς γὰρ κατὰ τὴν τέχνην πράξεις ἑκάτερος ἀπὸ τοῦ καιροῦ κρίνουσιν. ἀλλὰ

3 τῆς om. h 7 ἀρετὴ Bh ut Arist. cod. O^b: ἡ ἀρετὴ Arist. vulg. 15 ἀποδεῖξαι B: ὑποδεῖξαι h 17 ὑπερκείσθω B et Arist. N^b: ὑποκείσθω Arist. vulg. 18 ὀρθὸς λόγος Bh ut Arist. $K^bL^bO^b$: ὁ ὀρθὸς λόγος Arist. vulg. 20 περὶ — τὸν h: om. B 22 κατ᾽ ἀρχάς] p. 4,20 24 νῦν seclusi 25 ἅπαν corruptum videtur 29 τῶν h: αὐτῶν B

καίπερ ὄντος τοιούτου τοῦ παρόντος λόγου. πειρα|τέον βοηθεῖν 50 τῇ κατ' αὐτὸν ἀληθείᾳ. καὶ πρῶτον τοῦτο θεωρητέον, ὅτι αἱ κατ' ἀρετὴν πράξεις ὑπὸ ἐνδείας ἢ ὑπερβολῆς πεφύκασι φθείρεσθαι· ὥσπερ ἐπὶ τῆς ἰσχύος καὶ τῆς ὑγιείας ὁρῶμεν· δεῖ γὰρ ὑπὲρ τῶν ἀφανῶν τοῖς φανεροῖς μαρτυρίοις κεχρῆσθαι. τά τε γὰρ ὑπερβάλλοντα γυμνάσια τὴν ἰσχὺν τοῦ σώματος διαφθείρει καὶ τὰ ἐλλείποντα τοῦ μετρίου· τὸν αὐτὸν δὲ τρόπον καὶ τὰ σιτία καὶ τὰ ποτὰ τὰ μὲν πλείω ἢ ἐλάττω τῶν δεόντων τὴν ὑγίειαν ἀπελαύνει, τὰ μέσα δὲ καὶ ποιεῖ καὶ αὔξει καὶ σῴζει· οὕτως οὖν καὶ ἐπὶ τῆς σωφροσύνης καὶ τῆς ἀνδρείας 10 ἔχει καὶ τῶν ἄλλων ἀρετῶν. ὅ τε γὰρ πάντα φεύγων καὶ φοβούμενος καὶ μηδὲν ὑπομένων δειλὸς γίνεται, ὅ τε μηδὲν ὅλως φοβούμενος ἀλλὰ πρὸς πάντα βαδίζων θρασύς, ἀνδρεῖος δὲ ὁ μέσος. ὁμοίως δὲ καὶ ἡ σωφροσύνη ὑπὸ τῆς ὑπερβολῆς καὶ ἐλλείψεως φθείρεται· καὶ γὰρ ὁ μὲν πάσης ἡδονῆς ἀπολαύων καὶ μηδεμιᾶς ἀπεχόμενος ἀκόλαστός ἐστιν, ὁ δὲ πάσας φεύγων ὥσπερ οἱ ἄγροικοι ἀναίσθητος, ὁ δὲ μέσος ὁ σώφρων ἐστίν. ὑπὸ τῆς μεσότητος γὰρ καὶ ἡ σωφροσύνη καὶ ἡ ἀνδρεία σῴζεται. οὐ μόνον δὲ αἱ ἐνέργειαι, δι' ὧν αἱ 20 γενέσεις καὶ αἱ αὐξήσεις τῶν ἀρετῶν καὶ αἱ φθοραί, καταλλήλως ἔχουσι τοῖς ἀποτελουμένοις, ἀγαθαὶ μέν, εἰ γεννῶσι καὶ αὔξουσι, φαῦλαι δέ, εἰ φθείρουσιν, ἀλλὰ καὶ αἱ μετὰ τὰς ἕξεις τῶν ἀρετῶν ἐνέργειαι, ὧν αἴτιαί εἰσιν αἱ ἕξεις ὡσαύτως ἔχουσι· καὶ δῆλον ἀπὸ τῶν ὁμοίων τῶν φανερωτέρων. ἡ γὰρ ἰσχὺς γίνεται ἐκ τοῦ πολλὴν τροφὴν λαμβάνειν καὶ πολλοὺς πόνους ὑπομένειν· καὶ πάλιν ἡ ἰσχὺς αἰτία γίνεται ταύτης τῆς ἐνεργείας· | ὁ γὰρ ἰσχυρὸς δύναται μάλιστα πολλὴν τροφὴν λαμβάνειν 51 καὶ πολλοὺς πόνους ὑπομένειν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἀρετῶν ἔχει· καὶ γὰρ ἐκ τοῦ ἀπέχεσθαι τῶν ἡδονῶν σώφρονες γινόμεθα καὶ σώφρονες γενόμενοι δυνάμεθα τῶν ἡδονῶν ἀπέχεσθαι μᾶλλον. ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἀνδρείας· ἐθιζόμενοι γὰρ καταφρονεῖν τῶν δεινῶν καὶ ὑπομένειν αὐτὰ γινόμεθα ἀνδρεῖοι· γενόμενοι δὲ αὐτὸ τοῦτο πάλιν πλέον δυνάμεθα τὸ ὑπομένειν τὰ φοβερά.

Ὅτι περὶ ἡδονὰς καὶ λύπας ἐστὶν ἡ ἠθικὴ ἀρετή. κεφ. γ'. 10

Ἐπεὶ δὲ καὶ πρὶν εἰς ἕξιν ἐλθεῖν ἀρετῆς καὶ μετὰ τὴν ἕξιν τὰς αὐτὰς ἐπιδεικνύμεθα ἐνεργείας, τί σημεῖον γένοιτ' ἂν τῶν ἐχόντων τὰς ἕξεις ἢ τῶν μήπω κτησαμένων; οὐδὲν ἄλλο ἢ ἡ ἐπὶ τοῖς κατ' ἀρετὴν ἔργοις ἡδονή τε καὶ λύπη. ὁ μὲν γὰρ ἀπεχόμενος τῶν σωματικῶν ἡδονῶν καὶ τῷ ἀπέχεσθαι χαίρων οὗτος σώφρων ἐστίν, ὁ δὲ ἀχθόμενος ἀκόλαστος ἔτι· καὶ ὁ μὲν ὑπομένων τὰ δεινὰ καὶ χαίρων ἢ μὴ λυπούμενός γε ἀνδρεῖος, ὁ δὲ λυπούμενος δειλὸς ἔτι. περὶ ἡδονὰς γὰρ καὶ

5 κεχρῆσθαι Bh: χρῆσθαι Mullach ex Aristotele 15. 16 ἀναίσθητος Bh ut Arist. L^b O^b: ἀναίσθητός τις Arist. vulg. 28 δεινῶν B (et Heinsius ex coniectura): ἡδονῶν h: φοβερῶν Mullach 30 τὸ Bh: τῷ fort. scribendum

λύπας ἐστὶν ἡ ἠθικὴ ἀρετή. διὰ μὲν γὰρ τὴν ἡδονὴν τὰ φαῦλα 20 πράττομεν, διὰ δὲ τὴν λύπην τῶν καλῶν ἀπεχόμεθα. διὰ τοῦτο δεῖ τῶν ἀγαθῶν ἐθῶν καὶ πράξεων εὐθὺς ἐκ παίδων πολὺν ποιήσασθαι λόγον, ὥς ὁ Πλάτων φησί, καὶ ἀνάγεσθαι παῖδας ὄντας τοῖς τοιούτοις ἔθεσιν, ὥστε δυνηθῆναι χαίρειν μὲν οἷς δεῖ, λυπεῖσθαι δὲ οἷς προσῆκεν λυπεῖσθαι· ἡ γὰρ ὀρθὴ καὶ κατὰ λόγον παιδεία αὕτη ἐστίν. ἔτι, ἐπεὶ αἱ ἀρεταὶ περὶ πράξεις εἰσὶν ἢ πάθη, οἷς δέ τις πράττει ἢ πάσχει ἢ χαίρει, § 2 ἐὰν βουλόμενος πράττῃ ἢ πάσχῃ, ἢ λυπεῖται, ἐὰν ἄλλου βιαζομένου, φανερὸν ὅτι πᾶσα ἀρετὴ περὶ ἡδονὰς καὶ λύπας ἐστίν. ἔτι δὲ καὶ ἀπὸ τῶν ἐν ταῖς πολιτείαις κολάσεων φανερόν· τοὺς γὰρ τοῖς πονηροῖς ἡδομένους λυποῦντες οἱ νομοθέται πείθουσι τὰ μὲν φαῦλα μισεῖν, ἥδεσθαι δὲ τοῖς ἀγαθοῖς ἔργοις· καὶ οὕτως ἐντιθέασιν αὐτοῖς ἐθίζοντες τὴν ἐπ' ἀρετῇ ἡδονήν. αἱ γὰρ τοιαῦται κολάσεις πρὸς τοὺς νοσοῦντας τὰ πολιτικὰ ἰατρειῶν ἔχουσι λόγον. καὶ καθάπερ ἐκείναις ἐναντίαι αἱ νόσοι ἃς θερα- 10 πεύουσι, καὶ ἐὰν ἴδωμεν ἰατρὸν ψυχρὰν προσάγοντα θεραπείαν, γινώσκομεν εὐθὺς τὴν νόσον ἀπὸ θέρμης συστῆναι, οὕτω καὶ ἀπὸ τῶν κολάσεων ὀδυνηρῶν οὐσῶν γινώσκομεν, ὅτι θεραπευόμεναι κακίαι ἀπὸ ἡδονῆς γίνονται. ἔτι, καθὼς εἴρηται, πᾶσα ψυχῆς ἕξις, ὑφ' ὧν τίκτεται καὶ βελτίων ἢ χείρων γίνεται, πρὸς ταῦτα καὶ περὶ ταῦτα τὴν φύσιν ἔχει καὶ ἐν αὐτοῖς συνίσταται· ἀλλὰ ἀπὸ τῆς ἡδονῆς καὶ τῆς λύπης αἱ φαῦλαι γίνονται ἕξεις, δηλαδὴ τοῦ διώκειν τὴν ἡδονὴν ὥσπερ οὐ δεῖ, καὶ ὅτε οὐ δεῖ, καὶ πάλιν φεύγειν τὴν λύπην ὅτε οὐ δεῖ καὶ ὡς οὐ δεῖ καὶ ὅπου οὐ δεῖ· καὶ 20 ὅσαι ἄλλαι περιστάσεις πονηρὰν ποιοῦσι τὴν ζήτησιν τῆς ἡδονῆς ἢ τὴν φυγὴν τῆς λύπης· ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἀρετῆς ἔχει· συνίσταται γὰρ ἀπὸ τοῦ διώκειν καὶ φεύγειν τὴν ἡδονὴν καὶ τὴν λύπην ὡς δεῖ καὶ ὅτε δεῖ. ὥστε φανερόν, ὅτι περὶ ταύτας αἱ ἕξεις τὴν φύσιν ἔχουσι καὶ ἐν αὐταῖς συνίστανται. διὰ τοῦτο καί τινες ὁρίζονται τὰς ἀρετὰς ἀπαθείας καὶ ἠρεμίας εἶναι, ἀπὸ τῆς ἡδονῆς τὸν ὁρισμὸν λαμβάνοντες· καίτοι οὐ καλῶς ὁρίζονται, ὅτι ἁπλῶς ἄνευ προσθήκης ποιοῦνται τὸν ὁρισμόν, μὴ προστι- § 3 θέντες τῇ ἠρεμίᾳ καὶ ἀπαθείᾳ τὸ ὡς δεῖ καὶ ὅτε δεῖ καὶ τὰς ἄλλας περιστάσεις. ὑπόκειται ἄρα ἡ ἀρετὴ εἶναι ἡ ἕξις ἡ οὕτως ἔχουσα περὶ ἡδονὰς καὶ λύπας, καθὼς προσδιωρισάμεθα, τῶν βελτίστων πρακτική, ἡ δὲ κακία τοὐναντίον. γνοίημεν δ' ἂν ἔτι βέλτιον περὶ τῶν εἰρημένων, καὶ ἀπὸ τούτων τῶν λόγων. τριῶν γὰρ ὄντων δι' ἃ τις αἱρεῖταί τι καὶ τοσούτων δι' ἃ τις φεύγει τι, καλοῦ συμφέροντος ἡδέος, αἰσχροῦ ἀσυμφόρου λυπηροῦ, ὁ μὲν ἀγαθὸς πᾶσι κατὰ τὸ εἰκὸς ἐπιβάλλει, διώκων μὲν 10 τὰ ἄριστα, φεύγων δὲ ἃ βλάβη διώκειν, ὁ δὲ κακὸς ἁμαρτάνει περὶ κρίσιν αὐτῶν καὶ μάλιστα τὴν τοῦ ἡδέος· ἡ γὰρ ἡδονὴ οὐ μόνον κοινή ἐστι πᾶσι τοῖς ζῴοις, ἀλλὰ καὶ πᾶσιν ἕπεται τοῖς εἰρημένοις αἱρετοῖς. ἃ γὰρ αἱρούμεθα, τούτοις πᾶσιν ἡδόμεθα. καὶ ἔστι τὸ καλὸν καὶ συμφέρον ἡδὺ τῇ

2 καλλῶν B 3 ἐθῶν h: om. B πολλὸν B 4 Plat. de Legg. II p. 653 B
5 προσήκει coni. Mullach 7 περὶ om. h 19 καὶ περὶ ταῦτα om. h 27 συνίσταται ed. 1617: συνίστανται Bh

ἑαυτῶν φύσει· καὶ διὰ τοῦτο οἱ κακοὶ ἀπατῶνται, τὸ ἡδὺ καλὸν καὶ συμ-
φέρον ἡγούμενοι πᾶν, διότι ἕπεται νομίζοντες καὶ ἀντιστρέφειν. τὸ δὲ οὐχ
οὕτως ἔχει· συμβαίνει γὰρ πολλὰ τῶν ἡδέων αἰσχρὰ καὶ ἀσύμφορα εἶναι·
ὥστε φανερόν, ὅτι περὶ ἡδονὰς καὶ λύπας αἱ ἀνθρώπιναι καταγίνονται 20
πράξεις. ἔτι πᾶσιν ἡμῖν ἐκ νηπίου τοῦτο τὸ πάθος σύνεστι καὶ συντρέφε-
ται, καθάπερ ἐγκεχρωσμένον τῷ βίῳ· καὶ τὰς ἀγαθὰς πράξεις καὶ τὰς
πονηρὰς τούτῳ κρίνομεν τῷ κανόνι, τῷ τὰς μὲν λύπην φέρειν, τὰς δὲ
ἡδονήν, καὶ πάντες οὕτω κανονίζομεν τὰς ἐνεργείας, εἰ καὶ μὴ ὁμοίως,
ἀλλὰ μᾶλλον καὶ ἧττον· ὥστε ἀνάγκη περὶ ἡδονὰς καὶ λύπας εἶναι τὴν
πᾶσαν ταυτηνὶ πραγματείαν. οὐ γὰρ μικρὸν βοηθεῖ τῷ ζητοῦντι τὰ
πρακτέα τὸ εἰδέναι, τί ἐστι τὸ καλῶς χαίρειν ἢ τὸ κακῶς ἢ τὸ καλῶς 54
λυπεῖσθαι ἢ τὸ κακῶς· ἐπεὶ μηδὲ μικρὸν μέρος τῶν πράξεων τὸ ἥδεσθαι
καλῶς ἢ λυπεῖσθαι ἢ τοὐναντίον. ἀπὸ τούτων γὰρ τὰ τῶν ἀνθρώπων
ἤθη γινώσκομεν εἰ φαῦλα ἢ ἀγαθά. ἔτι ὅσα τῶν πρακτέων οὐκ εἰσὶ ῥά-
δια, περὶ ταῦτα καὶ τέχνη καταγίνεται καὶ ἀρετή· πρὸς γὰρ τὰ ῥᾴδια οὐ-
δεμία χρεία πολυχρονίου ἔθους ἢ μεθόδου τεχνικῆς· ὥστε ὅσῳ χαλεπώ-
τερα, τοσούτῳ μείζονος δεήσονται καὶ τέχνης καὶ ἀρετῆς· ἐπεὶ καὶ βέλτιον
τὸ τὰ χαλεπώτερα διαθέσθαι καλῶς τοῦ τῶν ῥᾳδίων περιγενέσθαι· ἡ ἀρετὴ 10
ἄρα μάλιστα ἐν τοῖς χαλεπωτέροις ἐστί καὶ περὶ ταῦτα καταγίνεται. ἔστι
δὲ χαλεπώτερον τῷ σπουδαίῳ ἡδονῇ μάχεσθαι ἢ θυμῷ, καθά φησιν
Ἡράκλειτος· καὶ διὰ τοῦτο ἄρα περὶ ἡδονὰς καὶ λύπας εἶναι ἀνάγκη πᾶσαν
τὴν πραγματείαν καὶ τῇ ἀρετῇ καὶ τῇ πολιτικῇ· ὁ μὲν γὰρ καλῶς
χρώμενος ἡδονῇ καὶ λύπῃ ἀγαθός, ὁ δὲ κακῶς κακός.

Ὅτι διαφέρει ὁ δίκαιος τοῦ ποιοῦντος τὰ δίκαια, καὶ ἐπὶ τῶν
ἄλλων ὁμοίως. κεφ. δʹ.

Ὅτι μὲν οὖν ἡ ἀρετὴ περὶ ἡδονὰς καὶ λύπας ἐστί, καὶ ὅτι ἐξ ὧν γί- 20
νεται, ἀπὸ τούτων καὶ αὔξεται καὶ φθείρεται, καθ' ἕτερον τρόπον καὶ
ἕτερον τῶν ἐνεργειῶν γινομένων, καὶ ὅτι ἐξ ὧν ἐγένετο, περὶ ταῦτα
καὶ ἐνεργεῖ, εἴρηται. ἀπορήσειε δ' ἄν τις πῶς λέγομεν ὅτι τὸν
θέλοντα δίκαιον γενέσθαι δεῖ τὰ δίκαια ποιεῖν καὶ τὸν σώφρονα τὰ σώ-
φρονα· οἱ γὰρ τὰ δίκαια πράττοντες δίκαιοι πάντως εἰσὶ καὶ οἱ τὰ σώφρονα
σώφρονες, ὥσπερ οἱ πράττοντες τὰ μουσικὰ ἢ γραμματικὰ μουσικοί εἰσι 55
καὶ γραμματικοί. λέγομεν δὲ πρὸς τοῦτο, ὅτι φαίνεταί τις οὖσα διαφορὰ
τοῦ τὰ δίκαια ποιοῦντος καὶ τοῦ δικαίου, ὁμοίως δὲ καὶ ἐπὶ τῶν τεχνῶν.
ἐνδέχεται γάρ τινα γραμματικόν τι ποιῆσαι ἢ ἀπὸ τύχης ἢ ἄλλου ὑπο-
θεμένου καὶ μὴ γραμματικὸν εἶναι· ἔσται δὲ γραμματικός, ὅτε γραμματικόν
τι ποιήσει καὶ γραμματικῶς, τουτέστιν ἀκολουθῶν τῷ κανόνι τῆς ἐν αὐτῷ
γραμματικῆς. οὕτω καὶ τὰ δίκαια ἐνδέχεται ποιῆσαί τινα καὶ μὴ δίκαιον
εἶναι. μᾶλλον δὲ καὶ μείζων ἐστὶν ἐν τούτοις ἡ διαφορὰ ἐπὶ τῆς ἀρετῆς 10

7 λύπειν B 11 τὸ κακῶς ἢ τὸ καλῶς om. h 14 εἰ B: ἢ h 18 περιγενέσθαι h: γενέσθαι B 21 Heraclit. frg. CV Bywater

ἢ ἐπὶ τῶν τεχνῶν. τὸ μὲν γὰρ τῶν τεχνῶν ἀγαθὸν ἐν αὐταῖς ἐστι ταῖς
ἐνεργείαις τῆς τέχνης, ὥστε ἐάν τις μουσικὰ ποιῇ μουσικὴν εἰδώς, οὐδὲν
κωλύει μουσικὸν αὐτὸν ὀνομάζειν· ἔστι γὰρ μουσικός. καὶ ἐὰν μὴ προαιρού-
μενος αὐτὸς τὰ μουσικὰ ποιῇ ἀλλὰ ἑτέρου βιαζομένου· ἐπὶ δὲ τῆς ἀρετῆς
οὐχ οὕτως. καὶ γὰρ ἐάν τις δίκαια ποιῇ, οὐκ ἂν εἴη δίκαιος, ἐὰν μὴ
πρὸς τοῖς ἄλλοις καὶ πάνυ βουλόμενος ποιῇ καὶ ὑφ' ἑαυτοῦ κινούμενος
καὶ οὐχ ἑτέρου βιαζομένου. τότε γὰρ ἔσται δίκαιος. πρῶτον μὲν ἐὰν
πράττῃ τὰ δίκαια γινώσκων ἃ πράττει, ἔπειτα ἐὰν προαιρούμενος αὐτὸς 20
πράττῃ καὶ τρίτον εἰ βεβαίως καὶ ἀμετακινήτως ἔχει πρὸς τὴν πρᾶξιν.
καὶ γὰρ οὐκ ἂν εἴη δίκαιος ὁ εἰδὼς μὲν τὰ δίκαια καὶ πράττων ἑκών,
οἰόμενος δὲ μὴ πάντα χρόνον καιρὸν εἶναι δικαιοσύνης. ταῦτα δὲ πρὸς
μὲν τὸ λαβεῖν τὰς ἄλλας τέχνας καὶ τεχνίτας εἶναι κατ' αὐτὰς οὐ ζητοῦν-
ται πλὴν τοῦ εἰδέναι· χωρὶς γὰρ τοῦ εἰδέναι πῶς ἄν τις εἴη τεχνίτης; εἰ
δὲ μήτε προαιρούμενος τὴν τέχνην ποιεῖ μήτε | ἀκινήτως ἔχων πρὸς τὴν 56
μεταχείρισιν τῆς τέχνης, οὐ διὰ τοῦτο κωλύεται τεχνίτης εἶναι· πρὸς δὲ
τὴν ἀρετὴν τὸ μὲν εἰδέναι περὶ αὐτῆς πάντα ἃ προσῆκεν εἰδέναι μικρὸν
ἢ οὐδὲν συντελεῖ πρὸς τὸ σπουδαῖόν τινα γενέσθαι. τὰ δ' ἄλλα οὐ μι-
κρὸν ἀλλὰ τὸ πᾶν δύναται· καὶ γὰρ ἐνδέχεται μηδὲν ἀκριβὲς περὶ ἀρε-
τῆς εἰπεῖν εἰδότα σπουδαῖον εἶναι. χωρὶς δὲ τοῦ προαιρεῖσθαι καὶ ἀκι-
νήτως ἔχειν πρὸς ἀρετὴν ἀδύνατον εἶναι σπουδαῖον, ἅτινα ἐκ τοῦ πολλάκις
ποιεῖν τὰς ἐνεργείας περιγίνεται, καθὼς εἴρηται. τὰ μὲν οὖν πράγματα 10
⟨δίκαια καὶ σώφρονα, ὅταν ᾖ τοιαῦτα⟩, οἷα ἂν ὁ δίκαιος ἢ ὁ σώ-
φρων πράξειε· δίκαιος δὲ καὶ σώφρων ἐστὶν οὐχ ὁ ταῦτα πράτ-
των πᾶς, ἀλλὰ ὁ οὕτω πράττων ὥσπερ οἱ δίκαιοι καὶ οἱ σώφρονες
πράττουσιν. ὥστε καλῶς λέγεται, ὅτι ἐκ τοῦ τὰ δίκαια ποιεῖν ὁ δί-
καιος γίνεται καὶ ἐκ τοῦ τὰ σώφρονα ὁ σώφρων· ὃς δὲ μὴ πράττει
ταῦτα, οὐδέποτε γίνεται ἀγαθὸς οὐδὲ μελλήσει ποτὲ γενέσθαι. ἀλλ' οἱ
πλείους τῶν ἀνθρώπων ταῦτα μὲν οὐ πράττουσιν, ἐπὶ δὲ τὴν σοφίαν κατα-
φεύγοντες καὶ τοὺς λόγους οἴονται διὰ τοῦτο φιλοσοφεῖν καὶ οἴονται σπου- 20
δαῖοι εἶναι, ὅτι μόνον περὶ τῆς ἀρετῆς ἀκριβῶς γινώσκουσιν εἰπεῖν, ὅμοιόν
τι ποιοῦντες τοῖς κάμνουσιν, οἳ τῶν ἰατρῶν ἀκούουσι μὲν ἐπι-
μελῶς, ποιοῦσι δὲ οὐδὲν τῶν προστασσομένων. ὥσπερ τοίνυν ἐκεί-
νοις οὐδέποτε ἕξει τὰ σώματα καλῶς οὕτω θεραπευομένοις, οὕτως οὐδὲ
οὗτοι τὴν ψυχὴν καλλίω ποιήσουσιν οὕτω φιλοσοφοῦντες.

Ὅτι ἕξις ἐστὶν ἡ ἀρετὴ καὶ μεσότης. κεφ. ε'. 57

Μετὰ δὲ ταῦτα σκεπτέον τί ἐστιν ἡ ἀρετή. τρία γάρ ἐστι τὰ ἐν τῇ
ψυχῇ, πάθη δυνάμεις ἕξεις. καὶ πάθη μέν εἰσιν ἐπιθυμία ὀργὴ φόβος
θράσος φθόνος χαρὰ φιλία μῖσος πόθος ζῆλος ἔλεος. ὅλως οἷς ἕπεται

1 τὸ μὲν γὰρ τῶν τεχνῶν ἀγαθὸν B: ἀγαθὸν γὰρ h   14 μήτε (prius) h: μή τι B
ἀμετακινήτως Mullach   15 μεταχείρησιν B   19. 20 ἀμετακινήτως Mullach   22 δί-
καια — τοιαῦτα h: om. B   23 πράξειε B: πράξει h

ἡδονὴ ἢ λύπη. δυνάμεις δὲ αἱ πρὸς ταῦτα ἐπιτηδειότητες τῆς ψυχῆς,
καθ' ἃς παθητικοὶ τούτων λεγόμεθα, οἷον καθ' ἃς ἐσμὲν δυνατοὶ 10
ὀργισθῆναι ἢ λυπηθῆναι ἢ ἐλεῆσαι. ἕξεις δὲ οἱ τρόποι, καθ' οὓς
πάσχομεν τὰ πάθη, δηλονότι τὸ πάσχειν αὐτὰ καλῶς ἢ κακῶς, οἷον
πρὸς τὸ ὀργισθῆναι εἰ μὲν σφοδρῶς καὶ ἀσχέτως ἔχομεν ἢ τοὐναν-
τίον ἀνειμένως καὶ μαλακῶς, κακῶς ἔχομεν, εἰ δὲ μέσως, καλῶς·
ὁμοίως δὲ καὶ πρὸς τὰ ἄλλα. τούτων δὲ τῶν τριῶν τί ἐστιν ἡ ἀρετή,
πάθος ἢ δύναμις ἢ ἕξις; πάθος μὲν οὖν οὐκ ἔστιν οὔτε ἡ ἀρετὴ οὔτε ἡ
κακία. κατὰ μὲν γὰρ τὴν ἀρετὴν σπουδαῖοι λεγόμεθα καὶ κατὰ τὴν κακίαν
φαῦλοι, κατὰ δὲ τὰ πάθη οὐδαμῶς· οὐδεὶς γὰρ φαῦλος ἢ σπουδαῖος διὰ 20
μόνον τὸ ὀργίζεσθαι· ἡ ἀρετὴ ἄρα ἢ ἡ κακία οὐκ ἔστι πάθος. ἔτι, κατὰ
μὲν τὰ πάθη οὔτε ἐπαινούμεθα οὔτε ψεγόμεθα, κατὰ δὲ τὰς ἀρετὰς ἢ τὰς
κακίας ἐπαινούμεθα ἢ ψεγόμεθα. ἔτι ὀργιζόμεθα μὲν καὶ φοβού-
μεθα ἀπροαιρέτως καὶ τὰ ἄλλα πάσχομεν ὁμοίως, ἐπὶ δὲ τῆς ἀρετῆς
καὶ τῆς κακίας οὐχ οὕτως· οὐκ ἄρα εἰσὶ πάθη. ἔτι πρὸς τὰ πάθη οὐ
λεγόμεθα διακεῖσθαι ἀλλὰ μᾶλλον κατ' αὐτὰ κινεῖσθαι, πρὸς δὲ τὴν ἀρε-
τὴν διακεῖσθαι λεγό|μεθα καὶ πρὸς τὴν κακίαν· οὐκ ἄρα εἰσὶ πάθη. διὰ 58
τὰ αὐτὰ δὲ οὐδὲ δυνάμεις εἰσίν. οὔτε γὰρ φαῦλοι ἢ ἀγαθοὶ λεγόμεθα τῷ
δύνασθαι ὀργισθῆναι ἁπλῶς οὔτε ἐπαινούμεθα ἢ ψεγόμεθα. οὔτε τῷ
προαιρεῖσθαι δυνάμεθα ὀργισθῆναι, καθάπερ ἐπὶ τῆς ἀρετῆς ἔχει, ἀλλὰ
μᾶλλον τῷ πεφυκέναι· ἀγαθοὶ γὰρ ἢ κακοὶ οὐ γινόμεθα φύσει, καθὼς ἐν
τοῖς προειρημένοις ἐδείχθη. εἰ οὖν μήτε πάθη αἱ ἀρεταὶ μήτε δυνά-
μεις, λείπεται τῶν ἕξεων αὐτὰς εἶναι. τί μὲν οὖν ἐστιν ἀρετὴ τῷ γένει, 10
εἴρηται· ἔστι γὰρ ἕξις. δεῖ δὲ μὴ μόνον ἕξιν αὐτὴν εἶναι λέγειν, ἀλλὰ
προστιθέναι τὸ τοιάδε τις, τουτέστιν ἀγαθή· ἡ γὰρ κακία ἕξις ἐστὶ πονηρά.
ῥητέον οὖν περὶ τῆς ἀρετῆς ἐκεῖνο, ὅτι πᾶσα ἀρετὴ αὐτό τε κοσμεῖ τὸ
ἔχον τὴν ἀρετὴν καὶ καλῶς ἔχειν ποιεῖ καὶ τὸ ἔργον αὐτοῦ τὸ δι' αὐτῆς
ἐνεργούμενον εὖ διατίθησιν, οἷον ἡ τοῦ ὀφθαλμοῦ ἀρετὴ καὶ αὐτὸν
τὸν ὀφθαλμὸν τελειοῖ καὶ ποιεῖ ἀγαθὸν καὶ τὸ ἔργον αὐτοῦ, δηλονότι τὸ
ὁρᾶν· τῇ γὰρ τοῦ ὀφθαλμοῦ ἀρετῇ εὖ ὁρῶμεν. ὁμοίως καὶ ἡ τοῦ ἵππου
ἀρετὴ αὐτόν τε τὸν ἵππον κοσμεῖ καὶ ἀγαθὸν ποιεῖ καὶ τὸ ἔργον αὐτοῦ· 20
καὶ γὰρ τῇ τοιαύτῃ ἀρετῇ δύναται ἐνεγκεῖν καλῶς ἐπιβάτην καὶ δραμεῖν
καὶ μεῖναι τοὺς πολεμίους. ἐπεὶ δὲ οὕτως ἐπὶ πάντων ἔχει, καὶ ἡ ἀνθρω-
πίνη ὁμοίως ἂν ἔχοι, καὶ εἴη ἂν ἡ ἀνθρωπίνη ἀρετὴ ἕξις ἀφ' ἧς ὁ ἄν-
θρωπος ἀγαθὸς γίνεται καὶ ἀφ' ἧς τὸ ἀνθρώπινον ἔργον εὖ καὶ καλῶς
ἀποτελέσει. πῶς δὲ ἔσται ἡμῖν ἡ τοιαύτη ἕξις, εἴρηται μὲν καὶ πρὸ ὀλί-
γου (ἐλέγομεν γὰρ τῆς μεσότητος ἀεὶ στοχάζεσθαι τῶν ἐπὶ τὰ πάθη κινή-
σεων, καὶ ἑαυτὸν ἐθίζειν | ἐν τοῖς τοιούτοις τὸν ἐν ἀρετῇ ζῆν προαιρούμενον), 59
ἔτι δὲ καὶ ἀπὸ τῶν λεχθησομένων ἔσται φανερόν, ἐὰν θεωρήσωμεν
ποία τίς ἐστιν ἡ φύσις τῆς ἀρετῆς. σκοπῶμεν δὲ οὕτως. ἐν παντὶ
συνεχεῖ, οἷον γραμμῇ ἐπιφανείᾳ σώματι ἢ λόγῳ ἢ χρόνῳ καὶ ὅλως ἐν
παντὶ δυναμένῳ διαιρεθῆναι λαβεῖν ἔστι τὸ μὲν πλεῖον, τὸ δὲ ἔλαττον,
τὸ δὲ ἴσον, οἷον ἐπὶ τοῦ συνεχοῦς, εἰ τὸ μὲν δεκάπηχυ πολύ, τὸ δὲ
δίπηχυ ὀλίγον, ἴσον ἔσται τὸ ἓξ ἔχον πήχεις, ὃ καὶ μέσον καλεῖται. ὅτι

ᾧ ἐλλείπει τοῦ δεκαπήχεος ὑπερέχει τοῦ διπήχεος. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ διωρισμένου ποσοῦ· εἰ γὰρ τὰ εἴκοσι πολύ, τὰ δὲ δέκα ὀλίγον, ἴσον ἔσται τὰ δεκαπέντε, ὅτι ᾧ ἐλλείπει τοῦ μείζονος ὑπερέχει τοῦ ἐλάττονος· τὸ δὲ τοιοῦτον ἴσον μέσον καλεῖται καὶ ἡ τοιαύτη τάξις ἀριθμητικὴ ἀναλογία. καὶ ἐπὶ μὲν τοῦ διωρισμένου ποσοῦ οὐκ ἀνάγκη ἐπὶ παντὸς λαβεῖν τὴν τοιαύτην ἀναλογίαν (οὐ γάρ ἐστιν ἐπ᾽ ἄπειρα διαιρετέον)· ἐπὶ δὲ τοῦ συνεχοῦς ἐπὶ παντὸς δυνατόν ἐστιν, ἅτε ἀπειράκις δυναμένου διαιρεθῆναι. τοῦτο δὴ τὸ μέσον οὐχ ὁμοίως ἀεὶ κρίνομεν, ἀλλὰ ποτὲ μὲν κατ᾽ αὐτὸ τὸ πρᾶγμα, ποτὲ δὲ πρὸς ἡμᾶς. καὶ κατ᾽ αὐτὸ μὲν τὸ πρᾶγμα μέσον ἐστὶ τὰ ἓξ τοῦ δέκα καὶ δύο ἴσον ὑπερέχοντα καὶ ἐλλείποντα (ἀπ᾽ αὐτῶν γὰρ τῶν πραγμάτων λαμβάνεται ἡ διαφορά). πρὸς ἡμᾶς δέ, ὅταν ἀφ᾽ ἡμῶν ἡ μεσότης καὶ ἡ ὑπερβολὴ καὶ ἡ ἔλλειψις λαμβάνηται, οἷον εἴ τινι πολὺ τὸ δέκα μνᾶς φαγεῖν, δύο δὲ ὀλίγον, οὐκ ἀνάγκη τὰς ἓξ μνᾶς τὴν μεσότητα φυλάττειν καὶ προσηκούσας εἶναι τῷ σώματι· δυνατὸν γὰρ ἢ πλείους ἢ ἐλάττους ἀρκεῖν. πρὸς μὲν οὖν αὐτὸ τὸ πρᾶγμα αἱ ἓξ μναῖ τὸ μέσον καὶ ἴσον ἐστί, πρὸς | ἡμᾶς δὲ ἑπτὰ ἴσως ἢ πέντε, ἤγουν ὅσαις τὸ σῶμα 60
προσήκει. αἱ δὲ ἓξ Μίλωνι μὲν ἅτε ἱκανῶς γεγυμνασμένῳ ὀλίγη ἔσται τροφὴ καὶ ὁ ἀλείπτης πλείω παρέξει, τῷ δὲ ἀρχομένῳ τῶν γυμνασίων πολύ. ὁμοίως δὲ καὶ ἐπὶ δρόμου καὶ πάλης ἔχει· καὶ ἐπὶ τούτων γὰρ ἀπὸ τῶν γυμναζομένων τὸ ἴσον κρίνομεν. ἔτι δὲ καὶ πᾶς τῆς ἡστινοσοῦν προϊστάμενος ἐπιστήμης τὸ μέσον ἀεὶ ζητεῖ, τὴν ὑπερβολὴν καὶ τὴν ἔλλειψιν φεύγων· μέσον ἐκεῖνο δηλονότι διώκων, ὃ πρὸς ἡμᾶς οὐ πρὸς τὸ πρᾶγμα μέσον ἐστί. καὶ τοῦτον τὸν τρόπον πᾶσα ἐπιστήμη τὸ ἴδιον ἔργον καλῶς ἀποτελεῖ. διὰ τοῦτο καὶ εἰώθαμεν λέγειν ἐν τοῖς εὖ ἔχουσι τῶν ἔργων, ὅτι οὔτε ἀφελεῖν ἔστιν οὔτε προσθεῖναι, δεικνύντες ὅτι καὶ τὴν ὑπερβολὴν ὁμοίως καὶ τὴν ἔλλειψιν φεύγει, ὡς τῶν μὲν διαφθειρουσῶν τὸ τῶν ἔργων ἀγαθόν, τῆς δὲ μεσότητος μόνης σωζούσης. ἐπεὶ δὲ ἡ ἀρετὴ πάσης τέχνης ἀκριβεστέρα καὶ ἀμείνων ἐστί, καθάπερ καὶ ἡ φύσις, τὸ μέσον ἂν καὶ αὕτη σκοποίη. ἀρετὴν δὲ λέγω οὐ τὴν διανοητικήν (ἄλλως γὰρ τὸ κατ᾽ αὐτὴν ἔχει) ἀλλὰ τὴν ἠθικήν· αὕτη γάρ ἐστι περὶ πάθη καὶ πράξεις, ἃ καὶ πλείω καὶ μείζω τοῦ δέοντος καὶ ἐλάττω δυνατὸν εἶναι. καὶ διὰ τοῦτο καὶ τὸ δέον ἐστὶν ἐν αὐτοῖς, δηλονότι τὸ ἴσον. καὶ γὰρ ἔστι καὶ φοβηθῆναι καὶ θαρρῆσαι καὶ ἐπιθυμῆσαι καὶ μισῆσαι καὶ ὀργισθῆναι καὶ ἐλεῆσαι καὶ ὅλως ἡσθῆναι καὶ λυπηθῆναι μᾶλλον καὶ ἧττον καὶ ἀμφότερα οὐ καλῶς. τὸ δὲ παθεῖν ταῦτα πάντα ὅτε δεῖ καὶ ὡς δεῖ καὶ ἐφ᾽ οἷς δεῖ καὶ πρὸς οὓς δεῖ καὶ οὗ ἕνεκα δεῖ, μέσον ἐστὶ καὶ ἄριστον, ἐν ᾧ ἡ ἀρετὴ γίνεται. ὁμοίως δὲ ἔχει καὶ περὶ τὰς ἀποτελουμένας ὑπὸ τῶν παθῶν | πράξεις· 61
ἔστι γὰρ καὶ ἐν αὐταῖς ὑπερβολὴ καὶ ἔλλειψις καὶ μεσότης. ἐπεὶ τοίνυν ἡ ἀρετὴ περὶ πάθη καὶ πράξεις καταγίνεται, τῶν δὲ παθῶν καὶ τῶν πρά-

12 ἡ ante ἔλλειψις B: om. h λαμβάνεται h 30 ἐθικὴν h 34 καὶ μισῆσαι Bh: om. Arist. vulg.: καὶ ἀποστραφῆναι Arist. M^b

ξεων τὸ μέσον ἀεὶ καὶ κατόρθωμα ὀνομάζεται καὶ ἐπαινεῖται, ἅπερ ἄμφω προσήκει τῇ ἀρετῇ. φανερὸν ὅτι οὔτε ὑπερβολὴ οὔτε ἔλλειψις ἀλλὰ μεσότης ἐστὶν ἡ ἀρετή, τὸ μέσον ἀεὶ σκοποῦσα. ἔτι τὸ μὲν ἁμαρτάνειν πολυειδές ἐστιν, ὡς εἰπεῖν· πολλαχῶς γάρ τις δύναται ἁμαρτάνειν. τὸ γὰρ κακὸν ἄπειρον, ὡς οἱ Πυθαγόρειοι ἔλεγον, τὸ δὲ ἀγαθὸν ὡρισμένον τι καὶ πεπερασμένον· καὶ διὰ τοῦτο καὶ τὸ κατορθοῦν ἁπλοῦν τί ἐστι καὶ μονοειδές. ὅθεν καὶ τὸ μὲν ἁμαρτάνειν ῥᾴδιόν ἐστιν, ὥσπερ τοξόταις τὸ ἀποτυγχάνειν τοῦ σκοποῦ, τὸ δὲ κατορθοῦν χαλεπόν, ὥσπερ τὸ βάλλειν κατὰ σκοπόν. φαίνεται ἄρα καὶ διὰ τοῦτο τὴν μὲν ὑπερβολὴν καὶ τὴν ἔλλειψιν τῆς κακίας εἶναι (ἀόριστα γὰρ ἑκάτερον), τὴν μεσότητα δὲ τῆς ἀρετῆς, ὡρισμένην καὶ μίαν οὖσαν·

Ἐσθλοὶ μὲν γὰρ ἁπλῶς, παντοδαπῶς δὲ κακοί.

Ἔστιν ἄρα ἡ ἀρετὴ ἕξις προαιρετική, ἐν μεσότητι οὖσα τῇ πρὸς ἡμᾶς, ὡρισμένῃ λόγῳ καὶ ὡς ἂν ὁ φρόνιμος ὁρίσειε. μεσότης δὲ δύο κακιῶν, τῆς μὲν καθ' ὑπερβολήν, τῆς δὲ κατ' ἔλλειψιν· τὴν μὲν γὰρ ὑπερβάλλει, τῆς δὲ ἐλλείπει διὰ τὸ τὴν μὲν τῶν κακιῶν ὑπερβάλλειν τὸ δέον, τὴν δὲ ἐλλείπειν τοῦ δέοντος, τὴν δὲ ἀρετὴν τὸ δέον μόνον ζητεῖν, δηλονότι τὸ μέσον, καὶ τοῦτο μόνον αἱρεῖσθαι. ὥστε εἰ μὲν ζητοίημεν αὐτὸ τὸ εἶναι τῆς ἀρετῆς, μεσότης ἐστίν. εἰ δὲ τὸ ἀγαθὸν αὐτῆς καὶ τὸ εὖ, ἀκρότης ἐστί.

Ὅτι οὐκ ἐν παντὶ πάθει ἢ πάσῃ πράξει μεσότης, καὶ κατὰ 62
μέρος περὶ τοῦ τίς ἀρετὴ τίνων κακιῶν μέση ἐστί. κεφ. ϛʹ.

Προσήκει δὲ καὶ ἐκεῖνο γινώσκειν, ὅτι οὐ πᾶσα πρᾶξις οὐδὲ πᾶν πάθος μεσότητα ἐπιδέχεται τὴν ζητουμένην, τὸ δέον δηλονότι· ἔνια γὰρ ὁμοῦ καὶ ὑπερβάλλοντα καὶ ἐλλείποντα καὶ ἐν μεσότητί τινι ὄντα ἀεὶ πονηρά εἰσιν, οἷον ἐν μὲν πάθεσιν ἀναισχυντία καὶ φθόνος, ἐν δὲ πράξεσι μοιχεία κλοπὴ ἀνδροφονία· καὶ πάντα ταῦτα οὐ διὰ τὸ ὑπερβάλλειν τὴν ἐν αὐτοῖς μεσότητα ἢ ἐλλείπειν αὐτῆς φαῦλα λέγονται, ἀλλὰ αὐτὰ καθ' ἑαυτὰ πονηρά εἰσιν. οὐκ ἔστιν οὖν οὐδέποτε τὸ δέον ἐν τοῖς τοιούτοις, οὐδὲ κατορθοῦν ἔστιν ἐν αὐτοῖς ἀλλὰ ἀεὶ ἁμαρτάνειν· οὐδ' ἔστιν ἐν αὐτοῖς προσδιορίζειν, καθάπερ καὶ ἐν τοῖς ἄλλοις πάθεσι, τὸ ὡς δεῖ καὶ ὅτε δεῖ· οὐ γὰρ προσδιοριστέον, τοὺς τοιχωρύχους πῶς δεῖ κλέπτειν καὶ πότε καὶ τίνα καὶ παρὰ τίνων, ἀλλὰ ἁπλῶς τό τι τούτων ποιεῖν ἁμαρτάνειν ἐστίν. οὐ τοίνυν ἐστὶν ἐν τοῖς τοιούτοις μεσότης οὐδὲ ὑπερβολὴ καὶ ἔλλειψις, ὥσπερ οὐδὲ ἀδικίας ἢ δειλίας ἢ ἀκολασίας. τούτων γὰρ αἱ μὲν ὑπερβολαί εἰσιν, αἱ δὲ ἐλλείψεις ἀρετῆς· ὑπερβολῆς δὲ καὶ ἐλλείψεως ὑπερβολὴν καὶ ἔλλειψιν καὶ μεσότητα ζητεῖν, σφόδρα ἄτοπον. ἀλλ' ὥσπερ μεσότητος οὐκ ἔστιν ὑπερβολὴ καὶ ἔλλειψις καὶ μεσότης, τῆς ἀρετῆς λέγω,

7 τοξόταις B: τοξότῃ h   17 ἐλλείπειν τοῦ δέοντος B: ὑπερβάλλεσθαι h   36 ἐλλείψεως h: μεσότητος B

ἀλλ᾽ ἔστι τὸ ἄκρον τῆς μεσότητος, ὡς εἰπεῖν, οὕτως οὐδὲ τῶν ὑπερβολῶν καὶ ἐλλείψεων μεσότης καὶ ὑπερβολὴ καὶ ἔλλειψις γένοιτ᾽ ἄν. ἀλλὰ ἀεὶ καὶ καθ᾽ ὃν ἂν τρόπον πράττωνται, ἁμαρτάνονται· καὶ καθόλου εἰπεῖν. 63 οὔτε ὑπερβολῆς καὶ ἐλλείψεως μεσότης ἐστὶν οὔτε μεσότητος ὑπερβολὴ καὶ ἔλλειψις.

Δεῖ δὲ μὴ μόνον καθόλου λέγειν τὴν ἀρετὴν μεσότητα, τὴν δὲ κακίαν τὰ ἄκρα, ἀλλὰ καὶ κατὰ μέρος. τίς ἀρετὴ τίνων κακιῶν μεσότης ἐστί. τῶν γὰρ περὶ τὰς πράξεις λόγων οἱ μὲν καθολικοὶ κοινότεροι καὶ πλείοσιν ἐφαρμόζουσιν, οἱ δὲ μερικοὶ ἀληθινώτεροι, ἅτε διὰ τοῦτο προσεχῶς ταῖς πράξεσιν ἐφαρμόζοντες, αἵτινες ἀεὶ ἐν τοῖς μερικοῖς γίνονται· οἷς δὴ μερικοῖς οἱ ἀληθεῖς συμφωνοῦσι λόγοι· ληψόμεθα δὲ τὰ ζητούμενα ἐκ τῆς ἐκτεθείσης διαγραφῆς· ἐν ἑκάστῳ μὲν οὖν τῆς ψυχῆς πάθει πλὴν τῶν καθ᾽ αὑτὰ πονηρῶν. καθὼς εἴρηται. ὑπερβολῆς καὶ ἐλλείψεως μεταξύ ἐστιν ἡ ἀρετή. καὶ ἐν μὲν τῷ φόβῳ καὶ τῷ θάρρει (πάθη γὰρ ταῦτα τῆς ψυχῆς) μέση ἐστὶν ἀνδρεία, ἄκρα δὲ ἔλλειψις μὲν δειλία, ὑπερβολὴ δὲ θρασύτης. ἀπὸ γὰρ τοῦ φόβου οὐκ ἔστιν ὄνομα τῇ ὑπερβολῇ ἀλλὰ ἀπὸ τοῦ θάρρους μόνον. πολλὰ δὲ καὶ ἄλλα ἀνώνυμά ἐστιν· ἐπεὶ καὶ τῇ ἐλλείψει οὐκ ἔστιν ἀπὸ τοῦ θάρρους ὄνομα, ἀλλὰ ἀπὸ τοῦ φόβου μόνον· δειλία γάρ, ὥστε τῶν ἄκρων τὸ ἕτερον μὲν ἀπὸ τοῦ φόβου, θάτερον δὲ ἀπὸ τοῦ θάρρους ὀνομάζεσθαι. καὶ ἐν ταῖς ἡδοναῖς δὲ καὶ ταῖς λύπαις αἱ ἀκρότητες καὶ μεσότητες ὡς ἐπὶ τὸ πλεῖστον ἀνώνυμοί εἰσι, μάλιστα δὲ ἐν ταῖς λύπαις. περὶ δὲ τὰς ἐν σώματι ἡδονὰς μεσότης μὲν σωφροσύνη, ὑπερβολὴ δὲ ἀκολασία, ἔλλειψις δέ, ἐπεὶ οἱ πάντῃ τῶν ἡδονῶν ἀπεχόμενοι ὀλίγοι εἰσί, διὰ τοῦτο ἀνώνυμός ἐστι· καλείσθω δὲ ἀναισθησία. ἐν δὲ τῷ πάθει. ὃ πάσχομεν ἐν τῷ διδόναι καὶ λαμβάνειν τὰ χρήματα. 64 μεσότης μὲν ἐλευθεριότης, ἄκρα δὲ ὑπερβολὴ μὲν ἀσωτία, ἔλλειψις δὲ ἀνελευθερία. συμβαίνει δὲ καὶ τὸ ἀνάπαλιν τὴν μὲν ἀσωτίαν ἔλλειψιν εἶναι, τὴν δὲ ἀνελευθερίαν ὑπερβολήν· ἐν μὲν γὰρ τῷ διδόναι χρήματα ἡ μὲν ἀσωτία ὑπερβολή ἐστιν. ἔλλειψις δὲ ἡ ἀνελευθερία· ἐν δὲ τῷ λαμβάνειν ἡ μὲν ἀνελευθερία ὑπερβολή ἐστιν, ἡ δὲ ἀσωτία ἔλλειψις. νῦν μὲν οὖν κεφαλαιωδῶς περὶ αὐτῶν λέγομεν καὶ ὡς ἐν τύπῳ, ἀρκούμενοι αὐτῷ τούτῳ· μετὰ δὲ ταῦτα ἀκριβέστερον ἐροῦμεν περὶ αὐτῶν. εἰσὶ δὲ περὶ τὴν δόσιν καὶ τὴν λῆψιν τῶν χρημάτων καὶ ἄλλη μεσότης καὶ ἄκρα. καὶ ἔστιν ἄλλη μεσότης μὲν μεγαλοπρέπεια (διαφέρει γὰρ τῆς ἐλευθεριότητος. ὅτι ἡ μὲν μεγάλα τινὰ προΐεται, ἡ δὲ μικρά). ὑπερβολὴ ἀπειροκαλία καὶ βαναυσία. ἔλλειψις μικροπρέπεια· καὶ αὗται γὰρ διαφέρουσι τῶν τῆς ἐλευ-

8 κοινότεροι Bh cum Arist. codd. $K^{b}L^{b}M^{b}N^{b}$: κενώτεροι Arist. vulg. 24 post ἀναισθησία haec habet B: δειλία. ἀνδρία. θρασύτης. ἀναισθησία. σωφροσύνη. ἀκολασία. ἀνελευθερία. ἐλευθεριότης. ἀσωτία. μικροπρέπεια. μεγαλοπρέπεια. χαυνότης. ἀφιλοτιμία. φιλοτιμία. ἀνώνυμος. ἀοργησία. πραότης. ὀργιλότης. εἰρωνεία. ἀλήθεια. ἀλαζονεία. ἀγροικία. εὐτραπελία. βωμολοχία. δυσκολία. φιλία. κολακεία. ἀρέσκεια. ἀναισχυντία. αἰδώς. κατάπληξις. ἐπιχαιρεκακία. νέμεσις. φθόνος. quae olim ad verba ἐκ τῆς ἐκτεθείσης διαγραφῆς (11) in margine adscripta fuisse videntur 25 τὰ om. h 31 λέγομεν B: λέγωμεν h

θηριότητος ἄκρων. αἱ δὲ διαφοραὶ μετὰ ταῦτα ῥηθήσονται. ἐν δὲ τῷ
περὶ τὴν τιμὴν καὶ ἀτιμίαν πάθει μεσότης μὲν μεγαλοψυχία. ὑπερ- 20
βολὴ δὲ χαυνότης τις λεγομένη. ἔλλειψις δὲ μικροψυχία. ὡς
δὲ ἐλέγομεν διαφέρειν τὰς περὶ τὰ χρήματα διαθέσεις, τὴν ἐλευθεριότητα
δηλαδὴ καὶ μεγαλοπρέπειαν, τῷ τὴν μὲν ἐλευθεριότητα περὶ μικρὰ εἶναι,
περὶ μεγάλα δὲ τὴν μεγαλοπρέπειαν, οὕτω καὶ περὶ τὴν τιμὴν ἔστι τις
διάθεσις διαφέρουσα τῆς μεγαλοψυχίας τῷ τὴν μὲν περὶ μικρὰ εἶναι, τὴν
δὲ μεγαλοψυχίαν | περὶ μεγάλα. ἔστι γὰρ ὀρέγεσθαι τιμῆς ὡς δεῖ καὶ 65
ἔστιν ὀρέγεσθαι πλέον ἢ προσήκει καὶ ἧττον τοῦ δέοντος· λέγεται γὰρ ὁ
μὲν ὑπερβάλλων ταῖς ὀρέξεσι φιλότιμος καὶ ἡ διάθεσις φιλοτιμία, ὁ δὲ
ἐλλείπων ἀφιλότιμος. ἡ δὲ διάθεσις ἀνώνυμος· ἡ δὲ μεσότης καὶ αὐτὴ
ἀνώνυμος, ἥτις διαφέρει τῆς μεγαλοψυχίας τῇ εἰρημένῃ διαφορᾷ. καὶ
διότι ἀνώνυμος ὁ μέσος, ἀπὸ τῶν ἄκρων ὀνομάζεται, διότι καὶ ἀμφοτέρων
μετέχει. καὶ ποτὲ μὲν φιλότιμον αὐτὸν καλοῦμεν, ποτὲ δὲ ἀφιλότιμον· καὶ
ποτὲ μὲν ἐπαινοῦμεν τὸν φιλότιμον, ποτὲ δὲ τὸν ἀφιλότιμον. τίνος δὲ 10
χάριν τοῦτο ποιοῦμεν, ἐν τοῖς ἑξῆς ῥηθήσεται· νῦν δὲ περὶ τῶν
λοιπῶν παθῶν λέγωμεν, ζητοῦντες ἐν ἑκάστῳ τὴν μεσότητα καὶ τὰ
ἄκρα. ἔστι τοίνυν ἐν τῇ ὀργῇ μεσότης μὲν πραότης (ὁ γὰρ μέσος πρᾶος
λέγεται), τὰ δὲ ἄκρα ἀνώνυμα. καλείσθω δὲ ἡ μὲν ὑπερβολὴ ὀργιλότης
καὶ ὀργίλος ὁ ὑπερβάλλων, ἡ δὲ ἔλλειψις ἀοργησία καὶ ὁ ἐλλείπων ἀόρ-
γητος. εἰσὶ δὲ καὶ ἄλλαι τρεῖς μεσότητες, αἳ κατά τι μὲν κοινω-
νοῦσιν, ἔχουσι δὲ καὶ διαφοράν. τῶν γὰρ πράξεων καὶ λόγων, ἃ λέγομεν
καὶ πράττομεν ἐν τῇ πρὸς τοὺς ἀνθρώπους κοινωνίᾳ, τὰ μὲν πρὸς ἀλή- 20
θειαν λέγομεν καὶ πράττομεν, τὰ δὲ πρὸς ἡδονήν· καὶ τῶν πρὸς ἡδονὴν
τὰ μὲν παιδιᾶς λέγονται καὶ πράττονται χάριν, τὰ δὲ ἕνεκα τῆς λοιπῆς
τῆς ἐν τῷ βίῳ ἡδονῆς· ὥστε τρεῖς εἶναι τὰς μεσότητας ἐξ ἀνάγκης. καὶ
τῶν μὲν πρὸς ἀλήθειαν λεγομένων ἢ πραττομένων ἡ μεσότης καὶ ἀλήθεια
ὀνομάζεται, τῶν δὲ πρὸς ἡδονὴν ἡ μὲν περὶ τὴν παιδιὰν εὐτραπελία, ἡ
δὲ περὶ τὴν λοιπὴν ἡδονὴν φιλία. κοινωνοῦσι μὲν οὖν ἀλλήλαις, | ὅτι 66
πᾶσαί εἰσι περὶ λόγων καὶ πράξεων κοινωνίαν, διαφέρουσι δέ, ὅτι οὐ περὶ
τὰ αὐτά, καθὼς εἴρηται. τὰ δὲ ἄκρα αὐτῶν ἀνώνυμα· ὀνοματοποιήσομεν
δὲ καὶ ἐν αὐτοῖς σαφηνείας ἕνεκα καὶ τοῦ ῥᾳδίως τῷ λόγῳ παρακολουθεῖν
τοὺς ἀκροωμένους. καλείσθω δὲ τὰ ἄκρα τῆς ἀληθείας ἡ μὲν ἐπὶ τὸ
μεῖζον προσποίησις ἀλαζονεία καὶ ὁ ἔχων αὐτὴν ἀλαζών, ἡ δὲ ἐπὶ
τὸ ἔλαττον εἰρωνεία καὶ εἴρων· τῆς δὲ εὐτραπελίας ἡ μὲν ὑπερβολὴ
βωμολοχία καὶ ὁ ἔχων αὐτὴν βωμολόχος, ἡ δὲ ἐπὶ τὸ ἔλαττον
ἀγροικία καὶ ὁ ἔχων ἄγροικος· τῆς δὲ φιλίας ὁ μὲν ὑπερβάλλων καὶ οὐ- 10
δενὸς ἕνεκα ἄρεσκος καλείσθω, εἰ δὲ ἕνεκα τῆς αὐτοῦ ὠφελείας κόλαξ, ὁ
δὲ ἐλλείπων καὶ ἄχαρις ἐν πᾶσι δύσερίς τις καὶ δύσκολος. οὐ μόνον
δὲ ἐν τοῖς πάθεσιν αὐτοῖς ἀλλὰ καὶ ἐν τοῖς περὶ τὰ πάθη μεσότητές εἰσι,
καθάπερ ἐπὶ τῆς αἰδοῦς φαίνεται. καὶ γὰρ ἡ αἰδὼς ἀρετὴ μὲν οὐκ ἔστιν,
ἐπεὶ οὐκ ἔστι πάθους μεσότης, ἀλλὰ τῶν περὶ τὸ πάθος· τῶν ἐπαινου-

38 αὐτοῦ h: αὐτῷ B

μένων δέ ἐστιν. ὁ γὰρ αἰδήμων ἐπαινεῖται καὶ παρ' ἑκάτερα καὶ ὑπερβολὴν ἔχει καὶ ἔλλειψιν· καὶ αὐτὴ μεσότης ἐστί· καὶ ὁ μὲν ὑπερβάλλων αἰδοῖ καταπλὴξ καλεῖται, ὁ δὲ ἐλλείπων ἢ ὁ μηδὲ ὅλως αἰδούμενος ἀναίσχυντος, ὁ δὲ μέσος αἰδήμων. ἔστι δὲ καὶ ἐν τῇ λύπῃ μεσότης, ὅτε λυπεῖται ἐπὶ τοῖς παρὰ τὴν ἀξίαν εὐτυχοῦσιν, ἥτις νέμεσις καλεῖται. καὶ ὑπερβολὴ δέ ἐστι παρ' ἑκάτερα καὶ ἔλλειψις· ὑπερβολὴ μέν, ὅταν τις ἐπὶ πᾶσι τοῖς εὐτυχοῦσι λυπῆται· καὶ ἡ τοιαύτη κακία φθόνος καλεῖται καὶ ὁ ἔχων φθονερός· ἔλ|λειψις δέ, ὅταν τις οὐ μόνον οὐ λυπῆται, ἀλλὰ καὶ 67
χαίρῃ ἐπὶ τοῖς παρὰ τὴν ἀξίαν κακῶς πράττουσι· καὶ ὁ τοιοῦτος ἐπιχαιρέκακος καλεῖται καὶ ἡ ἔλλειψις ἐπιχαιρεκακία· τῆς δὲ μεσότητος νεμέσεως καλουμένης, ὁ ἔχων νεμεσητικὸς καλεῖται. ἀλλὰ περὶ μὲν τῆς μεσότητος καὶ τῶν ἄκρων καὶ μετὰ ταῦτα ἀκριβέστερον ἐροῦμεν. καὶ περὶ τῆς δικαιοσύνης, ἐπεὶ διπλῆ τίς ἐστι, καὶ δεῖ αὐτῇ μακροτέρων λόγων, νῦν μὲν οὐκ εὔκαιρον λέγειν, ἐν δὲ τοῖς ἑξῆς διελόντες περὶ ἑκατέρας διαληψόμεθα, πῶς μεσότητές εἰσι καὶ τίνων. ὁμοίως δὲ καὶ περὶ τῶν λογικῶν ἀρετῶν.

Περὶ τῆς ἐναντιότητος τῶν παρ' ἑκατέρων τῆς ἀρετῆς κακιῶν, ἥν τε πρὸς ἀλλήλας ἔχουσι καὶ πρὸς τὴν ἀρετήν. κεφ. ζ'.

Νῦν δὲ ἐροῦμεν περὶ τῆς ἐναντιότητος τῶν ἄκρων πρὸς ἄλληλα καὶ πρὸς τὴν μεσότητα. τριῶν γὰρ διαθέσεων οὐσῶν, μιᾶς μὲν ἀρετῆς, ἥτις μεσότης ἐστί, δύο δὲ κακιῶν, τῆς μὲν ὑπερβαλλούσης, τῆς δὲ ἐλλειπούσης, ἐν πάσαις ἐστί τις ἀντίθεσις· καὶ αἱ μὲν ἄκραι ἐναντίως ἔχουσι πρὸς ἀλλήλας, ἡ δὲ μέση πρὸς ἑκατέραν τῶν ἄκρων. ὥσπερ γὰρ τὸ ἴσον καὶ πρὸς τὸ μεῖζον ἀντικείμενόν ἐστι καὶ πρὸς τὸ ἔλαττον (τοῦ μὲν γὰρ μείζονος ἔλαττόν ἐστι, τοῦ δὲ ἐλάττονος μεῖζον), οὕτως αἱ μέσαι ἕξεις πρὸς μὲν τὰς ἐλλείψεις ⟨ὑπερβολαί εἰσι, πρὸς δὲ τὰς ὑπερβολὰς ἐλλείψεις⟩. ὃ καὶ ἐν πάθεσι καὶ ἐν πράξεσιν ὁμοίως ἔχει· ἐν πάθεσι μὲν ἀνδρεία μεσότης, ἐν πράξεσι δὲ ἡ κατὰ τὴν ἀνδρείαν πρᾶξις· καὶ διὰ τοῦτο ὁ ἀνδρεῖος πρὸς μὲν τὸν δειλὸν θρασὺς | φαίνεται, πρὸς δὲ τὸν 68
θρασὺν δειλός. ὁμοίως δὲ καὶ ὁ σώφρων πρὸς μὲν τὸν ἀναίσθητον ἀκόλαστος, πρὸς δὲ τὸν ἀκόλαστον ἀναίσθητος· ὁ δὲ ἐλευθέριος ἄσωτος μὲν πρὸς τὸν ἀνελεύθερον, πρὸς δὲ τὸν ἄσωτον ἀνελεύθερος. καὶ ὅλως ἑκάτερος τῶν ἄκρων τῷ ὀνόματι θατέρου τὸν μέσον καλεῖ· καὶ ὁ μὲν θρασὺς τὸν ἀνδρεῖον δειλὸν καλεῖ, ὁ δὲ δειλὸς θρασύν· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. οὕτω δὲ τῶν ἄκρων πρὸς τὸ μέσον ἀντικειμένων, πρὸς ἄλληλα μείζων ἐστὶν αὐτῶν ἡ ἐναντιότης· πορρωτέρω γὰρ ἀλλήλων ἐστὶν ἢ τοῦ μέσου, καθάπερ τὸ μέγα καὶ τὸ μικρὸν πλέον

4 et 7 λυπῆται B: λυπεῖται h 9 χαίρῃ B: χαίρει h κακῶς h: εὖ B 12 καὶ περὶ τῆς δικαιοσύνης δὲ h 17 ἑκατέρων B: ἑκάτερον h 18 ἀλλήλας B: ἀλλήλους h 19 ἄλληλα h: ἀλλήλας B 26 ὑπερβολαὶ — ἐλλείψεις h: om. B 28 τοῦτο B: τούτων h 33 θατέρου B: ἑτέρου h 36 καὶ πρὸς ἄλληλα h

ἀντίκειται πρὸς ἄλληλα ἢ τὸ μέσον, τὸ ἴσον δηλονότι. ἔτι πρὸς μὲν τὸ
μέσον ἔστι τις ὁμοιότης ἐν ἑκατέρῳ τῶν ἄκρων, ὥσπερ τῇ θρασύτητι
πρὸς τὴν ἀνδρείαν καὶ τῇ ἀσωτίᾳ πρὸς τὴν ἐλευθεριότητα, ἐν δὲ
τοῖς ἄκροις οὐδεμία ἐστὶν ὁμοιότης, ἀλλὰ πλεῖστον ἀλλήλων διαφέρουσι·
τὰ δὲ πλεῖστον ἀλλήλων ἀπέχοντα ἐναντία ὁρίζονται, ὥστε καὶ μᾶλλον
ἐναντία τὰ μᾶλλον ἀλλήλων ἀπέχοντα. τὰ ἄκρα ἄρα πλέον ἀντίκειται πρὸς
ἄλληλα ἢ πρὸς τὸ μέσον· οὐκ ἐπ᾽ ἴσης δὲ ἀντίκειται ἄκρων ἑκάτερον, 20
ἀλλ᾽ ἐπί τινων μὲν ἡ ἔλλειψις πλέον ἀντίκειται πρὸς τὸ μέσον ἢ ἡ ὑπερ-
βολή, ἐπί τινων δὲ ἡ ὑπερβολὴ μᾶλλον ἢ ἡ ἔλλειψις. νεύουσι γὰρ αἱ
μεσότητες πρὸς τὸ ἕτερον τῶν ἄκρων πλέον ἢ πρὸς τὸ ἕτερον καὶ ὁμοιό-
τεραί εἰσι ποτὲ μὲν ἐλλείψει ποτὲ δὲ ὑπερβολῇ, οἷον ἡ ἀνδρεία μᾶλλον
ὁμοιοῦται τῇ θρασύτητι ἢ τῇ δειλίᾳ καὶ διὰ τοῦτο ἐναντιωτέρα ἐστὶ τῇ
δειλίᾳ ἢ τῇ θρασύτητι. ἡ δὲ σωφροσύνη μᾶλλον ὁμοία | ἐστὶ τῇ ἀναι- 69
σθησίᾳ ἢ τῇ ἀκολασίᾳ καὶ διὰ τοῦτο ἐναντιωτέρα ἐστὶ τῇ ἀκολασίᾳ ἢ τῇ
ἀναισθησίᾳ. ἔστι δὲ οὐ μόνον ἡ πρὸς τὸ ἕτερον τῶν ἄκρων ὁμοιότης
αἰτία τῆς πρὸς τὸ ἕτερον ἐναντιότητος, ἀλλὰ καὶ ἐξ ἡμῶν αὐτῶν τὸ τοι-
οῦτον συμβαίνει. ἐπεὶ γὰρ ὁ πόλεμος τῷ σπουδαίῳ πρὸς τὰ ἄκρα γίνεται
τὴν μεσότητα ζητοῦντι, πρὸς ὃ τῶν ἄκρων μείζων ἡ μάχη, ἐκεῖνο ἐναν-
τιώτερον τῷ μέσῳ δοκεῖ. μείζων δὲ ἡ μάχη, πρὸς ὃ μᾶλλον πεφύκαμεν
καὶ εἰς ὃ πλέον κινούμεθα, ⟨ὥστε εἰς ὃ πλέον αὐτοὶ κινούμεθα,⟩ ἐκεῖνο
ἐναντιώτερόν ἐστι τῷ μέσῳ. καθάπερ τῶν τῆς σωφροσύνης ἄκρων πλέον 10
εἰς ἀκολασίαν κινούμεθα ἢ εἰς ἀναισθησίαν, ὅτι πρὸς ἡδονὰς πεφύκαμεν
μᾶλλον ἢ πρὸς τοὐναντίον· καὶ διὰ τοῦτο πρὸς τὴν ἀκολασίαν μείζων ὁ
πόλεμος καὶ αὕτη ἐναντιωτέρα ἐστὶ τῇ σωφροσύνῃ ἢ ἡ ἀναισθησία. ὁμοίως
δὲ καὶ ἐπὶ τῶν ἄλλων ἔχει.

Περὶ τοῦ πῶς ἂν γένοιτο μάλιστα τῆς μεσότητος τυγχάνειν. κεφ. η΄.

Ὅτι μὲν οὖν ἡ ἠθικὴ ἀρετὴ μεσότης ἐστὶ δύο κακιῶν, τῆς μὲν καθ᾽
ὑπερβολήν, τῆς δὲ κατ᾽ ἔλλειψιν, διὰ τὸ τὸ μέσον ἀεὶ ζητεῖν τῶν παθῶν 20
καὶ τῶν πράξεων, ἱκανῶς εἴρηται. τὸ δὲ ἐπίστασθαι λαβεῖν τὸ μέσον καὶ
γενέσθαι σπουδαῖον ἐργῶδές ἐστιν. ἐν παντὶ γὰρ πράγματι τὸ μέσον εὑ-
ρεῖν δύσκολόν ἐστιν, ὥσπερ τοῦ κύκλου τὸ μέσον, δηλονότι τὸ κέντρον, οὐ
πᾶς εὑρεῖν δύναται, ἀλλὰ μόνος ὁ γεωμετρεῖν ἐπιστάμενος· οὕτω γὰρ καὶ
ἐπὶ τῶν παθῶν καὶ τῶν πράξεων ἔχει. τὸ μὲν γὰρ ὀργισθῆναι ῥᾴδιον
καὶ τὸ δοῦναι ἀργύριον καὶ δαπανῆσαι, τὸ δὲ ὡς δεῖ καὶ ὅτε δεῖ καὶ πρὸς
τίνα καὶ ὅσον | καὶ τίνος ἕνεκα, ὅπερ ἐστὶ τὸ μέσον, καὶ τὸ εὖ καὶ σπά- 70
νιον καὶ ἐπαινετὸν καὶ καλόν, τοῦτο δὲ οὐ ῥᾴδιον οὐδὲ τοῦ βουλομένου
παντός. διὰ τοῦτο προσήκει τὸν βουλόμενον σπουδαῖον γενέσθαι καὶ ζη-
τοῦντα τὸ μέσον πρῶτον φεύγειν πάσῃ δυνάμει τῶν ἄκρων τὸ μᾶλλον ἐν-

1 ἔτι B: καὶ h 6 τὰ ἄκρα ἄρα B: τὰ δὲ ἄκρα h 7 δὲ transpos. post μέσον B
20 ὥστε — κινούμεθα h: om. B 24 τῇ ἀναισθησίᾳ coni. Mullach 29 ex διὰ τὸ τὸ
corr. διὰ τὸ B

ἀντίον τοῦ μέσου· δηλονότι, πρὸς ὃ μᾶλλον εὐκινητότερός ἐστι τῶν παρ'
ἑκάτερα τῆς μεσότητος κακῶν· καθάπερ καὶ ἡ Καλυψὼ παρῄνει τὸ

τοῦ μὲν καπνοῦ καὶ κύματος ἐκτὸς ἔεργε
νῆα·

καὶ γὰρ ἁμαρτάνομεν μέν, πρὸς ὅπερ ἂν πέσοιμεν τῶν ἄκρων· ἀλλ' οὐχ 10
ὁμοίως· μείζων γὰρ ἔσται ἡ ἁμαρτία ἐν τῷ ἐναντιωτέρῳ τῶν ἄκρων ἢ ἐν
τῷ ἧττον ἐναντίῳ. ἐπεὶ οὖν ἄκρως τοῦ μέσου τυχεῖν χαλεπόν, κατὰ τὸν
δεύτερον, φασί, πλοῦν τὰ ἐλάχιστα τῶν κακῶν αἱρεῖσθαι προσήκει.
τοῦτο δὲ ἔσται, εἰ διακείμεθα πρὸς τὰ ἄκρα τοῦτον τὸν τρόπον, ὃν ἔφην.
δεῖ δὲ μὴ μόνον σκοπεῖν πρὸς ποῖον τῶν ἄκρων πεφύκαμεν οἱ ἄνθρωποι,
ἀλλὰ καὶ αὐτὸς ἕκαστος ἡμῶν πρὸς ποῖον πέφυκε ζητητέον (ἄλλοι γὰρ
πρὸς ἄλλα πεφύκαμεν)· γνωσόμεθα δὲ τοῦτο, ἐξετάσαντες τίσιν ἡδό-
μεθα καὶ τίσι λυπούμεθα. εὑρόντες δὲ πρὸς ποῖον τῶν ἄκρων πεφύκαμεν, 20
ἐπὶ τὸ ἐναντίον αὐτοῦ διὰ σπουδῆς ἡμᾶς αὐτοὺς ἀφελκύσωμεν. φεύγοντες
γὰρ σφόδρα τοῦτο τὸ ἄκρον εἰς τὸ μέσον ἥξομεν. ὥσπερ ποιοῦσιν οἱ τὰ
διεστραμμένα τῶν ξύλων ὀρθῶσαι σπουδάζοντες· κλίνουσι γὰρ εἰς τοὐ-
ναντίον. μάλιστα δὲ τῶν ἄλλων παθῶν ἡ ἡδονὴ καὶ τὸ ἡδὺ βίαιον. καὶ
διὰ τοῦτο πολλῆς χρεία τῆς ἀκριβείας καὶ τὴν ἀπάτην πάντα τρόπον φυ-
λάττεσθαι δεῖ, ὅτε τὴν πονηρὰν τῆς ἀγαθῆς ἡδονῆς ἐθέλομεν διακρίνειν· 71
χαλεπὸν γὰρ ἀδέκαστον εἶναι τῶν τοιούτων κριτήν· ὅπερ οὖν οἱ δημο-
γέροντες τῶν Τρώων πρὸς τὴν Ἑλένην ἔπαθον, καλὴν μὲν εἰπόντες αὐ-
τὴν καὶ τοῦ κάλλους θαυμάσαντες, ψηφισάμενοι δὲ καὶ οὕτως ἔχουσαν
ἀποπέμψαι πρὸς τοὺς Ἕλληνας, τοῦτο δεῖ παθεῖν καὶ ἡμᾶς πρὸς τὴν
ἡδονήν. οὕτω γὰρ αὐτὴν ἀποπεμπόμενοι ἧττον ἁμαρτησόμεθα. αὕτη
ἐστὶν ἡ μέθοδος ὡς ἐν κεφαλαίῳ καὶ τύπῳ, δι' ἧς μάλιστα τυχεῖν δυνη-
σόμεθα τῆς μεσότητος. καὶ οὕτω δὲ ὅμως χαλεπόν ἐστι, καὶ μάλιστα ἐν 10
τοῖς μερικοῖς. οὐ γὰρ ὡρισμένη τίς ἐστιν ἡ κρίσις τούτων ἀλλὰ ἄλλοτε
ἄλλη· ἐπεὶ μηδὲ αὐτὰ ὡρισμένα, οἷον τὸ ὀργισθῆναι· οὐ γὰρ ῥᾴδιον διο-
ρίσαι τίσι καὶ πῶς καὶ πότε ὀργιστέον· καὶ γὰρ ἡμεῖς ἀπὸ τοῦ καιροῦ
κρίνοντες καὶ τῶν ἄλλων περιστάσεων ἄλλοτε ἄλλα ἀποφαινόμεθα· καὶ
ποτὲ μὲν τοὺς ἐλλείποντας ἐπαινοῦμεν καὶ πράους φαμέν, ποτὲ δὲ τοὺς
ὑπερβάλλοντας ὀργῇ καὶ καλοῦμεν ἀνδρώδεις. ἀλλ' ὁ μὲν μικρὸν τῆς με-
σότητος ἐκκλίνας οὐ ψέγεται· καὶ γὰρ οὔτε ὑπερβάλλειν οὔτε ἐλλείπειν δοκεῖ·
ψέγεται δὲ ὁ τοσοῦτον τῆς μεσότητος παρακλίνας, ὅσον μὴ λαθεῖν. τὸ δὲ 20
μέχρι τίνος καὶ ἐπὶ πόσον τοῦ ὀρθοῦ παρεκβάντες ψεγόμεθα, οὐκ ἔστιν ἑνὶ
καθολικῷ διορίσασθαι λόγῳ, ἐπεὶ μηδὲ ἄλλο μηδέν, ὅπερ ἐν τοῖς μερικοῖς
εὑρίσκεται καὶ ἄλλοτε ἄλλως ἔχει· ἡ γὰρ τούτων κρίσις μερικῶς καὶ αἰ-
σθήσει γίνεται. φαίνεται τοίνυν, ὅτι ἐν πᾶσιν ἡ μέση ἕξις ἐπαινετή. δεῖ
δέ, καθὼς εἴρηται, ἀποκλίνειν ποτὲ μὲν ἐπὶ τὴν ὑπερβολήν, ποτὲ δὲ ἐπὶ
τὴν ἔλλειψιν, δηλονότι ἐπὶ | ταύτην τῶν ἀκροτήτων, ἥτις ὁμοιοτέρα ἐστὶ 72
τῇ μεσότητι. οὕτω γὰρ ῥᾷστα τῆς μεσότητος τευξόμεθα καὶ τοῦ ἀγαθοῦ.

1 εὐκινητότερός B: εὐαινητότερός h 3 Homer. Od. μ 219 τοῦ Bh: τούτου Arist.
14 ἀφελκύσομεν h 21 Homer. Il. Γ 149

ΤΟΥ ΑΥΤΟΥ ΠΑΡΑΦΡΑΣΙΣ ΕΙΣ ΤΟ Γ̄

Περὶ ἑκουσίου καὶ ἀκουσίου. κεφ. α΄.

Ἐπεὶ δὲ ἡ ἀρετὴ περὶ πάθη καὶ πράξεις ἐστί, καὶ ἔστιν ἀρετὴ πρᾶξις ἀγαθὴ ἑκούσιος καὶ ἡ κακία τοὐναντίον, καὶ ἐν τῷ ὁρισμῷ κακίας καὶ ἀρετῆς καὶ τὸ ἑκούσιον παραλαμβάνεται, διὰ τοῦτο τῷ λέγοντι περὶ ἀρετῆς καὶ κακίας ἀνάγκη περὶ ἑκουσίου καὶ ἀκουσίου διαλαβεῖν· τῷ γὰρ ἑκουσίῳ καὶ ἀκουσίῳ τὰς πράξεις κρίνομεν. καὶ τὰς μὲν ἐπαινετὰς λέγομεν, τὰς δὲ συγγνωστάς, τὰς δὲ ψόγου ἀξίας. καὶ τὰς μὲν ἑκουσίως γινομένας ἀγαθὰς ἐπαινοῦμεν, τὰς δὲ ἑκουσίως πονηρὰς ψέγομεν, τὰς δὲ ἀκουσίως πονηρὰς οὐ ψέγομεν ἀλλὰ συγγνώμης ἀξιοῦμεν, τὰς δὲ ἀκουσίως πονηρὰς καὶ ἐπὶ βλάβῃ τῶν ποιούντων γινομένας ἐλέου ἀξίας ἡγούμεθα. διὰ τοῦτο, ἐπεὶ περὶ τῶν ἐπαινετῶν καὶ τῶν ψόγου ἀξίων ὁ λόγος ἡμῖν, δέον εἰδέναι περὶ ἑκουσίου καὶ ἀκουσίου. ὁ δὲ περὶ τούτων λόγος καὶ τοῖς νομοθε|τοῦσι 73 χρήσιμος· ἀπὸ τούτων γὰρ εἴσονται τίνας τε κολάζειν ἄξιον καὶ τίνας τιμᾶν καὶ τίνας ἀξιοῦν συγγνώμης ἢ ἐλέου· ὃ δὴ τῆς ἐν πολιτείᾳ τέχνης κεφάλαιόν ἐστι. διοριστέον δή, τί ἐστιν ἑκούσιον καὶ τί ἀκούσιον. δοκεῖ τοίνυν ἀκούσιον εἶναι τὸ βίαιον ἢ δι᾽ ἄγνοιαν γινόμενον. βίαιον δέ, οὗ ἡ ἀρχὴ οὐκ ἐν τῷ ποιοῦντι ἀλλὰ ἔξωθεν, ἐν ᾗ οὐδὲν συμβάλλεται ὁ πράττων ἢ ὁ πάσχων· οἷον εἴ τινα κινήσει τὸ πνεῦμα καὶ ἀπὸ τόπου εἰς τόπον ἀγάγοι ἢ ἄνθρωποι κύριοι ὄντες καὶ δυνάμενοι κινεῖν μὴ βουλόμενον. ἑκούσιον δὲ τοὐναντίον, οὗ ἡ ἀρχὴ ἐν τῷ ποιοῦντι πᾶσα. εἰσὶ δέ τινα μήτε ἀκούσια ὄντα κυρίως μήτε ἑκούσια ἀλλὰ μέσα τινά· εἰσὶ δὲ ὅσα διὰ φόβον μειζόνων κακῶν πράττεται ἢ διὰ καλόν τι, οἷον εἰ τύραννος προστάττει αἰσχρόν τι ποιῆσαι κύριος ὢν καὶ αὐτοῦ καὶ γονέων καὶ τέκνων καὶ δυνάμενος πράττοντα μὲν σῴζειν καὶ αὐτὸν καὶ τοὺς αὐτοῦ, μὴ πράττοντα δὲ ἀποκτεῖναι. τοῦτο γὰρ ἀμφισβήτησιν ἔχει, πότερον ἑκούσιόν ἐστιν ἢ ἀκούσιον. τοιοῦτον δέ ἐστι καὶ τὸ γινόμενον ἐν τοῖς κλυδωνίοις ὑπὸ τῶν ἐπιβατῶν· ῥίπτουσι γὰρ τὰ ἀγώγιμα· ὅπερ οὔτε

1 Ἀριστοτέλους ἠθικῶν βιβλίον γ΄ h et Arist. vulg.   24 προστάττει B et Arist. cod. Mb: προστάττοι h

ἑκούσιον εἴποι τις ἂν τελείως οὔτε ἀκούσιον ἀλλ' ἑκάτερον παρὰ μέρος. 20
τοῦ γὰρ ἔργου ἐστὶ μὲν καὶ ἀρχὴ ἔξωθεν, ὁ κλύδων δηλονότι, ἔστι δὲ καὶ
ἐν τοῖς ποιοῦσι· κρίνοντες γὰρ αὐτοὶ καὶ βουλόμενοι τοῦτο ποιοῦσιν ἐπὶ
σωτηρίᾳ καὶ αὐτῶν καὶ τῶν συμπλεόντων οἵ γε νοῦν ἔχοντες· ὥστε τὰς
τοιαύτας πράξεις μικτὰς εἶναι καὶ ἑκουσίου καὶ ἀκουσίου μετέχειν. δοκοῦσι
δὲ μᾶλλον τοῦ ἑκουσίου μετέχειν ἢ τοῦ ἑτέρου· καὶ γὰρ κατὰ τὸν καιρὸν
τοῦ κλύδωνος αἱ τοιαῦται πράξεις αἱρεταί εἰσι· καὶ τὸ τέλος αὐτῶν, εἴ τις
κατὰ τὸν καιρὸν ἐκεῖνον σκοπεῖ, ἀγαθόν | ἐστι καὶ θελητόν. ἐπεὶ καὶ τὸ 74
ἑκάστης πράξεως τέλος κατὰ τὸν καιρὸν αὐτῆς ἐστι καὶ ἀπὸ τοῦ καιροῦ ἢ
ἀγαθὸν ἢ πονηρὸν γίνεται, ὥστε καὶ τὸ ἑκούσιον ἢ τὸ ἀκούσιον κατὰ τὸν
καιρὸν ὅτε πράττεται ζητητέον· κατ' ἐκεῖνον τοίνυν τὸν καιρὸν ἑκὼν πράτ-
τει ἃ πράττει, εἰ καὶ ἐν ἄλλῳ καιρῷ, γαλήνης οὔσης, οὐκ ἂν ποιήσειε
βουλόμενος ταῦτα. καὶ γὰρ τὰ ὀργανικὰ μέρη καὶ χεῖρες καὶ πόδες οὐκ
ἔξωθεν ὑπ' ἄλλης ἀρχῆς κινοῦνται ἀλλ' ὑπὸ τῆς ἐν αὐτῷ τῷ ποιοῦντι·
ἃ δέ τις ποιεῖ ὑφ' ἑαυτοῦ κινούμενος, κύριός ἐστι καὶ ποιεῖν καὶ μή· τὰ
τοιαῦτα δὲ ἑκούσια λέγεται. ἔστι τοίνυν ἑκούσιον μὲν αὐτὴ ἡ πρᾶξις, δη- 10
λονότι μετὰ τῶν περιστατικῶν· ἁπλῶς δὲ καὶ χωρὶς προσθήκης ἀκούσιον·
χωρὶς γὰρ τῆς περιστάσεως οὐδεὶς ἂν ἕλοιτο τοιαῦτα ποιεῖν. τινὲς δὲ τῶν
τοιούτων πράξεων καὶ ἐπαίνων ἀξιοῦνται, ἔνιαι δὲ καὶ ψόγων· ἐπαίνων μέν,
ὅταν τις αἰσχρόν τι ἢ λυπηρὸν ὑπομένῃ ἀντὶ καλῶν καὶ μεγάλων. ψόγων
δέ, ὅταν φαύλων ἕνεκα. φαῦλος γὰρ ὁ τὰ αἴσχιστα ὑπομένων ἐπὶ μη-
δενὶ καλῷ ἢ μετρίῳ. ἔστι δὲ ἃς οὔτε ἐπαίνων οὔτε ψόγων ἀξιοῦμεν,
καθὼς εἴρηται, ἀλλὰ συγγνώμης ἢ ἐλέου. ὅτε τις τὰ μὴ δέοντα πράττει.
δέει μεγάλων δεινῶν καὶ μειζόνων ἢ δύνασθαι ὑπομεῖναι φύσιν ἀνθρωπίνην. 20
ἔνια δὲ οὕτως εἰσὶν αἰσχρά, ὥστε οὐδεμία ἐστὶ τῷ ποιοῦντι παραίτησις
ἀλλὰ δεῖ φεύγειν τὴν πρᾶξιν τούτων πάσῃ δυνάμει, κἂν δέῃ ἀποθανεῖν
πάντα παθόντα τὰ δεινότατα. καὶ γὰρ τὸν Εὐριπίδου Ἀλκμαίωνα
γελοῖα φαίνεται τὰ ἀναγκάσαντα μητροκτονῆσαι. ἐνίοτε δὲ χα-
λεπόν ἐστι διακρῖναι, τίνων δεινῶν φόβῳ τίνα τῶν αἰσχρῶν ὑπομένειν ἄξιον.
καὶ τίνα ἀντὶ τίνων αἱρησόμεθα· ἔτι δὲ χα|λεπώτερον τὸ εὑρόντα τὸ προ- 75
σῆκον ἐμμεῖναι τοῖς δεδογμένοις. καὶ γὰρ ὡς ἐπὶ τὸ πλεῖστον ἃ μὲν ἀναγ-
καζόμεθα ποιεῖν, μᾶλλον αἰσχρὰ ἢ λυπηρά· ἃ δὲ προσδοκῶντες ποιοῦμεν,
λυπηρά· διὰ τοῦτο γενναίου ἀνδρός ἐστι κατατολμῆσαι τῶν λυπηρῶν ὑπὲρ
τοῦ μηδὲν αἰσχρὸν ὑπομεῖναι ποιῆσαι. ὅθεν ἐν ταῖς τοιαύταις πράξεσι καὶ
ἐπαινοῦμέν τινας καὶ ψέγομεν ἐνίους καὶ οὐδέτερον τούτων, ἀλλὰ συγγνώμης
ἀξιοῦμεν. ἔστι τοίνυν ἁπλῶς μὲν ἀκούσια, ὁπόταν ἡ αἰτία αὐτῶν ἐν
τοῖς ἐκτὸς ᾖ καὶ ὁ πράττων μηδὲν συμβάλληται πρὸς τὴν πρᾶξιν. 10
ἑκούσια δέ, ὁπόταν ἡ αἰτία τῶν πράξεων πᾶσα ᾖ ἐν τῷ ποιοῦντι. ἃ δὲ
δι' ἑαυτὰ μὲν οὐκ εἰσὶ θελητά, θέλομεν δὲ αὐτὰ κατά τινα καιρὸν καί
τινων ἄλλων ἕνεκα, καθ' ἑαυτὰ μὲν ἀκούσιά εἰσι, νῦν δὲ καὶ ἀντὶ
τῶνδε ἑκούσια. μᾶλλον δὲ δοκεῖ ἑκούσια εἶναι ἢ ἀκούσια· αἱ γὰρ πρά-

15 τὰ om. h   16 λέγεται B: λέγονται h   23 ὅτε B: ὅταν h   30 δὲ om. h

ξεις ἀεὶ ἐν τοῖς μερικοῖς γίνονται, ἐν οἷς ἀεὶ καὶ ὁ καιρὸς καὶ ὁ τόπος καὶ ἡ αἰτία· ταῦτα δὲ ἑκουσίους τὰς τοιαύτας πράξεις ποιοῦσι. διὰ τὴν αὐτὴν δὲ αἰτίαν, δηλονότι τὸ περὶ τὰ μερικὰ εἶναι τὰς πράξεις, οὐκ ἔστιν εὐχερὲς ἀποδοῦναι, ποῖα αἰσχρὰ ποίων λυπηρῶν προκρίνειν ἄξιον· πολλαὶ γὰρ διαφοραὶ ἐν τοῖς μερικοῖς.

Ἔτι περὶ ἑκουσίου καὶ ἀκουσίου καὶ τῶν μεταξὺ αὐτῶν θεωρουμένων. κεφ. β΄.

Δοκεῖ δὲ καὶ τὰ καλὰ καὶ τὰ ἡδέα βίαιά τινα εἶναι, ὅτι αὐτὰ κινεῖ καὶ ἀναγκάζει ποιεῖν τοὺς ποιοῦντας τῷ κάλλει καὶ τῇ ἡδονῇ, ἔξωθεν ὄντα· οὐκ ἔστι δέ. εἰ γὰρ τοῦτο δώσομεν, πάντα ἂν εἴη βίαια· πάντα γὰρ ὅσα πράττομεν, | ἕνεκα τοῦ νομίζειν, ὅτι καλὰ ἢ ἡδέα πράττομεν. καὶ τινὰ 76 μὲν λυπούμενοι πράττομεν ὅσα ποιοῦμεν ἔξωθεν βιαζόμενοι, τινὰ δὲ μεθ' ἡδονῆς, ὅσα ἑκόντες αὐτοὶ ποιοῦμεν τοῦ ἡδέος ἕνεκα. πάντα δὲ ἕνεκά τινος καλοῦ ἢ ἡδέος ποιοῦμεν· καὶ γὰρ καὶ ἃ λυπηρὰ ποιοῦμεν ἀναγκαζόμενοι, τῆς ἡδονῆς ἕνεκα ποιοῦμεν· ποιοῦμεν γάρ, ἵνα φύγωμεν τὰ λυπηρότερα· τοῦτο δὲ τὴν ἡδονήν ἐστι διώκειν. διὰ τοῦτο οὐ δεῖ τὰ καλὰ καὶ ἡδέα βίαια λέγειν· ἄλλως τε καὶ γελοῖόν ἐστιν, αἴτια νομίζειν τῶν πράξεων τὰ ἔξωθεν καλὰ καὶ ἡδέα καὶ μὴ ἑαυτὸν ὑπὸ τούτων ῥαδίως ἁλισκόμενον. ἀλλὰ τῶν μὲν καλῶν πράξεων πολλάκις τις ἑαυτὸν αἰτιᾶται, τῶν δὲ αἰσχρῶν οὐχ ἑαυτὸν ἀλλὰ τὴν ἡδονήν. οὐκ ἔστι δέ· ἀκούσιον γάρ ἐστιν, οὗ ἡ ἀρχὴ ἔξωθεν, οὐδὲν πρὸς τὴν πρᾶξιν συντελοῦντος τοῦ πράττοντος. τὰ δὲ δι' ἄγνοιαν γινόμενα ζητητέον ⟨εἰ⟩ ἑκούσιά εἰσιν ἢ ἀκούσια. ἔχει δὲ οὐ πάντα ὁμοίως· ἀλλὰ τὰ μὲν ἀκούσιά εἰσι, ⟨τὰ δὲ ἑκούσια,⟩ τὰ δὲ οὔτε ἑκούσια οὔτε ἀκούσια, ἀλλὰ καλείσθω οὐχ ἑκούσια. καὶ ἀκούσια μὲν ὅσα ποιήσαντες λυπούμεθα, γνόντες μετὰ τὸ ποιῆσαι, καὶ μεταμελόμεθα, οὐχ ἑκούσια δέ, ὅσα ποιοῦντες οὐ λυπούμεθα, καὶ μετὰ τὴν πρᾶξιν οὐ μεταμελόμεθα· ὁ γὰρ δι' ἄγνοιαν πράττων καὶ μετὰ τὸ γνῶναι μὴ δυσχεραίνων τῇ πράξει οὔτε ἑκὼν ἔπραξεν ὅ γε μὴ ᾔδει, οὔτε ἄκων· οὐ γὰρ γνοὺς ἑαυτῷ δυσχεραίνει· διὰ τοῦτο οὐχ ἑκούσια τὰ τοιαῦτα καλείσθω. διαφέρει δὲ τὸ δι' ἄγνοιαν πράττειν τοῦ ἀγνοοῦντα πράττειν. καὶ διὰ τοῦτο τὸ μὲν δι' ἄγνοιαν πράττειν ἢ ἀκούσιόν ἐστιν ἢ οὐχ ἑκούσιον, τὸ δὲ ἀγνοοῦντα πράττειν ἑκούσιόν ἐστι. καὶ γὰρ τὸ ἀγνοοῦντα πράττειν ἐστίν, ἐπάν τις ὀργίζηται ἢ μεθύῃ ἢ | ἄλλην τινὰ ποιῇ πονηρίαν· οὗτος γὰρ οὐ 77 δι' ἄγνοιαν ἀλλὰ διὰ ἡδονὴν ἢ ἄλλο τι ποιεῖ ὃ ποιεῖ, ἀγνοῶν δέ. πᾶς οὖν μοχθηρὸς ἀγνοεῖ, τίνα δεῖ πράττειν, καὶ τίνων ἀπέχεσθαι· καὶ διὰ τὴν τοιαύτην ἁμαρτίαν οἱ ἄνθρωποι ἄδικοι ἢ ὅλως κακοὶ γίνονται. αἱ δὴ τοιαῦται πράξεις οὐκ εἰσιν ἀκούσιοι· ἡ γὰρ ἐν τῇ προαιρέσει ἄγνοια, ἥτις ἐστὶν αἰτία τῶν κακιῶν, οὐκ ἔστιν αἰτία τοῦ ἀκουσίου ἀλλὰ τῆς μοχθηρίας. οὐ γὰρ τὸ καθόλου περὶ τῆς μέθης ἀγνοεῖν ὅτι πονηρόν,

2 ἑκουσίους h: ἑκουσίως B   11. 12 τινὰ μὲν B: μέν τινα h   22 εἰ h: om. B
23 τὰ δὲ ἑκούσια h: om. B

αἴτιον γίνεται τοῦ ἀκουσίου, ἀλλὰ τὸ ἀγνοῆσαι μερικῶς τήνδε τὴν μέθην·
οἷον, φέρε εἰπεῖν, οὐκ εἰδότα μέχρι πόσου πιόντας ἔνι μεθύειν. τοῦτο γὰρ
καὶ συγγνώμης ἀξιοῦται καὶ ἐλέου, ὁ γὰρ οὕτως ἀγνοήσας δι᾽ ἄγνοιαν ποιεῖ
ὃ ποιεῖ καὶ ἀκουσίως πράττει. δεῖ δὲ διορίσαι τίνα καὶ πόσα ἐστίν,
ἃ ἀγνοοῦντες ἀκουσίως πράττομεν, τὸ αὐτοῦ πρόσωπον τοῦ πρὸς ὅν τις
ποιεῖ ὃ ποιεῖ, τὸ πρᾶγμα ὃ ποιεῖ, ἐνίοτε δὲ καὶ τὸ διὰ τίνος ὀργάνου ποιεῖ,
καὶ τὸ οὗ ἕνεκα, οἷον σωτηρίας, καὶ πῶς, δηλαδὴ τὸν τρόπον, οἷον ἠρέμα
ἢ σφόδρα. ἅπαντα μὲν οὖν ταῦτα οὐδεὶς ἂν ἀγνοήσειεν, εἰ μὴ
μαίνοιτο. ἐνδέχεται δέ τινα τούτων ἀγνοεῖν καὶ σωφρονοῦντα· ὥσπερ ἀγ-
νοεῖ τις πολλάκις αὐτὸ τὸ πρᾶγμα ὃ πράττει, καθάπερ οἱ ἐξειπόντες τὰ
μυστήρια. λέγοντας γὰρ περὶ ἄλλων συγχυθῆναί φασι καί τι καὶ περὶ
τῶν μυστηρίων παραφθέγξασθαι, μὴ συνορῶντας ὃ λέγουσιν ἢ καὶ ἀγνο-
οῦντας ὅτι ἀπόρρητα ἦν. οὗτοι γὰρ αὐτὸ τὸ πρᾶγμα γινόμενον ἀγνοοῦσιν·
οὐ γὰρ γινώσκουσιν, ὅτι τὰ μυστήρια ἐξάγουσι. καί τις ἀφῆκε πρός τινα
καταπέλτην δεῖξαι βουλόμενος αὐτόν, καὶ τυχὼν ἀπέκτεινε. καί τις τὸν
υἱὸν τὸν ἑαυτοῦ οἰηθεὶς πο|λέμιον εἶναι, ὥσπερ ἡ Μερόπη· ἢ λελογχω- 78
μένον τὸ δόρυ νομίσας ἄνευ λόγχης εἶναι, ἢ κίσσηριν τὸν λίθον ὑπολαβών,
ἐπὶ σωτηρίᾳ πέμψας, ἀπέκτεινεν. ὁ τοίνυν τι τούτων ἀγνοῶν, ἐν οἷς ἡ
πρᾶξις, ἄκων ἐποίησε· κυρίως δὲ ἄκων, ὅταν τὰ κυριώτατα ἀγνοῇ τῶν
περὶ τὸ πρᾶγμα· κυριώτατα δὲ τὰ πρόσωπα καὶ τὸ ἔργον, ἐν οἷς ἡ πρᾶξις
καὶ τὸ οὗ ἕνεκα· ἅτινα εἰ ἀγνοεῖ καὶ προσέτι μεταμέλει αὐτῷ ἐφ᾽ οἷς
ἐποίησε, κυρίως ἄκων ἐποίησε. τοιούτου δὲ ὄντος τοῦ ἀκουσίου, τὸ ἑκού-
σιόν ἐστιν, οὗ ἡ ἀρχὴ ἐν αὐτῷ εἰδότι τὰ καθ᾽ ἕκαστα, ἐν οἷς ἡ
πρᾶξις. οὐ γὰρ καλῶς λέγεται ἀκούσια εἶναι, ἃ ποιοῦμεν ὑπὸ θυμοῦ κι-
νούμενοι ἢ ἐπιθυμίας, γινώσκοντες πάντα τὰ κατὰ μέρος, δι᾽ ὧν καὶ ἐν
οἷς πράττομεν. εἰ γὰρ τοῦτο δοίημεν, πρῶτον μὲν οὐδὲν τῶν ἀλόγων ζῴων
ἑκούσιόν τι πράττειν ἐροῦμεν (ἀεὶ γὰρ ἐπιθυμίᾳ καὶ θυμῷ πράττει), ὁμοίως
δὲ καὶ τοὺς παῖδας· ἔπειτα καὶ ἐφ᾽ ἡμῖν ἄτοπον συμβαίνει· ἢ γὰρ οὐδὲν
ἑκουσίως πράττομεν τῶν δι᾽ ἐπιθυμίαν ἢ θυμόν, ἢ τὰ καλὰ μὲν ἑκου-
σίως, τὰ δὲ φαῦλα ἀκουσίως· τῶν γὰρ ἀπὸ ἐπιθυμίας ἢ θυμοῦ τὰ μὲν
ἀγαθά, τὰ δὲ φαῦλα. εἰ μὲν οὖν τὰ καλὰ μόνον ἑκουσίως πράττομεν, τὰ
φαῦλα δὲ ἀκουσίως, γελοῖον εἰπεῖν· ἓν γὰρ τὸ αἴτιον, θυμὸς ἢ ἐπιθυμία.
τὸ δὲ ἑκούσιον καὶ ἀκούσιον ἡ διαφορὰ τοῦ αἰτίου ποιεῖ τῷ τὸ μὲν ἔνδον
εἶναι, τὸ δὲ ἔξωθεν. εἰ δὲ πάντα ἀκούσια, πῶς οὐκ ἄτοπον, ἀκουσίως
ὀρέγεσθαι λέγειν, ὧν δεῖ ὀρέγεσθαι; ἔστι γὰρ εἰς δέον χρήσασθαι τῇ ἐπι-
θυμίᾳ καὶ τῷ θυμῷ, καὶ δεῖ ὀργίζεσθαι ἐπί τισι καὶ ἐπιθυμεῖν τι-
νων, οἷον ὑγιείας ἢ μαθήσεως, ἅπερ ἀκούσια λέγειν οὐκ εὔλογον· τὰ
γὰρ ἀκούσια λυπηρά, τὰ δὲ κατ᾽ ἐπιθυμίαν ἡδέα. ἔτι, εἰ ἀκούσια ἦν
τὰ κατὰ θυμὸν ἁμαρτηθέντα, διέφερεν ἂν τῶν ἀπὸ τοῦ λογισμοῦ ἁμαρτα- 79
νομένων κατὰ τὴν ἑκουσίου καὶ ἀκουσίου διαφοράν· διαφέρει δὲ οὐδέν· καὶ

1 μέθην B: μέθοδον h 11 συγχεθῆναι B 12 συνορῶντες h 12. 13 ἀγνοοῦν-
τες h 21 μεταμέλοι h 23 τὰ B: τὸ h 28 ἡμῖν h: ἡμῶν B 30 φαῦλα
δὲ h

γὰρ ταῦτα ὁμοίως ἐκείνοις φευκτά, ὃ τοῦ ἑκουσίου ἐστὶ καὶ ψόγων ἄξια οὐδὲν ἧττον· ὅπερ οὐκ ἂν ἦν, εἰ διέφερεν ὡς ἑκούσιον ἀκουσίου. ἔτι δὲ τὰ ἄλογα πάθη καὶ ἀνθρωπικά εἰσιν, ὥσπερ ὁ λογισμός· ἀπὸ τούτων δὲ τῶν παθῶν, θυμοῦ δηλονότι καὶ ἐπιθυμίας, πᾶσαι αἱ ἀνθρώπιναι γίνονται πράξεις· ταύτας τοίνυν ἀκουσίους λέγειν ἄτοπον.

Περὶ προαιρέσεως. κεφ. γʹ.

Ἐπεὶ δὲ περὶ ἑκουσίου καὶ ἀκουσίου διωρισάμεθα, μετὰ ταῦτα ἀκόλουθον ἂν εἴη περὶ τῆς προαιρέσεως διαλαβεῖν. ἡ γὰρ προαίρεσις οἰκείως ἔχει πρὸς τὴν ἀρετὴν καὶ τῷ ταύτης κανόνι δυνησόμεθα κρίνειν τὰ ἤθη καὶ τὰς πράξεις. ἡ προαίρεσις τοίνυν ἑκούσιον μέν ἐστιν, οὐκ ἔστι δὲ αὐτὸ τὸ ἑκούσιον ἀλλά τι τῶν τοῦ ἑκουσίου· τὸ γὰρ ἑκούσιον ἐπὶ πλέον ἐστὶ τῆς προαιρέσεως. καὶ δῆλον· τὸ μὲν γὰρ ἑκούσιον καὶ ζῴοις ἀλόγοις καὶ παισὶ καὶ τελείοις τὸν νοῦν πρόσεστι (ποιοῦσι γὰρ καὶ οἱ παῖδες καὶ τἄλλα ζῷα ἑκουσίως), ἡ δὲ προαίρεσις μόνοις τοῖς κρίνειν δυναμένοις καὶ βουλεύεσθαι εἰδόσι πρόσεστιν· ἡ γὰρ μετὰ βουλῆς ὄρεξις προαίρεσις καλεῖται, ἄλλως τε καὶ τὰ ἐξαίφνης ὑφ᾽ ἡμῶν γινόμενα μὴ προβουλευσαμένων ἑκούσια μὲν λέγονται, προαιρετὰ δὲ οὐδαμῶς. οὐ γάρ ἐστιν ἡ προαίρεσις θυμὸς ἢ ἐπιθυμία ἢ βούλησις ἢ δόξα, καθώς τινες ὑπειλήφασιν. | ὁ μὲν θυμὸς καὶ ἡ ἐπιθυμία κοινή ἐστι καὶ ἡμῖν καὶ τοῖς ἀλόγοις, προαίρεσις δὲ οὐδαμῶς. ἔτι δὲ καὶ ὁ ἀκρατὴς οὐ λέγεται προαιρούμενος πράττειν ἃ πράττει ἀλλ᾽ ἐπιθυμῶν· ὁ δὲ ἐγκρατὴς λέγεται πράττειν προαιρούμενος, οὐκ ἐπιθυμῶν. ἔτι προαιρέσει μὲν ἐπιθυμία ἐναντίον ἐστί· καὶ γὰρ προαιρούμεθα πολλάκις ἐναντία ὧν ἐπιθυμοῦμεν· ἐπιθυμία δὲ ἐπιθυμίας οὐκ ἔστιν ἐναντίον· ἡ ἄρα προαίρεσις οὐκ ἔστιν ἐπιθυμία. ἔτι ἡ μὲν ἐπιθυμία λυπηρά ἐστι καὶ τὸ ἡδὺ ἀεὶ ἀντικείμενον ἔχει (πρὸς αὐτὸ γὰρ ἀεὶ φέρεται). ἡ δὲ προαίρεσις οὔτε λυπηρά ἐστιν οὔτε τὸ ἡδὺ ἀντικείμενον ἔχει. ἔτι δὲ οὐδὲ ὁ θυμὸς προαίρεσίς ἐστι, καὶ πολλῷ μᾶλλον ἢ ἡ ἐπιθυμία· ἥκιστα γὰρ τὰ διὰ θυμὸν γινόμενα κατὰ προαίρεσιν εἶναι δοκεῖ. ἀλλὰ μὴν οὐδὲ βούλησίς ἐστιν ἡ προαίρεσις· καίτοι ἔγγιστα εἶναι ταῦτα δοκεῖ. ἡ μὲν γὰρ προαίρεσις οὐκ ἔστι τῶν ἀδυνάτων· οὐ γὰρ προαιρούμεθα ἵπτασθαι ἢ ἀθάνατοι εἶναι ἀλλὰ βουλόμεθα (ὁ γὰρ τὰ τοιαῦτα προαιρούμενος δοκοίη ἂν ἠλίθιος εἶναι)· ἡ προαίρεσις ἄρα οὐκ ἔστι βούλησις. καὶ βουλόμεθα μὲν πολλάκις ἅπερ οὐχ ἡμεῖς αὐτοὶ ἀλλ᾽ ἕτεροι ποιοῦσιν, οἷον ὑποκριτήν τινα νικᾶν τῶν ἐν τῇ σκηνῇ ἢ ἀθλητήν· προαιρεῖται δὲ ταῦτα οὐδεὶς ἀλλ᾽ ὅσα οἴεται γενέσθαι ἂν δι᾽ αὑτοῦ. ἔτι ἡ μὲν βούλησις τοῦ τέλους ἐστὶν ἀεί, ἡ δὲ προαίρεσις τῶν πρὸς τὸ τέλος φερόντων· βουλόμεθα μὲν γὰρ τὴν ὑγίειαν, προαιρούμεθα δὲ ἃ πρὸς αὐτὴν φέρει, καὶ δι᾽ ὧν ἔστιν ὑγιαίνειν· καὶ τὴν μὲν εὐδαιμονίαν καὶ βου-

3 ἀνθρωπικά B: ἀνθρώπινά h 15 μετὰ βουλῆς B (et Heinsius ex coni.): μεταβολῆς h 18 ὁ μὲν γὰρ θυμὸς h 20 ἀκρατής h: ἀκροατής B 28 τὰ om. h 35 αὑτοῦ Mullach ex Arist.: αὐτοῦ Bh

λόμεθα καί φαμεν βούλεσθαι, | προαιρεῖσθαι δὲ οὐ λέγομεν, ἐπεὶ μηδὲ 81
ἁρμόζει. καὶ ὅλως ἔοικεν ἡ προαίρεσις τῶν ἐφ' ἡμῖν εἶναι. ἀλλὰ μὴν οὐδὲ δόξα ἐστίν. ἡ μὲν γὰρ δόξα περὶ πάντα ὁμοίως ἐστὶ καὶ τὰ ἀίδια καὶ τὰ ἐφ' ἡμῖν καὶ τὰ ἀδύνατα. ἡ δὲ προαίρεσις τῶν ἐφ' ἡμῖν ἐστι μόνον. ἔτι ἡ δόξα τῷ ψευδεῖ καὶ τῷ ἀληθεῖ διαιρεῖται· τὴν μὲν γὰρ τῶν δοξῶν ἀληθῆ λέγομεν, τὴν δὲ ψευδῆ· ἡ δὲ προαίρεσις τῷ ἀγαθῷ καὶ τῷ κακῷ μᾶλλον διαιρεῖται· τὴν μὲν γὰρ τοῦ ἀγαθοῦ λέγομεν, τὴν δὲ τοῦ κακοῦ. τῇ μὲν οὖν καθόλου δόξῃ ταὐτὸν εἶναι τὴν προαίρεσιν οὐδενὶ δοκεῖ· οὐ μόνον δὲ τῇ καθόλου δόξῃ οὐκ ἔστι ταὐτόν, ἀλλ' οὐδέ τινι. ἀπὸ μὲν γὰρ τῆς προαιρέσεως ποιοί τινες γινόμεθα· τῷ γὰρ προαιρεῖσθαι τὰ κακὰ κακοὶ γινόμεθα, καὶ τῷ προαιρεῖσθαι τὰ ἀγαθὰ ἀγαθοί· ἀπὸ δὲ τῆς δόξης οὐκέτι. ἔτι προαιρούμεθα μὲν πράττειν τι ἢ μὴ πράττειν, λαβεῖν τι ἢ φυγεῖν ἤ τι τῶν τοιούτων· δοξάζομεν δὲ τί ἐστιν ὃ προαιρούμεθα ἢ ἄλλο τι, ἢ τίνι συμφέρει ἢ πῶς· λαβεῖν δὲ ἢ φυγεῖν τι ἢ ἑλέσθαι οὐκ ἔστι τῆς δόξης· ἡ ἄρα προαίρεσις οὐκ ἔστι δόξα. ἔτι ἡ μὲν προαίρεσις ἐπαινεῖται, ὅταν προαιρώμεθα ἃ δεῖ· ἡ δὲ δόξα ἐπαινεῖται, ὅταν δοξάζωμεν τὰ ἀληθῆ. ἔτι προαιρούμεθα μέν, ἃ σφόδρα γινώσκομεν ἀγαθὰ εἶναι, δοξάζομεν δὲ ἃ οὐ πάνυ γινώσκομεν ἀληθῆ εἶναι. ἔτι ὁ αὐτὸς οὐχ ὁμοίως προαιρεῖται καὶ δοξάζει· δοξάζει μὲν γὰρ πολλάκις καλῶς δοξάζων τὰ ἀληθῆ, προαιρεῖται δὲ τὰ φαῦλα· οὐκ ἄρα ταὐτὸν δόξα καὶ προαίρεσις. εἰ δὲ πολλάκις ἡ δόξα προηγεῖται τῆς προαιρέσεως ἢ παρακολουθεῖ, οὐ διὰ τοῦτο ταὐτὸν ἔσται | δόξα καὶ προαίρεσις· τοῦτο γὰρ οὐ- 82
δὲν κωλύει διάφορα εἶναι.

Περὶ προαιρέσεως τί ἐστι καὶ περὶ τίνα, καὶ περὶ βουλεύσεως. κεφ. δ'.

Ἐπεὶ δὲ οὔτε ἐπιθυμία ἐστὶν ἡ προαίρεσις οὔτε θυμὸς οὔτε βούλησις οὔτε δόξα, ζητητέον τί ἐστιν ἢ ποῖόν τί ἐστι. φαίνεται μὲν οὖν, ὅτι ἑκούσιόν ἐστιν, οὐκ αὐτὸ τὸ ἑκούσιον, καθὼς εἴρηται· οὐ γὰρ πᾶν ἑκούσιον προαιρετόν, ἀλλὰ τῶν ἑκουσίων ἐκεῖνο μόνον προαιρετὸν καλεῖται, ὃ προβουλευόμενοι ποιοῦμεν· ἡ γὰρ προαίρεσις μετὰ λόγου καὶ διανοίας. φαίνεται δὲ καὶ ἀπὸ τοῦ ὀνόματος· τὸ γὰρ προαιρετὸν δοκεῖ σημαίνειν τὸ πρὸ ἑτέρων αἱρετόν. τούτων δὲ ὑποκειμένων, ζητητέον πότερον περὶ πάντων δυνατὸν βουλεύσασθαι ἢ περὶ ἐνίων οὐ δυνατόν, ἵνα γνῶμεν ἐντεῦθεν, τίνων ἐστὶν ἡ προαίρεσις καὶ τίνων οὐκ ἔστι. τῶν γὰρ βουλευτῶν καὶ ἡ προαίρεσίς ἐστι. βουλευτὸν δὲ λέγω, περὶ οὗ βουλεύεται οὐχ ἠλίθιος ἢ μαινόμενος ἀλλ' ὁ νοῦν ἔχων. ἡ τοίνυν βουλὴ οὔτε περὶ τῶν ἀιδίων ἐστίν, οἷον περὶ τοῦ κόσμου (οὐδεὶς γὰρ βουλεύεται πῶς δεῖ κινεῖσθαι τὰ οὐράνια σώματα), ἢ περὶ τῶν ἀδυνάτων ἄλλως εἶναι, οἷον περὶ τῆς πλευρᾶς τοῦ τετραγώνου καὶ τῆς διαμέτρου, ποιῆσαι λόγον τινὰ

13 ἢ post φυγεῖν om. h   16 προαιρώμεθα h: προαιρούμεθα B   19 μὲν om. h

ἔχειν πρὸς ἀλλήλας. ὃν ἀριθμὸς πρὸς ἀριθμὸν οὔτε περὶ τῶν κινουμένων ἀεὶ ὡσαύτως ἢ ἀνάγκῃ ἢ φύσει ἢ δι' ἄλλην τινὰ αἰτίαν, οἷον τροπῶν καὶ ἀνατολῶν ἀλλ' οὐδὲ περὶ τῶν ἄλλοτε ἄλλως ἐχόντων βουλευ- 83 σόμεθα, οἷον αὐχμῶν καὶ ὄμβρων. οὐδὲ ⟨περὶ⟩ τῶν ἀπὸ τῆς τύχης, οἷον θησαυροῦ εὑρέσεως· ὅτι οὐδὲν τούτων ἐφ' ἡμῖν ἐστιν οὐδὲ ἀνθρώπινον. καὶ μὴν οὐδὲ περὶ τῶν ἀνθρωπικῶν πάντων βουλευσόμεθα ἀλλὰ μόνον περὶ τῶν ἐφ' ἡμῖν καὶ ἅπερ ἂν αὐτοὶ πράξαιμεν ἢ δι' ἡμῶν αὐτῶν ἢ δι' ἑτέρων· οὐ γὰρ Λακεδαιμόνιοι περὶ τῆς τῶν Σκυθῶν πολιτείας βουλεύσονται, πῶς ἂν Σκύθαι ὀρθῶς πολιτεύοιντο. οὐδὲν γὰρ τῶν εἰρημένων δι' ἡμῶν ἂν γένοιτο. βουλευόμεθα δὲ περὶ τῶν ἐφ' ἡμῖν πρακτῶν, ἅτινα γνωσόμεθα οὕτω. τρία εἰσὶ τὰ αἴτια ἐν τοῖς οὖσι φύσις ἀνάγκη καὶ τύχη, ἔτι δὲ νοῦς καὶ πᾶν τὸ δι' ἀνθρώπου, οἷον τέχνη ἢ ἄλλη τις πρᾶξις. οἱ δὲ ἄνθρωποι βουλεύονται οὔτε περὶ ὧν αἰτία ἡ φύσις οὔτε περὶ ὧν ἡ ἀνάγκη αἰτία ἢ ὧν ἡ τύχη, ἀλλὰ περὶ μόνων ἐκείνων, ὧν αἰτία ἐστὶν ἡ ἀνθρωπίνη μέθοδος καὶ ἡ πρᾶξις. ἔτι δὲ οὐδὲ περὶ πασῶν τῶν ἀνθρωπίνων μεθόδων οἱ ἄνθρωποι βουλεύονται. περὶ γὰρ τὰς ἀκριβεῖς καὶ αὐτάρκεις τῶν ἐπιστημῶν οὐκ ἔστι βουλή, οἷον περὶ τῶν γραμμάτων· οὐ γὰρ διστάζομεν πῶς γραπτέον, ὅτι ἐγνωσμένον ἐστὶν ἀκριβῶς καὶ ὡρισμένα εἰσὶ τὰ σημεῖα. ἀλλ' ὅσα γίνονται ὑφ' ἡμῶν δυνάμενα πολλαχῶς γενέσθαι, περὶ τούτων βουλευόμεθα, οἷον περὶ τῶν κατὰ τὴν ἰατρικὴν πράξεων, αἵτινες οὐ πάνυ εἰσὶν ὡρισμέναι ἢ τὴν χρηματιστικήν (πολλαχῶς γὰρ δυνατὸν χρηματίσασθαι) ἢ τὴν κυβερνητικὴν ἢ γυμναστικήν· καὶ μᾶλλον ⟨περὶ⟩ τῶν κατὰ τὴν κυ|βερνητικὴν βουλευσόμεθα ἢ τὴν γυμναστικήν, ἐπεὶ καὶ ἔλαττόν ἐστιν 84 ἀκριβὴς ἡ κυβερνητική· καὶ περὶ τῶν λοιπῶν ὁμοίως. πλέον δὲ περὶ τῶν κατὰ τὰς τέχνας βουλευσόμεθα ἢ τὰς ἐπιστήμας· πλέον γὰρ διστάζομεν ἐν ταῖς τέχναις, ὅτι ἔλαττόν εἰσιν ὡρισμέναι τῶν ἐπιστημῶν. τὸ δὲ βουλεύεσθαί ἐστι μὲν τῶν ὡς ἐπὶ τὸ πλεῖστον ἐνδεχομένων γίνεσθαι· ὅταν δὲ καὶ ἐπὶ τούτων ὁ τρόπος ἄδηλος ᾖ, πῶς δηλονότι γενήσεται καὶ ἐν οἷς, οὐκ ἔστι δυνατὸν τὴν βούλευσιν ὡρισμένην εἶναι. διὰ τοῦτο καὶ συμβούλους παραλαμβάνομεν, ὅταν ᾖ περὶ μεγάλων ἡ βουλή· καὶ γὰρ ἀπιστοῦμεν ἡμῖν αὐτοῖς ὡς οὐχ ἱκανοῖς περὶ τοῦ πράγματος διαγνῶναι. βουλευόμεθα δὲ οὐ περὶ τῶν τελῶν ἀλλὰ περὶ τῶν πρὸς τὰ τέλη. ὁ γὰρ ἰατρὸς οὐ βουλεύσεται δοῦναι τὴν ὑγίειαν τῷ κάμνοντι (οὐ γὰρ ἐνδέχεται πρὸς ἄλλο τι βλέπειν τὸν ἰατρὸν καὶ τούτου χάριν οὐ χρείαν ἕξει βουλεύσεως), ἀλλὰ περὶ τῶν φερόντων εἰς τὴν ὑγίειαν, περὶ τούτων βουλεύσεται, ἅτινα πολλαχῶς ἐνδέχεται γενέσθαι· ὁμοίως δὲ καὶ ὁ ῥήτωρ οὐ βουλεύσεται περὶ τῆς πειθοῦς ἀλλὰ περὶ τῶν φερόντων εἰς τὴν πειθώ, καὶ ὁ πολιτικὸς οὐ καθίζει τὴν βουλήν, ἵνα γνῷ περὶ τῆς εὐνομίας (εἰ δεῖν καλῶς τὰ πράγματα αὐτὸν διοικῆσαι), ἀλλὰ περὶ τῶν συνιστάντων τὴν εὐνο-

4 περὶ ins. Mullach 11 ἅ τινα γνωσόμεθα. οὕτω τρία εἰσὶ h 18 τῶν om. Arist. 23 περὶ h: om. B 32 διαγνῶναι Mullach: διαγνῶσαι Bh 33 τῶν om. h 36. 36 βουλεύσεται B: βουλεύεται h 39 εἰ δεῖν B: δεῖ γὰρ h

μίαν βουλεύσεται. καὶ ὅλως πάντες οἱ τοιοῦτοι τὸ μὲν τέλος ὑποτιθέασι. ζητοῦσι δὲ πῶς καὶ διὰ τίνων ἀφίξονται πρὸς αὐτό. καὶ πολλῶν ὄντων δι᾽ ὧν ἔστι τυχεῖν τοῦ σκοποῦ, ζητοῦσι διὰ τίνος ῥᾷστα καὶ κάλλιστα τὸ τέλος εὑρήσουσιν. ὅταν δὲ δι᾽ ἑνὸς | ἐνδέχηται μόνου, τότε οὐ τοῦτο 85 ζητοῦσιν, ἀλλὰ τὸν τρόπον πῶς χρησόμεθα αὐτῷ, καὶ τίνι πράξει μεταχειρισάμενοι, διὰ τούτου τοῦ τέλους τευξόμεθα. καὶ πάλιν ἐκείνην τὴν πρᾶξιν διὰ τίνος ἐργασόμεθα κἀκεῖνο διὰ τίνος, ἕως ἂν ἔλθωμεν ἐπὶ τὸ ἀμέσως γινόμενον καὶ οὐ δι᾽ ἄλλου, ὅ ἐστι τὸ πρῶτον αἴτιον τοῦ τέλους. ὅπερ τελευταῖον εὑρίσκεται. οὕτω γὰρ ὁ βουλευόμενος ἀπὸ τοῦ τέλους ἀρχόμενος διὰ τῶν πρὸς τὸ τέλος ὁδεύει, μέχρι τοῦ πρώτου αἰτίου τὴν πρᾶξιν πᾶσαν ἀναλύων, καθάπερ οἱ μαθηματικοὶ τὰ διαγράμματα. ἔστι τοίνυν ἡ μὲν βούλευσις ζήτησίς τις· οὐ πᾶσα δὲ ἡ ζήτησις βούλευσις. ἡ γὰρ μαθηματικὴ ζήτησις οὐκ ἔστι βούλευσις. καίτοι, καθὼς εἴρηται, τρόπον τινὰ ὁμοίως καὶ ὁ βουλευόμενος καὶ ὁ μαθηματικὸς ἀναλύει· καὶ ὃ ἔσχατον εὑρίσκεται ἀναλύοντι, τοῦτο ἔργον πρῶτον γίνεται τῷ βουλευομένῳ, καθάπερ ὁ μαθηματικὸς πρὸς ὃ ἔσχατον ἀφίξεται ἀναλύων, τοῦτο ὑποτιθεὶς καὶ ἀπὸ τούτου διὰ τῶν ἄλλων ὁδεύων ἀποδείκνυσι τὸ προκείμενον. καὶ ἄμφω δὲ εἰ ἀναλύοντες ἀδυνάτοις ἐντύχοιεν ἀφίστανται τοῦ ζητήματος. οἷον εἰ χρημάτων δεήσει πρὸς τὸ ζητούμενον τέλος, ὃ τούτων ἄνευ οὐκ ἔνι γενέσθαι, ἀδύνατον δὲ φανείη ταῦτα πορισθῆναι, περὶ τοῦ τρόπου οὐκέτι ζητοῦσιν ἀλλ᾽ ἀφίστανται· εἰ δὲ δυνατόν, ἐγχειροῦσι πράττειν. ἐκεῖνα δὲ δυνατὰ καλοῦμεν, ἃ δι᾽ ἡμῶν γένοιτ᾽ ἄν· τὰ γὰρ διὰ τῶν φίλων τρόπον τινὰ δι᾽ ἡμῶν γίνονται· ἡ γὰρ αἰτία καὶ τούτων ἐν ἡμῖν ἐστι· βουλευόμεθα δέ, καθὼς εἴρηται, ποτὲ μὲν περὶ τῶν ὀργάνων, ποτὲ δὲ περὶ τῆς χρήσεως αὐτῶν, καὶ ἁπλῶς, ποτὲ μὲν περὶ τῶν φερόντων εἰς ⟨τὸ⟩ | τέλος πῶς ἂν ληφθεῖεν, ποτὲ δὲ περὶ τοῦ τρόπου πῶς χρησόμεθα 86 αὐτοῖς ἢ διὰ τίνος. φαίνεται δὴ ἀπὸ τῶν εἰρημένων, μὴ εἶναι τὸ τέλος βουλευτόν. βουλευτὰ μὲν γάρ εἰσιν, ὧν κύριος ὁ ἄνθρωπός ἐστι ποιῆσαι ἢ μή· ὧν δὲ ὁ ἄνθρωπος κύριός ἐστιν, ἐκεῖνα πράξεις ἀνθρώπιναί εἰσιν· αἱ δὲ ἀνθρώπιναι πράξεις ἄλλων ἕνεκα γίνονται· ἃ δὲ ἄλλων ἕνεκα γίνονται, οὐκ εἰσὶ τέλη· τὸ βουλευτὸν ἄρα οὐκ ἔστι τέλος. οὔτε τοίνυν τὸ τέλος ἐστὶ βουλευτόν, οὔτε τῶν πρὸς τὸ τέλος ὅσα καθ᾽ ἕκαστα, οἷον εἰ ἄρτος τοῦτο, εἰ πέπεπται, εἰ πεποίηται ὡς δεῖ· ταῦτα γὰρ αἰσθήσει γινώσκομεν. οὐ βουλῇ καὶ κρίσει· εἰ δὲ περὶ τούτων ἀεὶ βουλεύσεται, εἰς ἄπειρον ἥξει. τὸ μὲν οὖν βουλευτὸν τοῦτό ἐστι· τὸ δὲ προαιρετόν ἐστι βουλευτὸν ὡρισμένον· τὸ γὰρ ἀπὸ τῆς βουλῆς προκριθὲν προαιρετὸν καλεῖται· μετὰ γὰρ τὸ προκρῖναι ὃ δέον γενέσθαι, οὐκέτι περὶ τοῦ πράγματος βουλευόμεθα, ἀλλὰ γινώσκομεν ὡρισμένως ὡς δεῖ ποιεῖν· ἀνάγομεν γὰρ τὴν μὲν τοῦ πράγματος τοῦ ζητουμένου ἀρχὴν εἰς τὴν ἡμετέραν βούλησιν, τὴν δὲ ἡμετέραν κρίσιν καὶ βούλησιν εἰς τὴν προαίρεσιν, ἥτις ἐστὶν ἀρχὴ ἤδη τῆς

4 ἐνδέχηται Mullach: ἐνδέχεται Bh 5 τίνα πρᾶξιν Mullach 12 οὐ πᾶσα — οὐκ ἔστι βούλευσις B: πᾶσα δὲ ἡ ζήτησις οὐκ ἔστι βούλευσις h 26 τὸ om. B 29 ἐκεῖνα B: ἐκεῖναι h 33 cf. lectiones librorum Arist.

πράξεως. τοῦτο δὲ δῆλον καὶ ἀπὸ τῶν ἀρχαίων πολιτειῶν, ἃς Ὅμηρος ἐν ταῖς ῥαψῳδίαις ἐμιμεῖτο· εἰσάγει γὰρ τοὺς βασιλεῖς μετὰ τὴν βουλὴν τὸ προκριθὲν ἀπαγγέλλοντας τῷ δήμῳ ὥσπερ τῇ προαιρέσει, ὥστε πραχθῆναι. ἐπεὶ τοίνυν τὸ προαιρετὸν βουλευτόν ἐστιν, ὀρεκτὸν τῶν ἐφ' ἡμῖν δηλονότι, ὃ μετὰ τὴν βουλὴν ὀρεγόμεθα δυνάμενοι τοῦτο ποιῆσαι, φανερόν, ὅτι ἡ προαίρεσις εἴη ἂν ὄρεξις βουλευτικὴ τῶν ἐφ' ἡμῖν. ἐκ | τοῦ βου- 87
λεύσασθαι γὰρ κρίναντες ὀρεγόμεθά [τι] κατὰ τὴν βούλευσιν. οὗτος μὲν οὖν ὁ ὁρισμὸς τῆς προαιρέσεως ὡς ἐν τύπῳ. εἴρηται δὲ καὶ περὶ ποῖά ἐστιν, ὅτι τὰ πρὸς τὸ τέλος.

Περὶ βουλήσεως καὶ βουλητοῦ. κεφ. ε'.

Δεῖ δὲ καὶ περὶ τῆς βουλήσεως εἰπεῖν ἤδη. ὅτι μὲν οὖν ἡ βούλησις τοῦ τέλους ἐστίν, ἀπὸ τῶν προειρημένων ἐδείχθη· ἀμφισβητεῖται δὲ πότερον παντὸς τέλους, οὗ τις ἂν ἐθέλοι τυχεῖν, ἡ βούλησίς ἐστιν, ἢ τοῦ ἀγαθοῦ μόνου. καὶ τοίνυν οἱ μὲν λέγουσιν αὐτὴν τοῦ ἀγαθοῦ μόνου, οἱ δὲ τοῦ δοκοῦντος, ἢ ὄντος δὲ ἢ μὴ ὄντος. συμβαίνει δὲ τοῖς μὲν λέγουσι τὸ ἀγαθὸν μόνον βουλητὸν εἶναι τὸ κακὸν λέγειν μὴ εἶναι τῷ μοχθηρῷ βουλητόν· καίτοι βουλητόν ἐστιν αὐτῷ. τοῖς δὲ λέγουσι τὸ δοκοῦν ἀγαθὸν ἐκεῖνο εἶναι τὸ βουλητόν, οὐ δι' ἑαυτό, ἀλλὰ μόνον τὸ ἑκάστῳ δοκοῦν, ἐπειδὴ ἄλλῳ ἄλλο δοκεῖ ἀγαθόν, καὶ τὸ αὐτὸ τῷ μὲν ἀγαθὸν δοκεῖ, τῷ δὲ κακόν, ἢ ὁ αὐτὸς ἄνθρωπος τὰ ἐναντία ἀγαθὰ νομίζει πολλάκις, καὶ οὕτως οὐδὲν ἔσται βουλητὸν φύσει καὶ δι' ἑαυτό. εἰ δὲ ταῦτα οὐ δοκεῖ εἰκότα εἶναι, ἐκεῖνο ἐροῦμεν· βουλητὸν μὲν εἶναι φύσει καὶ ἀληθείᾳ καὶ δι' ἑαυτὸ τὸ ἀγαθόν· πὴ δὲ καὶ ἑκάστῳ τῶν ἀνθρώπων τὸ δοκοῦν ἀγαθὸν βουλητόν ἐστιν. εἰ γὰρ καὶ τῇ ἀληθείᾳ οὐκ ἔστιν ἀγαθόν, ἀλλὰ κατά τινα περίστασιν ἀγαθόν ἐστιν, οἷον τὸ λωποδυτεῖν κακὸν μέν ἐστι τῇ φύσει, τῷ λωποδύτῃ δὲ καὶ κατά τινα καιρὸν ἀγα|θόν· διὰ τοῦτο καὶ δοκεῖ ἀγα- 88
θὸν ἁπλῶς εἶναι· καθόσον δὲ ἀγαθὸν καὶ βουλητόν ἐστιν. ὥστε συμβαίνει τὸ δοκοῦν ἀγαθὸν πὴ εἶναι βουλητόν· τῷ μὲν οὖν σπουδαίῳ τὸ ἀληθῶς ἀγαθὸν βουλητόν ἐστι, τῷ δὲ φαύλῳ τὸ τυχόν. ὥσπερ ἔχει καὶ ἐπὶ τῶν σωμάτων· τοῖς μὲν ὑγιαίνουσι καὶ εὖ ἔχουσι τὰ σώματα ὑγιεινὰ δοκεῖ τὰ κατὰ ἀλήθειαν ὑγιεινά, τοῖς δὲ ἐπινόσοις ἕτερα· ὁμοίως δὲ καὶ πικρὰ καὶ γλυκέα τοῖς μὲν ὑγιαίνουσι τὰ ὄντα πικρὰ τῇ φύσει καὶ γλυκέα τοιαῦτα δοκεῖ· ὁμοίως καὶ θερμὰ καὶ βαρέα καὶ τῶν ἄλλων ἕκαστα· τοῖς δὲ νοσοῦσι τὰς αἰσθήσεις ἑτεροῖα. οὕτω τοίνυν καὶ ἐπὶ τῶν ἀγαθῶν καὶ ἡδέων καὶ κακῶν ὁ μὲν σπουδαῖος τὰ ὄντα νομίζει καὶ τὰ ἀληθῆ, ὁ δὲ φαῦλος τἀναντία πολλάκις· καθ' ἑκάστην γὰρ τῶν ψυχικῶν διαθέσεών ἐστί τι ἴδιον ἀγαθὸν καὶ ἡδύ. καὶ τούτῳ διαφέρει τῶν φαύλων ὁ σπουδαῖος, ὅτι διακρίνει τὸ ἀγαθὸν τοῦ ἡδέος καὶ τὸ ἀληθὲς ἐν πᾶσιν ὁρᾷ, καθάπερ κανὼν καὶ μέτρον αὐτῶν γινόμενος· οἱ δὲ φαῦ-

1 πολιτειῶν b: πολιτῶν B   7 τι B: om. b et Arist.   9 aut ὅτι περὶ τὰ aut ex Arist. ὅτι τῶν restituendum

λοι, μὴ δυνάμενοι τὸ ἀληθὲς συνιδεῖν, ὑπὸ τῆς ἡδονῆς ἀπατῶνται. νομίζοντες ἀγαθὰ τὰ ἡδέα, οὐκ ὄντα φύσει ἀγαθά· ὁμοίως δὲ καὶ τὰ λυπηρὰ φεύγουσιν, οὐκ ὄντα φύσει πονηρὰ καὶ φευκτά.

Ὅτι καὶ ἡ ἀρετὴ καὶ ἡ κακία ἑκούσιον. κεφ. ϛ'.

Ἐπεὶ δὲ τὰ μὲν τέλη βουλητά, τὰ δὲ πρὸς τὰ τέλη βουλευτὰ καὶ προαιρετά, φανερὸν ὅτι αἱ πράξεις αἱ περὶ τὰ βουλευτὰ καὶ προαιρετὰ κατὰ προαίρεσιν εἶεν ἂν ἑκούσιοι. τοιαῦται δὲ αἱ κατ' ἀρετὴν πράξεις· περὶ γὰρ | τὰ βουλευτὰ καὶ προαιρετὰ γίνονται. ἐφ' ἡμῖν ἄρα ἐστὶν ἡ ἀρετὴ 89
καὶ ἡ κακία· αἱ γὰρ πράξεις. δι' ὧν ἐθίζομεν ἑαυτοὺς εἰς τὴν ἀρετήν. προαιρεταὶ καὶ ἐφ' ἡμῖν εἰσιν. εἰ δὲ τὸ πράττειν τὸ ἀγαθὸν ἐφ' ἡμῖν. καὶ τὸ μὴ πράττειν ἐφ' ἡμῖν ἐστιν· ἐν οἷς γὰρ τὸ μή, καὶ τὸ ναί. καὶ εἰ τὸ πράττειν τὸ ἀγαθὸν ἐφ' ἡμῖν ἐστιν, ἀγαθὸν ὄν. καὶ τὸ μὴ πράττειν αὐτό, αἰσχρὸν ὄν, ἐφ' ἡμῖν ἔσται· καὶ εἰ τὸ μὴ πράττειν τὸ κακόν, ἀγαθὸν ὄν, ἐφ' ἡμῖν ἐστι, καὶ τὸ πράττειν τὸ κακόν. αἰσχρὸν ὄν, ἐφ' ἡμῖν ἐστι. ταῦτα δὲ ἡμᾶς ἀγαθοὺς ἢ κακοὺς ποιεῖ· ὥστε ἐφ' ἡμῖν ἐστι τὸ ἐπιεικέσιν εἶναι ἢ πονηροῖς. τὸ δὲ λέγειν ὡς οὐδεὶς ἑκὼν πονηρὸς οὐδ' ἄκων μακάριος, τὸ μὲν ἀληθὲς δοκεῖ. τὸ δὲ ψεῦδος. τὸ μὲν γάρ. οὐδεὶς ἂν γένοιτο μακάριος ἄκων, ἀληθές. ψεῦδος δὲ τὸ πρῶτον. ἡ γὰρ μοχθηρία οὐδαμῶς ἀκούσιον· δέδεικται γὰρ ἀπὸ τῶν εἰρημένων, τὸν ἄνθρωπον ἀρχὴν εἶναι τῶν ἰδίων πράξεων· ὧν δὲ αἱ ἀρχαὶ ἐν ἡμῖν, ταῦτα ἐφ' ἡμῖν ἐστι καὶ ἑκούσια· ὥστε διὰ τοῦτο πᾶσαν ἀνθρωπίνην πρᾶξιν ἑκούσιον εἶναι, ὁμοίως τήν τε ἀγαθὴν καὶ τὴν πονηράν. τούτῳ δὲ τῷ λόγῳ καὶ οἱ ἰδιῶται καὶ οἱ νομοθέται μαρτυροῦσι. δι' ὧν πράττουσι· καὶ γὰρ τιμωροῦνται μὲν καὶ κολάζουσι τοὺς ποιοῦντας τὰ πονηρά. ἐὰν μὴ ποιῶσιν ἑτέρωθεν βιασθέντες, ἢ ἀγνοοῦντες ἄγνοιαν ἧς οὐκ εἰσιν αἴτιοι αὐτοί· καθάπερ εἴ τις μεθύων πονηρόν τι ποιήσειεν ἀγνοήσας· οὗτος γὰρ καὶ τῆς ἀγνοίας αἴτιος ἐγένετο ἑαυτῷ· τοὺς δὲ τὰ καλὰ πράττοντας τιμῶσιν. ἵνα τοὺς ἄλλους προτρέψωνται μὲν ἐπὶ τὰ ἀγαθά, κωλύσωσι δὲ ποιεῖν τὰ φαῦλα. ὅθεν δῆλον, ὅτι νομίζουσιν ἐφ' ἡμῖν εἶναι πονηροῖς τε εἶναι καὶ γενέσθαι ἀγαθοῖς. καὶ διὰ τοῦτο πείθειν τὰ τοιαῦτα ἐπιχειροῦ- 90
σιν. ἃ γὰρ μήτε ἐφ' ἡμῖν ἐστι μήτε ἑκούσια, οὐδεὶς πράττειν προτρέπεται νοῦν ἔχων· οὐδεὶς γὰρ πείθει τινὰ μὴ θερμαίνεσθαι ἢ ἀλγεῖν ἢ πεινῆν ἢ ἄλλο ὁτιοῦν τῶν τοιούτων. ὧν οὐκ ἐσμεν αὐτοὶ κύριοι· οὐ γὰρ δυνατὸν γενέσθαί τι πλέον ἀπὸ τῆς παρακλήσεως, οὐδ' ἂν αὐτοὶ οἱ παρακαλούμενοι σφόδρα βουλώμεθα· οὐδὲν γὰρ ἧττον πεισόμεθα αὐτά. ὁμοίως δὲ καὶ εἴ τις ἄκων ἀγνοεῖ μὴ δυνάμενος εἰδέναι, τοῦτον οὐδεὶς προτρέψεται δυνηθῆναι εἰδέναι· οὐ γάρ ἐστιν ἐπ' αὐτῷ εἰδέναι καὶ ἀγνοεῖν· ὃς δὲ αἴτιός ἐστιν ἑαυτῷ τῆς ἀγνοίας, δι' ἧς ἐποίησε τὸ πονηρόν.

---

7 ἑκούσιοι B et Arist. Nb: καὶ ἑκούσιοι h et Arist. vulg. 18 ὡς οὐδεὶς h 31. 32 προτρέπεται πράττειν h et Aristoteles 34 τι B: τὸ h

κολάζεται· καὶ γὰρ ἑκουσίως φαίνεται ἀγνοῶν, ὅτι ἐπ' αὐτῷ ἐστιν εἰδέναι
καὶ ἀγνοεῖν, καθάπερ ὁ μεθύων ἢ ὁ δι' ἀμέλειαν ἀγνοῶν τὸν νόμον, ὃν
ἐδύνατο ῥᾳδίως μαθεῖν· κἀκεῖνος γὰρ αἴτιός ἐστιν ἑαυτῷ καὶ τῆς ἀγνοίας
καὶ τῆς μοχθηρίας καὶ ἑκών ἐστι μοχθηρός· ὁμοίως δὲ καὶ ἐπὶ τῶν
ἄλλων, ἃ δυνατὸν μαθεῖν, οὐ γινώσκοντες ἁμαρτάνομεν· καὶ τούτων ἕνεκα
δίδομεν δίκην τοῖς νομοθέταις. κύριοι γάρ ἐσμεν τοῦ μὴ ἀγνοεῖν, ὅτι ἐφ'
ἡμῖν ἐστι μὴ ἀμελεῖν ἀλλὰ ἐπιμεληθῆναι μαθεῖν. εἰ δέ τις καὶ τοιοῦτός 20
ἐστιν, οἷος μὴ δύνασθαι ἐπιμεληθῆναι, οὐ διὰ τοῦτο φεύξεται τὴν δίκην·
κολασθήσεται μὲν οὖν διὰ τοῦτο, ὅτι καὶ τοῦ μὴ δύνασθαι ἐπιμεληθῆναι
αὐτὸς ἑαυτῷ αἴτιος ἐγένετο, ἀκρατῶς καὶ ἀνειμένως διαιτώμενος· ἀφ' ἧς
διαίτης καὶ οἱ πλείους μοχθηροὶ γίνονται καὶ ἄδικοι καὶ ἀκόλαστοι. καὶ
γὰρ γίνονται μὲν καὶ ἀπὸ τῶν ἀδίκων καὶ ἀκολάστων πράξεων ἐθιζόμενοι
ἄδικοι καὶ ἀκόλαστοι· γίνονται δὲ καὶ ὅταν αὐτὸ μὲν μὴ προ|κείμενον ἔχωσι 91
τὸ κακουργεῖν, ζῶσι δὲ βίον ἀνειμένον καὶ τρυφῇ χαίρωσιν· ἀπὸ ταύτης
γὰρ τῆς διαίτης καὶ ἐπὶ τὸ κακουργεῖν ἔρχονται. ἀεὶ γὰρ ἀπὸ τῶν ἐνερ-
γειῶν ἐθιζόμενοι, καθὼς προείρηται, πονηροὶ ἢ ἀγαθοὶ γινόμεθα, ἢ ἄλλην
τινὰ ἕξιν λαμβάνομεν. καθάπερ ὁρῶμεν καὶ τοὺς ἐθέλοντας γυμνικοὺς
γενέσθαι ἢ ἄλλην τινὰ πρᾶξιν ἢ ἀγωνίαν ἀσκῆσαι ἐνεργοῦντας καὶ γυμνα-
ζομένους ἐν πράξεσι, δι' ὧν εἰς ἐκεῖνα ἀφίξονται. καὶ οὐδεὶς ἀγνοεῖ τοῦτο,
ὅτι ἀπὸ τῶν ἐνεργειῶν εἰς ἕξιν ἐρχόμεθα κακιῶν ἢ ἀρετῶν, εἰ μὴ λίαν
εἴη ἀναίσθητος. εἰ δὲ τοῦτο δῆλον ἅπασι, φανερόν ἐστιν ὅτι πάντες γινώ- 10
σκουσι τὰ ἑαυτῶν ἔργα καὶ τὰς πράξεις, εἴτε πρὸς κακίαν φέρουσιν εἴτε
πρὸς ἀρετήν· εἰδότες δὲ ἃ ποιοῦσιν, ἑκόντες εἰσὶν ἢ ἀγαθοὶ ἢ πονηροί.
πάνυ γάρ ἐστιν ἄλογον τὸν ἀδικοῦντα λέγειν ὅτι οὐ βούλεται ἄδικος εἶναι
ἢ τὸν ἀκόλαστον ὅτι οὐ βούλεται ἀκολασταίνειν· εἰ γὰρ καὶ βουλόμενος
δίκαιος καὶ σώφρων γενέσθαι οὐ δύναται τῷ μακρῷ ἔθει κρατούμενος, καὶ
οὕτως ἑκών ἐστι πονηρός. καὶ γὰρ καὶ ὁ διαίτῃ διεφθαρμένῃ χρώμενος
καὶ ἀπειθῶν τοῖς ἰατροῖς καὶ διὰ τοῦτο νοσήσας ἑκὼν μὲν νοσεῖ· καὶ γὰρ
ἐπ' αὐτῷ ἦν ἡ δίαιτα· βουλόμενος δὲ ἀπαλλαγῆναι, οὐ δύναται· πρὶν μὲν 20
γὰρ νοσῆσαι, ἐπ' αὐτῷ ἦν τὴν ὑγίειαν φυλάττειν· προσεμένῳ δὲ διὰ τῆς
ἀκρατοῦς διαίτης οὐκ ἔστιν ἐπ' αὐτῷ τὴν ὑγίειαν ἐπαναγαγεῖν. ὥσπερ λίθον
μέν τις δύναται κατὰ πελάγους ἀφεῖναι, ἀφεὶς δὲ οὐ δύναται πάλιν ἐπα-
ναλαβεῖν· ἀλλ' ὅμως ἑκὼν ἔρριψε τὸν λίθον, ἐπ' αὐτῷ γὰρ ἦν ῥῖψαι καὶ
μή. οὕτω τοίνυν καὶ ἐπὶ τοῦ ἀδίκου καὶ τοῦ ἀκολάστου· πρὶν μὲν γὰρ
πονηροὺς γενέσθαι καὶ εἰς ταύτην τὴν ἕξιν ἐλθεῖν ἐξῆν μὴ | γενέσθαι, γε- 92
νόμενοι δὲ οὐ δύνανται μὴ εἶναι. οὐ μόνον δὲ αἱ ψυχικαὶ κακίαι ἑκού-
σιοί εἰσιν, ἀλλ' ἐνίοις τῶν ἀνθρώπων καί τινες σωματικαὶ ἑκουσίως γίνον-
ται, δι' ἃς καὶ ἐπιτιμῶνται· τοῖς μὲν γὰρ κατὰ φύσιν αἰσχροῖς οὐ-
δεὶς ἐπιτιμᾷ νοῦν ἔχων, τοῖς δὲ δι' ἀγυμνασίαν καὶ ἀμέλειαν ἢ
μοχθηρίαν τὰ σώματα διαφθείρασι, τούτοις μεμφόμεθα· ὃς μὲν γὰρ ἀπὸ
φύσεως τυφλὸς ἢ ὑπὸ νόσου ἢ ὑπὸ πληγῆς, τοῦτον οὐκ ὀνειδίζομεν ἀλλὰ

16 cf. B 1 21 τοῦτο om. b 34 πρὶν B: πρὸς b

μᾶλλον ἐλεοῦμεν, ὃς δὲ ἐξ οἰνοφλυγίας ἢ ἄλλης τινὸς μοχθηρίας διέφθειρε τοὺς ὀφθαλμούς, τούτῳ μεμφόμεθα καὶ ἐπιτιμῶμεν. φαίνεται τοίνυν, ὅτι τῶν σωματικῶν κακιῶν αἱ μὲν ἑκούσιοι καὶ ἐφ' ἡμῖν ἐπιτιμῶνται, αἱ δὲ ἀκούσιοι οὐδαμῶς· ὥστε καὶ ἐπὶ τῶν ἄλλων οὕτως ἂν ἔχοι· ἃς μὲν ⟨γὰρ⟩ κολάζομεν καὶ ὑπὲρ ὧν αἱ τιμωρίαι, πᾶσαί εἰσιν ἑκούσιοι καὶ ἐφ' ἡμῖν. αἱ δὲ μὴ τοιαῦται ἀκούσιοι· ἡ κακία ἄρα ἑκούσιον. δοκεῖ δὲ τῷ λόγῳ ἐκεῖνο ἐναντιοῦσθαι, ὅτι ἡ μὲν κακία γίνεται ἀπὸ τοῦ τιθέναι τοῖς ἔργοις τέλος πονηρόν· τοῦτο δὲ γίνεται ἀπὸ τοῦ νομίζειν, ὅτι ἀγαθόν ἐστι· τὸ δὲ νομίζειν τὸ ἀγαθὸν ἢ τοὐναντίον οὐκ ἔστιν ἐφ' ἡμῖν. πάντες μὲν γὰρ ἐφιέμεθα τοῦ φαινομένου ἀγαθοῦ, τῆς δὲ φαντασίας ταύτης οὐκ ἐσμὲν αὐτοὶ κύριοι· ἡ ἄρα κακία οὐκ ἔστιν ἑκούσιον. πρὸς δὴ τοῦτο ἐκεῖνο λέγομεν, ὅτι καὶ ἐπὶ τῆς ἀρετῆς ταῦτα ὁμοίως ἔχει. ἀλλ' ἑκούσιόν ἐστιν· οὐδεὶς γὰρ ἄκων μακάριος. εἰ μὲν γὰρ ἀπὸ τῆς ἕξεως τῆς πονηρᾶς ἡ ἄγνοια γίνεται τοῦ ἀγαθοῦ καὶ ἀπὸ τῆς ἀγαθῆς ἡ γνῶσις τοῦ ἀγαθοῦ, φανερὸν ὅτι ἑκουσίως καὶ ἀγαθοὶ καὶ πονηροὶ γινόμεθα· τῆς γὰρ ἕξεως ἡμεῖς ἡμῖν αὐτοῖς αἴτιοι. εἰ δὲ ἡ γνῶσις τοῦ τέλους οὐκ ἔστιν 93
ἀπὸ τῆς ἕξεως οὐδ' ἔστι προαιρετή, ἀλλ' ὥσπερ ὄψις ἀγαθὴ ἢ ἄλλο τι τῶν φυσικῶν ἐστιν. ὅπερ μὴ ἔχοντα οὐκ ἔνι λαβεῖν ἑτέρωθεν οὐδὲ αὐτόν τινα κτήσασθαι οἴκοθεν, ἀλλὰ φῦναι ἀνάγκη μετὰ τῆς τοιαύτης κρίσεως εἰ μέλλει κρίνειν καλῶς. ὅ ἐστιν ἡ τελεία καὶ ἀληθινὴ εὐφυΐα· εἰ δὴ ταῦτά ἐστιν ἀληθῆ, καὶ οὕτως ὁμοίως τῇ ἀρετῇ καὶ ἡ κακία ἑκούσιόν ἐστιν. ἡ γὰρ γνῶσις τοῦ τέλους ὡσαύτως ἐστὶ καὶ τῷ φαύλῳ καὶ τῷ σπουδαίῳ. εἴτε ἀπὸ τῆς ἕξεως γινώσκεται ἢ ἀγνοεῖται, ἢ φύσει καθὼς εἴρηται. εἰ δὲ τὴν ἀρετὴν ἑκούσιον λέγομεν, ὅτι τὸ μὲν τέλος φύσει ἐστὶ καὶ γινώσκεται τῷ σπουδαίῳ, τὰ δὲ πρὸς τὸ τέλος ἐπ' αὐτῷ ἑλέσθαι καὶ μή, τί κωλύει καὶ τὴν κακίαν διὰ ταῦτα ἑκούσιον εἶναι; καὶ γὰρ καὶ τὰ πρὸς τὸ τέλος ἄγοντα φαῦλον ἐφ' ἡμῖν ἑλέσθαι καὶ μή. εἰ δὲ πάλιν ἑκούσιόν ἐστιν ἡ ἀρετή, ὅτι καὶ ἡ γνῶσις τοῦ τέλους ἀπὸ τῶν ἕξεων γίνεται τῶν ἀγαθῶν, ὧν αὐτοί πως συναίτιοί ἐσμεν. εἴη ἂν καὶ ἡ κακία διὰ τοῦτο ἑκούσιον, ὅτι ἀπὸ τῶν πονηρῶν ἕξεων ἀγνοεῖται τὸ τέλος.

Ὅτι οὐχ ὁμοίως ἑκούσιά εἰσιν αἱ πράξεις καὶ ἕξεις. καὶ περὶ ἀνδρείας. κεφ. ζ'.

Τί μὲν οὖν ἐστιν ἡ ἀρετή, καθόλου καὶ ὁλοσχερῶς εἴρηται. ὅτι μεσότης ἐστὶ δύο κακιῶν, τῆς μὲν ἐλλείπουσα, τὴν δὲ ὑπερβάλλουσα· ⟨καὶ⟩ ὅτι ἕξις ἐστίν· ἔτι δὲ εἴρηται καὶ ὑπὸ τίνων γίνεται· καὶ ὅτι ὑφ' ὧν ἐνεργειῶν καὶ πράξεων γίνεται, ταύτας πράττομεν μετὰ τὸ κτήσασθαι τὴν ἀρετήν· ἐδείχθη δὲ ὅτι καὶ ἐφ' ἡμῖν ἐστι καὶ ἑκούσιος. νῦν δὲ ῥητέον, ὅτι οὐχ ὁμοίως ἐστὶν ἑκούσιον ἡ πρᾶξις καὶ ἡ ἕξις (καὶ γὰρ ἐδείχθη καὶ 94
ἄμφω ἑκούσια εἶναι)· τὰς μὲν οὖν πράξεις ποιοῦμεν γινώσκοντες κατὰ μέρος.

5 γὰρ h: om. B 31 καὶ αἱ ἕξεις h 34 καὶ h: om. B 37 νῦν δὲ εἴη ῥητέον h

καὶ διὰ τοῦτο κύριοί ἐσμεν καθάπαξ αὐτῶν ποιῆσαι ἢ μὴ ποιῆσαι ἀπ' ἀρχῆς αὐτῶν μέχρι τέλους· καί εἰσιν ἑκούσιοι κυρίως· ἡ δὲ ἕξις οὐ γινώσκεται παντελῶς. γνώριμος γὰρ ἡ ἕξις οὐ δι' ἑαυτήν ἐστιν ἀλλὰ διὰ τὰς πράξεις ἐξ ὧν γίνεται· τὰς μὲν γὰρ πράξεις σφόδρα γινώσκομεν ὅθεν τὴν ἕξιν λαμβάνομεν, τὴν δὲ ἕξιν οὐκέτι. καθάπερ καὶ ἐπὶ τῶν ἀρρωστιῶν γίνεται· τὴν μὲν γὰρ δίαιταν γινώσκοντες αἱρούμεθα, ἡ δὲ ἀρρωστία λεληθότως ἐπακολουθεῖ. λέγεται τοίνυν ἡ ἕξις ἑκούσιος διὰ τὸ τὰς ἐνεργείας ἐξ ὧν γίνεται ἑκουσίους εἶναι· ταύτας γὰρ δυνατὸν ἦν μὴ ποιῆσαι. δεῖ δὲ ἤδη καὶ περὶ τῶν ἕξεων κατὰ μέρος διεξελθεῖν. τίς τέ ἐστιν ἑκάστη καὶ περὶ ποῖα πάθη τῆς ψυχῆς καὶ πῶς γίνεται· ἅμα δὲ ἀπὸ τούτων δῆλον ἔσται καὶ πόσαι εἰσί. καὶ πρῶτον περὶ τῆς ἀνδρείας διαληψόμεθα. ὅτι μὲν οὖν περὶ φόβους καὶ θάρρη ἐστὶ καὶ ὅτι μεσότης τούτων ἐστὶν ὑπερβάλλουσα μὲν τὴν δειλίαν, ἐλλείπουσα δὲ τῆς θρασύτητος, διὰ τῶν προειρημένων ἐφάνη· ῥητέον δέ, τίσιν ἀντίκειται. ὁ μὲν οὖν φόβος πρὸς τὰ φοβερὰ λέγεται καὶ τούτοις ἀντίκειται. φοβερὰ δέ εἰσι καθόλου πάντα τὰ δοκοῦντα κακά· διὸ καὶ τὸν φόβον ὁριζόμενοί φασιν εἶναι προσδοκίαν κακοῦ. φοβούμεθα οὖν πάντα τὰ κακά, οἷον ἀδοξίαν πενίαν νόσον ἀφιλίαν θάνατον· ἡ δὲ ἀνδρεία οὐ τούτοις πᾶσιν ἀντίκειται· οὐ γὰρ περὶ πάντα ⟨δοκεῖ⟩ ὁ ἀνδρεῖος εἶναι. φοβεῖται γὰρ ὁ ἀνδρεῖος, ἃ δεῖ φοβεῖσθαι· οὐ πάντα δὲ ταῦτα δέον μὴ φοβεῖσθαι ἀλλ' ἔνια, οἷον ἀδοξίαν [95] φοβεῖσθαι μὲν καλόν, μὴ φοβεῖσθαι δὲ αἰσχρόν. τὸ μὲν γὰρ αἰδήμονός ἐστιν ἀνθρώπου, τὸ δὲ ἀναισχύντου· εἰ καὶ ἀνδρεῖος ὁ τοιοῦτος καλεῖται κατὰ μεταφοράν, ὅτι ἔχει τι τοῦ ἀνδρείου, τὸ μὴ πάντα φοβεῖσθαι δηλονότι· ἄφοβος γάρ τίς ἐστι καὶ ὁ ἀνδρεῖος. πενίαν δὲ καὶ νόσον ἴσως οὐ δεῖ φοβεῖσθαι καὶ πάντα ὅσα μὴ ἀφ' ἡμῶν αὐτῶν ἡμῖν συμβαίνουσιν ἢ διὰ κακίαν. ὥσπερ δὲ ὁ μὴ φοβούμενος ἃ δέον φοβεῖσθαι οὐκ ἔστιν ἀνδρεῖος, εἰ μὴ κατὰ μεταφοράν, οὕτως οὐδὲ ὁ μὴ φοβούμενος ἃ μὴ δεῖ φοβεῖσθαι, ἀνδρεῖός ἐστιν, ἀλλὰ καθ' ὁμοιότητα μόνον λέγεται ἀνδρεῖος· καὶ γὰρ πολλοὶ ταῦτα μὴ φοβούμενοι ἀλλὰ ἐλευθέριοι ὄντες καὶ πρὸς χρημάτων ἀποβολὴν εὐθαρσῶς ἔχοντες δειλοί εἰσιν ἐν τοῖς πολεμικοῖς κινδύνοις. ὥσπερ δὲ ὁ φοβούμενος ἃ δεῖ μὴ φοβεῖσθαι οὐκ ἔστιν ἀνδρεῖος, οὕτως οὐδὲ ὁ μὴ φοβούμενος ἃ δεῖ φοβεῖσθαι ἀνδρεῖός ἐστιν. οἷον τὴν περὶ παῖδας ἢ γυναῖκα ὕβριν ὁ μὲν φοβούμενος οὐκ ἔστι δειλός, ὁ δὲ μὴ φοβούμενος οὐκ ἔστιν ἀνδρεῖος· ἢ ἐάν τις μέλλων μαστιγοῦσθαι οὐ φοβῆται ἀλλὰ θαρρῇ· οὗτοι γὰρ ἃ δεῖ φοβεῖσθαι μὴ φοβούμενοι οὔκ εἰσιν ἀνδρεῖοι. ἔστι τοίνυν ἀνδρεῖος ὁ τὰ μέγιστα μὲν τῶν δεινῶν μὴ φοβούμενος· οὐδεὶς γὰρ καρτερικώτερος τοῦ ἀνδρείου· οὐκ ἀεὶ δὲ ὁμοίως· τινὰ γὰρ τῶν δεινῶν διὰ τὸν τρόπον καθ' ὃν ἐπάγονται φοβερά εἰσι καὶ τῷ ἀνδρείῳ. οἷον ὁ θάνατος μὲν δοκεῖ εἶναι τὸ ἔσχατον τῶν κακῶν, ὅτι πέρας ἐστὶ τοῦ βίου καὶ οὐ δυνατὸν τῷ τεθνεῶτι ἢ ἀγαθὸν ἢ κακὸν γενέσθαι· καὶ τούτου ἕνεκα δοκεῖ μέγιστον εἶναι δεινὸν καὶ τοῖς ἀγαθοῖς καὶ τοῖς φαύλοις. ἀλλ' ὁ [96]

7 ἡ om. h 9 τίς B: τί h 19 δοκεῖ inserui ex Arist. 20 μὴ om. h

μὲν ἀπὸ αἰσχρῶν γινόμενος αἰτιῶν φοβερός ἐστι τῷ ἀνδρείῳ, ὁ δὲ ἀπὸ τῶν ἀρίστων, οἷός ἐστιν ὁ ἐν πολέμῳ συμβαίνων, οὐκέτι, ἀλλὰ καὶ σφόδρα ἀγαπητός ἐστιν· ὁ δὲ ἐν νόσῳ ἢ ἐν θαλάττῃ θάνατος, καθόσον μὲν οὐκ ἐπῆλθε κατὰ σεμνοῦ τινος, φοβερὸς ἔσται τῷ ἀνδρείῳ, καθόσον δὲ λυπηρός ἐστιν, οὐδαμῶς. ὥστε λέγοιτο ἂν ἀνδρεῖος ὁ περὶ τὸν καλὸν θάνατον ἢ τὸν μὴ αἰσχρὸν ἀδεής, καὶ ὅσα θάνατον ἐπιφέρει αἰφνιδίως ἐπερχόμενα, οἷά εἰσι τὰ ἐν τῷ πολέμῳ. ὁ γὰρ τὰ αἰφνιδίως ἐπερχόμενα δεινὰ καρτερῶν ἀπόδειξιν ἐναργῆ παρέχεται τοῦ πρὸς ἕξιν ἀνδρείας ἐληλακέναι. κυρίως δὲ ἀνδρεῖος ὁ τὸν ἄριστον θάνατον καρτερῶν· ὥσπερ καὶ ἐπὶ τῶν τιμῶν ἔχει· τῶν μὲν γὰρ παρὰ τοῖς τυράννοις τιμῶν ὡς οὐδὲν ὅσιον ἐχουσῶν οὐδὲ βέβαιον ὁ ἀνδρεῖος καταφρονήσει, τῶν δὲ ἐν ταῖς πόλεσι ταῖς εὐνομουμέναις ὡς ἐννόμων καὶ δικαίων οὐκέτι. εἰσὶ δὲ καὶ οἱ θαλάττιοι πρὸς τὸν θάνατον ἀδεεῖς, ἀλλ' οὐχ ὁμοίως τῷ ἀνδρείῳ· οἱ μὲν γὰρ δοκοῦσι καρτερεῖν διὰ τὸ καθάπαξ ἀπεγνωκέναι τὴν σωτηρίαν, οἱ δὲ διὰ τὴν ἐμπειρίαν ἐλπίζοντες περιγενέσθαι τῶν ἀπὸ τῆς θαλάσσης κακῶν. ἐπεὶ οὐδὲ δυνατὸν κυρίως ἐν τοῖς τοιούτοις ἀνδρίζεσθαι· ἀνδρίζεται γάρ τις ἐν οἷς χρεία τόνου τινὸς καὶ ὁρμῆς ἢ ὁ θάνατος σεμνός ἐστιν· ἐν κλύδωνι δὲ ἢ ἐν νόσῳ τὰ τοιαῦτα χώραν οὐκ ἔχει· οὔτε γὰρ ὁ θάνατος ἀγαθοῦ τινός ἐστιν αἴτιος οὔτε ὁρμῇ τινι χρώμεθα καὶ ἀλκῇ πρὸς αὐτόν. ἔτι τοίνυν ὁ ἀνδρεῖος περὶ τὰ φοβερὰ οὐχ ὁμοίως ἔχει. εἰσὶ γὰρ ἄλλα ἄλλοις φοβερώτερα· οἱ μὲν γὰρ τὴν τῶν χρημάτων ἀποβολὴν μάλιστα φοβοῦνται, ὅσοι φιλοχρήματοι, οἱ δὲ τὴν ἀδο|ξίαν, ὅσοι δόξης μάλιστα τῶν ἄλλων ἐρῶσιν, καὶ τὰ ἄλλα ὁμοίως (ἅτινα οἱ μὲν σφόδρα φοβοῦνται, οἱ δὲ ἔλαττον, οἱ δὲ οὐδαμῶς)· εἰσὶ δέ τινα, ἃ οὐδείς ἐστιν ἀνθρώπων, ὃς οὐ φοβεῖται, οἷά ἐστι τὰ ὑπὲρ ἄνθρωπον κακά, οἷον σκηπτοὶ καὶ σεισμοὶ καὶ θαλάσσης ἐκδρομαί· ταῦτα γὰρ πᾶσι τοῖς νοῦν ἔχουσι φοβερά. ταῦτα καὶ ὁ ἀνδρεῖος φοβεῖται μέν, ὡς δεῖ δέ, καὶ καθὼς ὁ λόγος προστάττει, καὶ τοῦ καλοῦ ἕνεκα· τοῦτο γὰρ τέλος ὁ σπουδαῖος ποιεῖται τῶν ἰδίων παθῶν καὶ τῶν πράξεων καὶ διὰ τοῦτο πᾶσα ἀρετή. καὶ ταῦτα δὲ οὐχ ὁμοίως πᾶσίν εἰσι φοβερά, ἀλλὰ τοῖς μὲν μᾶλλον, τοῖς δὲ ἧττον, ὥσπερ καὶ τὰ κατὰ ἄνθρωπον, ἅπερ οὐ πᾶσίν εἰσι φοβερά, οἷον πενία καὶ ἀδοξία καὶ τὰ τοιαῦτα, ἅτινα καὶ ὁ σπουδαῖος, ὅτε δεῖ, φοβηθήσεται, καθὼς εἴρηται, καὶ ὡς δεῖ. ὁ γὰρ φαῦλος διὰ τοῦτο ἁμαρτάνει, ὅτι οὐ φοβεῖται καθὼς δεῖ ἢ ὅτε δεῖ ἢ ἔνθα δεῖ· ὁμοίως δὲ καὶ θαρρῶν οὐ κατὰ τὸν προσήκοντα τρόπον καὶ χρόνον θαρρεῖ. ὁ μὲν οὖν θαρρῶν ἢ φοβούμενος ἃ καὶ οὗ ἕνεκα καὶ ὅτε προσήκει θαρρεῖν καὶ φοβεῖσθαι, ἀνδρεῖος· κατὰ τὸ εἰκὸς γὰρ θαρρεῖ καὶ φοβεῖται καὶ ὥσπερ ὁ λόγος τῆς ἀνδρείας ἔχει. τοῦτο γὰρ τέλος ἐστὶ πάσης ἐνεργείας τῆς κατ' ἀρετήν, τὸ κατὰ τὸν λόγον τῆς ἕξεως γίνεσθαι, οἷον αἱ κατὰ δικαιοσύνην πράξεις τέλος ἔχουσι τὸ κατὰ τὸν λόγον τῆς ἕξεως τῆς δικαιοσύνης πράττεσθαι καὶ αἱ κατὰ τὴν ἀνδρείαν κατὰ τὸν λόγον τῆς ἕξεως τῆς ἀνδρείας. τέλος μὲν γὰρ ἁπάσης πράξεως

7 ἐπερχόμενα h: ἐπερχομένῳ 17 ὁ om. h 19 καὶ ἀλκῇ χρώμεθα h 26 ταῦτα (ante καὶ) om. h

τὸ καλόν· καλὸν δὲ τῷ ἀνδρείῳ ὁ τῆς ἀνδρείας λόγος καὶ τῷ δικαίῳ ὁ τῆς δικαιοσύνης καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. τοῦτο γάρ ἐστιν | ὁ λόγος 98 τῶν πράξεων, τὸ κατὰ τὴν ἕξιν γίνεσθαι· ὅρος γάρ ἐστιν ἑκάστῳ τὸ τέλος αὐτοῦ· ὁ μὲν οὖν ἀνδρεῖος ἐν τῷ δέοντι καὶ τῷ προσήκοντι ἕστηκε· τῶν δὲ ὑπερβαλλόντων ὁ μὲν τῷ μὴ φοβεῖσθαι ὑπερβάλλων, ἀνώνυμος· εἴρηται δ' ἡμῖν ἐν τοῖς πρότερον, ὅτι πολλά ἐστιν ἀνώνυμα· καλοῖτο δ' ἂν ὁ τοιοῦτος μαινόμενος ἢ ἀνάλγητος, εἰ μηδὲν φοβοῖτο, μήτε σεισμὸν μήτε κύματα, καθάπερ φασὶ τοὺς Κελτούς· ὁ δὲ τῷ θαρρεῖν ὑπερβάλλων περὶ τὰ φοβερὰ θρασύς. δοκεῖ δὲ καὶ ἀλαζὼν εἶναι ὁ θρασὺς καὶ προσποιητικὸς εἶναι ἀνδρείας· χρηματίζεται γὰρ ἀνδρεῖος εἶναι· ὡς γὰρ ἐκεῖνος περὶ τὰ φοβερὰ ἔχει, οὕτως ὁ θρασὺς βούλεται φαίνεσθαι. ἐν οἷς οὖν δύναται, μιμεῖται· διὸ καί εἰσιν οἱ πολλοὶ αὐτῶν θρασύδειλοι· ἐν τούτοις γὰρ θρασυνόμενοι, τὰ φοβερὰ οὐχ ὑπομένουσιν. ὁ δὲ τῷ φοβεῖσθαι ὑπερβάλλων δειλός, ὅτι ἃ μὴ δεῖ φοβεῖται καὶ οὐχ ὡς δεῖ· ἐλλείπει δὲ καὶ τῷ θαρρεῖν, ὑπερβάλλει δὲ ἐν ταῖς λύπαις, καὶ δύσελπίς τίς ἐστιν ὁ δειλός· πάντα γὰρ φοβεῖται. ὁ δὲ ἀνδρεῖος ἐναντίος· εὔελπις γάρ ἐστι· τὸ γὰρ θαρρεῖν ἀπὸ τοῦ τὰ χρηστὰ ἐλπίζειν γίνεται. περὶ τὰ αὐτὰ μὲν οὖν καὶ ὁ δειλὸς καὶ ὁ θρασύς ἐστι καὶ ὁ ἀνδρεῖος· εἰσὶ γὰρ περὶ τὰ φοβερὰ καὶ θαρραλέα, ἀλλ' οὐχ ὁμοίως· διαφόρως γὰρ ἔχουσι πρὸς αὐτά· οἱ μὲν γὰρ ὑπερβάλλουσι καὶ ἐλλείπουσιν, ὁ δὲ μέσως ἔχει καὶ ἐπὶ τοῦ δέοντος ἵσταται. καὶ οἱ μὲν θρασεῖς προπετεῖς καὶ πρὸ τῶν κινδύνων ὁρμῶντες, καὶ σφόδρα βουλόμενοι τὰ δεινά, ἐν αὐτοῖς δὲ γενόμενοι ἀποπηδῶσιν, οἱ δὲ ἀνδρεῖοι τοὐναντίον ἐν αὐ|τοῖς μὲν τοῖς ἔρ- 99 γοις ὀξεῖς, πρότερον δὲ ἡσυχίαν ἄγουσι. καθάπερ οὖν εἴρηται, ἡ ἀνδρεία μεσότης ἐστὶ περὶ θαρραλέα καὶ φοβερά, καθὼς δεῖ· καὶ ὅτι καλὸν αἱρεῖται καὶ ὑπομένει καὶ ὅτι μὴ αἱρεῖσθαι καὶ ὑπομένειν αἰσχρόν. τὸ δὲ ἀποθνήσκειν βουληθῆναι διὰ πενίαν ἢ διὰ ἔρωτα οὐκ ἔστιν ἀνδρείας ἀλλὰ μᾶλλον δειλίας· τὸ γὰρ φεύγειν τὰ ἐπίπονα μαλακίας καὶ χαυνότητος. οὐ γὰρ αἱρεῖταί τις τὸν τοιοῦτον θάνατον ὅτι καλός, ἀλλ' ὅτι ἀπαλλαγή ἐστι κακοῦ, ὃ φέρειν οὐ δύναται· τὸ δὲ οὕτως ἔχειν δειλίας. ἡ μὲν οὖν ἀνδρεία τοιοῦτόν τι.

Περὶ ἀνδρείας. κεφ. η'.

Λέγονται δὲ καὶ ἕτεραι ἀνδρεῖαι κατὰ πέντε τρόπους. πρώτη ἡ πολιτική, καθ' ἣν οἱ πολῖται διὰ τὰ ἐκ τῶν νόμων ἐπιτίμια καὶ τὰ ὀνείδη καὶ διὰ τὰς τιμὰς ὑπομένουσι τοὺς ὑπὲρ τῆς πόλεως κινδύνους. καὶ δοκοῦσιν ἀνδρειότατοι εἶναι, παρ' οἷς οἱ δειλοὶ ἄτιμοι, οἱ

7. 8 φοβοῖτο h: φοβεῖτο B   8 μήτε κύματα Bh et Arist. cod. K^b: μήτε τὰ κύματα Arist. vulg.   17 ἐναντίος Bh et Arist. codd. $M^b N^b O^b$: ἐναντίως Arist. vulg.   33 et p. 58,17 ἔτι περὶ ἀνδρείας h

δὲ ἀνδρεῖοι ἔντιμοι, οἵους καὶ Ὅμηρος ἐν τοῖς ποιήμασιν ᾄδει· οἷον τὸν Διομήδη καὶ τὸν Ἕκτορα·

Πουλυδάμας μοι πρῶτος ἐλεγχείην ἀναθήσει·

καὶ Διομήδης,

Ἕκτωρ γάρ ποτε φήσει ἐνὶ Τρώεσσ' ἀγορεύων,
Τυδείδης ὑπ' ἐμεῖο.

ἔοικε δὲ αὕτη ἡ ἀνδρεία τῇ πρότερον εἰρημένῃ, ὅτι καθάπερ ἐκείνη τοῦ καλοῦ ἕνεκα, οὕτω καὶ αὕτη διά τινα γίνεται ἀρετήν. διὰ τὴν αἰδῶ γὰρ καὶ τὴν τοῦ καλοῦ ὄρεξιν καὶ διὰ τὴν φυ|γὴν τοῦ ὀνείδους, αἰσχροῦ ὄντος, 100 οἱ πολῖται ἀνδρίζονται· αἰδούμενοι γὰρ τοὺς νόμους καὶ τιμῆς ὀρεγόμενοι τοὺς κινδύνους ὑπομένουσι. δευτέρα δὲ ἀνδρεία, καθ' ἣν ἀνδρίζονται οἱ ὑπὸ τῶν ἀρχόντων ἀναγκαζόμενοι τοὺς πόνους καρτερεῖν, καὶ πρὸς τοὺς κινδύνους ἀνδρείως ἔχειν. χείρων δὲ αὕτη τῆς πολιτικῆς, ὅτι διὰ φόβον καὶ οὐ δι' ἔρωτα ἀγαθοῦ γίνεται καὶ οἱ κατ' αὐτὴν ἀνδριζόμενοι οὐ τὸ αἰσχρὸν ἀλλὰ τὸ λυπηρὸν φεύγουσιν. ἀναγκάζουσι γὰρ οἱ κύριοι, ὥσπερ ὁ Ἕκτωρ

ὃν δέ κ' ἐγὼν ἀπάνευθε μάχης πτώσσοντα νοήσω,
οὔ οἱ ἄρκιον ἐσσεῖται φυγέειν κύνας.

κἂν μὴ παρῶσι δὲ οἱ στρατηγοὶ τῇ παρατάξει καὶ ἀναγκάζωσι τοὺς στρατιώτας τοὺς κινδύνους καρτερεῖν, ἀλλὰ φόβον αὐτοῖς ἐνθέντες, δι' ὧν πολλάκις ἐτύπτησαν λιπόντας τὴν τάξιν, τὸ αὐτὸ δρῶσι· καὶ οὕτω δι' ἀνάγκην ἀνδρεῖοι δοκοῦσιν εἶναι· δεῖ δὲ οὐ δι' ἀνάγκην αἱρεῖσθαι τὴν ἀνδρείαν ἀλλ' ὅτι καλόν. δοκεῖ δὲ καὶ ἡ περὶ τὰ καθ' ἕκαστα ἐμπειρία ἀνδρεία εἶναι. διὰ τοῦτο καὶ ὁ Σωκράτης τὴν ἀνδρείαν ἐπιστήμην ἐνόμισεν εἶναι. ἄλλοι μὲν οὖν ἐν ἄλλοις ἐπιστήμονες ὄντες ἀνδρεῖοι ἂν περὶ ταῦτα καλοῖντο· ἐν δὲ τοῖς πολεμικοῖς οἱ στρατιῶται. δοκεῖ γὰρ εἶναί τινα ἐν τῷ πολέμῳ κενά, ἃ μάλιστα συνεωράκασιν οὗτοι, καὶ τῶν ἄλλων μὴ εἰδότων οἷς συμπλέκονται, αὐτοὶ ἀνδρεῖοι δοκοῦσιν. ἐκ γὰρ τῆς ἐμπειρίας ταύτης δύνανται ποιῆσαι τοὺς ἀντιπάλους κακῶς καὶ μηδὲν παθεῖν ὑπ' ἐκείνων, καὶ φυλάξασθαι μὲν τὰ βέλη καὶ τὰ δόρατα, πατάξαι δὲ αὐτοὺς εὐχερῶς διὰ τὸ | δύνασθαι χρῆσθαι τοῖς ὅπλοις καλῶς καὶ τοιαῦτα ἔχειν τὰ ὅπλα, 101 ὁποῖα ἂν γένοιτο ἐπιτήδεια καὶ πρὸς τὸ πατάξαι τοὺς ἀντιπάλους καὶ πρὸς τὸ μηδὲν παθεῖν δεινὸν ὑπ' ἐκείνων· μάχονται γοῦν ὥσπερ ὡπλισμένοι ἀνόπλοις. καὶ γὰρ ἐν τοῖς τοιούτοις ἀγῶσιν οὐχ οἱ ἀνδρειότατοι μαχιμώτατοί εἰσιν ἀλλ' οἱ μάλιστα ἰσχύοντες καὶ τὰ σώματα ἄριστα ἔχοντες καὶ τὴν ἐμπειρίαν ἄριστοι· δειλοὶ δὲ γίνονται οἱ τοιοῦτοι, ὅταν ὑπερβάλλῃ ὁ κίνδυνος καὶ λείπωνται τοῖς πλήθεσι καὶ ταῖς παρασκευαῖς· πρῶτοι γὰρ οἱ ἔμπειροι φεύγουσιν. οἱ δὲ ἀνδριζόμενοι κατὰ τὰ πολιτικὰ μένοντες ἀποθνήσκουσιν, ὅπερ κἀπὶ τῷ Ἑρμαίῳ

3 Homer. Il. X 100 5 Homer. Il. Θ 148 τρώεσσ' h: τρώεσιν B 17 κ' h: κεν B πτώσσοντα h: πτώσοντα B 17 Homer. Il. B 391. 393 18 ἐσσεῖται h: ἐσεῖται B 21 ἐτύπτησαν λιπόντας B: ἐτύπησαν λιπόντες h 34 γὰρ om. h 37 λείπωνται h: λείπονται B

συνέβη. οἱ μὲν γὰρ παρατταττόμενοι στρατιῶται ἔφυγον, αἰσθόμενοι τοῦ
κινδύνου μείζονος, οἱ δὲ πολῖται μείναντες ἀπέθανον· ὁ γὰρ θάνατος αὐ-
τοῖς αἱρετώτερος ἐδόκει τῆς σωτηρίας ταύτης· οἱ δὲ στρατιῶται ἠνδρίζοντο
μέν, οἰόμενοι κρείττους εἶναι καὶ πλείους τῶν ἀντιπάλων· ἐπεὶ δὲ ἔγνων
ἐλάττονες ὄντες καὶ χείρονες, ἔφυγον, τὸν θάνατον μᾶλλον φοβηθέντες ἢ
τὸ αἰσχρόν. ὁ δὲ ἀνδρεῖος οὐ τοιοῦτος. λέγεται δὲ ἀνδρεία καὶ ὁ
θυμὸς παρά τισι· καὶ ἀνδρεῖοι καλοῦνται, καθάπερ τὰ θηρία, ἐπὶ τοὺς 20
τρώσαντας φερόμενοι, ὅτι καὶ οἱ ἀνδρεῖοι θυμοειδεῖς. ὁ γὰρ
θυμὸς ὁρμητικόν ἐστι πρὸς τοὺς κινδύνους· ὅθεν καὶ Ὅμηρός φησι

σθένος ἔμβαλε θυμῷ

καὶ

μένος ⟨καὶ⟩ θυμὸν ἔγειρε

καὶ

δριμὺ δ' ἀνὰ ῥῖνας μένος

καὶ

ἔζεσεν αἷμα· |

πάντα γὰρ τὰ τοιαῦτα ἔοικε σημαίνειν τὴν τοῦ θυμοῦ ἔγερσιν 102
καὶ ὁρμήν. ὁ μὲν οὖν ἀνδρεῖος καλοῦ τινος ἕνεκα πάντα ποιεῖ, ἄγεται
δὲ ὑπὸ τοῦ θυμοῦ οὐδαμῶς, ἀλλὰ χρῆται τούτῳ συνεργῷ καθάπερ ὀργάνῳ.
οἱ δὲ λεγόμενοι ἀνδρεῖοι διὰ τὴν ὁρμὴν τοῦ θυμοῦ οὐ διὰ τὸ καλὸν πράτ-
τουσιν ἀλλὰ διὰ λύπην, ὥσπερ τὰ θηρία διὰ τὸ πληγῆναι ἢ διὰ τὸ φο-
βεῖσθαι, οὐ χρώμενα τῷ θυμῷ ἀλλ' ὑπ' αὐτοῦ μᾶλλον ἀγόμενα· οἵτινες,
πρὶν πληγῆναι ἢ φοβηθῆναι, οὐδεμίαν ἐπιδείκνυνται ὁρμήν· ἐπεὶ καὶ τὰ
θηρία, ἐὰν ἐν ὕλῃ ᾖ ἢ ἐν ἕλει, οὐ προσέρχονται οὐδὲ ὁρμῶσιν. οὐκ ἔστι 10
τοίνυν ἀνδρεῖος ὁ δι' ἀλγηδόνα ἢ θυμοῦ κινοῦντος ἢ ἄλλου τινὸς πάθους
πρὸς τὸν κίνδυνον ὁρμῶν, καὶ μηδὲν τῶν δεινῶν προορώμενος. ἐπεὶ οὕτω
γε κἂν οἱ ὄνοι ἀνδρεῖοι καλοῖντο δικαίως πεινῶντες· τυπτόμενοι γὰρ
οὐκ ἀφίστανται τῆς νομῆς· καὶ οἱ μοιχοὶ δὲ διὰ τὴν ἐπιθυμίαν
τολμηρὰ πολλὰ δρῶσιν· ἀλλ' οὐκ εἰσιν ἀνδρεῖοι οὔτε οἱ ὄνοι οὔτε ἄν-
θρωποι οἱ δι' ἀλγηδόνος ἢ θυμοῦ ἢ ἄλλου τινὸς πάθους ἐξελαυνόμενοι
πρὸς τὸν κίνδυνον. ἡ δὲ φυσικωτάτη καὶ ἡ κυρίως ἀνδρεία ἐκείνη ἐστίν,
ὅταν κινώμεθα μὲν διὰ τοῦ θυμοῦ, μετὰ προαιρέσεως δὲ καὶ ἕνεκα τοῦ 20
ἀγαθοῦ. οἱ δὲ διὰ τὰ προειρημένα ὀργιζόμενοι οὐκ ἀνδρεῖοί εἰσιν ἀλλὰ
μάχιμοι· οὐ γὰρ διὰ τὸ καλὸν ὁρμῶσι καὶ ὀργίζονται ἀλλὰ διὰ τὸ
πάθος· καὶ οὐχ ὡς δέον ἐστὶ καὶ ὁ ὀρθὸς ἀπαιτεῖ λόγος, ἀλλ' ὡς ἂν
κινήσειε τὸ πάθος. δοκοῦσι δὲ καὶ οἱ εὐέλπιδες πάντες ἀνδρεῖοι εἶναι, οὐκ
εἰσὶ δὲ πάντες. δυνατὸν γὰρ εὐέλπιδας εἶναι οὐ διὰ τὸ μὴ φοβεῖσθαι τὰ
λυπηρὰ τοῦ ἀγαθοῦ ἕνεκα ἀλλὰ διὰ τὸ πολλάκις καὶ πολλοὺς νενι-
κηκέναι καὶ διὰ τοῦτο | θαρρεῖν, ὡς οὐ περιπεσοῦνται τοῖς κακοῖς· δο- 103

3 ἠνδρίζοντο h: ἠνδρίζονται B 4 ἔγνων B: ἑώρων h 10 ἔμβαλλε h de Homericis cf. Bonitz Ind. Arist. p. 507b49 sqq. 12 καὶ h: om. B 22 ἀγόμενα h: ἀγόμενοι B 24 προέρχονται B et Arist. Lb: προσέρχονται h et Arist. vulg.
37 εὐέλπιδας B: εὐέλπιδες h

κοῦσι δὲ ἀνδρεῖοι διὰ τὸ ἐοικέναι τοῖς ἀνδρείοις κατὰ τὸ θαρρεῖν. ἀλλ' οἱ μὲν ἀνδρεῖοι θαρροῦσι διὰ τὰ προειρημένα. οὗτοι δὲ διὰ τὸ οἴεσθαι μηδὲν πείσεσθαι λυπηρόν. οὕτω δὲ καὶ οἱ μεθυσκόμενοι εὐέλπιδές εἰσιν. ὅτι οἴονται πάντα αὐτοῖς καθ' ἡδονὴν ἀπαντήσειν· διὰ τοῦτο καὶ ἐπειδὰν ἐναντίοις ἐντύχωσι τῶν προσδοκωμένων, ἀποπηδῶσιν· ὁ δὲ ἀνδρεῖος ἐρχόμενα καὶ φαινόμενα τὰ λυπηρὰ ὑπομένει, ὅτι ἀγαθόν ἐστιν ὑπομένειν ἢ αἰσχρὸν τὸ μὴ ὑπομένειν. διὰ τοῦτο καὶ ἐν τοῖς ἀνδρείοις ἐκεῖνος μᾶλλον ἀνδρεῖός ἐστιν. ὃς ἐν τοῖς αἰφνιδίοις ἀτάραχος καὶ ἄφοβός ἐστιν ἢ ἐν τοῖς σφόδρα προδήλοις καὶ πρὸ ὀφθαλμῶν οὖσιν· ὁ μὲν γὰρ προγινώσκων τὰ λυπηρὰ λογισμῷ καὶ κρίσει προπαρασκευασάμενος ὑπομείνειεν ἄν, ὁ δὲ μὴ προγινώσκων. εἶτα ἐπιόντα ὑπομένων. δῆλός ἐστιν εἰς ἕξιν ἀνδρείας ἐλθών. λέγονται δὲ ἀνδρεῖοι καὶ οἱ δι' ἄγνοιαν τῶν ἀπαντησόντων κακῶν εἰς τοὺς κινδύνους ὁρμῶντες. καὶ σχεδὸν τῶν εὐελπίδων οὐδὲν διαφέρουσι. πλὴν ὅσον οἱ μὲν εὐέλπιδες ὑπομένουσι τὰ δεινὰ χρόνον τινά, οἱ δὲ ἀγνοοῦντες, ἐπειδὰν γνῶσι, φεύγουσιν· ὥσπερ οἱ Ἀργεῖοι ἔπαθον περιπεσόντες τοῖς Λάκωσιν ὡς Σικυωνίοις.

Περὶ ἀνδρείας, ὅτι ὁ ἀνδρεῖος περὶ τὰ φοβερὰ καὶ λυπηρά ἐστι μᾶλλον ἢ περὶ τὰ θαρραλέα καὶ ἡδέα. κεφ. θ'.

Τίνες μὲν οὖν οἱ ἀληθῶς ἀνδρεῖοι καὶ τίνες οἱ δοκοῦντες εἴρηνται. ἐπεὶ δὲ περὶ θάρρη καὶ φόβους ἐστὶν ἡ ἀνδρεία οὐχ ὁμοίως περὶ ἄμφω ἐστίν, ἀλλὰ μᾶλλον περὶ τὰ | φοβερά. ὁ γὰρ περὶ τὰ φοβερὰ ἀτάραχος 104 μᾶλλον ἀνδρεῖός ἐστιν ἢ ὁ περὶ τὰ θαρραλέα. μείζων γὰρ ὁ ἀγὼν οὗτος ἢ ἐκεῖνος· τὸ γὰρ ὑπομεῖναι λύπην χαλεπώτερόν ἐστιν ἢ τῶν ἡδέων ἀπέχεσθαι. διὰ τοῦτο καὶ λυπηρὸν ἡ ἀνδρεία, ὅτι ἀνδρεῖοί εἰσιν οἱ τὰ λυπηρὰ ὑπομένοντες· τούτου δὴ χάριν καὶ ἐπαινεῖται. εἰ γὰρ καὶ ἡδονὴν ἔχει τινὰ ὁ ἀνδρεῖος διὰ τὸ τέλος (τὸ γὰρ τέλος ἡδύ). ἀλλ' ὅμως ὑπὸ τῶν λυπηρῶν οἷς παλαίει καὶ ταύτην ἀφανίζεσθαι συμβαίνει. καθάπερ καὶ ἐπὶ τῶν γυμνικῶν ἀγώνων ἔχει· τοῖς γὰρ πύκταις τὸ μὲν τέλος ἡδύ (στέφανος γὰρ καὶ τιμαί). τὸ δὲ τύπτεσθαι ἀλγεινόν (σάρκινοι γάρ)· τοῖς δὲ τοιούτοις λυπηρὸν πᾶς πόνος. ὅτι τοίνυν τὰ μὲν λυπηρὰ μεγάλα, τὸ δὲ ἡδὺ μικρόν, οὐδὲν ἡδὺ δοκοῦσιν ἔχειν· τοιοῦτον δή τι καὶ ἐπὶ τῶν ἀνδρείων συμβαίνει. ὁ μὲν γὰρ θάνατος καὶ τὰ τραύματα λυπηρά ἐστιν αὐτοῖς καὶ διὰ τοῦτο καὶ ἀκούσια· ὑπομένουσι δὲ αὐτά, ὅτι καλὸν τὸ ὑπομένειν ἢ ὅτι αἰσχρὸν μὴ ὑπομένειν. καὶ τοσοῦτον μᾶλλον δοκοῦσιν. ὅσον ἂν εἶεν ἀγαθοὶ καὶ ἀνδρεῖοι καὶ εὐδαίμονες καὶ πᾶσαν μετελθόντες ἀρετήν· τοῖς γὰρ τοιούτοις μάλιστα ὁ θάνατος λυπηρόν, ὅτι τὸ ζῆν πολλοῦ τινος ἄξιον ἦν διὰ τὸ ἄριστα ζῆν καὶ ὡς προσῆκεν ἀνθρώπῳ, καὶ ὁ θάνατος αὐτοὺς πολλῶν ἀποστερήσει τῶν ἀγαθῶν. διὰ τὸ μέγεθος τοίνυν τῶν λυπηρῶν δοκεῖ τὸν ἀνδρεῖον μηδεμίαν ἡδονὴν ἔχειν· τὸ δὲ οὕτως ἀλγεῖν καὶ δάκνεσθαι ὑπὸ τῶν λυπηρῶν οὐδὲν κωλύει ἀνδρεῖον εἶναι. τὸ μὲν γὰρ ἡττᾶσθαι τῶν λυπηρῶν καὶ ὑποχωρεῖν οὐκ ἀνδρείου, τὸ δὲ δάκνεσθαι καὶ λυπεῖσθαι οὐκέτι· ὅσον γὰρ μᾶλλον λυπεῖται καὶ λυπού-

μενος ὑπομένει διὰ τὸ ἀγαθόν, τοσοῦτον | ἀνδρεῖος ἂν εἴη κυρίως. ἐπεὶ 105 καὶ ἐν πάσαις ταῖς ἄλλαις ἀρεταῖς οὐδεμία ἐνέργεια μεθ' ἡδονῆς ἐστι καθ' ἑαυτήν. ἀλλὰ μόνον. διότι πρὸς τὸ τέλος ἀγαθὸν ἄγει. ἡδεῖα δοκεῖ τῷ ἐνεργοῦντι. ἐν δὲ τοῖς στρατιώταις ἴσως οὐκ ἀνάγκη πᾶσα τὸν ἀκριβῆ τῆς ἀνδρείας ὅρον ζητεῖν· μᾶλλον δὲ χρησιμώτεροι ἂν εἶεν πρὸς τὸν πόλεμον οἱ ἀνδρείας μὲν οὐ πάνυ μετέχοντες, τῶν ἄλλων δὲ ἀγαθῶν ἐστερημένοι· ἑτοιμότεροι γὰρ οὗτοι πρὸς τοὺς κινδύνους καὶ τὸν βίον μικρῶν ἕνεκα κερδῶν προδιδόασιν. οἱ γὰρ κυρίως ἀνδρεῖοι, φρόνιμοι ὄντες καὶ τὰ ἄλλα σπουδαῖοι. χαίρουσι μὲν τῷ βίῳ ἑαυτῶν ἀγαθῷ ὄντι. προΐενται δὲ αὐτὸν οὐ πάνυ ῥᾳδίως. περὶ μὲν οὖν ἀνδρείας ἱκανῶς εἴρηται· ῥᾴδιον δὲ ἀπὸ τῶν εἰρημένων καὶ ὁρισμὸν αὐτῆς ἀποδοῦναι ὡς ἐν τύπῳ.

Περὶ σωφροσύνης. κεφ. ι'.

Μετὰ δὲ ταῦτα περὶ σωφροσύνης λέγομεν· ὁμοταγὴς γάρ ἐστι τρόπον τινὰ τῇ ἀνδρείᾳ, καθόσον τοῦ ἀλόγου μέρους εἰσὶν ἀμφότεραι. ὅτι μὲν οὖν ἡ σωφροσύνη μεσότης ἐστὶ περὶ ἡδονάς, εἴρηται ἡμῖν· περὶ ἡδονὰς δὲ λέγω, ὅτι εἰ καὶ περὶ λύπας ἐστίν, ἀλλ' ἧττον καὶ οὐχ ὁμοίως ὡς περὶ τὰς ἡδονὰς ἔχει· ἐν τούτοις δὲ καὶ ἡ ἀκολασία φαίνεται. ὅτι μὲν οὖν περὶ ἡδονάς ἐστιν ἡ σωφροσύνη, εἴρηται· νῦν δὲ ἀφορίσωμεν περὶ ποίας ἐστὶ τῶν ἡδονῶν. τῶν ἡδονῶν δὲ αἱ μέν εἰσι σωματικαί, αἱ δέ ψυχικαί. ἐν γὰρ φιλοτιμίᾳ καὶ φιλομαθείᾳ ἡδοναί εἰσι ψυχικαί· ἑκάτερος γὰρ ὅ τε φιλότιμος καὶ ὁ φιλομαθὴς ἥδεται ᾧ φιλεῖ, 106 μηδὲν πάσχοντος τοῦ σώματος ἀλλὰ μᾶλλον τῆς διανοίας· οἱ δὲ περὶ τὰς τοιαύτας ἡδονὰς οὔτε σώφρονες οὔτε ἀκόλαστοι λέγονται. ὁμοίως δὲ οὐδ' οἱ περὶ τὰς ἄλλας ὅσαι οὔκ εἰσι σωματικαί· τοὺς γὰρ φιλομύθους καὶ διηγητικοὺς καὶ περὶ τὰ τυχόντα κατατρίβοντας τὰς ἡμέρας ἀδολέσχους ὀνομάζομεν. ἀκολάστους δὲ οὐδαμῶς. οὐδὲ τοὺς λυπουμένους ἐπὶ χρήμασιν ἢ φίλοις, ὅταν ἢ τούτους ἢ ἐκεῖνα ζημιωθῶσι. περὶ μὲν οὖν τὰς ψυχικὰς ἡδονὰς οὐκ ἔστιν ἡ σωφροσύνη· περὶ δὲ τὰς σωματικὰς εἴη ἄν· οὐ περὶ πάσας δὲ οὐδὲ ταύτας. οἱ γὰρ χαίροντες τοῖς ἡδέσι τῶν ὁρατῶν, οἷον χρώμασι καὶ σχήμασι καὶ γραφῇ. οὔτε σώφρονες οὔτε ἀκόλαστοι λέγονται. οὐδ' ὅσοι ψόφων τινῶν καὶ μελῶν ἐρῶσιν, οὐδ' ὅσοι τῶν ἡδέων ὀσμῶν. καίτοι καὶ ἐν τούτοις εἰσὶ καὶ μεσότητες καὶ τὸ ὡς δεῖ καὶ ὑπερβολαὶ καὶ ἐλλείψεις τοῦ δέοντος· ἀλλ' ὅμως οὔτε τοὺς μέσους σώφρονας λέγομεν οὔτε τοὺς ὑπερβάλλοντας ἀκολάστους. εἰ δὲ τῶν περὶ τὰς ὀσμὰς τοὺς μὲν μήλων ὀσμῆς ἐρῶντας ἢ ῥόδων ἢ θυμιαμάτων οὐ λέγομεν ἀκολάστους, ἀλλὰ τοὺς μύρων καὶ ὄψων ἀκολάστους καλοῦμεν· ἀλλὰ κατὰ συμβεβηκός·

13 ταῦτα B ut Arist. cod. M^b: ταύτην Arist. vulg. λέγομεν B et Arist. codd. L^bN^b: λέγωμεν h et Arist. vulg. 14 ἀμφότεραι B: ἀμφότεροι h 17 ἐν τούτοις Bh ut Arist. codd. $L^bM^bN^b$: ἐν τοῖς αὐτοῖς Arist. vulg. 26 ἀδολέσχους Bh, ut Arist. cod. O^b: ἀδολέσχας Arist. vulg. 32 καὶ (post καίτοι) om. h

χαίρουσι γὰρ τούτοις οἱ ἀκόλαστοι, ὅτι διὰ τούτων ἀνάμνησις γίνεται αὐτοῖς τῶν ἐπιθυμητῶν. ἴδοι δ' ἄν τις καὶ τοὺς ἄλλους. ὅταν πεινῶσιν, ἡδομένους τῇ τῶν βρωμάτων ὀσμῇ. ὅθεν δῆλον, ὅτι οἱ ταῖς τοιαύταις ὀσμαῖς ἡδόμενοι κατὰ συμβεβηκὸς ἥδονται. ὅτι ἀνάμνησις αὐτοῖς γίνεται τῶν βρωμάτων καὶ τῆς ἄλλης φλυαρίας, οἷς ἥδονται οἱ ἀκόλαστοι. οὐκ ἔστι τοίνυν οὔτε τῷ ἀνθρώπῳ οὔτε ἄλλῳ τινὶ ζῴῳ κατὰ τὰς εἰρημένας αἰσθήσεις ἡδονή, εἰ μὴ κατὰ συμβεβηκός. ἡδονὰς δὲ λέγω, 107 περὶ ἃς ὁ ἀκόλαστός ἐστιν ἢ ⟨ὁ⟩ σώφρων. καὶ γὰρ οἱ κύνες, εἰ καὶ χαίρουσι ταῖς ὀσμαῖς τῶν λαγωῶν, ἀλλ' οὐ δι' αὐτὰς ἀλλὰ διὰ τὴν βρῶσιν· ἀπὸ γὰρ τῆς ὀσμῆς αἴσθησιν λαμβάνοντες τῆς θήρας διώκουσιν. ὁμοίως δὲ καὶ ὁ λέων οὐχ ἥδεται τῇ ὀσμῇ τοῦ βοὸς ἢ τῇ φωνῇ ἀλλὰ τῇ βρώσει· ὅτι δὲ ἐγγύς ἐστι, διὰ τῆς φωνῆς ᾔσθετο· οὐδὲ χαίρει ὅτι εἶδεν ἢ εὗρεν ἔλαφον ἢ ἄγριον αἶγα, ἀλλ' ὅτι βορὰν ἕξει. περὶ τὰς ἡδονὰς τοίνυν, ὧν κοινωνοῦμεν καὶ τοῖς λοιποῖς ζῴοις, ἡ σωφροσύνη καὶ ἡ ἀκολασία ἐστίν· αἱ δέ εἰσιν ἁφὴ καὶ γεῦσις. διὰ τοῦτο θηριώδεις τινὲς ⟨καὶ ἀνδραποδώδεις⟩ οἱ ἀκόλαστοι φαίνονται, ὅτι οἷς ἥδονται τὰ θηρία, περὶ ταῦτά εἰσιν ἀκρατεῖς. τούτων δὲ μᾶλλον τῇ ἁφῇ ἥδονται ἢ τῇ γεύσει· μᾶλλον δὲ τῇ γεύσει μὲν οὐδαμῶς ἀλλὰ τῇ ἁφῇ μόνον, ὥς γε ἀκόλαστοι οὐ μόνον ἐν ταῖς ἄλλαις ἡδοναῖς ἀλλὰ καὶ ἐν σιτίοις καὶ ἐν ποτοῖς. καὶ τούτοις γὰρ οὐχ ὡς γευστοῖς μόνον χαίρουσι (γεύσεως γάρ ἐστι τὸ κρῖναι τοὺς χυμούς, ὅπερ ποιοῦσιν οἱ τοὺς οἴνους δοκιμάζοντες καὶ οἱ τὰ ὄψα ἀρτύοντες) ἀλλὰ μᾶλλον ὡς ἁπτοῖς. διὰ τοῦτο καί τις Φιλόξενος ὁ Ἐρύξιος, ὀψοφάγος ὤν, ηὔξατο τὸν φάρυγγα αὐτοῦ μακρότερον γεράνου γενέσθαι, ὡς ἡδόμενος τῇ ἁφῇ τῶν ὄψων. κοινοτάτη γάρ ἐστιν ἡ ἁφὴ ἐν πάσαις ταῖς αἰσθήσεσιν· ἐπεὶ καὶ ἁφῇ τινι πᾶσαι αἱ αἰσθήσεις αἰσθάνονται. περὶ ταύτην δὴ τὴν ἁφὴν ἡ ἀκολασία ἐστί· καὶ δόξειεν ἂν δικαίως ἐπονείδιστος εἶναι, ὅτι συμβαίνει ἡμῖν οὐ καθόσον ἐσμὲν ἄνθρωποι ἀλλὰ καθὸ ζῷα· τὸ δὲ τοῖς τοιούτοις χαίρειν καὶ τούτων μάλιστα ἐφίεσθαι θηριῶδες. καίτοι εἰσὶ καὶ κατὰ | τὴν ἁφὴν ἐλευθέριοι ἡδοναί, 108 ἃς ὁ ἀκόλαστος ἀφῄρηται, οἷον αἱ ἐν τοῖς γυμνασίοις διὰ τρίψεως καὶ θερμασίας γινόμεναι· οὐ γὰρ περὶ πᾶσαν ἁφὴν ὁ ἀκόλαστος· οὐ γὰρ περὶ πᾶν τὸ σῶμα, ἀλλὰ περί τινα μέρη.

Περὶ ἐπιθυμίας. κεφ. ια'.

Ἐπεὶ δὲ περὶ ἐπιθυμιῶν ἀκόλουθον εἰπεῖν, ῥητέον ποσαχῶς ἡ ἐπιθυμία. ἡ μὲν οὖν ἐστι κοινὴ καὶ φυσική, ἡ δὲ ἰδία καὶ ἐπίθετος. κοινὴ μὲν οὖν ἐπιθυμία ἐστὶ τὸ ὀρέγεσθαι τροφῆς ξηρᾶς ἢ ὑγρᾶς, ὅταν ἐν χρείᾳ τούτων γενώμεθα, ἰδία δὲ καὶ ἐπίθετος τὸ τοιᾶσδε ὀρέγεσθαι ἢ τοιᾶσδε. τοῦτο γὰρ οὐκέτι φυσικὸν οὐδὲ κοινόν· οὐ γὰρ τῶν αὐτῶν πάντες ὀρέγονται

8 ὁ σώφρων h: σώφρων B 15. 16 καὶ ἀνδραποδώδεις h: om. B 18 ὥσγε Bh: ὥστε Mullach 21 οἱ τὰ B: σῖτα h 22. 23 Ἐρύξιος Bh et Arist. libri Ob et corr. Kb 31 οὐ γὰρ — ὁ ἀκόλαστος om. h

οὐδὲ ὁμοίως, ἀλλ' οἱ μὲν ταύτης, οἱ δὲ ἐκείνης· καὶ οἱ τῆς αὐτῆς ὀρεγόμενοι οὐχ ὁμοίως ὀρέγονται, ἀλλ' οἱ μὲν μᾶλλον, οἱ δὲ ἧττον. ὥστε ἡ τοιαύτη ἐπιθυμία οὐκ ἔστι κοινὴ οὐδὲ φυσικὴ ἁπλῶς, ἀλλὰ ἐπίθετος, ὑφ' ἡμῶν ἐπινοηθεῖσα. καίτοι κατά τινα τρόπον καὶ φυσική ἐστι, διὰ τὸ ἀκολούθως ἕκαστον τῇ ἑαυτοῦ φύσει καὶ τὴν ἐπιθυμίαν ἔχειν. ἐν μὲν οὖν ταῖς φυσικαῖς ἐπιθυμίαις ὀλίγοι ἁμαρτάνουσι καὶ καθ' ἕνα τρόπον. ὅταν χρῶνται ταῖς τοιαύταις ἐπιθυμίαις πλέον ἢ προσήκει, οἷον ὅταν πλείω τῶν μετρίων ἐσθίωσιν, ὥσπερ οἱ γαστρίμαργοι, οἵτινες παρὰ τὸ δέον πληροῦσι τὴν φυσικὴν ἐπιθυμίαν. τοιοῦτοι δὲ γίνονται οἱ λίαν ἀνδραποδώδεις. ἐν δὲ ταῖς ἐπιθέτοις καὶ ἰδίαις ἐπιθυμίαις πολλοὶ ἁμαρτάνουσι καὶ κατὰ πολλοὺς τρόπους, ἐπεὶ πολλαὶ ἰδέαι τῶν τοιούτων ἐπιθυμιῶν· πολλαὶ γὰρ ἰδέαι τροφῶν καὶ πόσεων καὶ ἐνδυμάτων καὶ τῶν ἄλλων φυσικῶν ἐπιθυμητῶν· καὶ διὰ τοῦτο καὶ πολλαχῶς περὶ τὰς τοιαύτας ἐπιθυ- 109
μίας ἁμαρτάνουσιν ἢ χαίροντες οἷς μὴ δεῖ ἢ πλέον ἢ κατὰ τοὺς πολλούς. οἱ γὰρ ἀκόλαστοι κατὰ πάντα ὑπερβάλλουσι· χαίροντες γὰρ οἷς οὐ δεῖ, ἐάν ποτε καὶ τὰς δεούσας τῶν ἡδονῶν ἕλωνται, πλέον ἢ προσήκει καὶ οὐχ ὡς οἱ πολλοὶ χαίρουσιν αὐταῖς.

Τίνα τρόπον περὶ λύπας ἐστὶν ἡ σωφροσύνη καὶ ἡ ἀκολασία. κεφ. ιβ'.

Ὅτι μὲν οὖν ἡ περὶ τὰς ἡδονὰς ὑπερβολή, ἡ ἀκολασία, ψεκτόν, δῆλον· ἐν δὲ ταῖς λύπαις, οὐ καθάπερ ἐπὶ τῆς ἀνδρείας ἐλέγετο, ὅτι τὸ μὴ ὑπομένειν μηδὲ φέρειν δειλία ἐστίν, οὕτω καὶ ἐπὶ τῆς σωφροσύνης τὸ μὴ ὑπομένειν ἀκολασία ἐστὶν ἢ τὸ φέρειν σωφροσύνη· ἀλλ' ἔστιν ἀκολασία περὶ τὰς λύπας, ὅταν τις λυπῆται τῶν ἡδέων οὐ τυγχάνων πλέον ἢ δεῖ καὶ ⟨οὐχ⟩ ὡς δεῖ· καὶ σωφροσύνη ὁμοίως, ὅταν τις ὅσον δεῖ λυπῆται καὶ ὡς δεῖ καὶ ἐφ' οἷς δεῖ καὶ μηδεμίαν αὐτῷ λύπην ἐπάγῃ ἡ τῶν ἡδέων ἀπουσία. ὁ γὰρ ἀκόλαστος ἐπιθυμεῖ τῶν ἡδέων πάντων ἢ τῶν μάλιστα καὶ ἄγεται ὑπὸ τῆς ἐπιθυμίας, ὥστε ἀντὶ πάντων τὰ ἡδέα αἱρεῖσθαι. διὸ καὶ λυπεῖται ἀποτυγχάνων τῶν ἐπιθυμητῶν· μετὰ λύπης γὰρ ἡ ἐπιθυμία. ὥστε καὶ ἄτοπόν τι δοκεῖ τὸ δι' ἡδονὴν λυπεῖσθαι καὶ αἰτίαν εἶναι τὴν ἡδονὴν τοῦ ἐναντίου. ἡ μὲν οὖν περὶ τὰς ἡδονὰς ὑπερβολὴ ἀκολασία ἐστίν, ὡς εἴρηται. ἡ δὲ ἔλλειψις ὄνομα οὐκ ἔχει διὰ τὸ μὴ πάνυ εὑρίσκεσθαι. οἱ γὰρ περὶ τὰς ἡδονὰς ἐλλείποντες καὶ τοῦ δέοντος | ἔλαττον ἐπιθυμοῦντες αὐτῶν οὐ πάνυ γίνονται· σχεδὸν γὰρ 110
ἔξω τῆς ἀνθρωπίνης φύσεώς ἐστιν ἡ τοιαύτη ἀναισθησία. καίτοι καὶ τὰ ἄλογα ζῷα διακρίνει τὰ βρώματα καὶ χαίρει μὲν τοῖς ἡδέσι, τοῖς δὲ μὴ τοιούτοις οὐδαμῶς. εἰ δέ τις οὐδὲν ἡδὺ νομίζει εἶναι οὐδὲ γινώσκει διαφορὰν τῶν ἡδέων καὶ τῶν ἐναντίων, πόρρω ἂν εἴη τοῦ ἄνθρωπος εἶναι. ἡ μὲν οὖν περὶ τὰς ἡδονὰς ἢ λύπας ἔλλειψις ἢ ὑπερβολὴ κακία ἐστίν, ἀρετὴ δὲ τὸ μέσον, ἡ σωφροσύνη. ὁ γὰρ σώφρων οὔτε ἡδε-

25 οὐχ h: om. B

ται μάλιστα οἷς ὁ ἀκόλαστος, ἀλλὰ μᾶλλον δυσχεραίνει πᾶσιν, οἷς οὐ δέον ἐστὶ χαίρειν· οὔτε οἷς χαίρει, μᾶλλον χαίρει τοῦ δέοντος οὔτε λυπεῖται τῶν ἡδέων ἀπόντων, οὐδ' ἐπιθυμεῖ τῶν ἡδέων ἢ ἐπιθυμῶν μετρίως ἐπιθυμεῖ καὶ οὐ πλέον ἢ δεῖ οὐδὲ ὅτε μὴ δεῖ. ὅσα μέντοι πρὸς ὑγίειάν ἐστιν ἢ πρὸς εὐεξίαν συντελοῦντα, ἡδέα ὄντα, ἢ τὸ ἐλάχιστον οὐκ ἐμποδὼν γινόμενα τῇ ὑγιείᾳ καὶ τῇ εὐεξίᾳ, τούτων ὀρέγεται μέν, μετρίως δὲ καὶ καθὼς δεῖ. ὁ γὰρ ἡδονῶν ἐπιθυμῶν, αἵτινες αὐτῷ πρὸς τὸ εἶναι ἐμποδὼν γίνονται ἢ πρὸς τὸ εὖ εἶναι, παρὰ [δὲ] τὸ δέον ἐπιθυμεῖ. ὁ δὲ σώφρων οὐ τοιοῦτος, ἀλλ' ὡς ὁ ὀρθὸς λόγος.

Ὅτι ἡ ἀκολασία μᾶλλον ἑκούσιόν ἐστιν ἢ ἡ δειλία. κεφ. ιγ'.

Ἐπεὶ δὲ καὶ ἡ ἀκολασία καὶ ἡ δειλία ἑκούσια, ζητητέον, εἰ ὁμοίως εἰσὶν ἑκούσια. δοκεῖ δὲ μὴ ὁμοίως, ἀλλὰ τὴν ἀκολασίαν μᾶλλον ἑκούσιον εἶναι. τῆς μὲν γὰρ δειλίας ἡ λύπη αἰτία· διὰ γὰρ τὸ φοβεῖσθαι τὴν λύπην δειλοὶ γινόμεθα. τὴν δὲ ἀκολασίαν ἡ ἡδονὴ ποιεῖ· ὧν ἡ μὲν ἡδονὴ αἱ|ρετόν, ἡ δὲ λύπη φευκτόν. ὃ δὲ διὰ τὸ αἱρετὸν ποιοῦμεν, μᾶλλόν ἐστιν 111 ἑκούσιον τοῦ διὰ τὸ φευκτὸν γινομένου. καὶ ἡ μὲν λύπη ἐξίστησι καὶ φθείρει τὴν τοῦ ἔχοντος φύσιν, ἡ δὲ ἡδονὴ οὐδὲν τοιοῦτον ποιεῖ. διὰ τοῦτο καὶ ἐπονειδιστότερον ἡ ἀκολασία τῆς δειλίας. ἐπεὶ γὰρ διὰ τὸ ἑκούσιον ἀγαθὸν ἢ κακὸν ἐπαινεῖταί τις ἢ ψέγεται, φανερὸν ὅτι τὸ κακὸν ἢ τὸ ἀγαθόν, καθόσον ἐστὶν ἑκούσιον, κατὰ τοσοῦτον ἐπαινεῖται μᾶλλον ἢ ψέγεται. ἐπεὶ καὶ εὐκολώτερόν ἐστι τῆς ἀκολασίας ἀποστῆναι ἢ τῆς δειλίας· οἱ γὰρ ἐθισμοί, δι' ὧν τὰ τοιαῦτα κατορθοῦνται, ἐπὶ μὲν τῆς δειλίας ἐπικίνδυνοί εἰσιν (οἱ γὰρ ἐν τῷ πολέμῳ ἐθισμοὶ καὶ ἐν ἄλλοις τισὶ φοβεροῖς, δι' ὧν τὴν δειλίαν ἐκβάλλομεν, οὐ πόρρω κινδύνων). οἱ δὲ σώφρονες ἐθισμοὶ καθάπαξ εἰσὶν ἀκίνδυνοι· ὥστε καὶ διὰ τοῦτο μᾶλλον ἑκούσιόν ἐστιν ἡ ἀκολασία τῆς δειλίας. δόξειε δ' ἂν οὐχ ὁμοίως ἑκούσιον εἶναι τὴν δειλίαν τοῖς καθ' ἕκαστον. ἡ μὲν γὰρ δειλία, αὐτὴ δηλονότι ἡ ἕξις, ἄλυπός ἐστιν· οὐ γὰρ ἀναγκαζόμεθα παρ' οὐδενὸς λυπηροῦ δειλοὶ εἶναι· ὥστε μᾶλλον ἑκούσιόν ἐστι· τὰ δὲ κατὰ τὴν δειλίαν ἔργα, ἃ ποιοῦμεν διὰ λύπην καὶ φόβον, ἀνάγκῃ τινὶ ποιοῦμεν, ἥτις ἐξίστησιν ἡμᾶς καὶ πείθει τὰ ὅπλα ῥίπτειν καὶ τὰ ἄλλα ἀσχημονεῖν· καὶ τούτου χάριν ἧττον ἑκούσιά εἰσι τὰ καθ' ἕκαστον. ἐπὶ δὲ τῆς ἀκολασίας τὸ ἀνάπαλιν ἔχει. αὐτὴν μὲν τὴν ἀκολασίαν οὐδεὶς ἐπιθυμεῖ οὐδὲ βούλεταί τις ἀκόλαστος εἶναι. τὰ δὲ κατὰ τὴν ἀκολασίαν ἔργα σφόδρα ὀρεγόμενοι ποιοῦσιν. ὥστε τὴν ἀκολασίαν ἧττον ἑκούσιον εἶναι τῶν καθ' ἕκαστα. | τοῦτο δὲ τὸ ὄνομα τῆς 112 ἀκολασίας καὶ ἐπὶ τὰς παιδικὰς ἁμαρτίας φέρομεν καὶ τοὺς ἁμαρτάνοντας τῶν παίδων ἀκολάστους καλοῦμεν. ἔχουσι γὰρ αἱ τοιαῦται ἁμαρτίαι πρὸς τὴν εἰρημένην ἀκολασίαν ὁμοιότητά τινα· πότερον δὲ ἀπὸ ποτέρου καλεῖται ζητεῖν, οὐδὲν πρὸς τὸν λόγον τὸν προκείμενον συντελεῖ· πλὴν ἐκεῖνο εἰπεῖν εἰκός, ὅτι τὸ ὕστερον ἀπὸ τοῦ προτέρου καλεῖσθαι μᾶλ-

8 δὲ B: om. h 11 ἑκούσιά εἰσιν h

λον προσήκει, καὶ ἀπὸ τῶν παιδικῶν ἁμαρτιῶν ἐπὶ ταύτην τὴν ἀκολασίαν τὸ ὄνομα μετενεχθῆναι. ἔοικε δὲ οὐ κακῶς ἀλλὰ καὶ λίαν προσηκόντως μετενεχθῆναι τὸ ὄνομα· ὥσπερ γὰρ κολάζειν δεῖ τὸν παῖδα τῶν αἰσχρῶν ὀρεγόμενον, καὶ συστέλλειν εἴσω τοῦ μετρίου τὴν ὄρεξιν αὐτοῦ, οὕτω καὶ τὴν ἐπιθυμίαν κεκολάσθαι δεῖ, πολλὴν αὔξησιν ἔχουσαν. ὅ τε γὰρ παῖς, εἰ μὴ παιδαγωγοῖτο, τὴν ὄρεξιν τοῦ ἡδέος ἄπληστον ἔχων καὶ μάλιστα διὰ τὴν ἡλικίαν, ἔξω τοῦ δέοντος πεσεῖται· ἥ τε ἐπιθυμία, εἰ μὴ ὑπὸ λόγου κολάζοιτο, ἐπὶ πολὺ ἥξει καὶ ὑπὸ τῶν κατ' ἐπιθυμίαν ἐνεργειῶν αὐξανομένη καὶ τὸν λογισμὸν ἐκκρούει πολλάκις. διὸ δεῖ μετρίας τὰς ἐπιθυμίας καὶ ὀλίγας εἶναι, καὶ τῷ λόγῳ μηδὲν ἐναντιοῦσθαι. τὰς δὲ τοιαύτας εὐπειθεῖς λέγομεν καὶ κεκολασμένας· ὥστε εἰκότως τοὐναντίον ἐπί τε τῶν παίδων καὶ τῆς ἐπιθυμίας ἀκολασία καλεῖται. ὥσπερ γὰρ τὸν παῖδα δεῖ κατὰ τὸ πρόσταγμα τοῦ παιδαγωγοῦ ζῆν, οὕτω καὶ τὸ ἐπιθυμητικὸν κατὰ τὸν λόγον· διὸ δεῖ τοῦ σώφρονος τὸ ἐπιθυμητικὸν συμφωνεῖν τῷ λόγῳ· σκοπὸς γὰρ ἀμφοῖν τὸ καλόν. καὶ ἐπιθυμεῖ ὁ σώφρων ὧν δεῖ καὶ ὡς δεῖ καὶ ὅτε· οὕτω δὲ τάττει καὶ ὁ λόγος. ταῦτ' οὖν ἡμῖν εἰρήσθω περὶ σωφροσύνης.

Περὶ ἐλευθεριότητος. κεφ. α΄.

Καὶ ἡ ἐλευθεριότης δὲ τοῦ ἐπιθυμητικοῦ ἐστιν ἀρετή· καὶ διὰ τοῦτο μετὰ τὴν σωφροσύνην περὶ ἐλευθεριότητος λέγομεν. ἔστι δὲ ἐλευθεριότης ἡ περὶ χρήματα μεσότης, ὅταν οὔτε πλέον τοῦ δέοντος οὔτε ἔλαττον ἀναλίσκωμεν ἀλλ' ὡς δεῖ καὶ ἐφ' οἷς προσήκει καὶ ὧν ἕνεκα· ἐπαινεῖται γὰρ ὁ ἐλευθέριος οὐκ ἐν τοῖς πολεμικοῖς οὐδ' ἐν οἷς ἐπαινεῖται ὁ σώφρων οὐδ' αὖ ἐν ταῖς κρίσεσιν ὥσπερ ὁ δίκαιος, ἀλλὰ περὶ δόσιν χρημάτων καὶ λῆψιν. μᾶλλον δὲ ἐπαινεῖται ἐν τῇ δόσει. χρήματα δὲ λέγομεν πάντα, ὅσων ἡ ἀξία νομίσματι μετρεῖται. ἡ μὲν οὖν περὶ χρήματα μεσότης ἡ ἐλευθεριότης ἐστίν, ἡ δὲ ὑπερβολὴ ἡ ἀσωτία, ἔλλειψις δὲ ἡ ἀνελευθεριότης. ἀσωτίαν δὲ οὐ μόνον τὴν περὶ τὰ χρήματα ὑπερβολὴν καλοῦμεν ἀλλὰ ἐνίοτε καὶ τοὺς ἀκολάστους ἀσώτους καλοῦμεν, οἵτινες πολλὰ δι' ἀκολασίαν δαπανῶσι. καὶ ἀσωτίαν τὴν τοιαύτην κακίαν ὀνομάζομεν. διὰ τοῦτο καὶ φαυλότ|ατοί εἰσιν οἱ τοιοῦτοι, πολλὰς ἅμα κακίας ἔχοντες καὶ περὶ 114 χρήματα δὲ καὶ ἡδονὰς διεφθαρμένοι· διὰ τοῦτο οὐδὲ οἰκείως προσαγορεύονται ἑνὶ ὀνόματι μίαν κακίαν δηλοῦντι· βούλεται γὰρ ἄσωτος εἶναι ὁ ἕν τι κακὸν ἔχων, τὸ φθεῖρον τὴν οὐσίαν· ἄσωτος γὰρ ὁ δι' ἑαυτὸν ὀλλύμενος· δοκεῖ γὰρ ἀπώλειά τις αὐτοῦ εἶναι καὶ ἡ τῆς οὐσίας φθορά, ὡς τοῦ ζῆν διὰ τῶν χρημάτων ὄντος. ἀσώτους μὲν οὖν καὶ τοὺς ἀκρατεῖς καὶ εἰς ἀκολασίαν δαπανηροὺς καλοῦμεν, ἀνελευθέρους δὲ μόνους τοὺς πλέον ἢ δεῖ τῶν χρημάτων ἀντεχομένους καὶ πρὸς τὴν ἐλευθεριότητα ἐλλείποντας. ἐπεὶ τοίνυν πᾶσιν, ὧν χρεία τίς ἐστιν, οἷον δόξης ἢ ἡδονῆς ἢ τροφῆς, τούτοις δυνατὸν χρῆσθαι καὶ εὖ καὶ κακῶς (τοιοῦτον δὲ καὶ ὁ πλοῦτος, καὶ τούτου γὰρ χρεία τίς ἐστιν ἐν τῷ βίῳ). δυνατὸν ἄρα χρῆσθαι τῷ πλούτῳ καὶ εὖ καὶ κακῶς· ἐπεὶ δὲ ἑκάστῳ πράγματι ἐκεῖνος χρῆται καλῶς, ὁ ἔχων τὴν περὶ αὐτὸ ἀρετήν, καὶ τῷ πλούτῳ

---

1 Ἀριστοτέλους ἠθικῶν βιβλίον Δ h 18 φθεῖρον Bh et Arist. cod. L[b]: φθείρειν Arist. vulg. 19 nescio an ex Arist. ἀπολλύμενος restituas · γὰρ] δὲ Arist. 24 ἢ ἡδονῆς om. h, fortasse recte

ἐκεῖνος χρήσεται ἄριστα, ὁ ἔχων τὴν περὶ αὐτὸν ἀρετήν· οὗτος δέ ἐστιν ὁ ἐλευθέριος. ἡ δὲ χρῆσις τῶν χρημάτων οὐδὲν ἄλλο ἐστὶν ἢ δαπάνη καὶ δόσις. ἡ δὲ λῆψις καὶ φυλακὴ οὐ χρῆσις δοκεῖ ἀλλὰ μᾶλλον κτῆσις. διὰ τοῦτο ὁ ἐλευθέριος περὶ τὴν δαπάνην ἐστὶ τῶν χρημάτων μᾶλλον ἢ περὶ τὴν λῆψιν· καὶ μᾶλλον αὐτῷ προσήκει τὸ εἰδέναι, ὅπως δεῖ δαπανᾶν καὶ ὧν ἕνεκα καὶ πρὸς οὓς ἢ ὅπως δεῖ λαμβάνειν καὶ ὧν ἕνεκα καὶ παρ' ὧν δεῖ. ἔστι μὲν γὰρ περὶ τὴν χρῆσιν τοῦ πλούτου, καθὼς εἴρηται· χρῆσις δὲ ἡ δόσις μᾶλλόν ἐστιν ἢ ἡ λῆψις. ἔτι μᾶλλον δοκεῖ ἀρετὴ εἶναι τὸ εὖ ποιεῖν ἢ τὸ εὖ πάσχειν καὶ τὸ τὰ καλὰ πράττειν ἢ τὸ τὰ αἰσχρὰ μὴ πράττειν· ἕπεται δὲ τῇ μὲν δόσει τὸ εὖ ποιεῖν καὶ τὸ τὰ καλὰ πράττειν, τῇ δὲ λήψει τὸ εὖ πάσχειν καὶ τὸ τὰ αἰσχρὰ μὴ πράττειν. τὸ γὰρ λαβεῖν ὅθεν δεῖ εὖ πάσχειν ἐστίν, καὶ τὸ μὴ λαβεῖν ὅθεν οὐ δεῖ τὸ μὴ αἰσχρὰ πράττειν ἐστίν. ἔτι, ὃ μᾶλλον ἐπαινεῖται, τοῦτο μᾶλλον ἀρετῇ προσήκει. μᾶλλον δὲ ἐπαινεῖται τὸ ὡς δεῖ διδόναι ἢ τὸ ὡς δεῖ λαμβάνειν· ἡ γὰρ χάρις καὶ ὁ ἔπαινος τῷ διδόντι μᾶλλον ἢ τῷ μὴ λαμβάνοντι. ἔτι περὶ τὸ δυσχερέστερόν ἐστιν ἡ ἀρετή· δυσχερέστερον δέ ἐστι διδόναι καλῶς ἢ λαμβάνειν ἢ μὴ λαμβάνειν καλῶς· τὸ γὰρ οἰκεῖον προέσθαι πολλῷ δυσχερέστερον τοῦ τὸ ἀλλότριον ἀποπέμψασθαι· μᾶλλον ἄρα προσήκει τῷ ἐλευθερίῳ διδόναι καλῶς ἢ οὐ λαμβάνειν ἢ λαμβάνειν καλῶς. ἐπεὶ καὶ ἐλευθερίους οὐ τούτους καλοῦμεν, ὅσοι οὐ λαμβάνουσιν ὅθεν οὐ δεῖ, ἀλλὰ ὅσοι διδόασιν οἷς δεῖ· ἐκεῖνοι γὰρ μᾶλλον δοκοῦσι δίκαιοι ἢ ἐλευθέριοι καὶ διὰ τοῦτο ἐπαινοῦνται· οἱ δὲ λαμβάνοντες ὅθεν δεῖ οὐδὲ ἐπαινοῦνται· ἐπαινεῖται γὰρ ὃς δυσχερές τι ποιεῖ διὰ τὸ ἀγαθόν, ὁ δὲ λαμβάνων ὅθεν δεῖ οὐδὲν δυσχερὲς ὑπομένει. ἔτι φιλοῦνται οἱ ἐλευθέριοι μάλιστα τῶν σπουδαίων, ὅτι ὠφέλιμοί εἰσι· τὸ δὲ ὠφέλιμον οὐκ ἐν τῷ μὴ λαβεῖν κακῶς ἀλλ' ἐν τῷ δοῦναι καλῶς. ὁ ἄρα ἐλευθέριος περὶ τὴν δόσιν εἶναι δοκεῖ μᾶλλον ἢ περὶ τὴν λῆψιν· ἔστι τοίνυν ἐλευθέριος ὁ διδοὺς οἷς δεῖ καὶ τοῦ καλοῦ ἕνεκα. πᾶσαι γὰρ αἱ κατ' ἀρετὴν πράξεις τοῦ καλοῦ ἕνεκα καὶ οὐ μόνον τοῦ καλοῦ ἕνεκα καὶ οἷς δεῖ καὶ ὅτε δεῖ καὶ τἄλλα πάντα ὅσα ἕπεται τῇ ὀρθῇ δόσει ἀλλὰ καὶ ἡδέως ἢ ἀλύπως. ὁ γὰρ μετὰ λύπης διδοὺς οὔπω ἐλευθέριος· ἐλευθερίου μὲν γὰρ ἔργον ποιεῖ, ἐλευθέριος δὲ οὔπω ἐστίν· οὔπω γὰρ εἰς ἕξιν ἦλθεν· οὐ γὰρ ἂν ἐλυπεῖτο. τὰ γὰρ κατ' ἀρετὴν ἔργα ἢ ἡδέα ἐστὶν ἢ ἄλυπα, ὁ δὲ διδοὺς οἷς μὴ δεῖ ἢ οὐ τοῦ καλοῦ ἕνεκα ἀλλὰ διά τινα ἄλλην αἰτίαν οὐκ ἐλευθέριος ἀλλὰ ἄλλος τις ῥηθήσεται· ὁμοίως δὲ οὐδὲ ὁ μετὰ λύπης διδούς, καθὼς εἴρηται. ὁ γὰρ τοιοῦτος προτιμᾷ τὰ χρήματα τῆς καλῆς πράξεως· τοῦτο δὲ οὐκ ἐλευθερίου. ὁ γὰρ ἐλευθέριος δώσει μέν, ὡς ὁ ὀρθὸς τάττει λόγος, λήψεται δὲ οὐδαμῶς παρ' ὧν οὐ δεῖ λαβεῖν, ἅτε μὴ τιμῶν τὰ χρήματα, οὔτε αἰτήσεται· οὐ γὰρ εὐχερῶς εὐεργετεῖται ὁ φιλῶν τὸ εὐεργετεῖν· λήψεται δὲ ἀφ' ὧν δεῖ, δηλονότι ἀπὸ τῶν οἰκείων κτημάτων, οὐχ ὅτι καλὸν ἡγεῖται τὸ χρηματίζεσθαι ἀλλ' ὅτι ἀναγκαῖον πρὸς τὸ διδόναι· καὶ διὰ τοῦτο

8 καὶ ἔτι h 11 τὰ om. h 23 ὃς — ποιεῖ B: ὁ — ποιῶν h 36 τοῦτο B: διὰ τοῦτο h | ἐλευθερίου scripsi ex Arist.: ἐλευθέριος Bh 38 ἅτε B: ὅτε h

οὐδὲ τῶν ἰδίων ἀμελήσει χρημάτων, βουλόμενος διὰ τούτων τισὶν ἐπαρκεῖν. οὐδὲ τοῖς τυχοῦσι δώσει, ἵνα ἔχῃ διδόναι οἷς δεῖ καὶ ὅτε καὶ οὗ καλόν· ἔστι δὲ σημεῖον τοῦ σφόδρα ἐλευθερίου καὶ τὸ ὑπερβάλλειν ἐν τῇ δόσει τοσοῦτον, ὥστε καταλείπειν ἑαυτῷ τὰ ἐλάττω. τὸ γὰρ μὴ πρὸς τὴν οἰκείαν χρείαν ὁρᾶν τῆς μεγίστης ἐλευθεριότητος σημεῖόν ἐστιν. οὐ γὰρ πρὸς τὸ μέγεθος ἢ τὸ πλῆθος τῶν διδομένων ἡ ἐλευθεριότης κρίνεται ἀλλὰ κατὰ τὴν ἀναλογίαν, ἣν ἔχουσι τὰ διδόμενα πρὸς τὴν οὐσίαν τοῦ διδόντος (ἀπὸ τούτου γὰρ ἡ ἕξις τῆς ἐλευθεριότητος δείκνυται), ὥστε οὐδὲν κωλύει ἐλευθεριώτερον εἶναι τοῦ τὰ πολλὰ διδόντος τὸν ἐλάττω διδόντα, ἐὰν ἀπὸ ἐλάττονος οὐσίας διδῷ. συμβαίνει δὲ τοὺς μὴ κτησαμένους οὐσίαν ἰδίοις πόνοις ἀλλὰ διαδεξαμένους | παρ' ἄλλων, 117 ἐλευθεριωτέρους δοκεῖν· οἱ γὰρ τοιοῦτοι ἄπειροί εἰσι τῆς ἐνδείας καὶ διὰ τοῦτο οὐ σφόδρα ἀγαπῶσι τὸν πλοῦτον καὶ ὅτι, καθάπερ οἱ γονεῖς καὶ οἱ ποιηταί, μᾶλλον ἀγαπῶσι τὰ χρήματα οἱ κτησάμενοι. οἱ δὲ ἐλευθέριοι οὐ δύνανται σφόδρα πλουτεῖν· οὔτε γὰρ εὐχερεῖς εἰς τὸ λαμβάνειν εἰσὶν οὔτε εἰς τὸ φυλάττειν τὴν οὐσίαν προνοητικοί· ἀλλὰ μᾶλλον προετικοὶ τῶν ὄντων καὶ οὐ τιμῶντες δι' ἑαυτὰ τὰ χρήματα ἀλλ' ἕνεκα τῆς δόσεως. διὸ καὶ ἐγκαλοῦμεν τῇ τύχῃ, ὅτι μὴ πλουτοῦσιν οἱ ἐλευθέριοι, πλούτου καὶ χρημάτων ὄντες ἄξιοι. τοῦτο δὲ οὐ συμβαίνει ἀλόγως· τὸν γὰρ μὴ ἐπιμελούμενον ὅπως ἔχῃ χρήματα, πῶς οἷόν τε πλουτεῖν; ὥσπερ οὐδ' ἄλλο τι κτήσασθαι δυνατὸν τὸν μὴ ἐπιμελούμενον ὅπως κτήσηται. διὰ τοῦτο οὐδὲ ὁ ἐλευθέριος δυνήσεται πλουτεῖν, μήτε ἑτέρωθεν χρήματα συλλέγων καὶ τὰ οἴκοι σκορπίζων. ἔτι καὶ μὴ δίδωσιν οἷς οὐ δεῖ καὶ ὅτε μὴ δεῖ, ἵνα μὴ εἰς τὰ μὴ δέοντα ἀναλώσας ἐνδεὴς εὑρεθῇ πρὸς τὰ δέοντα καὶ μὴ δῷ οἷς δεῖ καὶ ὅτε δεῖ. ἐλευθέριος γάρ ἐστι, καθὼς εἴρηται, ὁ κατὰ τὴν ἀναλογίαν τῆς οὐσίας δαπανῶν εἰς ἃ δεῖ· ὁ δὲ ὡς ἔτυχε διδοὺς ἄσωτος. διὰ τοῦτο τοὺς τυράννους οὐ λέγομεν ἀσώτους, καίτοι πολλὰ καὶ ἄμετρα διδόντας· τὸ γὰρ πλῆθος τῆς κτήσεως τὸ πλῆθος τῶν δόσεων ὑπερβάλλειν δοκεῖ, καὶ πλείω εἶναι τὴν οὐσίαν τῆς δαπάνης συμβαίνει. ἐπεὶ τοίνυν ἡ ἐλευθεριότης μεσότης ἐστὶ περὶ χρημάτων δόσιν καὶ λῆψιν, ὁ ἐλευθέριος καὶ δώσει καὶ δαπανήσει εἰς ἃ δεῖ καὶ ὅσα δεῖ, καὶ ἐν μικροῖς καὶ ἐν μεγάλοις ὁμοίως, | καὶ ἀμφότερα 118 ἡδέως ποιήσει, τό τε δοῦναι καὶ τὸ λαβεῖν κατὰ τὸν προσήκοντα λόγον· μεσότης γάρ ἐστιν ἡ ἐλευθεριότης περί τε λῆψιν καὶ δόσιν. ἕπεται (δὲ τῷ διδόντι καλῶς καὶ λαμβάνειν καλῶς, καὶ ἄμφω μεθ' ἡδονῆς. ὥστε λυπήσεται, ἐὰν μὴ δῷ ἢ μὴ λάβῃ κατὰ τὸν προσήκοντα λόγον· καὶ τοῦτο δὲ μετρίως καὶ ὡς δεῖ. ἔστι δὲ ὁ ἐλευθέριος καὶ εὐκοινώνητος ἐν τοῖς χρήμασι καὶ ἡδὺς ἐστιν ἐν ταῖς περὶ τὰ χρήματα κοινωνίαις, ὅτι χρημάτων καταφρονῶν οὐ πάνυ ἄχθεται ἀδικούμενος καὶ ζημιούμενος. μᾶλλον γὰρ ἄχθεται εἴ τι προσῆκον ἀναλῶσαι οὐκ ἀνάλωσεν ἢ εἴ τι προσῆκον μὴ ἀναλῶσαι ἀνάλωσε. τὸ μὲν γὰρ δαπανῆσαί ποτε παρὰ τὸ δέον περὶ χρήματά ἐστιν ἡ ζημία, καὶ οὐ τοσοῦτον λυπεῖ τὸν ἐλευθέριον· τὸ δὲ μὴ εἰς

34 δὲ h: om. B

τὸ δέον δαπανῆσαι περὶ τὸ δέον καὶ τὴν ἀρετὴν ἡ ζημία γίνεται, καὶ διὰ τοῦτο μᾶλλον λυπεῖ· ὥστε οὐδὲ τὴν Σιμωνίδου δέχεται παραίνεσιν τἀναντία ὑποτιθεμένου. ὁ δὲ ἄσωτος περὶ τὴν ἡδονὴν ἀεὶ καὶ τὴν λύπην διαμαρτάνει· ἥδεται γὰρ καὶ λυπεῖται ἐφ' οἷς οὐ δεῖ καὶ οὐχ ὡς δεῖ· φανερώτερον δὲ ἐν τοῖς ἑξῆς ῥηθήσεται.

Ὅτι χεῖρον κακὸν ἡ ἀνελευθεριότης τῆς ἀσωτίας. κεφ. β'. 20

Ἔστι μὲν οὖν ἡ ἐλευθεριότης ἡ μεσότης, ὑπερβολὴ δὲ ἡ ἀσωτία, ἔλλειψις δὲ ἡ ἀνελευθεριότης. ἡ μὲν οὖν ἀσωτία τῷ διδόναι καὶ μὴ λαμβάνειν ὑπερβάλλει, τῷ δὲ λαμβάνειν ἐλλείπει, ἡ δὲ ἀνελευθεριότης τῷ λαμβάνειν ὑπερβάλλει, τῷ δὲ διδόναι ἐλλείπει. ἀμφοτέρων δὲ οὐσῶν ἔξω τοῦ δέοντος, χείρων ἐστὶν ἡ ἀνελευθεριότης τῆς ἀσωτίας. ἡ 119
γὰρ ἀσωτία πρῶτον μὲν οὐ δύναται παραμένειν ἀλλὰ εὐχερῶς ἀφίσταται, τῆς ὕλης δαπανηθείσης· ὁ γὰρ πλοῦτος ταχέως ἐπιλείπει τοὺς δαπανῶντας ἰδιώτας, διδόντας μὲν ἀμέτρως, λαμβάνοντας δὲ οὐδαμόθεν· ἡ δὲ ἀνελευθεριότης οὐδαμῶς· οὔτε γὰρ αὐξανομένου τοῦ πλούτου βελτίων ὁ ἀνελεύθερος γίνεται, καὶ δαπανωμένου πολλῷ χείρων. ἔπειτα καὶ ὑπὸ τῆς ἡλικίας καὶ ὑπὸ τῆς πείρας τῶν ἀπὸ τῆς ἀπορίας κακῶν ἰαθῆναι τὸν ἄσωτον δυνατὸν καὶ πρὸς τὸ μέσον ἐλθεῖν· ἐγγὺς γάρ ἐστι τοῦ μέσου καὶ ἐλευ- 10
θερίῳ ἔοικε μάλιστα· καὶ γὰρ δίδωσι καὶ οὐ λαμβάνει, εἰ καὶ μὴ ὡς δεῖ καὶ οἷς οὐ δεῖ· ὥστε εἰ τοῦτο μόνον ἐθισθείη, διδόναι οἷς δεῖ καὶ ὡς δεῖ, εἴη ἂν ἐλευθέριος· καὶ δώσει οἷς δεῖ καὶ οὐ λήψεται ὅθεν οὐ δεῖ. διὰ τοῦτο ὁ ἄσωτος οὐ δοκεῖ φαῦλός τις εἶναι τὸ ἦθος· οὐ γὰρ μοχθηροῦ καὶ ἀγεννοῦς τὸ ὑπερβάλλειν ἐν τῷ διδόναι καὶ μὴ λαμβάνειν, ἠλιθίου δέ. διὰ τοῦτο βελτίων ὁ ἄσωτος τοῦ ἀνελευθέρου, καὶ διὰ τὰ εἰρημένα καὶ ὅτι ὁ μὲν ἄσωτος πολλοὺς ὠφελεῖ, ὁ δὲ ἀνελεύθερος οὐδένα ἀλλ' οὐδὲ ἑαυτόν. ἄσωτον δὲ λέγω, ὃς ὑπερβάλλει μὲν τῷ διδόναι, ἐλλείπει δὲ τῷ μὴ διδόναι, ὃν ὑπεθέμεθα ἄκρον εἶναι πρὸς τὸν ἐλευθέριον. πολλοὶ γὰρ ἄσωτοι 20
καὶ ἀνελεύθεροί εἰσιν, ὑπερβάλλοντες ὁμοίως καὶ τῷ λαμβάνειν καὶ τῷ διδόναι· ληπτικοὶ γάρ εἰσι διὰ τὸ βούλεσθαι μὲν ἀναλίσκειν, εὐχερῶς δὲ τοῦτο ⟨μὴ⟩ ποιεῖν· ταχέως γὰρ ἐπιλείπει αὐτοὺς τὰ ὑπάρχοντα καὶ ἀναγκάζονται ἑτέρωθεν πορίζειν· ἅμα δὲ καὶ διὰ τὸ μὴ φροντίζειν τοῦ δέοντος πανταχόθεν καὶ ὡς ἔτυχε λαμβάνουσι. διδόναι γὰρ ἐπιθυμοῦσι μόνον· τὸ δὲ πῶς δεῖ καὶ πόθεν λαμβάνοντας οὐδὲν προσπεριεργάζονται. διὰ τοῦτο οὐδὲ ἐλευθέριοί εἰσιν αἱ δόσεις αὐτῶν· οὐ γὰρ 120
καλαὶ οὐδὲ τοῦ καλοῦ ἕνεκα οὐδὲ ὡς δεῖ· ἀλλ' ἐνίοτε οὓς δεῖ πένεσθαι, τούτους πλουσίους ποιοῦσι, τοῖς δὲ μετρίοις τὰ ἤθη οὐδὲν ἂν δοῖεν· τοῖς κόλαξι δὲ ἢ ἄλλην τινὰ ἡδονὴν αὐτοῖς προξενοῦσι πολλὰ παρέχουσιν. διὸ καὶ ἀκόλαστοί εἰσιν ὡς ἐπὶ τὸ πλεῖστον οἱ ἄσωτοι. διὰ γὰρ τὸ μὴ ζῆν κατὰ λόγον πρὸς τὰς ἡδονὰς ἀποκλίνουσι, διὰ δὲ τὸ ἐθι-

4 ἥδεται—οὐ δεῖ B: οὔτε γὰρ ἥδεται ἐφ' οἷς δεῖ h 18. 19 καὶ ἐλευθερίῳ ἔοικε μάλιστα om. h 30 μὴ h: om. B

σθῆναι πολλὰ δαπανᾶν καὶ εἰς τὰς ἀκολασίας δαπανηροὶ γίνονται,
ὥστε σφόδρα ἀκόλαστοι εἶναι. ὁ μὲν οὖν ἄσωτος ἀπαιδαγώγητος 10
γινόμενος εἰς τοσοῦτον ἔρχεται πονηρίας, παιδαγωγηθεὶς δὲ καὶ τυχὼν ἐπι-
μελείας εἰς τὸ δέον ἀφικέσθαι δύναται. ἡ δὲ ἀνελευθεριότης ἀνίατός ἐστιν·
οὐ γάρ ἐστιν ἐλπὶς ἀπὸ πλείονος πείρας ἢ ἡλικίας τινὸς βελτίονα γενέσθαι
τὸν ἀνελεύθερον. τὸ γὰρ πεῖραν λαβεῖν τῶν ἐν τῷ βίῳ καὶ τὸ γῆρας καὶ
τὰ ἐκ τοῦ γήρως κακὰ καὶ πᾶσα ἀδυναμία καὶ κακοπάθεια πολλῷ μείζω
ποιεῖ τὴν ἀνελευθεριότητα. καὶ ἄλλως δὲ μᾶλλον πεφύκασιν οἱ ἄνθρωποι
πρὸς τὴν ἀνελευθεριότητα ἢ πρὸς τὴν ἀσωτίαν· οἱ γὰρ πλεῖστοι τῶν ἀν- 20
θρώπων φιλοχρήματοι καὶ ἀνελεύθεροί εἰσι· διδόασι δὲ οὐ σφόδρα πολλοί·
ἐλάχιστοι δὲ οἱ ἄσωτοι. διὰ τοῦτο τοίνυν πολλῷ βελτίων ἡ ἀσωτία τῆς
ἀνελευθεριότητος· φαίνεται γὰρ ἀπὸ τούτων ἐγγύτερον οὖσα τοῦ μέσου.
καὶ χωρὶς δὲ τούτων καὶ πολυειδές τι κακὸν ἡ ἀνελευθεριότης· πολλοὶ
γὰρ τρόποι δοκοῦσι τῆς ἀνελευθεριότητος εἶναι. ἐπεὶ γὰρ περὶ λῆψιν καὶ
δόσιν ἐστίν, οἱ μὲν τῶν ἀνελευθέρων περὶ τὴν δόσιν φαύλως ἔχουσιν. οἱ
δὲ περὶ | τὴν λῆψιν· οἱ μὲν γὰρ οὔτε οὐδενὶ διδόασιν οὔτε λαμβάνειν 121
βούλονται παρ' οὐδενός, οἱ μὲν διά τινα ἐπιείκειαν καὶ ἵνα μὴ ἀναγ-
κασθῶσι πρᾶξαί τι αἰσχρόν, οἱ δὲ φοβούμενοι, μήποτε καὶ δοῦναί ποτε
ἀναγκασθῶσι διότι λαμβάνουσιν· ἀγαπῶσιν οὖν τὸ μήτε λαμβάνειν μήτε
διδόναι. καλοῦνται δὴ οὗτοι φειδωλοὶ γλίσχροι κίμβικες, ὅσοι τῇ δόσει
ἐλλείπουσι· τούτων δὲ καὶ ὁ κυμινοπρίστης. ἕτεροι δὲ τῇ λήψει ὑπερ-
βάλλουσιν, ὅσοι πάντα τὰ αἰσχρὰ καὶ ποιοῦσι καὶ πάσχουσιν, ἵνα τι λά-
βωσιν οὐχ ὡς δεῖ οὐδὲ παρ' ὧν δεῖ. οὗτοι δὲ πάντες αἰσχροκερδεῖς κα- 10
λοῦνται, οἷοί εἰσιν οἱ πορνοβοσκοὶ καὶ οἱ τοκισταὶ καὶ οἱ κυβευταὶ καὶ οἱ
λωποδύται καὶ οἱ λῃσταί· πάντες γὰρ ἕνεκα κέρδους καὶ τούτου μικροῦ
μεγάλα ὑπομένουσιν ὀνείδη. οἱ γὰρ μεγάλων ἕνεκα κερδῶν τὰ τοιαῦτα
ὑπομένοντες καὶ λαμβάνοντες ὅθεν οὐ δεῖ οὐδὲ ὡς δεῖ οὐκ αἰσχροκερδεῖς
ἀλλὰ πονηροὶ καὶ ἀσεβεῖς καὶ ἄδικοι καλοῦνται, οἷοί εἰσιν οἱ τύραννοι καὶ
οἱ τὰς πόλεις πορθοῦντες καὶ ἱερὰ συλῶντες. ὁ γὰρ κυβευτὴς λαμβάνει
μὲν ὅθεν οὐ δεῖ· παρὰ τῶν φίλων γάρ, οἷς δεῖ διδόναι· μικρὰ δὲ καὶ διὰ
τοῦτο αἰσχροκερδής· καὶ ὁ λῃστὴς μεγάλους μὲν ὑπομένει κινδύνους ἀλλὰ 20
μικροῦ λήμματος ἕνεκα· ὁμοίως καὶ ὁ λωποδύτης καὶ εἴ τις ἄλλος τοιοῦτος.
εἰκότως οὖν ἡ ἀνελευθεριότης τῇ ἐλευθεριότητι ἐναντίον λέγεται, ὅτι τε
μᾶλλον ἀφέστηκεν αὐτῆς ἢ ἡ ἀσωτία (ἐναντιώτερον γάρ ἐστιν αὐτῆς, διότι
μεῖζον κακόν ἐστιν ἢ ἡ ἀσωτία), καὶ ὅτι κατὰ πλείονας τρόπους ἁμαρτά-
νουσιν οἱ ἄνθρωποι περὶ ταύτην ἢ περὶ τὴν ἀσωτίαν.

Περὶ μεγαλοπρεπείας. κεφ. γ'. 122

Περὶ μὲν οὖν ἐλευθεριότητος καὶ τῶν ἀντικειμένων κακιῶν τοσαῦτα εἰρήσθω· ἀκόλουθον δ' ἂν εἴη μετὰ ταῦτα περὶ μεγαλοπρεπείας διεξελθεῖν· ἔοικε γὰρ ἡ μεγαλοπρέπεια τῇ ἐλευθεριότητι, καθόσον καὶ αὐ-

19 τὸ ed. 1697: τῷ Bb 25 λοποδύται B 29 συλλῶντες B 32 λοποδύτης B

τὴ περὶ χρήματά ἐστι καὶ περὶ δαπάνας χρημάτων. διαφέρει δέ, ὅτι ἡ μὲν ἐλευθεριότης καὶ περὶ δόσεις καὶ περὶ λήψεις καὶ δαπάνας ἐστίν, ἡ δὲ μεγαλοπρέπεια περὶ δαπάνας μόνον· καὶ ἡ μὲν ἐλευθεριότης περὶ δαπάνας ὀλίγων χρημάτων καὶ μικρῶν, ἡ δὲ μεγαλοπρέπεια περὶ μεγάλων καὶ πολλῶν· καθάπερ δηλοῖ καὶ αὐτὸ τὸ ὄνομα τῆς μεγαλοπρεπείας· ἔστι γὰρ δαπάνη μεγέθει πρέπουσα. τὸ δὲ μέγεθος οὐκ ἔστι τὸ αὐτὸ πᾶσι τῆς δαπάνης· ⟨οὐ⟩ γὰρ τὸ αὐτὸ μέγεθος πᾶσι προσήκει ἀλλὰ ἀνάλογον. οὐ γὰρ τὸ αὐτὸ δαπάνημα προσήκει τριηράρχῳ καὶ τῷ ἀρχιθεώρῳ· ἀλλ' ἑκατέρῳ τὸ πρέπον τῷ μεγέθει τῆς ἀρχῆς, ὅπερ ἑκάτερος ἀναλώσας ὡς δεῖ καὶ περὶ ἃ δεῖ μεγαλοπρεπὴς λέγεται. ὁ γὰρ τὰ πρέποντα μὲν δαπανῶν καὶ ἑαυτῷ καὶ τῷ λαμβάνοντι, μὴ μεγάλα δέ, οὐ λέγεται μεγαλοπρεπὴς ἀλλὰ ἐλευθέριος, οἷός ἐστιν ὁ λέγων

πολλάκι δόσκον ἀλήτῃ,

ἀλλ' ὁ μεγάλα δαπανῶν καὶ πρέποντα καὶ ἑαυτῷ καὶ τῷ λαμβάνοντι. ὥστε τὸν μὲν μεγαλοπρεπῆ καὶ ἐλευθέριον εἶναι, τὸν δὲ ἐλευθέριον οὐ πάντως μεγαλοπρεπῆ. ταύτης δὲ τῆς ἕξεως ἡ μὲν ἔλλειψις μικροπρέπεια καλεῖται, ἡ δὲ ὑπερβολὴ βαναυσία καὶ ἀπειροκαλία καὶ ὅσαι | τοι- 123
αῦται, αἵτινες γίνονται οὐ διὰ τὸ ὑπερβάλλειν τὴν μεγαλοπρέπειαν τῷ μεγέθει τῆς δαπάνης τῆς προσηκούσης, ἀλλὰ τῷ δαπανᾶν ἐν οἷς οὐ δεῖ καὶ οὐχ ὡς δεῖ. καὶ περὶ μὲν τῶν παρ' ἑκάτερα τῆς μεγαλοπρεπείας κακιῶν ὕστερον ἀκριβέστερον ἐροῦμεν· λέγομεν δὲ περὶ τῆς μεγαλοπρεπείας. ἔστι τοίνυν ὁ μεγαλοπρεπὴς καθάπερ ἐπιστήμων. θεωρῶν πάντα κατὰ λόγον καὶ τάττων μετὰ τοῦ πρέποντος κανόνος· δαπανήσει γὰρ τὰ μεγάλα ἐμμελῶς καὶ ὡς προσῆκεν. αἱ γὰρ κατὰ τὴν ἕξιν ἐνέργειαι τῇ ἕξει ἀκολουθοῦσι, καὶ διὰ τοῦτο ἡ ἕξις ταῖς ἐνεργείαις γνωρίζεται, καθὼς εἴρηται ἐν ἀρχῇ· ὥστε καὶ αὐτοῦ ⟨τοῦ⟩ μεγαλοπρεποῦς δαπάναι μεγάλαι καὶ πρέπουσαι τῷ μεγαλοπρεπεῖ καὶ τῷ ἔργῳ, οὗ ἕνεκα δαπανῶνται, μεγάλῳ καὶ αὐτῷ ὄντι. καὶ οὕτως ἔσονται αἱ δαπάναι μὲν τῷ ἔργῳ πρέπουσαι, τὸ δὲ ἔργον ταῖς δαπάναις προσῆκον. εἰ δὲ δεῖ τὸ ἕτερον ὑπερβάλλειν, τὸ ἔργον· τοῦτο γὰρ μᾶλλον προσήκει τῷ μεγαλοπρεπεῖ. ταῦτα δὲ ὁ μεγαλοπρεπὴς δαπανήσει. πρῶτον μὲν τοῦ καλοῦ ἕνεκα (ὅπερ κοινότερόν ἐστι πᾶσι τοῖς σπουδαίοις), ἔπειτα ἡδέως καὶ προετικῶς, μηδὲν ἀκριβολογούμενος· ἡ γὰρ ἀκριβολογία μικροπρεπές. ὁ δὲ μεγαλοπρεπὴς περὶ μὲν τοῦ ἔργου σκέψεται, ὅπως ἄριστον γένοιτο καὶ πρεπωδέστατον. καὶ τούτου χάριν ὁ πλεῖστος λόγος αὐτῷ, περὶ δὲ τῆς δαπάνης, ὅση προσήκει τῷ ἔργῳ, καὶ περὶ τοῦ μηδὲν πλέον ἀναλωθῆναι. ἀλλὰ γενέσθαι δι' ὅσων μάλιστα ἐνδέχεται ἐλαχίστων, οὐ τοσοῦτον ποιεῖται λόγον· μικροπρεπὲς γὰρ τὸ τοιοῦτον. ἀνάγκη δέ, καθὼς εἴρηται, τὸν μεγαλοπρεπῆ καὶ ἐλευθέριον εἶναι, εἰ καὶ ὁ ἐλευθέριος οὐκ ἔστι μεγαλοπρεπής· | ⟨δαπανᾷ γὰρ ὁ μεγαλοπρεπὴς⟩ 124

7 οὐ γὰρ h: γὰρ B 13 Homer. Od. ρ 420 πολλάκις B ἀλήτῃ B ut Arist. codd. Ha Kb 21 λέγωμεν h 25 γνωρίζεται B: ὁρίζεται h 26 ἐν ἀρχῇ] p. 26 τοῦ h: om. B 31 κοινότερόν B: κοινόν h, fortasse recte 39 δαπανᾷ γὰρ ὁ μεγαλοπρεπής h: om. B

ἃ δεῖ καὶ ὡς δεῖ καὶ ὅτε δεῖ· τοῦτο δέ ἐστιν ὁ ἐλευθέριος· μεγάλα δὲ καὶ μεγάλων ἕνεκα, ὅπερ ἐστὶν ἴδιον τοῦ μεγαλοπρεποῦς. πολλάκις γὰρ καὶ διὰ τῆς αὐτῆς δαπάνης ὁ μεγαλοπρεπὴς οὐ τὸ αὐτὸ ἔργον ποιεῖ τῷ ἐλευθερίῳ ἀλλὰ μεγαλοπρεπέστερον, οἷον, φέρε εἰπεῖν, θεραπεῦσαι τὸ θεῖον δεῆσαν, ὁ μὲν ἐλευθέριος χρυσοῦν τι σκεῦος ποιήσει καὶ λίθους τιμίους ἐγκολλήσει τῷ σκεύει, ὁ δὲ μεγαλοπρεπὴς ναὸν μέγαν καὶ καλὸν οἰκοδομήσει ἢ ἀνδριάντας ἀναστήσει ἢ γεφύρας οἰκοδομήσει ἢ ἄλλο τι μέγα καὶ θαυμαστὸν διὰ τῆς ἴσης δαπάνης ἐργάσεται· καὶ τὸ μὲν τοῦ μεγαλοπρεποῦς ἔργον κυρίως ἔργον ἔσται, τὸ δὲ τοῦ ἐλευθερίου κτῆμα μᾶλλον ἢ ἔργον. οὐ γὰρ ἡ αὐτὴ ἀρετὴ κτήματος καὶ ἔργου, ἀλλὰ κτήματος μὲν τὸ πλείστου ἄξιον εἶναι καὶ τιμιώτατον, οἷος ὁ χρυσὸς καὶ οἱ τίμιοι λίθοι, ἔργου δὲ ἀρετὴ τὸ μέγα εἶναι καὶ καλὸν καὶ θαυμαστόν, ὃ τῷ μεγαλοπρεπεῖ μάλιστα προσήκει· ἔστι γὰρ ἔργου ἀρετὴ μεγαλοπρέπεια ἐν μεγέθει. ἔργα δὲ μεγαλοπρεπῆ καὶ τίμια, οἷον τὰ περὶ τὸ θεῖον ἀναθήματα, κατασκευαὶ θυσιῶν καὶ ναῶν, φιλοτιμίαι πρὸς τὸ κοινόν, χορηγίαι ἢ τριηραρχίαι, ἢ καὶ τὸ ἑστιᾶν τὴν πόλιν δεῆσαν· οὐ μόνον δὲ τὰ ἔργα δεῖ εἶναι μεγαλοπρεπῆ καὶ τὰς δαπάνας προσηκούσας καὶ μεγαλοπρεπεῖς ἀλλὰ καὶ τῷ ποιοῦντι πρεπούσας μάλιστα μὲν διὰ τὴν οὐσίαν· πένης γὰρ οὐκ ἂν εἴη μεγαλοπρεπής· εἰ δ' ἐπιχειροίη μεγάλοις ἔργοις, ἠλίθιος ἔσται παρὰ τὴν ἀξίαν καὶ τὸ δέον ἐπιχειρῶν. ἔπειτα πρέπειν δοκεῖ καὶ τοῖς πολλάκις τοιαῦτα πεποιηκόσιν ἢ ὧν οἱ πρόγονοι μεγαλοπρεπεῖς ἦσαν. τῶν δὲ ἔργων τὰ πλείω μὲν εἰς τὸ κοινὸν καὶ εἰς τὸ θεῖον· ταῦτα γὰρ 125 μεγαλοπρεπῆ· τινὰ δὲ καὶ ἴδια, ὅσα εἰσάπαξ γίνονται, οἷον γάμοι καὶ οἰκίαι καὶ ἄλλο τοιοῦτον. τῷ γὰρ μεγαλοπρεπεῖ μάλιστα προσήκει τὸ δαπανᾶν εἰς τὸ κοινὸν ἢ εἰς τὸ θεῖον, ἐλάχιστα δὲ εἰς ἑαυτόν. ἔσται δὲ μεγαλοπρεπὲς ἔργον καὶ τὸ πολυχρόνιον· τὰ γὰρ τοιαῦτα ἔργα θαυμαστά εἰσι καὶ καλά. δεῖ δὲ καὶ ἐν τοῖς ἔργοις καὶ ἕτερον τρόπον τὸ πρέπον ζητεῖν καὶ σκοπεῖν τίνα ἔργα τίσιν ἁρμόζει· οὐ γὰρ τὰ αὐτὰ πρέπει τῷ θείῳ καὶ τῷ κοινῷ· οὐδὲ ταὐτὰ προσήκει ἱερῷ καὶ τάφῳ· ὥστε εἶναι τὰ ἔργα τοῦ μεγαλοπρεποῦς μεγάλα καὶ θαυμαστά, πρὸς τὰ ὁμογενῆ συγκρινόμενα· τάφων μὲν οἰκοδομήματα πρὸς τάφους, ναῶν δὲ πρὸς ναοὺς καὶ γεφύρας πρὸς γεφύρας, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. ὁ γὰρ μεγαλοπρεπὴς οὐ μόνον σκοπεῖ τὸ μέγεθος, ὃ προσήκει τῷ γένει τοῦ ἔργου· οὐ γὰρ ταὐτὸν μέγα εἶναι ἁπλῶς διὰ τὴν δαπάνην καὶ μέγα εἶναι πρὸς τὰ ὁμογενῆ συγκρινόμενον, ἀλλὰ διαφέρει· καὶ γὰρ ἡ σφαῖρα καὶ ἡ λήκυθος ἡ καλλίστη μικρὰ μέν εἰσι διὰ τὴν δαπάνην· εἰσὶ δὲ μεγαλοπρεπῆ δῶρα τῶν παίδων, καί εἰσι μεγάλα πρὸς τὰ παιδικὰ συγκρινόμενα δῶρα· ἐπεὶ τοίνυν διαφέρει τὸ ἐν τῷ γένει μέγεθος τοῦ ἐν ταῖς δαπάναις, ἀνάγκη σκοπεῖν ἀμφότερα τὸν μεγαλοπρεπῆ καὶ ποιεῖν μεγαλοπρεπῶς κατὰ τὴν προσήκουσαν ἑκάστῳ γένει μεγαλοπρέπειαν. οὕτω γὰρ γενόμενον τὸ ἔργον μέγα ἔσται καὶ θαυμαστὸν καὶ καλὸν καὶ οὐδὲ εὐχερῶς ὑπὸ ὁμογενοῦς ὑπερβληθήσεται. τοιοῦτος μὲν οὖν ὁ μεγαλοπρεπής. ὁ δὲ ὑπερβάλλων καὶ βά- 126

38 τῷ om. h

ναυσος παρὰ τὸ δέον ἀναλίσκει καὶ ὥσπερ οὐ δεῖ καὶ ἐφ᾽ οἷς οὐ δεῖ· καὶ διὰ τοῦτο ὑπερβάλλειν λέγεται τὸν μεγαλοπρεπῆ. καὶ γὰρ φαύλων ἕνεκα ἔργων, ὧν ἡ δαπάνη πάνυ μετρία, πολλὰ δαπανᾷ καὶ μεγάλα, καὶ μεγαλοπρεπὴς βούλεται δοκεῖν. παρὰ τὸ εἰκὸς καὶ τὸ προσῆκον τῇ μεγαλοπρεπείᾳ. οἷον ἐρανιστὰς ἑστιᾷ πολυτελέστατα, ὥσπερ εἰ γάμους ἐποίει· καὶ τοῖς κωμῳδοῖς χορηγῶν παριοῦσι καὶ χρήματα φιλοτίμως ἀναλίσκων ἐν αὐτοῖς ὥσπερ εἰς κοινὸν ὄφελος· ἢ ἐν ταῖς κωμῳδίαις ἀντὶ κωδίων. ἃ παραπετάσματα ἦν ἐπὶ τῆς σκηνῆς. πορφυρίδας ἔχει. καθάπερ οἱ Μεγαρεῖς. καὶ ταῦτα ποιεῖ οὐ τοῦ καλοῦ ἕνεκα ἀλλ᾽ ἵνα μόνον ἐπιδείξηται τὸν πλοῦτον. οἴεται γὰρ ἀπὸ τούτου θαυμαστός τις εἶναι δόξαι· καὶ ἐν οἷς μὲν πολλῆς χρεία δαπάνης, ὀλίγα ἀναλίσκει. ἐν οἷς δὲ ὀλίγης, πολλά. τοιοῦτος μὲν οὖν ὁ ὑπερβάλλων τὸν μεγαλοπρεπῆ, ὃς καὶ βάναυσος καλεῖται. ὁ δὲ ἐλλείπων, ὃς καὶ μικροπρεπὴς καλεῖται, περὶ πάντα ἐλλειπής ἐστιν. ἀναλίσκων γὰρ οὐδὲ τοῦ καλοῦ ἕνεκα, ἔπειτα σκοπεῖ. πῶς ἂν ὅσον ἐνδέχεται τὰ ἐλάχιστα ἀναλῶσαι· καὶ πολλάκις τὰ πλείω τῆς δαπάνης ἀναλώσας, καὶ πρὸς τὴν τελείωσιν ἤδη βλέποντος τοῦ ἔργου, ὑπ᾽ ἀκριβολογίας ἀτέλεστον ἀφίησι διὰ μικρὰν δαπάνην. καὶ πάντα δέ, ὅσα ποιεῖ, ἀεὶ μέλλων καὶ σκοπῶν ποιεῖ. καὶ οἰόμενος καὶ πλείω τοῦ δέοντος ἀναλίσκειν. καὶ ὀδυρόμενος ὅτι πολλὰ ἀνάλωσεν. αὗται μὲν οὖν αἱ ἕξεις, ἥ τε μικροπρέπεια καὶ βαναυσία, κακίαι εἰσίν. ὀνείδη δὲ οὐκ ἐπιφέρουσι· διότι οὔτε βλαβεραί εἰσι τῶν πέλας, οὔτε λίαν αἰσχραὶ καὶ ἀσχήμονες.

Περὶ μεγαλοψυχίας. κεφ. δ΄. 127

Λέγομεν δὲ ἤδη καὶ περὶ μεγαλοψυχίας. ἔστι τοίνυν ἡ μεγαλοψυχία περὶ μεγάλα, ὡς καὶ τὸ ὄνομα δίδωσιν εἰκάζειν. περὶ ποῖα δὲ μεγάλα, σκοπῶμεν. φανερὸν δὲ ὅτι ταὐτόν ἐστι τὸ περὶ μεγαλοψυχίας καὶ τὸ περὶ μεγαλοψύχου σκοπεῖν· οὐδὲν γὰρ διαφέρει τὴν ἕξιν εἰδέναι ἢ τὸν ἔχοντα τὴν ἕξιν. ἔστι τοίνυν μεγαλόψυχος περὶ μεγάλα· μεγάλα δὲ τὰ αὐτῷ προσήκοντα, ὅταν μεγάλων ἄξιος ὢν καὶ αὐτὸς κρίνῃ ἑαυτὸν μεγάλων ἄξιον εἶναι. ὁ γὰρ μικρῶν ἄξιος ὢν καὶ μικρῶν ἑαυτὸν ἀξιῶν οὐ λέγεται μεγαλόψυχος ἀλλὰ σώφρων· ἡ γὰρ μεγαλοψυχία ἐν μεγέθει ἐστί. τοιοῦτον γὰρ λόγον ἔχει πρὸς τὸν σώφρονα ὁ μεγαλόψυχος, οἷον ὁ καλὸς πρὸς τὸν ἀστεῖον· ὁ μὲν γὰρ καλὸς μετὰ μεγέθους ἔχει τὸ κάλλος. ὁ δὲ ἀστεῖος μετὰ σμικρότητος, ὃς καὶ σύμμετρος καλεῖται, καλὸς δὲ οὐδαμῶς· ὁ μὲν οὖν μεγαλόψυχος τοιοῦτος. τῶν δὲ παρ᾽ ἑκάτερα ὁ μὲν ὑπερβάλλων χαῦνος· χαῦνος γάρ ἐστιν ὁ μεγάλων ἑαυτὸν ἀξιῶν οὐκ ἄξιος ὤν· ὁ δὲ ἄξιος μὲν ὢν πολλῶν, πλειόνων δὲ ἀξιῶν ἑαυτόν, οὐ πάντῃ χαῦνος. ἐλλείπων δὲ ὁ μικρόψυχος· ἔστι γὰρ μικρόψυχος ὁ πολλῶν μὲν ἄξιος ἐλαττόνων δὲ κρίνων ἑαυτὸν ⟨ἄξιον, ἢ ὁ ὀλίγων ἄξιος, ἔτι δὲ ἐλαττόνων ἀξιῶν ἑαυτόν⟩.

3 πάνυ om. h 8 ἔχει B: ἔχειν h: ἔχων Mullach 14 οὐδὲ B: οὐδὲν h 23 λέγωμεν h 25 τὸ prius B: τῷ h 27 μεγάλα B: μεγάλων h 28 κρίνῃ Mullach: κρίνει Bh 38 ἄξιον — ἑαυτόν h: om. B

τούτων δὲ μᾶλλόν ἐστι μικρόψυχος ὁ πολλῶν ἄξιος ὤν, εἶτα τῆς οἰκείας ἀξίας μὴ ἐπαισθανόμενος· ποταπὸς γὰρ ἂν ἦν, εἰ ὀλίγων καὶ μετρίων ἄξιος ἦν; εἰσὶ μὲν οὖν οἱ παρ' ἑκάτερα ὁ μὲν ὑπερβάλλων ὁ δὲ ἐλλείπων. 128 ὁ δὲ μεγαλόψυχος, καθόσον μὲν περὶ μεγάλα ἐστίν, ἄκρος δοκεῖ, καθόσον δὲ ἐπὶ τοῦ δέοντος ἕστηκεν ἀεὶ καὶ οὔτε ὑπὲρ τὸ δέον ζητεῖ οὔτε παρὰ τὸ δέον, διὰ τοῦτο μέσος ἐστίν.

Περὶ μεγαλοψυχίας καὶ περὶ τίνα ὁ μεγαλόψυχος καὶ τίνα ἴδιά ἐστιν αὐτοῦ. κεφ. ε'.

Ἐπεὶ δὲ περὶ τὰ ἔξω ἀγαθὰ ὁ μεγαλόψυχός ἐστιν, ὧν παρὰ τῶν 15 ἄλλων ἀξιοῦται κατὰ τὸ προσῆκον αὐτῷ, εἴη ἂν πάντως ἢ περὶ χρήματα ἢ περὶ ἡδονὴν ἢ περὶ τιμήν· ἐπεὶ δὲ περὶ τὰ μέγιστα τῶν ἐν ἀνθρώποις ἀγαθῶν ἐστιν (ἔστι γὰρ μεγαλόψυχος ὁ τῶν μεγίστων ἑαυτὸν ἀξιῶν ἄξιος ὤν), εἴη ἂν περὶ τὴν τιμήν, ἥτις δοκεῖ μέγιστον εἶναι τῶν ἀνθρωπίνων καὶ τῶν ἔξωθεν ἀγαθῶν· καὶ διὰ τοῦτο τῷ θείῳ ταύτην μάλιστα ἀπονέμομεν. ὥστε περὶ τιμὰς καὶ ἀτιμίας ὁ μεγαλόψυχός ἐστιν, ὡς δεῖ· καὶ χωρὶς δὲ τούτων ἀπὸ τῆς ἐπαγωγῆς φανερόν ἐστι. ὁρῶμεν γὰρ πάντας τοὺς μεγαλοψύχους τιμῆς μάλιστα ἐφιεμένους τῆς ἀξίας ἑαυτῶν· ὁ δὲ μικρόψυχος 20 ἐλλείπει καὶ πρὸς ἑαυτόν (ἐλάττω γὰρ τῆς ἀξίας φρονεῖ τῆς ἑαυτοῦ)· ἐλλείπει καὶ πρὸς τὸ τοῦ μεγαλοψύχου ἀξίωμα. ὁ δὲ χαῦνος πρὸς ἑαυτὸν μὲν ὑπερβάλλει (μείζω γὰρ φρονεῖ τῆς ἀξίας τῆς ἑαυτοῦ), τὸν δὲ μεγαλόψυχον οὐχ ὑπερβάλλει τῷ φρονήματι. ὁ γὰρ μεγαλόψυχος τῶν μεγίστων ἑαυτὸν ἀξιοῖ, τῶν μεγίστων ἄξιος ὤν· ὥστε ἀνάγκη τὸν μεγαλόψυχον ἄριστον εἶναι καὶ σφόδρα ἀγαθὸν τοὺς τρόπους, 129 καὶ ἀνδρεῖον καὶ δίκαιον καὶ τὴν ἄλλην ἀρετὴν ἄκρον. ὁ γὰρ μικρὰ ἡγούμενος πάντα καὶ οὐδαμῶς ἄξια ἑαυτοῦ καὶ οὐ ψευδόμενος, ἀλλὰ ἀληθεύων ἐν τῇ τοιαύτῃ ψήφῳ, τίνος ἕνεκα αἰσχρόν τι ποιήσει καὶ ἄτιμον; ἢ πῶς δυνατόν; ἐναντίον γάρ ἐστι τῷ λόγῳ τοῦ μεγαλοψύχου τὸ τοιοῦτον. πῶς γὰρ ἂν εἴη τιμῆς ἄξιος ὁ φαῦλος; εἰ δὲ τιμῆς ἑαυτὸν ἀξιοῖ φαῦλος ὢν καὶ τοῖς αἰσχροῖς ἁλισκόμενος, γελοῖος ἂν δόξειεν εἶναι· ἡ γὰρ τιμὴ τῆς ἀρετῆς ἐστιν ἆθλον καὶ τοῖς ἀγαθοῖς ἀπονέμεται μόνοις δικαίως. ὥστε 10 ὁ μεγαλόψυχος πάσας συλλαβὼν ἔχει τὰς ἀρετὰς καὶ ἔστιν ἡ μεγαλοψυχία οἷον κόσμος τις τῶν ἀρετῶν. καὶ οὐ γίνεται μὲν ἄνευ ἐκείνων, μείζους δὲ καὶ καλλίους αὐτὰς ποιεῖ· κρίνει γὰρ αὐτὰς ἀξίας εἶναι ὧν εἰσιν ἄξιαι. διὰ τοῦτο σφόδρα χαλεπὸν μεγαλόψυχόν τινα γενέσθαι· οὐ γὰρ δυνατὸν μεγαλόψυχον εἶναι ἄνευ πασῶν τῶν ἀρετῶν· τὸ δὲ πάσας κτήσασθαι καὶ ταύτας εἰς ἄκρον σφόδρα χαλεπόν. ἔστι μὲν οὖν ὁ μεγαλόψυχος περὶ τιμὰς καὶ ἀτιμίας, καθὼς εἴρηται. καὶ ἐπὶ μὲν ταῖς μεγάλαις καὶ ὑπὸ μεγάλων ἥδεται, ὡς τῶν οἰκείων τυγχάνων καὶ ὧν ἄξιος ἢ καὶ ἐλαττόνων τῆς ἀξίας· τῆς γὰρ τελείας ἀρετῆς οὐκ ἂν ποτε γένοιτο παρὰ τῶν 20 ἀνθρώπων ἀξία τιμή. οὐ μὴν ἀλλ' εἰ καὶ ἥδεται, διὰ τοῦτο ἥδεται.

19 ἐλλείπει insiticium videtur 24 γὰρ B: δὲ b

ὅτι τὴν δυνατὴν προσάγουσιν αὐτῷ τιμὴν καὶ ἧς οὐκ ἔχουσι μείζω. τῆς
δὲ παρὰ τῶν τυχόντων τιμῆς καθάπαξ ὀλιγωρήσει· καὶ μάλιστα ὅταν ἐπὶ
μικροῖς αὐτὸν τιμῶσιν. οἷον. εἴ τις ἐτίμα τὸν Ἀχιλλέα ὅτι καλῶς ᾔδει
καθαρίζειν· ὁμοίως δὲ καὶ περὶ τὰς ἀτιμίας κατὰ τὸ προσῆκον αὐτῷ. ἔστι
τοίνυν ὁ μεγαλό|ψυχος μάλιστα μὲν περὶ τιμὰς καὶ ἀτιμίας, καθὼς εἴ- 130
ρηται, ἔστι δὲ ἑπομένως καὶ περὶ πλοῦτον καὶ δυναστείαν καὶ πᾶσαν
εὐτυχίαν καὶ ἀτυχίαν· καὶ περὶ ταύτας γὰρ μετρίως ἕξει καὶ ὡς προσ-
ῆκε· καὶ οὐδὲν αἰσχρὸν πείσεται πρὸς τὴν ἐν τούτοις μεταβολήν· καὶ οὔτε
εὐτυχῶν περιχαρὴς ἔσται οὔτε ἀτυχῶν περίλυπος· οὐ γὰρ μέγιστον ἡγή-
σεται τὴν τιμὴν καὶ οὕτω περὶ αὐτὴν ἕξει ὡς μέγιστον ὄν. οὕτω δὲ ἔχων
περὶ τὴν τιμὴν πολλῷ μᾶλλον περὶ τὸν πλοῦτον ὀλιγώρως ἕξει καὶ τὰς
δυναστείας· αἱρετώτερον γὰρ ἡ τιμὴ δυναστείας καὶ πλούτου· διὰ γὰρ ⟨τὴν⟩ 10
τιμὴν ἀγαπητά εἰσιν ὁ πλοῦτος καὶ ἡ δυναστεία· καὶ γὰρ οἱ ἔχοντες αὐτὰ
τιμᾶσθαι δι' αὐτῶν βούλονται. ὁ δὲ τὴν τιμὴν μικρὸν ἡγούμενος
πολλῷ μᾶλλον τὰ ἄλλα. διὰ τοῦτο καὶ οἱ μεγαλόψυχοι ὑπερόπται δοκοῦσιν
εἶναι, ὅτι οὐδὲν τῶν ἀνθρωπίνων σφόδρα τιμῶσιν. ἐπεὶ δὲ καὶ τὰ εὐτυχή-
ματα τιμῆς ἄξια δοκοῦσιν εἶναι, καὶ ταῦτα συντελοῖεν ἂν πρὸς τὴν μεγα-
λοψυχίαν. τὸ γὰρ ὑπερέχον ἐν ἀγαθοῖς ἐντιμότερον· ὑπερέχει δὲ ἐν ἀγα-
θοῖς ὁ εὐτυχής· διὸ καὶ τὰ τοιαῦτα τὴν μεγαλοψυχίαν συνίστησιν. ὁ γὰρ
εὐτυχὴς ἄξιον ἑαυτὸν μεγάλης τιμῆς ἡγεῖται διὰ τὴν ἀγαθὴν τύχην· τι- 20
μᾶται γὰρ παρ' ἐνίων· κατ' ἀλήθειαν δὲ μόνος ὁ ἀγαθὸς τοὺς τρόπους
ἄξιός ἐστι τιμῆς. ᾧ δὲ ἄμφω πρόσεστι καὶ ἡ ἀρετὴ καὶ τὰ ἔξωθεν ἀγαθά,
μᾶλλον ἀξιοῦται τιμῆς τοῦ τὴν ἀρετὴν μόνον ἔχοντος· ὃς δὲ μόνον
εὐτυχής ἐστι καὶ τοῖς ἔξωθεν ἀγαθοῖς εὐθηνεῖ, πρὸς δὲ ⟨τὴν⟩ ἀρετὴν οὐ-
δὲν κοινὸν ἔχει. ὁ τοιοῦτος οὔτε δικαίως τιμᾶται οὔτε αὐτὸς δικαίως ἑαυ-
τὸν μεγάλης ἀξιοῖ [τῆς] τιμῆς οὔτε κατὰ τὸν ὀρθὸν | λόγον μεγαλόψυχος 131
λέγεται. ἄνευ γὰρ ἀρετῆς τελείας ἀδύνατόν τινα μεγαλόψυχον εἶναι. κα-
θὼς εἴρηται. διὰ τοῦτο οἱ ἐν εὐτυχίᾳ ὄντες ὡς ἐπὶ τὸ πλεῖστον ὑπερό-
πται καὶ ὑβρισταὶ γίνονται· χωρὶς γὰρ ἀρετῆς οὐ ῥᾴδιον φέρειν τὰ εὐτυχή-
ματα ἐμμελῶς καὶ μετρίως. οὐ δυνάμενοι δὲ φέρειν τὴν εὐτυχίαν καλῶς,
οἴονται μὲν τῶν ἄλλων ὑπερέχειν, καὶ πάντων καταφρονοῦσιν· αὐτοὶ δὲ
ἀσυλλογίστως πάντα ποιοῦσιν. ὡς ἔτυχε. βούλονται γὰρ μιμεῖσθαι τὸν με-
γαλόψυχον, καίτοι παντελῶς ἀνόμοιοι ὄντες· ὁ γὰρ μεγαλόψυχος καταφρονεῖ 10
μέν. ἀλλὰ δικαίως (τὰ ἀληθῆ γὰρ περὶ ἑαυτοῦ οἴεται). καὶ μεγάλοις μὲν
ἐπιχειρεῖ καὶ μεγάλων κινδύνων κατατολμᾷ, ἀλλὰ τοῦ ἀγαθοῦ ἕνεκα καὶ
πρὸς μεγάλα τινὰ ἀφορῶν· οἱ δὲ τὰ ἔξω μόνον ἀγαθοὶ τὴν μὲν ἀρετὴν
οὐ τιμῶσιν οὔτε βούλονται κατορθοῦν, τῶν δὲ ἄλλων καταφρονοῦσι καὶ
τὰς ἄλλας [δὲ] πράξεις αὐτῶν βούλονται ἀφομοιοῦν πρὸς τὰς τοῦ μεγαλο-
ψύχου πράξεις, ὅση δύναμις· οὐκ ἀφομοιοῦσι δέ, διὰ τὸ μὴ ἔχειν τὴν
ἀρετήν. ἔστι δὲ ὁ μεγαλόψυχος οὐ πυκνοκίνδυνος μέν· (οὐ γὰρ συνεχῶς 20

3 αὐτὸν h: αὐτοὺς B 12 τὴν h: om. B 24 τὴν h: om. B 26 τῆς τιμῆς B: τιμῆς h 38 τὰς ἄλλας δὲ B: τὰς ἄλλας h 40 πυκνοκίνδυνος Bh, ut Arist. codd. H[a]L[b]M[b]O[b]: μικροκίνδυνος Arist. vulg.

εἰς κινδύνους ἑαυτὸν ἐμβάλλει διὰ τὸ μὴ τιμᾶν τὰ τυχόντα καὶ μικρῶν τινων καὶ ὀλίγων προκινδυνεύειν). μεγαλοκίνδυνος δέ· ὅταν γὰρ μεγάλων τινῶν ἀγαθῶν προκινδυνεύῃ, οὐδὲ τῆς οἰκείας φείδεται ζωῆς. καὶ εὐεργετῶν μὲν χαίρει, εὐεργετούμενος δὲ αἰσχύνεται. τὸ μὲν γὰρ εὐεργετεῖν ὑπερέχοντος, τὸ δὲ εὐεργετεῖσθαι ὑπερεχομένου· ὁ δὲ μεγάλα περὶ ἑαυτοῦ φρονῶν ἄχθεται τῇ ἐλάττονι μοίρᾳ. εἰ δὲ εὐεργετηθεὶς ἀντευεργετεῖν ἐθελήσει, πλείονα δίδωσιν, ἵνα ὀφειλέτην ἑαυτῷ ποιήσῃ τὸν ὑπάρ- 132 ξαντα τῆς εὐεργεσίας. δοκεῖ δὲ ὁ μεγαλόψυχος τῶν μὲν εὖ παρ' αὐτοῦ παθόντων ἐθέλειν ἀεὶ μεμνῆσθαι, παρ' ὧν δὲ αὐτὸς εὖ πέπονθεν ἐπιλελῆσθαι· οὐκ ἀγνωμοσύνῃ τινί (πῶς γάρ, ὃς μείζω δίδωσιν ἢ λαμβάνει;), ἀλλ' ὅτι οἰκειότερον αὐτῷ καὶ μᾶλλον προσῆκον τὸ εὖ ποιεῖν ἢ τὸ εὖ πάσχειν· καὶ διὰ τοῦτο τὸ μὲν εὐεργετεῖν, ὅτι ἄριστον καὶ τοιῷδε πρέπον λόγου καὶ μνήμης ἀξιοῦται, τὸ δὲ εὖ πάσχειν οὐδαμῶς· βούλεται γὰρ ἀεὶ ὑπερέχειν. καὶ ἄλλου δὲ διηγουμένου τὸ μὲν ἡδέως ἀκούει, τὸ δὲ ἀηδῶς· διὰ τοῦτο καὶ ἡ Θέτις παρ' Ὁμήρῳ οὐ λέγει τὰς εὐεργεσίας τῷ Διὶ οὐδὲ μέμνηται πρὸς αὐτὸν ὧν εὖ ἐποίησεν αὐτόν, ἀλλ' ὧν εὖ πέπονθε παρ' αὐτοῦ· ὁμοίως δὲ καὶ οἱ Λάκωνες βουλόμενοι χαρίζεσθαι τοῖς Ἀθηναίοις τὰς εἰς αὐτοὺς τῶν Ἀθηναίων εὐεργεσίας εἰς μέσον ἄγουσι. καὶ τοῦτο δὲ ἴδιον μεγαλοψύχου, τὸ μηδενὸς δεῖσθαι ἢ μόλις, αὐτὸν δὲ τοῖς ἄλλοις ἃ βούλονται ὑπηρετεῖν πρόθυμον εἶναι. καὶ πρὸς μὲν τοὺς ἐν ἀξιώματι μέγαν εἶναι, διὰ τὸ μηδὲν ἡγεῖσθαι σεμνὸν τῶν τοιούτων ἀγαθῶν, ἐξ ὧν ἀξιοῦσιν οἱ ἐν ἐξουσίαις φοβεροί τινες εἶναι· πρὸς δὲ τοὺς μέσους μέτριον διὰ τὸ σωφρονεστέρους καὶ ἐπιεικεστέρους τοὺς τοιούτους εἶναι. ἄλλως τε τὸ μὲν τῶν ἐν ἀξιώματι ὑπερέχειν καὶ ἐργῶδές ἐστι καὶ σεμνόν, καὶ διὰ τοῦτο τῷ μεγαλοψύχῳ προσήκει· τὸ δὲ τῶν μέσων, καὶ ῥᾴδιον καὶ οὐδὲν μέγα· καὶ ἐν ἐκείνοις μὲν σεμνύνεσθαι οὐκ ἀγεννές, ἐν δὲ τοῖς ταπεινοῖς φορτικόν· ὥσπερ εἴ τις ἐπεδείκνυτο τὴν τοῦ σώματος ῥώμην ἐν τοῖς ἀσθενέσι καὶ ὑπὸ νόσου ἢ γήρως διεφθαρμέ- 133 νοις. ἔτι δὲ ὁ μεγαλόψυχος οὐδὲ περιελεύσεται ζητῶν οὗ τιμηθήσεται (μικρὸν γὰρ καὶ τοῦτο). οὐδὲ ἐθελήσει ποτὲ παραγενέσθαι ὅπου πρωτεύουσιν ἄλλοι, ἵνα μὴ τύχῃ τῶν δευτερείων, τῶν πρωτείων ἄξιος ὤν. ἔστι δὲ οὐδὲ ἕτοιμος εἰς τὰς πράξεις, ἀλλὰ ἀργός τις καὶ μελλητής. ζητεῖ γὰρ ἀεὶ πράττειν μεγάλα καὶ μεγάλων ἕνεκα καὶ ὅθεν μεγάλη γίνεται τιμή· ταῦτα δὲ σπανίως συμπίπτει· καὶ διὰ τοῦτο ὀλίγα μὲν πράττει, μεγάλα δὲ καὶ ὀνομαστά. οὓς δὲ ἢ φίλους ἡγεῖται ἢ ἐχθρούς, φανερῶς καὶ μισεῖ καὶ φιλεῖ· γινώσκει γὰρ ἀσφαλῶς, ὅτι κατὰ τὸ δέον ἀμφότερα ποιεῖ, καὶ οὐ δέδοικε τὴν παρὰ τῶν πολλῶν ἀδοξίαν· μᾶλλον γὰρ φροντίζει τῆς ἀληθείας καὶ τοῦ δέοντος ἢ τῆς δόξης. καὶ διὰ τοῦτο φανερόμισός ἐστι καὶ φανερόφιλος· καὶ πάντα δέ, ἃ λέγει καὶ πράττει, φανερῶς καὶ λέγει καὶ πράττει, διὰ τὸ καταφρονεῖν ὡς εἴρηται τῆς παρὰ τῶν πολλῶν δόξης. διὰ τοῦτο καὶ παρρησιαστικός ἐστι καὶ ἀεὶ ἀληθεύει, εἰ μή που εἰρωνεύοιτο

1 ἐμβάλλει B: ἐκβάλλει h 7 ἐθελήσει h: ἐθελήσοι B 15 Hom. Il. A 503 24 τε μὲν τῶν B: τῶν μὲν τῶν h

πρὸς τοὺς πολλοὺς καὶ τὰ μικρὰ λέγοι περὶ ἑαυτοῦ διὰ τὸ μὴ βούλεσθαι
παρὰ φαύλων ἀνθρώπων τιμᾶσθαι. συζῇ δὲ καὶ συνδιάγει οὐ τῷ τυχόντι
ἀλλὰ τῷ φίλῳ· τὸ γὰρ τῷ μὴ φίλῳ συνεῖναι καὶ τραπέζης καὶ στέγης 20
κοινωνεῖν οὐ μεγαλόψυχον ἀλλὰ δουλικὸν καὶ κολακικὸν καὶ ταπεινόν· τα-
πεινοὶ γὰρ οἱ κόλακες καὶ τὸ ἀνάπαλιν οἱ ταπεινοὶ πάντες κόλακές εἰσιν.
ἔτι δὲ οὐδὲ θαυμαστικός τις ὁ μεγαλόψυχός ἐστι, τὰ τυχόντα ὑπερθαυ-
μάζων· οὐδὲν γὰρ αὐτὸς νομίζει μέγα. ἀλλ' οὐδὲ μνησίκακος· μικρὰν γὰρ
καὶ τὴν παρὰ τῶν ἐχθρῶν βλάβην ἡγεῖται, καὶ μηδὲν αὐτῷ δυναμένην
λυμήνασθαι διὰ τὸ μέγεθος τῆς ἀρετῆς, ἄλ|λως τε καὶ τὸ ἀπομνημονεύειν 134
καὶ τῶν παρεληλυθότων ποιεῖσθαι λόγον, καὶ ταῦτα καὶ κακῶν, μικροψύχου
τινός ἐστι· τὸ δὲ παρορᾶν μεγαλοψύχου. ὃς γὰρ ὧν εὖ πέπονθεν οὐδαμῶς
ἀξιοῖ μεμνῆσθαι, ὡς ἐν τοῖς ἀνωτέρω λέλεκται, διὰ τὸ μὴ μέγα εἶναι καὶ
ἄξιον αὐτοῦ τὸ εὖ πάσχειν, πολλῷ μᾶλλον ὧν κακῶς πέπονθε παρά τινων
οὐ μνησθήσεται. ἔτι δὲ οὐδὲ πράξεις τινὰς ἢ ἄλλων ἀνθρώπων ἀνέχεται
καταλέγειν ἢ ἑαυτοῦ· οὔτε γὰρ τῶν ἐπαίνων αὐτῷ μέλει τῶν ἑαυτοῦ οὔτε
τῶν ἄλλων. οὐδὲ πάλιν σπουδὴν ἔχει, ἵνα οἱ ἄλλοι ψέγωνται. οὐ τοίνυν 10
οὔτε ἐπαινετικός ἐστιν οὔτε κακολόγος· οὐδὲ τοὺς ἐχθροὺς διασύρει, εἰ μή
που παρόντας· τὸ γὰρ ἀπόντας λοιδορεῖσθαι οὐ μεγαλοψύχου. περὶ δὲ
ἀναγκαίων ἢ μικρῶν οὐ σφόδρα ἱκετεύει ἢ ὀλοφύρεται, ἐάν τινος δεηθῇ·
ὁ γὰρ μηδὲν μέγα ἡγούμενος, μηδὲ σπουδάζων περὶ οὐδὲν τῶν ἀνθρω-
πίνων, πῶς δύναται οὕτως ἀγεννῶς ἔχειν; ἀεὶ δὲ τὸ καλὸν τοῦ κέρδους
προτιμῶν βελτίω νομίζει τὰ καλὰ καὶ ἄκαρπα τῶν καρπίμων καὶ ὠφελί-
μων, ἂν μὴ καλὰ ὦσιν. ὁμοίως ἐπί τε κτημάτων καὶ δένδρων καὶ οἰκε-
τῶν· οὐ γὰρ χρηματιστὰς ἀλλὰ τοὺς καλοὺς καὶ ἀγαθοὺς κτήσεται τῶν 20
οἰκετῶν. καὶ κίνησις δὲ τοῦ μεγαλοψύχου βραδεῖα δοκεῖ εἶναι καὶ ἡ φωνὴ
βαρεῖα καὶ λέξις στάσιμος· οὐ γὰρ δυνατὸν σπεύδειν τὸν περὶ ὀλίγων φρον-
τίζοντα (ὀλίγα γὰρ αὐτῷ ἃ θαυμάζουσιν οἱ πολλοί), οὐδὲ σύντονον εἶναι
τὸν οὐδὲν μέγα οἰόμενον· σπεύδουσι γὰρ καὶ ὀξυφωνοῦσιν οἱ περί τι σφό-
δρα ἐπτοημένοι καὶ πολλὴν αὐτοῦ ποιούμενοι φροντίδα. ὁ μὲν οὖν μεγα-
λόψυχος τοιοῦτος. | ὁ δὲ ἐλλείπων μικρόψυχος, ὁ δὲ ὑπερβάλλων 135
χαῦνος· οὐκ εἰσὶ δὲ οὐδὲ οὗτοι κακοί· οὐ γὰρ κακοποιοί εἰσιν ἀλλὰ
μόνον ἡμαρτημένοι, καθόσον τοῦ δέοντος ἐκπίπτουσι καὶ τοῦ μέσου. ὁ
μὲν γὰρ μικρόψυχος ἄξιος ὢν ἀγαθῶν, ἀγνοεῖ ἑαυτὸν καὶ ἀποστερεῖ
ἑαυτὸν ὧν ἐστιν ἄξιος. καὶ τοῦτο τὸ μέρος κακός ἐστιν ἑαυτῷ, μὴ εὖ
ποιῶν ἑαυτὸν διὰ τὸ ἀγνοεῖν τὰ αὑτῷ προσήκοντα· εἰ γὰρ ᾔδει, ὠρέγετο
ἄν, ἀγαθῶν ὄντων· ὁ τοιοῦτος δὲ ἠλίθιος μὲν οὐκ ἂν λέγοιτο ἀλλὰ μᾶλλον 10
νωθρός. οὐ μόνον δὲ τοῦτο τὸ μέρος ὁ μικρόψυχος ἑαυτὸν βλάπτει ἀλλὰ
καὶ ἕτερον τρόπον· καὶ γὰρ διὰ τὸ ἀγνοεῖν ἑαυτὸν καὶ χείρων γίνεται τοὺς
τρόπους· τῶν γὰρ ἀγαθῶν καὶ γενναίων πράξεων καὶ τῶν καλῶν ἐπιτηδευ-
μάτων ἀφίσταται, ὡς ἀνάξιος ὢν αὐτῶν· ὁμοίως δὲ καὶ τῶν ἐκτὸς
ἀγαθῶν ἀπέχεται, νομίζων ὑπὲρ τὴν ἀξίαν αὐτοῦ ταῦτα εἶναι. ὁ δὲ
χαῦνος καὶ ἠλίθιος καὶ ἑαυτὸν ἀγνοῶν τοῖς ὑπὲρ τὴν ἀξίαν ἐπιχειρεῖ.

4 καὶ ταπεινόν om. b

ἀρετῇ μὲν οὐκ ἔχων κοσμεῖσθαι. κοσμούμενος δὲ ἐσθῆτι καὶ σχήματι καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις· καὶ σεμνός τις εἶναι διὰ τούτων νομίζων, εὐτυχής τις ἐθέλει δοκεῖν· καὶ πειρᾶται φανερὰ ποιεῖν ἀεὶ τὰ εὐτυχήματα ἑαυτοῦ καὶ περὶ αὐτῶν ἀεὶ λέγει, ὡς διὰ τούτων τιμηθησόμενος. ἀμφοτέρων δὲ ἀντικειμένων τῇ μεγαλοψυχίᾳ, τῆς τε μικροψυχίας καὶ τῆς χαυνότητος, ἡ μικροψυχία μᾶλλον ἀντίκειται, ὅτι μᾶλλον γίνεται, καὶ χεῖρόν ἐστι κακόν· τοῦ γὰρ ἔχοντος τὸ ἦθος χεῖρον ποιεῖ καὶ τὴν | ἀρετὴν ἐλαττοῖ, καθὼς εἴρηται· ἡ δὲ χαυνότης φαῦλον μέν ἐστι δι' ἑαυτήν, τὸν δὲ ἔχοντα οὐ ποιεῖ κατὰ τὰ ἄλλα φαυλότερον· οὐδὲν γὰρ ἀγαθόν, ὧν ἔχει, ὁ χαῦνος ἀπόλλυσι διὰ τὴν χαυνότητα, ἀλλὰ μᾶλλον ἐνίοτε διὰ τοῦτο καὶ καλοῖς καὶ ἀγαθοῖς ἔργοις ἐπιχειρεῖ, ἄξιον ἑαυτὸν ἡγούμενος τῶν τοιούτων. ἔτι δὲ ἡ μὲν χαυνότης οὐκ ἀεὶ αὔξει· ἀπὸ γὰρ τῆς πείρας ὁ χαῦνος ἐπιγνώμων ἑαυτοῦ γίνεται· ἣν γὰρ ζητεῖ τιμὴν οὐ λαμβάνων ὡς ἐπὶ τὸ πλεῖστον, ἀναγκάζεται σωφρονεῖν. καὶ διὰ τοῦτο ἡ χαυνότης εὐαπάλλακτόν ἐστι, καὶ οὐ δύναται παραμένειν· ἡ δὲ μικροψυχία ἀεὶ προχωρεῖ. τοῦ γὰρ ἤθους, ὥσπερ εἴρηται, χεῖρον διατεθέντος, καὶ τὸ φρόνημα ἐλαττοῦται· τοῦ φρονήματος δὲ ἐλαττωθέντος, καὶ ὁ τρόπος γίνεται χείρων καὶ τὸ φρόνημα διὰ τοῦτον· καὶ οὕτως ἡ μικροψυχία ἀεὶ προχωρεῖ. καὶ ἀπὸ τῆς πείρας δὲ ὁ μικρόψυχος οὐ γίνεται βελτίων· οἷς γὰρ ἔργοις ἐπιχειρεῖ, ῥᾳδίως ταῦτα περαίνων (μικρὰ γὰρ καὶ τῆς δυνάμεως ἐλάττω) τὴν ἰδίαν ἀρετὴν ὥσπερ ἀγνοεῖ. καὶ τιμὴν δὲ ζητῶν ἐλάττω τῆς ἀξίας οὐδένα λυπεῖ, καὶ διὰ τοῦτο οὐδὲ ἐξελεγχόμενος θεραπεύεται, καθάπερ ὁ χαῦνος. διὰ ταῦτα τοίνυν ἡ μικροψυχία χεῖρόν ἐστι κακὸν τῆς χαυνότητος καὶ δυσαπαλλακτότερον· ὅθεν μᾶλλον ἀντίκειται τῇ μεγαλοψυχίᾳ.

Περὶ τῆς ἐν φιλοτιμίᾳ μεσότητος. κεφ. ϛ'.

Ἡ μὲν οὖν μεγαλοψυχία περὶ τιμὴν μεγάλην ἐστί, καθὼς εἴρηται. ἔστι δὲ καὶ ἄλλη τις ἀρετὴ περὶ τὴν τιμήν, ἥτις λόγον ἔχει πρὸς τὴν μεγαλοψυχίαν, ὃν ἡ ἐλευθεριότης πρὸς τὴν μεγαλοπρέπειαν· ὡς 137 γὰρ ἡ μεγαλοπρέπεια διαφέρει τῆς ἐλευθεριότητος τῷ μεγάλῳ, περὶ τὰ χρήματα καὶ αὐτῆς οὔσης, οὕτως ἡ μεγαλοψυχία τῆς τοιαύτης ἀρετῆς διαφέρει, τῷ περὶ μεγάλας εἶναι τιμάς, αὐτῆς περὶ τὰς μικρὰς οὔσης. ὥσπερ γὰρ ἐν λήψει καὶ δόσει χρημάτων μεσότης ἐστὶ καὶ ὑπερβολὴ καὶ ἔλλειψις, οὕτω καὶ ἐν τῇ ὀρέξει τῆς τιμῆς ἔνι λαβεῖν μεσότητα καὶ ὑπερβολὴν καὶ ἔλλειψιν. ἔστι γὰρ δυνατὸν ἐφίεσθαι τιμῆς πλέον ἢ δεῖ καὶ ἔλαττον τοῦ δέοντος καὶ πάλιν κατὰ τὸ δέον καὶ ὡς ὁ ὀρθὸς ἀπαιτεῖ λόγος· ψέγομεν γὰρ καὶ ἐπαινοῦμεν πολλοὺς ἐπὶ τιμῆς ὀρέξει. ὅθεν δῆλον, ὅτι οἱ μὲν ὡς δεῖ ταύτης ἐφίενται, οἱ δὲ οὐχ ὡς δεῖ· τούτων δὲ οἱ μὲν ὑπερβαίνουσι τὸ δέον, οἱ δὲ ἐλλείπουσι. καὶ γὰρ ψέγομεν τὸν φιλότιμον ὡς πλέον ἢ δεῖ τιμῆς ἐφιέμενον· ψέγομεν δὲ καὶ τὸν ἀφιλότιμον ὡς μηδὲ ἐπὶ τοῖς καλοῖς ἐθέλοντα τιμᾶσθαι. ἐνίοτε δὲ καὶ τὸν φιλότιμον ἐπαινοῦμεν ὡς αν-

36 ἐπὶ τιμῆς B: ἐπὶ τῆς τ. h: ἐπὶ τῇ τῆς τ. Mullach

δρώδη καὶ φιλόκαλον. τὸν δὲ ἀφιλότιμον ὡς μέτριον καὶ σώφρονα, ὡς καὶ ἐν τοῖς πρώτοις εἴπομεν· γίνεται γὰρ τοῦτο διὰ τὸ ἐοικέναι τὰ ἄκρα τῇ μεσότητι καὶ διὰ τὸ τὴν μεσότητα ἀνώνυμον εἶναι καὶ διὰ τοῦτο ὀνομάζεσθαι ἀπὸ τῶν ἄκρων. καὶ οὐδὲν κωλύει τὴν μεσότητα φιλοτιμίαν ὀνομάζεσθαι ἢ ἀφιλοτιμίαν. ὁ γὰρ φιλότιμος καὶ ὁ φιλοχρήματος πολλαχῶς δύναται λέγεσθαι, ἐπεὶ καὶ τὸ φιλεῖν κατὰ πολλοὺς τρόπους δύναται εἶναι· ἔστι γὰρ καὶ ὑπὲρ τὸ δέον φιλεῖν τι καὶ παρὰ τὸ δέον καὶ ὡς δεῖ· ὥστε καὶ τὸ ὄνομα οὕτως ἂν ἔχοι, καὶ λέγοιτο ἂν φιλοτοιοῦτος εἰκότως καὶ ὁ ὡς δεῖ | καὶ ὁ μὴ ὡς δεῖ φιλῶν· ὥστε ὅταν τινὰ 138
φιλότιμον ὀνομάζοντες ἐπαινῶμεν, νομίζομεν ὑπερβάλλειν μὲν ἐν τῇ τῆς τιμῆς ὀρέξει, ἀλλ' οὐ τὸ δέον ἀλλὰ τοὺς πολλούς· ὅταν δὲ ψέγωμεν τὸν φιλότιμον, τὸν ὑπερβάλλοντα τὸ δέον φιλότιμον ὀνομάζομεν. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ἀφιλοτίμου ἔχει. ἔστι τοίνυν μεσότης ἐν τῇ τῆς μετρίας τιμῆς ὀρέξει, εἰ καὶ ἀνώνυμός ἐστιν· ἐν οἷς γάρ ἐστιν ὑπερβολὴ καὶ ἔλλειψις, ἀνάγκη καὶ τὸ μέσον εἶναι· ὥστε ἐπεὶ ὀρέγονται τιμῆς καὶ πλέον τοῦ δέοντος καὶ ἔλαττον, ἀνάγκη καὶ τὴν μέσην ὄρεξιν εἶναι τὴν κατὰ τὸ δέον γινομένην, ἥτις ἐπαινεῖται. καὶ ἔστιν ἀρετὴ ἀνώνυμος· φαίνεται δὲ πρὸς μὲν τὴν φιλοτιμίαν τὴν ἀκρότητα συγκρινομένη ἀφιλοτιμία, πρὸς δὲ τὴν ἀφιλοτιμίαν φιλοτιμία· πρὸς ἀμφοτέρας δὲ τὴν φιλοτιμίαν καὶ τὴν ἀφιλοτιμίαν συγκρινομένη ἀμφότερα δοκεῖ, καθόσον ἀμφοτέρων μετέχει· ὅπερ καὶ ἐπὶ τῶν ἄλλων ἀρετῶν γίνεται. ἀεὶ γὰρ ἡ μεσότης τῶν ἄκρων μετέχουσα τοῖς ὀνόμασιν αὐτῶν ὀνομάζεται· καθόσον γὰρ φεύγει τὸ ἕτερον, πρὸς τὸ ἕτερον ἀποκλίνειν δοκεῖ· ἐπὶ ταύτης δὲ μᾶλλον, διότι ἀνώνυμός ἐστι. διὰ τοῦτο δὲ οὐδὲ ἀντικεῖσθαι δοκοῦσι τὰ ἄκρα μέσῳ τινί, ἀλλὰ μᾶλλον ἀλλήλοις· ἡ γὰρ ἀφιλοτιμία τῇ φιλοτιμίᾳ φαίνεται ἀντικεῖσθαι.

Περὶ πραότητος. κεφ. ζ'.

Ἡ δὲ πραότης περὶ τὰς ὀργάς ἐστι μεσότης, ἧς ἡ μὲν ὑπερβάλλουσα ἕξις ὀργιλότης καλεῖται ἡ δὲ ἐλλείπουσα ἀνώνυμος. τὸ μὲν οὖν πάθος, περὶ ὃ ἡ πραότης, | ὀργή ἐστι· τὰ δὲ κινοῦντα τὴν ὀργὴν πολλὰ καὶ 139
διαφέροντα. ὁ μὲν οὖν ὡς δεῖ καὶ ὅτε δεῖ καὶ ἐφ' οἷς δεῖ ὀργιζόμενος ἐπαινεῖται· ὃς δὴ ὁ πρᾷός ἐστι. δοκεῖ γὰρ πρᾷος εἶναι ὁ ἀτάραχος καὶ μὴ ἀγόμενος ὑπὸ τοῦ πάθους ἀλλ' αὐτὸς ἄγων τὸ πάθος, καθὼς ὁ ὀρθὸς προστάττει λόγος· δοκεῖ δὲ μᾶλλον πρὸς τὴν ἔλλειψιν ἀποκλίνειν, καθόσον οὐ τιμωρητικός ἐστιν ἀλλὰ μᾶλλον συγγνωμονικός. ἡ δὲ ἔλλειψις κακίζεται, εἴτε ἀοργησία καλεῖται εἴτε ὁτιδήποτε· τὸ γὰρ ἐν οἷς δέον μὴ ὀργίζεσθαι καὶ περιορᾶν προπηλακιζόμενον καὶ ἑαυτὸν καὶ τοὺς οἰκείους ἠλίθιον καὶ ἀνδραποδῶδες. ἡ δὲ ὑπερβολὴ κατὰ πάντα μὲν γίνεται· καὶ γὰρ ὅτε παρὰ τὸ δέον καὶ τοῦ τόπου καὶ τοῦ χρόνου καὶ τοῦ πράγματος καὶ τοῦ προσώπου καὶ τῶν ἄλλων περιστάσεων ὀργίζεταί τις, ὑπερ-

5 ἔχοι B: ἔχειν h 11 ψέγωμεν B: ψέγομεν h 22 γὰρ B: καὶ h

βάλλει. ⟨οὐ μὴν ἀεὶ ὁ ὑπερβάλλων καὶ πάντῃ ὑπερβάλλει⟩· σχεδὸν δὲ καὶ ἀδύνατον τοῦτο· τὸ γὰρ κακόν, εἰ κατὰ μηδένα τρόπον ἀγαθὸν εἴη, οὐ δύναται συστῆναι ἀλλὰ καὶ ἑαυτὸ ἀπόλλυσι· κἂν ὁλόκληρον ᾖ, ἀφόρητον γίνεται. οἱ μὲν οὖν ὀργίλοι ταχέως μὲν ὀργίζονται καὶ οἷς οὐ δεῖ, παύονται δὲ ταχέως· ὃ καὶ βέλτιστον ἔχουσι· τοῦτο δὲ πάσχουσιν, ὅτι οὐ κατέχουσι τὴν ὀργὴν οὐδὲ κρύπτουσιν ἀλλὰ ἐξάγονται καὶ ἀμύνονται εὐθὺς δι' ὧν ἔξεστιν· ἀμυνάμενοι δὲ ταχέως διὰ τὴν ὀξύτητα παύονται εὐθὺς τῆς ὀργῆς. καθ' ὑπερβολὴν δέ εἰσιν ὀξεῖς οἱ ἀκρόχολοι καὶ πρὸς πᾶν ὀργίλοι καὶ ἐπὶ παντί· ὅθεν καὶ τὸ ὄνομα ἔχουσιν ἀπὸ τοῦ ἄκρου παρηγμένον. οἱ δὲ πικροὶ καὶ δυσδιάλυτοι καὶ πολὺν χρόνον ὀργίζονται· οὐ γὰρ εὐθὺς φανεροῦσι τὸν θυμὸν ἀλλὰ κατέ- 140 χοντες κρύπτουσι· παύονται δὲ τοῦ θυμοῦ, ἐπειδὰν ἀνταποδώσωσι κακὰ τοῖς λελυπηκόσιν. ἡ γὰρ τιμωρία ἡδονὴν αὐτοῖς ἐμποιεῖ καὶ διὰ τοῦτο τῆς λύπης ἀφίστησι· τούτου δὲ μὴ γινομένου τὸ βάρος ἔχουσι καὶ περιφέρουσι τὴν ὀργήν. διὰ γὰρ τὸ μὴ φανεροῦν τὴν ὀργὴν οὐδὲ παραμυθίας παρὰ τῶν ἀνθρώπων τυγχάνουσιν οὐδὲ παρακαλεῖ τις αὐτούς· ὅθεν καὶ κατέχουσιν αὐτήν, μέχρις ἂν αὐτὴ ὑφ' ἑαυτῆς διαλυθῇ καὶ πεφθῇ· τοῦτο δὲ διὰ χρόνου γίνεται. οἱ τοιοῦτοι δὲ καὶ ἑαυτοῖς εἰσιν ὀχληροὶ καὶ τοῖς μάλιστα φίλοις. οὗτοι δὴ καὶ χαλεποὶ καλοῦνται, οἵτινες χαλεπαίνουσιν ἐφ' οἷς οὐ δεῖ καὶ ὅτε μὴ δεῖ καὶ ὅσον οὐ δεῖ καὶ πλεῖστον ὀργίζονται χρόνον καὶ οὐ διαλλάττονται, εἰ μὴ ἀντιλυπήσουσι τοὺς λελυπηκότας. οὗτοι δὲ καὶ συνοικῆσαι χαλεποὶ καὶ βαρεῖς τοῖς ὁμοδιαίτοις. ἡ μὲν οὖν μεσότης ἡ πραότης ἐστίν, ὑπερβολὴ δὲ ἡ ὀργιλότης, ἔλλειψις δὲ ἀναισθησία τις ἂν καλοῖτο καὶ ἠλιθιότης ἢ ἀοργησία. ἀμφοτέρων δὲ ἀντικειμένων τῇ μεσότητι μᾶλλον ἀντίκειται ἡ ὀργιλότης ἢ ἡ ἀοργησία· χεῖρον γὰρ κακόν ἐστιν ἡ ὀργιλότης τῆς ἀοργησίας, ὅτι μᾶλλον γίνεται· ἐλάχιστοι γὰρ οἱ ἀόργητοι· καὶ ὅτι συνοικῆσαι ὁ μὲν ἀόργητος ἡδύς, ὁ δὲ ὀργίλος χαλεπός. καὶ διὰ τοῦτο χεῖρον τὸ κακόν· τὸ γὰρ ἥμερον τῶν ἀνθρώπων καὶ φιλάλληλον ἀναιρεῖ. ὅτι μὲν οὖν ἡ μεσότης ἐστὶ τὸ ἀγαθὸν καὶ ἡ ἀρετή, αἱ δὲ παρ' ἑκάτερα ὑπερβολαὶ καὶ ἐλλείψεις κακά, δῆλον· καὶ εἴρηται ὅτι τὸ ὡς δεῖ ὀργισθῆναι καὶ ἐφ' οἷς δεῖ καὶ ὅτε, τοῦτό ἐστιν ἡ μεσότης. μέχρι δὲ τίνος ὀργιζόμενοι καὶ ἐπὶ τίσι τὰ δέοντα ποιήσομεν καὶ τίς ὁ δέων τῆς ὀργῆς καιρὸς | καὶ ὁ τόπος καὶ τὸ πρόσωπον καὶ τὰ 141 τοιαῦτα, οὐ δυνατόν ἐστι διορίσασθαι· τὰ γὰρ κατὰ μέρος καὶ τὰ καθ' ἕκαστα ἀόριστα, καθὼς καὶ περὶ τὰς ἀρχὰς εἴρηται· καὶ ἄλλοτε ἄλλα εἰσὶ τὰ προσήκοντα καὶ οὐδὲν τούτων ἐπὶ τοῦ αὐτοῦ ἕστηκε. τοῦτο δὲ μόνον δυνατὸν εἰπεῖν, ὅτι ἡ μὲν μέση ἕξις ἐπαινετή, αἱ δὲ ὑπερβολαὶ καὶ ἐλλείψεις ἐπὶ παντὸς πάθους κακίζονται· καὶ αἱ μὲν μικρὸν ἀφιστάμεναι τοῦ μέσου οὐ πάνυ γίνονται φανεραὶ καὶ διὰ τοῦτο οὐδὲ πάνυ ψέγονται, αἱ δὲ πλεῖστα καὶ πλεῖστα δοκοῦσι καὶ σφόδρα κακίζονται· ὅθεν δῆλον, ὅτι τῆς μέσης ἕξεως ἀνθεκτέον.

1 οὐ μὴν—ὑπερβάλλει h: om. B   17 ὑφ' h: ἐφ' B   27 ὁ μὲν h: μὲν ὁ B   29 om. h   ἐστὶ B: τις h   30 αἱ B: τὰ h   32 ἡ B: καὶ h   35 εἴρηται] p. 4.1

Περὶ φιλίας καὶ τῶν παρ' ἑκάτερα κακιῶν δυσκολίας καὶ κολακείας. κεφ. η'.

Αἱ μὲν οὖν περὶ τὴν ὀργὴν ἕξεις εἴρηνται. εἰσὶ δὲ καὶ ἄλλαι ἕξεις
ἐν ταῖς τῶν ἀνθρώπων κοινωνίαις ταῖς πρὸς ἀλλήλους, αἵτινες ἐν λόγοις
καὶ ἐν πράγμασι γίνονται· περὶ ταύτας τοίνυν τὰς κοινωνίας δυνατὸν ἐπαι-
νεῖσθαί τινα καὶ ψέγεσθαι. ἐπεὶ δὲ ἡ μὲν μεσότης ἐπαινετόν, ψεκτὸν δὲ
αἱ ὑπερβολαὶ καὶ ἐλλείψεις, φανερὸν ὅτι ἐν ταῖς κοινωνίαις ταύταις ὑπερ- 20
βολὴ καὶ ἔλλειψίς ἐστι καὶ μεσότης· οἱ μὲν γὰρ ἄλυποι παντάπασι βού-
λονται εἶναι τοῖς ἐντυγχάνουσι καὶ πάντα ἐπαινοῦσι καὶ πᾶσιν ἀρέσκεσθαι
βούλονται δοκεῖν καὶ οὐδενὶ περὶ οὐδενὸς ἀντιλέγουσιν· οἱ δὲ ἐκ διαμέ-
τρου τούτοις ἔχουσι καὶ πάντας λυποῦσι καὶ πάντα ψέγουσι καὶ οὐδὲν αὐ-
τοῖς τῶν γινομένων ἀρέσκει καὶ πᾶσι περὶ παντὸς ἀντιλέγουσιν. οὗτοι δὴ
ἄμφω κακίζονται. ἐπαινεῖται δὲ ὁ κατὰ τὸ δέον | ταῦτα ποιῶν καὶ ἃ 142
μὲν δεῖ ψέγων, ἃ δὲ δεῖ ἐπαινῶν, καὶ ἀρεσκόμενος οἷς ἀρέσκεσθαι δεῖ.
καλεῖται τοίνυν ὁ μὲν πάντα ἐπαινῶν ἄρεσκός τις καὶ κόλαξ, ὁ δὲ πᾶσιν
ἐπιτιμῶν δύσκολος, ὁ δὲ τὸ γινόμενον σῴζων περὶ ἄμφω φίλος ἂν καλοῖτο·
ἔοικε γὰρ τὸ κατ' αὐτὸν φιλίᾳ· ὄνομα γὰρ ἴδιον τῆς τοιαύτης μεσότητος
οὐκ ἔστιν ἀλλὰ ἀπὸ τοῦ ὁμοίου καλεῖται. ἡ γὰρ τοιαύτη ἕξις τὸ στέρ-
γειν προσλαβοῦσα φιλία ἐστί· διαφέρει γὰρ τῆς φιλίας, ὅτι ἄνευ τῆς στορ-
γῆς γίνεται. οὐ γὰρ διὰ τὸ στέργειν ἢ ἐχθαίρειν ἀποδέχεται τὰ λεγόμενα 10
καὶ πραττόμενα ἢ ψέγει, ἀλλ' ἁπλῶς τοῦ ἀγαθοῦ ἕνεκα καὶ ὅτι τοιαύτην
ἔλαβεν ἕξιν· ὁμοίως γὰρ διάκειται πρός τε τοὺς γνωρίμους καὶ τοὺς ἀγνῶ-
τας καὶ πρὸς τοὺς συνήθεις καὶ ἀσυνήθεις κατὰ ταύτην τὴν ἕξιν. ἐπαινεῖ
γὰρ ἀεὶ καὶ ψέγει ἃ δεῖ καὶ ὅσον δεῖ, πλὴν οὐχ ὁμοίως παντάπασιν· ἐν
οἷς γὰρ δεῖ λυπεῖν οὐχ ὁμοίως λυπήσει τοὺς γνωρίμους καὶ τοὺς ἀγνῶτας
καὶ τοὺς συνήθεις καὶ ἀσυνήθεις· ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἡδονῆς· οὐ γὰρ
τὰ αὐτὰ ἁρμόζει. καὶ διὰ τοῦτο πρὸς τὸ ἀγαθὸν ἀποβλέπων ἀεὶ καὶ τὸ
συμφέρον ὁ σπουδαῖος καὶ λύπην ποιήσει καὶ ἡδονὴν τοῖς ἐντυγχάνουσιν. 20
ἔστι γὰρ ἡ τοιαύτη ἕξις περὶ ἡδονὰς καὶ λύπας τὰς ἐν ταῖς ὁμιλίαις
γινομένας. καὶ ὅσαι μὲν ἡδοναὶ οὐ πρὸς τὸ ἀγαθὸν ἀποβλέπουσι, ταύ-
ταις οὐ συνησθήσεται τοῖς ἐντυγχάνουσιν ἀλλὰ μᾶλλον ἡδομένοις δυσχε-
ρανεῖ· καὶ προαιρήσεται λυπηρὸς ὀφθῆναι μᾶλλον ἢ ἡδύς, τοῦ ἀγαθοῦ
ἕνεκα, μάλιστα ἂν ἡ ἡδονὴ αἰσχύνην φέρῃ καὶ βλάβην τῷ ποιοῦντι με-
γάλην· τότε γὰρ αἱρήσεται μᾶλλον | λυπῆσαι καὶ αἰσχῦναι μικρόν, καὶ 143
τῆς μείζονος ἀπαλλάξαι λύπης καὶ αἰσχύνης ἢ μικρὸν εὐφράναντα διὰ τοῦ
συνησθῆναι τῇ μείζονι λύπῃ περιβαλεῖν. οὐχ ὁμοίως δὲ ὁμιλήσει τοῖς
ἐν ἀξιώμασι καὶ τοῖς τυχοῦσιν, ἀλλ' ἑκάστῳ ἀποδώσει τὸ πρέπον.
καὶ κατὰ τὰς ἄλλας δὲ διαφορὰς τῶν ἐντυγχανόντων καὶ αὐτὸς διαφέρουσαν
τὴν ὁμιλίαν ποιήσεται καὶ ἐπαινέσει ὡς δεῖ ἕκαστον καὶ ἐπιτιμήσει ὁμοίως
ἐφ' οἷς δεῖ καὶ ὅτε δεῖ· τὸ μὲν συνηδύνειν μάλιστα ζητῶν καὶ τοῦτο καὶ 10

29 ἡ om. h 37 ἐν h: ἐξ B

καθ' ἑαυτὸ αἱρούμενος. τὸ δὲ λυπεῖν ἐλάχιστα καὶ μετρίως καὶ οὐ δι' ἑαυτό ἀλλὰ τοῦ συμφέροντος ἕνεκα. καὶ γὰρ ὅτε λυπεῖ ἕνεκά τινος μεγάλης ἡδονῆς, μετρίως λυπεῖ, τὸ φορτικὸν ἀεὶ εὐλαβούμενος. ὁ μὲν ⟨οὖν⟩ περὶ τὰς ἐν ταῖς ὁμιλίαις ἡδονὰς καὶ λύπας μέσος τοιοῦτος· οὐκ ὠνόμασται δὲ ἰδίῳ ὀνόματι ἀλλὰ φίλος καλεῖται διὰ τὴν πρὸς τὴν φιλίαν ὁμοιότητα, καθὼς εἴρηται. τῶν δὲ παρ' ἑκάτερα ὁ μὲν ὑπερβάλλων, εἰ μὲν οὐδενὸς ἕνεκα πάντα ἐπαινῶν καὶ πᾶσιν ἀρεσκόμενος τὸ ἡδὺς εἶναι μόνον ζητεῖ ἄρεσκος καλεῖται, εἰ δὲ ὅπως ὠφέλειά τις αὐτῷ γένηται εἰς χρήματα ἢ ὅσα διὰ χρημάτων, κόλαξ. ὁ δὲ ἐλλείπων δύσκολος καὶ δύσερις, ὃς πᾶσι δυσχεραίνει καὶ πᾶσιν ἐπιτιμᾷ. ὅτι δὲ καὶ ἐνταῦθα ἡ μεσότης ὃν εἴρηται τρόπον ἀνώνυμός ἐστιν, οὐ δοκεῖ μέσῳ τινὶ ἀντικεῖσθαι τὰ ἄκρα ἀλλὰ ἀλλήλοις.

Περὶ ἀληθείας καὶ τῶν παρ' ἑκάτερα κακιῶν. κεφ. θ'. 144

Περὶ ταύτας δὲ τὰς πρὸς ἀνθρώπους ὁμιλίας καὶ ἕτεραι γίνονται ἕξεις. ἡ γὰρ πρὸς ἀλλήλους τῶν ἀνθρώπων ὁμιλία διπλῆ ἐστιν· ἢ γὰρ περὶ τῶν λόγων ἢ τῶν ἔργων τοῦ συντυγχάνοντος γίνεται ἢ ἑκάστου περὶ τῶν ἑαυτοῦ. καὶ περὶ μὲν τὴν πρώτην αἱ εἰρημέναι γίνονται ἕξεις. περὶ δὲ τὴν δευτέραν ἄλλαι. ἢ γὰρ ψεύδεταί τις περὶ ἑαυτοῦ λέγων καὶ τῶν ἰδίων ἔργων ἢ ἀληθεύει· καὶ εἰ ψεύδεται, ἢ ἐλάττω λέγει τῶν ὄντων ἢ μείζω· εἰ μὲν οὖν ἀληθεύει καὶ οὔτε μείζω λέγει τῶν ὄντων οὔτε ἐλάττω, ἡ τοιαύτη ἕξις ἀλήθεια καλεῖται καὶ ὁ ἔχων ἀληθευτικός. εἰρωνεία δὲ καὶ ἀλαζονεία καὶ τῶν ἄλλων τῶν τοιούτων ἕκαστα ἐπιτηδεύονται μὲν παρ' ἐνίων καὶ τινὸς ἕνεκα, οἷον δόξης ἢ πλούτου ἢ ἄλλου τινὸς τῶν τοιούτων· εὑρίσκονται δὲ παρά τισι καὶ οὐδενὸς ἕνεκα. καί τινες ἐλάττω περὶ ἑαυτῶν λέγουσιν ὧν εἰσιν ἄξιοι καὶ αὖθις ἕτεροι μείζω, οὐχ ὅτι βούλονται οὕτω δοκεῖν ἀλλ' ὅτι ἑαυτοὺς ἀγνοοῦσι· τοῦτο δὲ ἐλάχιστα συμβαίνει. ὡς γὰρ ἐπὶ τὸ πολύ, ἐάν τις οὐδενὸς ἕνεκα λέγῃ ἢ πράττῃ, οἷός ἐστι, τοιαῦτα καὶ λέγει καὶ πράττει καὶ οὕτω ζῇ. ἐπεὶ τοίνυν τὸ μὲν ψεῦδος ψεκτόν ἐστι καθ' ἑαυτό, ἡ δὲ ἀλήθεια ἐπαινετόν, διὰ τοῦτο μεσότης μὲν κἀνταῦθα τὸ ἐπαινετόν, ἡ ἀλήθεια· ὑπερβολὴ δὲ καὶ ἔλλειψις τὰ ψεκτά, τὰ ψεύδη δηλονότι, ὧν ἡ μὲν ἀλαζονεία ὑπερβάλλει, ἡ δὲ εἰρωνεία ἐλλείπει. ἐροῦμεν δὲ περὶ ἑκατέρου ἀκριβέστερον· πρότερον δὲ περὶ τοῦ μέσου ἐροῦμεν. ἔστι τοίνυν ἀληθευτικὸς οὐχ ὁ ἀληθεύων ἐν ταῖς συμ|φωνίαις καὶ ἄλλοις τοιούτοις 145, ὅσα εἰς δικαιοσύνην ἢ ἀδικίαν συντείνει (τοῦτο γὰρ ἄλλης ἐστὶν ἀρετῆς), ἀλλ' ὅστις ἄνευ ἀνάγκης ἢ νομίμου ἢ δικαίου ἢ ἄλλου τινὸς πολιτικοῦ ⟨ἀγαθοῦ⟩ καὶ ἐν λόγῳ καὶ ἐν βίῳ ἀληθεύει, διὰ μόνον τὸ ἔχειν ἕξιν τῆς τοιαύτης ἀρετῆς καὶ τοῦ ἀγαθοῦ ἕνεκα· καὶ τοιαῦτα περὶ ἑαυτοῦ λέγει καὶ τοιοῦτος τοῖς ἄλλοις ἐθέλει δοκεῖν οἷος κατὰ ἀλήθειάν ἐστιν. οὗτος δὲ καὶ ἐπιεικὴς ἂν εἴη. ὁ γὰρ φιλαλήθης καὶ ἐν οἷς οὐκ ἔστιν ἀνάγκη

2 καὶ γὰρ καὶ ὅτε h   3 οὖν h: om. B   36 ἀγαθοῦ h: om. B   39 οἱ γὰρ φιλαλήθεις h

πολλῷ μᾶλλον ἐν οἷς ἀληθεύειν ἀνάγκη διὰ τὸ πολιτικὸν ἀγαθόν· ὃς γὰρ εὐλαβεῖται τὸ ψεῦδος καθ' ἑαυτό, διότι κακόν, ὅταν καὶ αἰσχρὸν τὸ αὐτὸ γένηται, καὶ οὐ μόνον ᾖ κακόν, ἀλλὰ καὶ τοῖς ἄλλοις δοκῇ τοιοῦτον, πῶς οὐ φεύξεται πάσῃ δυνάμει; ὁ μὲν οὖν ἀληθευτικὸς τοιοῦτος, καὶ ἔστιν ἐπαινετός, τὸ κακὸν καὶ αἰσχρὸν εὐλαβούμενος· ὃς εἰ δεήσει παρεκκλῖναι τοῦ μέσου, πρὸς τὴν ἔλλειψιν, οὐ πρὸς τὴν ὑπερβολὴν νεύσει· τοῦτο γὰρ ἐμμελέστερον δοκεῖ θατέρου διὰ τὸ τὰς ὑπερβολὰς ἐπαχθεῖς εἶναι. ὁ δὲ ἀλαζὼν ὁ μείζω τῶν ὑπαρχόντων προσποιούμενος καὶ λόγοις καὶ ἔργοις. οὗτος δή, εἰ μὲν οὐδενὸς ἕνεκα προσποιεῖται, φαῦλος μὲν ἔοικεν εἶναι· οὐ γὰρ ἂν ἔχαιρε τῷ ψεύδει· μάταιος δὲ φαίνεται μᾶλλον ἢ κακός· εἰ δὲ τινὸς ἕνεκα προσποιεῖται, εἰ μὲν δόξης ἢ τιμῆς, οὐ λίαν ψεκτὸς ὁ ἀλαζών· ὁ δὲ ἕνεκα ἀργυρίου ἢ ὅσα εἰς ἀργύριον ἔρχεται, ἀσχημονέστερος. οὐ γάρ ἐστιν ἐν τῇ δυνάμει τοῦ ἀλαζόνος ἡ ἀλαζονεία· εἰ γὰρ οὕτως εἶχεν, οὐκ ἂν ἦν ψεκτόν· οὐ γὰρ ἂν ἦν τῶν ἑκουσίων καὶ ἐφ' ἡμῖν, ἀλλ' ἐν τῇ προαιρέσει ἐστί. καὶ διὰ τοῦτο καὶ αἰσχρόν ἐστι καὶ ψέγεται· ἕξις γάρ τίς ἐστιν ἡ ἀλαζονεία· | καὶ κατά τινα ἕξιν ὁ ἀλαζὼν γίνεται, ὥσπερ 146 καὶ ὁ ψεύστης, ὃς οὐ δόξης ἕνεκα ἢ χρημάτων προσποιεῖται, ἀλλ' αὐτοῦ τοῦ ψεύδους ἕνεκα μόνον. οἱ μὲν οὖν δόξης ἕνεκα ἀλαζονευόμενοι τοιαῦτα προσποιοῦνται, ὅθεν ἔπαινος ἀκολουθεῖ ἢ εὐδαιμονισμός, οἱ δὲ κέρδους ἕνεκα ἀλαζονευόμενοι ἐκεῖνα προσποιοῦνται ὅσα τοὺς πέλας ὠφελοῦσιν, οἷον ἰατρικὴν ἢ μαντείαν. προσποιοῦνται γὰρ ἰατροί τινες εἶναι ἢ μάντεις σοφοί, ἵνα δόξαντες ὠφέλιμοι εἶναι τοῖς κεχρημένοις παρακερδαίνωσι τὰ ἐκείνων. τοιοῦτος μὲν οὖν ὁ ἀλαζών. εἴρων δέ ἐστιν ὁ τὰ ἐλάττω τῶν ὄντων προσποιούμενος. οὗτος δὴ χαριέστερος τοῦ ἀλαζόνος δοκεῖ· οὐ γὰρ κέρδους ἕνεκα προσποιεῖται ἀλλὰ φεύγων τὸ ὀγκηρὸν καὶ τὸ μέγας εἶναι δοκεῖν. ὃς μὲν οὖν εἰρωνευόμενος τὰ ἔνδοξα ἀπαρνεῖται, ὥσπερ καὶ Σωκράτης ἐποίει, χαρίεις τις εἶναι δοκεῖ, ὃς δὲ οὐ μόνον τὰ μεγάλα καὶ ἔνδοξα ἀλλὰ καὶ τὰ μικρὰ ἀπαρνεῖται, καὶ ἃ δῆλός ἐστι δυνάμενος ταῦτα προσποιεῖται μὴ δύνασθαι, ὁ τοιοῦτος βαυκοπανοῦργος λέγεται καὶ εὐκαταφρόνητός ἐστιν. ἐνίοτε δὲ καὶ ἀλαζὼν διὰ ταῦτα καλεῖται, οἷα ἐποίουν ἐν τοῖς ἱματίοις οἱ Λάκωνες· καὶ γὰρ καὶ ἡ ὑπερβολὴ καὶ ἡ λίαν ἔλλειψις ἀλαζονικόν. οἱ δὲ μετρίως χρώμενοι τῇ εἰρωνείᾳ χαρίεντες φαίνονται, οἵτινες οὐ περὶ τὰ λίαν εὐτελῆ καὶ σφόδρα φανερὰ εἰρωνεύονται. οὕτω δὲ τῷ ἀληθευτικῷ τοῦ τε εἴρωνος καὶ τοῦ ἀλαζόνος ἀντικειμένου, μᾶλλον ἀντίκειται ὁ ἀλαζὼν ἢ ὁ εἴρων· χεῖρον γὰρ ἡ ἀλαζονεία, ὡς φανερόν ἐστιν ἐκ τῶν εἰρημένων.

Περὶ εὐτραπελίας καὶ τῶν παρ' ἑκάτερα κακιῶν. κεφ. ι'. 147

Ἐπεὶ δέ ἐστιν ἄνεσίς τις καὶ ἀνάπαυσις ἐν τῷ βίῳ καὶ ἐν ταύτῃ τῇ ἀνέσει ἐστί τις διαγωγὴ μετὰ παιδιᾶς, δοκεῖ καὶ ἐνταῦθα εἶναί τις ὁμιλία

8 ὁ om. h 25. 26 μέγα εἶναι δοκοῦν h

ἀγαθὴ καὶ ἐμμελής, καὶ λέγειν οἷα δεῖ καὶ ὡς δεῖ τὸν ἀναπαύσεως δεόμενον· ὁμοίως δὲ καὶ οἷα δεῖ ἀκούειν καὶ ὡς δεῖ καὶ ὅτε δεῖ. διαφέρει γὰρ τὸ τοιαῦτα λέγειν τοῦ τοιούτων ἀκούειν, ὅθεν δῆλον ὅτι ἔστι καὶ ἐν ταύτῃ τῇ ὁμιλίᾳ καὶ ὑπερβολὴ καὶ ἔλλειψις καὶ μεσότης. ἡ μὲν οὖν ὑπερβολὴ βωμολοχία καλεῖται καὶ οἱ ἔχοντες βωμολόχοι καὶ φορτικοί, οἳ τῷ γελοίῳ ὑπερβάλλουσι καὶ μᾶλλον ζητοῦσι τὸ γέλωτα ποιῆσαι ἢ τὸ λέγειν εὐσχήμονα καὶ μὴ λυπεῖν τὸν σκωπτόμενον. ἔλλειψις δὲ σκληρότης καὶ ἀγριότης καὶ οἱ ἔχοντες ἄγριοι καὶ σκληροί, οἵτινες οὔτε αὐτοὶ γελοῖον οὐδὲν λέγουσι καὶ τοὺς λέγοντας δυσχεραίνουσι καὶ μισοῦσιν. ἡ δὲ μεσότης εὐτραπελία καὶ οἱ ἔχοντες εὐτράπελοι, οἷον εὔτροποι· καὶ γὰρ τοῦ ἤθους εἶναι δοκοῦσιν αἱ τοιαῦται κινήσεις· οὗτοι δέ εἰσιν οἱ παίζοντες ἐμμελῶς καὶ ὡς δεῖ καὶ ὅτε. ὥσπερ γὰρ αἱ κινήσεις τὰ σώματα χαρακτηρίζουσιν, οἷον πῦρ μὲν ἡ εἰς τὸ ἄνω κίνησις καὶ πᾶν κοῦφον, βαρὺ δὲ ἡ εἰς τὸ μέσον, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, οὕτω καὶ ἀπὸ τῶν ἔξω καὶ φαινομένων τοῦ ἀνθρώπου κινήσεων αἱ ἕξεις τῆς ψυχῆς φαίνονται καὶ τὰ ἤθη. ἐπεὶ δὲ οἱ μὲν σκληροὶ ἐλάχιστα γίνονται, πλεῖστοι δέ εἰσιν οἱ χαίροντες παιδιᾷ καὶ σκώμμασι, καὶ τὸ γελοῖον ἀγαθὸν δοκεῖ μᾶλλον ἢ τὸ σκυθρωπόν, διὰ τοῦτο οἱ βωμολόχοι εὐτράπελοι λέγονται, | ὡς χαρίεντες καὶ ἡδεῖς· ὅτι 148 δὲ οἱ βωμολόχοι τῶν εὐτραπέλων οὐ μικρῷ διαφέρουσι, καὶ ἐκ τῶν εἰρημένων δῆλον. οὗτοι δὲ οἱ εὐτράπελοι καὶ ἐπιδέξιοί εἰσι καὶ εὐτραπελία ἐπιδεξιότης ἂν εἰκότως καλοῖτο· τοῦ ἐπιδεξίου γάρ ἐστιν ἐκεῖνα καὶ λέγειν καὶ ἀκούειν οἷα τῷ ἐπιεικεῖ καὶ ἐλευθέρῳ ἁρμόττει. ἔστι γάρ τινα πρέποντα τῷ τοιούτῳ λέγειν ἐν παιδιᾶς μέρει καὶ ἀκούειν· ἡ γὰρ τοῦ ἐλευθέρου παιδιὰ διαφέρει τῆς τοῦ ἀνδραποδώδους καὶ ἡ τοῦ πεπαιδευμένου τῆς τοῦ ἀπαιδεύτου. τοῦτο δὲ ἀπὸ τῶν κωμῳδιῶν γίνεται δῆλον τῶν τε παλαιῶν καὶ τῶν νέων· ἐν γὰρ ταῖς κωμῳδίαις οἱ μὲν φαύλους τινὰς καὶ ἀνδραποδώδεις ὑποκρινόμενοι γελοῖα καὶ ἡδέα ἡγοῦνται τὰ αἰσχρά, οἱ δὲ ἐλευθερίους τινὰς καὶ ἐπιδεξίους καὶ ἐπιεικεῖς ὑποκρινόμενοι τὰ μεθ' ὑπονοίας· ταῦτα δὲ οὐ μικρῷ τινι διαφέρει ἀλλήλων πρὸς εὐσχημοσύνην. τίνα οὖν ἐροῦμεν εἶναι τὸν μέσον ἐν ταῖς παιδιαῖς; τὸν εὖ σκώπτοντα καὶ ὡς δεῖ ἄνθρωπον ἐλεύθερον, ἢ τὸν μὴ λυπηρὸν τοῖς ἀκούουσιν, ἢ καὶ χαρίεντα καὶ ἡδύν; καὶ τοῦτο ὁρισμὸς ἔσται τοῦ ἐν ταῖς παιδιαῖς μέσου. ἀλλὰ ἀόριστός τις καὶ οὗτος ὁ ὁρισμὸς εἶναι δοκεῖ· οὐ γὰρ τὸ αὐτὸ πάντες μισοῦσιν οὐδὲ τοῖς αὐτοῖς χαίρουσιν· ἀλλὰ ἄλλοις ἄλλα δοκεῖ ἡδέα καὶ λυπηρά· καὶ οἷς ἕκαστος χαίρει, τοιαῦτα καὶ λέγει καὶ ποιεῖ ἐν ταῖς πρὸς ἄλλους ὁμιλίαις· καὶ ἃ σκώμματα ἀκούων ἀνέχεται, ταῦτα καὶ λέγει· οὐ γὰρ πάντα ἐρεῖ. καὶ γὰρ καὶ οἱ νομοθέται ἔνια λοιδορεῖν κωλύουσι· λοιδόρημα δέ τί ἐστι καὶ τὸ σκῶμμα. ὅτι τοίνυν ἀόριστά εἰσιν ἃ μισοῦμεν καὶ οἷς χαίρομεν, διὰ τοῦτο χαλεπόν ἐστιν ἀκριβῶς ὁρίσασθαι τὸν ἐν ταῖς παιδιαῖς μέσον· | ἀλλ' αὐτὸς ὁ ἐλευθέριος καὶ 149

11 αἱ om. h 17 σκώμασι B ubique 22 ἐλευθέρῳ Bh et Arist. codd. Ha Lb Mb: ἐλευθερίῳ Arist. vulg. 29 μεθ' h: καθ' B 33 καὶ om. h 40 ὁ om. h

χαρίεις οὕτως ἕξει, οἷον νόμος ὢν ἑαυτῷ. τοιοῦτος μὲν οὖν ὁ μέσος, εἴτε εὐτράπελος εἴτε ἐπιδέξιος λέγεται. ὁ δὲ βωμολόχος σφόδρα ἐρῶν τοῦ γελοίου οὐδενὸς φείδεται τῶν γέλωτα ποιούντων οὔτε ἔργων οὔτε ῥημάτων καὶ οὔτε ἑαυτοῦ οὔτε τῶν ἀκουόντων ἀπέχεται, ἀλλ' ἵνα μόνον κινήσῃ γέλωτα, καὶ ἑαυτὸν αἰσχύνει καὶ τοὺς ἀκούοντας, ἐκεῖνα λέγων καὶ πράττων, ὧν οὐδὲν οὔτε εἴποι ἂν οὔτε ποιήσειεν ὁ χαρίεις· ἔνια δὲ οὐδὲ ἀνάσχοιτο ἂν ἀκοῦσαι. ὁ δ' ἄγριος εἰς τὰς τοιαύτας ὁμιλίας ἀχρεῖος· οὔτε γὰρ αὐτὸς ἡδύς ἐστι καὶ τοὺς ἄλλους οὕτως ἔχοντας δυσχεραίνει· καὶ οὗτος δὲ κακίζεται διὰ τὸ ἀναγκαῖον εἶναι πρὸς τὸν ἀνθρώπινον βίον καὶ τὴν ἀνάπαυσιν καὶ τὴν παιδιάν. τρεῖς γάρ εἰσι μεσότητες ἐν τῷ βίῳ περὶ τὰς πρὸς ἀλλήλους τῶν ἀνθρώπων ὁμιλίας· μία μὲν περὶ τὴν ἀλήθειαν, ἥτις παρ' ἑκάτερα τήν τε ἀλαζονείαν καὶ τὴν εἰρωνείαν ἔχει, δύο δὲ περὶ τὸ ἡδύ· ὧν ἡ μέν ἐστιν ἡ λεγομένη φιλία, ἥτις παρ' ἑκάτερα τήν τε κολακείαν καὶ τὴν δυσκολίαν ἔχει, ἑτέρα δὲ ἡ εὐτραπελία καὶ ἐπιδεξιότης, ἧς παρ' ἑκάτερα ἡ βωμολοχία καὶ ἡ σκληρότης καὶ ἡ ἀγριότης ἐστίν· ἄμφω γὰρ ἡδονήν τινα ποιοῦσι τῷ βίῳ, ὅ τε φίλος καὶ ὁ εὐτράπελος.

Περὶ αἰδοῦς, ὅτι οὐκ ἔστιν ἀρετή. κεφ. ια'.

Ἡ δὲ αἰδὼς οὐκ ἔστιν ἀρετή· οὐ γάρ ἐστιν ἕξις ἀλλὰ μᾶλλον πάθος· ὃ δῆλον ἀπὸ τοῦ ὁρισμοῦ· ὁρίζεται | γὰρ φόβος ἀδοξίας. συμβαίνει γὰρ τῷ αἰδουμένῳ παραπλήσιον τῷ περὶ τὰ δεινὰ φοβουμένῳ· ἐρυθραίνεται γάρ, ὥσπερ ὠχριᾷ ὁ φοβούμενος τὸν θάνατον· ἄμφω γὰρ σωματικά πως φαίνονται εἶναι, ἥ τε αἰσχύνη καὶ ὁ φόβος τῶν δεινῶν· τὰ τοιαῦτα δὲ πάθη μᾶλλον δοκοῦσιν, οὐχ ἕξεις λέγονται. τοῦτο δὲ τὸ πάθος οὐ πάσῃ ἡλικίᾳ ἁρμόζει ἀλλὰ τῇ νέᾳ μόνον· δεῖ γὰρ τοὺς νέους αἰδήμονας εἶναι διὰ τὸ πολλὰ ἁμαρτάνειν· πολλὰ γὰρ ἁμαρτάνουσιν οἱ νέοι διὰ τὸ πάθει μᾶλλον ἄγεσθαι ἢ λόγῳ· συστελλόμενοι γὰρ ὑπὸ τῆς αἰδοῦς ἀμείνους γίνονται. διὰ τοῦτο τῶν μὲν νέων ὅσοι αἰδήμονες ἐπαινετοί, πρεσβύτερον δὲ οὐδεὶς ἂν ἐπαινέσειεν ὅτι αἰσχυντηλός· οὐ δεῖ γὰρ τὸν πρεσβύτερον ἐκεῖνα πράττειν ἐφ' οἷς αἰσχύνη ἐστίν· οὐ γάρ ἐστιν ἡ αἰσχύνη τοῦ ἐπιεικοῦς, εἴπερ ἐστὶν ἐπὶ τοῖς φαύλοις. ἐπεὶ γὰρ τὰ μέν εἰσι κατὰ ἀλήθειαν αἰσχρά, τὰ δὲ οὐκ εἰσὶ μέν, δοκοῦσι δέ, δέον ἐστὶ φεύγειν ἀμφότερα τὸν ἐπιεικῆ· φεύγων δὲ τὰ αἰσχρὰ οὐδέποτε αἰσχυνθήσεται. τὸ γὰρ οἴεσθαι αὐτὸ τοῦτο ἐπιεικοῦς εἶναι τὸ αἰσχύνεσθαι, εἰ πράξειέ τι τῶν αἰσχρῶν καὶ τὸν οὕτως ἔχοντα ἐπιεικῆ νομίζειν ἄτοπον· ἡ γὰρ αἰδὼς ἐπὶ τῶν ἑκουσίων αἰσχρῶν γίνεται, ὁ δὲ ἐπιεικὴς οὐδὲν αἰσχρὸν οὐδέποτε πράξειεν ἂν ἑκουσίως. φαίνεται δὴ μὴ εἶναι τὴν αἰδῶ ἀρετήν τινα ἀλλὰ μᾶλλον πάθος· οὐ γὰρ ἀεὶ ἐπαινετόν ἐστιν οὐδὲ ἁπλῶς καὶ καθ' ἑαυτὸ ἐπιεικὲς ἂν λέ-

22 γὰρ (post ἄμφω) B: δὲ b

γοιτο, ἀλλ' ἐξ ὑποθέσεως, οἷον εἰ γένοιτο ἁμαρτεῖν τινα, ἐπιεικές ἐστιν αἰδεῖσθαι· οὐχ οὕτω δὲ ἔχουσιν αἱ ἀρεταί· ἕξεις γάρ εἰσι διὰ παντὸς ἐγκείμεναι τῇ ψυχῇ. | εἰ δὲ καὶ μεσότης τις εἶναι δοκεῖ καὶ ἔστι μεταξὺ 151
τῆς τε καταπλήξεως καὶ τῆς ἀναισχυντίας, καὶ ἐπαινεῖται μὲν ὁ αἰδήμων, κακίζονται δὲ οἵ τε ἀναίσχυντοι περὶ τὰ αἰσχρὰ καὶ οἱ πλέον τοῦ δέοντος αἰδήμονες, οἱ λεγόμενοι καταπλῆγες, οὐδὲν μᾶλλον διὰ τοῦτο ἀρετή ἐστιν ἡ αἰδώς· ἡ μὲν γὰρ ἀρετὴ μεσότης, ἡ δὲ μεσότης οὐ πᾶσα ἀρετή· οὐ γὰρ ἀντιστρέφει. οὐκ ἔστι δὲ οὐδὲ ἡ ἐγκράτεια ἀρετή, ἀλλά τις μικτή· δειχθήσεται δὲ περὶ αὐτῆς ἐν τοῖς ὕστερον. νῦν δὲ περὶ δικαιοσύνης εἴπωμεν.

Περὶ δικαιοσύνης. κεφ. α΄.

Σκεπτέον δὲ ἤδη περὶ δικαιοσύνης καὶ ἀδικίας, περὶ ποίας πράξεις εὑρίσκονται καὶ ποία μεσότης ἐστὶν ἡ δικαιοσύνη καὶ τὸ δίκαιον τίνων μέσον καὶ τίνα τὰ παρ' ἑκάτερα τοῦ δικαίου. σκεψώμεθα δὲ κατὰ τὴν αὐτὴν μέθοδον, μεθ' ἧς καὶ περὶ τῶν ἄλλων ἀρετῶν ἐσκεψάμεθα. ὁρῶμεν δὴ πάντας δικαιοσύνην ὀνομάζοντας ἕξιν τινά, ἣν ἔχοντες πρακτικοὶ τῶν δικαίων ἐσμὲν καὶ δικαιοπραγοῦμεν καὶ βουλόμεθα τὰ δίκαια. τὸν δὲ αὐτὸν τρόπον καὶ περὶ τῆς ἀδικίας· ἀδικίαν γὰρ ὀνομάζουσι, καθ' ἣν ἀδικοῦμεν καὶ τὰ ἄδικα βουλόμεθα. ταύτας δὴ τὰς κοινὰς περὶ δικαιοσύνης καὶ ἀδικίας δόξας ὑποθώμεθα· καὶ ἔστω δικαιοσύνη καὶ ἀδικία ὡς ἐν τύπῳ ἕξις ἀφ' ἧς βουλόμεθα τὰ δίκαια καὶ ἕξις ἀφ' ἧς οὐ βουλόμεθα. δεῖ γὰρ προσκεῖσθαι ἀεὶ ταῖς ἀρεταῖς ταῖς ἠθικαῖς τὸ βούλεσθαι, καὶ ἀδύνατον ἄλλως αὐτὰς ὁρισθῆναι· διὰ τὸ βούλεσθαι γὰρ σωφρονεῖν καὶ δικαιοπραγεῖν ὁ δίκαιος καὶ ὁ σώφρων γίνεται. ἐπὶ μὲν γὰρ τῶν ἐπιστημῶν καὶ δυνάμεων τὸ δύνασθαι μὲν | ἀναγκαῖον, τὸ βούλεσθαι δὲ οὐκ 153
ἀναγκαῖον· εἰ γάρ τις δύναιτο ὑγιάζειν, ἰατρός ἐστι, κἂν μὴ βούληται ὑγιάζειν· τὴν γὰρ ἕξιν τῆς ἰατρικῆς οὐδὲν κωλύει τὸ μὴ βούλεσθαι· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἐπὶ δὲ τῶν ἠθικῶν ἀρετῶν ἀνάπαλιν ἔχει. τὸ μὲν γὰρ δύνασθαι δίκαια πράττειν δυνατόν ἐστι καὶ τῷ ἀδίκῳ πολλάκις, τὸ δὲ βούλεσθαι μόνον ἐστὶ τοῦ δικαίου. ὅθεν δίκαιός ἐστι καὶ ὁ μὴ δυνάμενος μὲν πράττειν τὰ δίκαια, βουλόμενος δὲ καὶ ἕξιν ἔχων δικαιοσύνης· τὸν αὐτὸν δὲ τρόπον καὶ ὁ ἄδικος ἔχει. ἔτι δὲ πᾶσα δύναμις καὶ ἐπιστήμη τῶν ἐναντίων ἐστί· μιᾷ γὰρ ἐπιστήμῃ δυνατὸν τὰ ἐναντία εἰδέναι· μία γὰρ γνῶσίς ἐστι τοῦ ὑγιεινοῦ καὶ νοσώδους, ἡ ἰατρική, καὶ μιᾷ δυνάμει τὰ ἐναντία γίνονται, μία δὲ ἕξις οὐκ ἔστι τῶν ἐναντίων πρακτική· οὐ γὰρ ἀπὸ τῆς δικαιοσύνης τὰ ἄδικα πράττομεν καὶ δίκαια, ὥσπερ οὐδὲ αἱ νοσώδεις κινήσεις ταῖς ὑγιειναῖς αἱ αὐταί· γινώσκονται μέντοι αἱ ἐναντίαι ἕξεις

1 Ἀριστοτέλους ἠθικῶν βιβλίον ε̄ h 3 ἤδη δὲ σκεπτέον h 17 ἰατρὸς—ὑγιάζειν (18) om. h

ἀπὸ τῶν ἐναντίων. εἰ γάρ τις γινώσκει τὴν εὐεξίαν εἶναι πυκνότητα σαρκός, εἴσεται τὴν καχεξίαν εἶναι μανότητα σαρκός. γινώσκονται δὲ αἱ ἕξεις καὶ ἀπὸ τῶν ἐκτῶν· ἕξις μὲν γάρ, φέρε εἰπεῖν, ἡ ὑγίεια· ἐκτὸν δὲ τὸ ὑγιεινόν, ὃ πρὸς ὑγίειαν φέρει· εἰ γὰρ γινώσκομεν ὑγιεινὸν εἶναι τὸ ποιητικὸν πυκνότητος ἐν σαρκί, γινώσκομεν εὐεξίαν εἶναι τὴν ἐν σαρκὶ πυκνότητα. ἀκολουθεῖ δὲ κἀκεῖνο ταῖς ἕξεσιν ὡς ἐπὶ τὸ πλεῖστον· καὶ γὰρ ἐὰν πλεοναχῶς λέγηται ἡ ἑτέρα τῶν ἐναντίων ἕξεων, καὶ ἡ ἑτέρα πλεοναχῶς λέγεται, οἷον εἰ ἡ σωφροσύνη πολυσήμαντόν ἐστιν, καὶ ἡ ἀκολασία πολυσήμαντον ἔσται· καὶ εἰ ἡ δικαιοσύνη ὁμώνυμός ἐστι καὶ ἐπὶ πλειόνων λέγεται, καὶ ἡ ἀδικία τοῦτον ἕξει τὸν τρόπον. ὡς ἐπὶ τὸ πλεῖστον δὲ εἴρηται, | ὅτι καὶ ἔστιν ἐν αἷς τῶν ἕξεων τὸ τοιοῦτον οὐ συμβαίνει, οἷον 154 τὸ φιλεῖν τῷ μισεῖν ἐναντίον ἐστίν, ἀλλὰ τὸ μὲν φιλεῖν οὐχ ἁπλοῦν ἐστι· σημαίνει γὰρ τό τε ἀγαπᾶν καὶ τὸ τοῖς χείλεσιν ἀσπάζεσθαι· τὸ δὲ μισεῖν ἓν μόνον σημαίνει, τὴν ἔχθραν. τοιοῦτο δὲ ἐλάχιστα συμβαίνει· μάλιστα δὲ καὶ ὡς ἐπὶ τὸ πολὺ τὸ πλεοναχῶς λέγεσθαι τὴν ἕξιν, τῆς ἐναντίας πλεοναχῶς λεγομένης. ἐπεὶ τοίνυν καὶ ἡ δικαιοσύνη τῶν πλεοναχῶς λεγομένων ἐστί, καὶ ἡ ἀδικία τῶν πλεοναχῶς λεγομένων ἂν εἴη. δοκεῖ δὲ ἕν τι σημαίνειν τὴν δικαιοσύνην καὶ τὴν ἀδικίαν διὰ τὸ τὰ σημαινόμενα μὴ σφόδρα διαφέρειν ἀλλήλων· τότε γὰρ ἡ ὁμωνυμία καὶ τὸ πολυσήμαντον γίνεται δῆλα, ὅτε τὰ σημαινόμενα πράγματα πολλὴν ἔχουσι πρὸς ἄλληλα τὴν διαφοράν, οἷον κλεὶς λέγεται ἥ τε ὑπὸ τὸν αὐχένα τοῦ ζῴου καὶ ᾗ τὰς θύρας κλείομεν· ἐνταῦθα γὰρ διὰ τὸ πολλὴν εἶναι τῶν πραγμάτων τὴν διαφοράν, φανερά ἐστιν ἡ ὁμωνυμία καὶ τὸ πολυσήμαντον. ἐπεὶ τοίνυν πολλαχῶς ἡ δικαιοσύνη λέγεται καὶ ἡ ἀδικία, εἰλήφθω ποσαχῶς λέγεται ὁ ἄδικος· ἐντεῦθεν γὰρ ληψόμεθα καὶ τὰ σημαινόμενα τῆς δικαιοσύνης. λέγεται τοίνυν ἄδικος ὅ τε παράνομος καὶ ὁ πλεονέκτης καὶ ὁ ἄνισος, ὥστε καὶ δίκαιος ἂν εἴη ὅ τε νόμιμος καὶ ὁ ἴσος· καὶ δίκαιον μὲν τὸ νόμιμον καὶ τὸ ἴσον, ἄδικον δὲ τὸ παράνομον καὶ τὸ ἄνισον. ἐπεὶ δὲ καὶ πλεονέκτης ἐστὶν ὁ ἄδικος, ἡ δὲ πλεονεξία περὶ τί ἐστιν ἀγαθόν, εἴη ἂν καὶ αὐτὸς περί τι πλεονεκτῶν ἀγαθόν. ἀγαθὸν δὲ ζητεῖ οὐ τὸ αὐτῷ ἀγαθὸν καὶ ὅπερ ἂν αὐτὸν ἀμείνω ποιήσειεν· οὐ γὰρ ζητεῖ τῶν ἄλλων σωφρονέστερος εἶ|ναι οὐδὲ τῶν ἰατρῶν ἰατρικώτερος οὐδὲ τῶν ἐλευ- 155 θερίων ἐλευθεριώτερος οὐδὲ ἄλλο οὐδὲν τῶν ἀγαθῶν, ὅσα αὐτά τε ἁπλῶς καὶ καθ' ἑαυτά εἰσιν ἀγαθὰ καὶ αὐτὸν ἀγαθὸν ποιεῖ· ἀλλὰ περὶ ἐκεῖνα τῶν ἀγαθῶν ζητεῖ τοὺς ἄλλους ὑπερνικᾶν, ὅσα ἁπλῶς καὶ καθ' αὑτά εἰσιν ἀγαθά, αὐτὸν δὲ οὐ ποιεῖ ἑαυτοῦ βελτίονα ἀλλὰ καὶ χείρω πολλάκις, οἷον χρήματα καὶ δυναστείαν καὶ σώματος εὐεξίαν· ταῦτα γὰρ ὕλη κακίας τῷ φαύλῳ γίνεται χείρονος· καὶ τὰ ἄλλα, ὅσα περὶ εὐτυχίαν ἢ ἀτυχίαν ἐστίν, ἅπερ οἱ πλεῖστοι τῶν ἀνθρώπων ἑαυτοῖς εὔχονται καὶ διώκουσι. δεῖ δὲ οὐχ οὕτω ποιεῖν, ἀλλ' εὔχεσθαι μὲν ταῦτα τὰ ἁπλῶς ἀγαθὰ καὶ αὐτοὺς ἀγαθῦναι καὶ ὠφελῆσαι καὶ μὴ χείρους ποιῆσαι, αἱρέσεως δὲ προκει-

7 λέγηται B: λέγεται h 12 ἁπλοῦν h: ἁπλῶς B 17 τῶν om. h λεγομένη h
41 ἀγαθῦναι h: ἀγαθῆναι B 41 p. 86,1 προσκειμένης h

μένης, προκρίνειν οὐ τὰ ἁπλῶς ἀγαθὰ ἀλλὰ τὰ αὑτοῖς ἀγαθὰ καὶ ὅσα αὐτοὺς δυνήσεται βελτίους ποιεῖν. ὁ δὲ ἄδικος εὔχεται μὲν αὑτῷ τὰ περὶ εὐτυχίαν ἀγαθὰ καὶ ἐν τούτοις ἀεὶ ζητεῖ τὸ πλέον ἔχειν, αἱρεῖται δὲ καὶ τὰ ἐλάττονα τῶν περὶ δυστυχίαν κακῶν· νομίζει γὰρ τὸ ἔλαττον κακὸν ἀγαθὸν εἶναι. καὶ διότι ὁ πλεονέκτης ἀεὶ καὶ ἡ πλεονεξία περὶ τὸ ἀγαθόν ἐστι, διὰ τοῦτο δοκεῖ πλεονέκτης εἶναι. ἔστι δὲ ὁ ἄδικος ἄνισος· τοῦτο γὰρ περιεκτικὸν ὄνομα καὶ κοινόν ἐστι πᾶσι τοῖς εἴδεσι τῆς ἀδικίας, ἡ ἀνισότης· καὶ γὰρ καὶ ὁ παράνομος ἄνισός τίς ἐστι καὶ πλεονέκτης. ἐπεὶ δὲ ὁ παράνομος ἄδικός τίς ἐστι καὶ ὁ νόμιμος δίκαιος, φανερὸν ὅτι πάντα τὰ νόμιμα δίκαιά πώς ἐστι· τὰ γὰρ ὡρισμένα ὑπὸ τῆς νομοθετικῆς νόμιμά τέ ἐστι καὶ δίκαια λέγονται· ἕκαστον γὰρ τῶν νομίμων καὶ δίκαιον εἶναί | φαμεν· ὥστε περὶ ὅσα εἰσὶν οἱ νόμοι, περὶ ταῦτα 156
καὶ τὴν δικαιοσύνην εἶναι συμβαίνει. ἀλλ' οἱ νόμοι περὶ ἁπάντων ἀγορεύουσι, στοχαζόμενοι τοῦ συμφέροντος ταῖς πολιτείαις ἁπάσαις, εἴτε δημοκρατίαν εἴτε ἀριστοκρατίαν εἴτε ἄλλην τινὰ τάττουσι πολιτείαν, προστάττοντες δὲ πάντα τὰ κατὰ πᾶσαν ἀρετὴν ἔργα, οἷον σώφρονα καὶ δίκαια καὶ ἀνδρεῖα. προστάττουσι γὰρ μὴ λείπειν τὴν τάξιν μηδὲ φεύγειν, ὅπερ ἐστὶ τοῦ ἀνδρείου, καὶ μὴ μοιχεύειν μηδὲ ὑβρίζειν, ὅπερ ἐστὶ τοῦ σώφρονος ἔργον, καὶ μὴ τύπτειν μηδὲ κακουργεῖν, ὃ πρᾳότητός ἐστιν· ὁμοίως δὲ καὶ τὰ τῶν ἄλλων ἀρετῶν καὶ κακιῶν τὰ μὲν κελεύει, τὰ δὲ ἀπαγορεύει. καὶ ὁ μὲν ἀκριβὴς νόμος καὶ ὀρθὸς κατὰ τὸν ὀρθὸν καὶ ἀκριβῆ λόγον, ὁ δὲ αὐτοσχεδίως καὶ ἀβασανίστως τιθεὶς οὐ πάνυ ἀκριβῶς καὶ ὡς προσῆκεν ἀλλὰ χεῖρον καὶ κελεύει καὶ ἀποτρέπει· κελεύει δ' οὖν ὅμως καὶ ἀποτρέπει τὰ ἀγαθὰ καὶ τὰ φαῦλα· παντὸς γὰρ νόμου τόδε σκοπός ἐστιν. εἰ τοίνυν ὅσα νόμιμα, τοσαῦτα καὶ δίκαια, καὶ περὶ ἃ ὁ νόμος, περὶ ταῦτα καὶ τὴν δικαιοσύνην εἶναι συμβαίνει, πᾶσαν ἀρετὴν ἡ δικαιοσύνη περιέχει, καὶ ἔστι τις ἀρετὴ τελεία διὰ τὸ πάσας τὰς ἀρετὰς περιέχειν. καὶ αὐτὴν εἶναι τὴν ὅλην ἀρετήν. τούτῳ γὰρ μόνῳ τῆς καθόλου ἀρετῆς ἡ δικαιοσύνη διαφέρει, ὅτι ἡ μὲν ἕξις ἐστὶ καθ' ἑαυτὴν μόνον, ἡ δὲ δικαιοσύνη τελεία ἐστὶν ἕξις, οὐχ ἁπλῶς, ἀλλὰ πρὸς ἕτερον ἀναφερομένη· τὸ γὰρ χρῆσθαι πάσαις ἀρεταῖς πρὸς τὸ συμφέρον τῶν πέλας, τοῦτό ἐστιν ἡ δικαιοσύνη. καὶ διὰ τοῦτο κρατίστη δοκεῖ πασῶν ἀρετῶν, καὶ οὔθ' | ἕσπερος οὔθ' ἑῷος ἀστὴρ οὕτω λαμπρός ἐστι καὶ θαυμαστὸς 157
ὥσπερ ἡ δικαιοσύνη· καὶ παροιμιαζόμενοί φαμεν

ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσ' ἀρετή ἔνι

καὶ τελεία μάλιστα ἀρετή, ὅτι τῆς τελείας ἀρετῆς χρῆσίς ἐστιν. ὁ γὰρ ἔχων αὐτὴν καὶ πρὸς ἕτερον δύναται τῇ ἀρετῇ χρῆσθαι, ἀλλ' οὐ μόνον καθ' αὑτόν. πολλοὶ γὰρ ἑαυτοὺς μὲν ταῖς ἀρεταῖς ὠφελοῦσιν, ἄλλοις δὲ δι' αὐτῶν οὐ δύνανται βοηθεῖν· καὶ διὰ τοῦτο καλῶς ὁ τοῦ Βίαντος ἔχει λόγος 'ἀρχὰ δείξει ἄνδρα'· οὐδὲν γὰρ ἄλλο ἐστὶν ἡ ἀρχὴ

1 προκρίνειν h: προκρίνει B 9 ὁ πλεονέκτης h 19 κακουργεῖν Bh: κακηγορεῖν Arist. vulg.: κατηγορεῖν Arist. codd. MbOb 22 τιθεὶς Bh: τεθεὶς Mullach 35 Theogn. v. 147 ἔνι B ut Arist. KbLbOb: 'στι h et reliqui Arist. codd.

ἢ ἡ πρὸς ἄλλους τῶν ἀρετῶν κοινωνία. καὶ διὰ τοῦτο καὶ ἀλλότριον ἀγαθὸν εἶναι δοκεῖ ἡ δικαιοσύνη μόνη τῶν ἄλλων ἀρετῶν, ὅτι οὐχ ἑαυτῷ τὸ συμφέρον ἀλλὰ τοῖς ἄλλοις ζητεῖ, ἢ τῷ κοινῷ ἢ τῷ ἄρχοντι. ὁ μὲν οὖν ἑαυτόν τε βλάπτων τῇ μοχθηρίᾳ καὶ τοὺς φίλους κάκιστος, ὁ δὲ ταῖς ἀρεταῖς οὐ πρὸς τὸ οἰκεῖον κεχρημένος συμφέρον ἀλλὰ πρὸς τοὺς ἄλλους ἄριστός ἐστι· τοῦτο γὰρ ἔργον χαλεπόν. αὕτη μὲν οὖν ἡ δικαιοσύνη οὐ μέρος ἀρετῆς ἀλλ' ὅλη ἐστὶν ἡ ἀρετή· καὶ ἡ ἀδικία ὁμοίως οὐ μέρος ἐστὶ κακίας ἀλλ' ὅλη κακία. τίνι δὲ διαφέρει ἡ καθόλου ἀρετὴ τῆς δικαιοσύνης ταύτης, εἴρηται.

Περὶ τῆς μερικῆς δικαιοσύνης. κεφ. β'.

Ἔστι δὲ καὶ ἄλλη τις δικαιοσύνη, ἥτις ἐστὶ μερικὴ ἀρετή, ὥσπερ καὶ ἀδικία, ἥτις ἐστὶ μερικὴ κακία. σημεῖον δὲ τοῦ καὶ μερικὴν εἶναι δικαιοσύνην καὶ ἀδικίαν ἐκεῖνο ἂν εἴη· ὁ γὰρ ἐνεργῶν κατὰ τὰς ἄλλας μοχθηρίας ἄδικος μὲν λέγοιτο ἄν, πλεονέκτης δὲ οὐδαμῶς· οἷός ἐστιν ὁ ῥίψας 158
τὴν ἀσπίδα διὰ δειλίαν ἢ ὁ λοιδορησάμενος τὸν πέλας διὰ χαλεπότητα καὶ τὸ μὴ δύνασθαι θυμοῦ κρατεῖν καὶ ὀργῆς, ἢ ὁ μὴ βοηθήσας χρήμασι δι' ἀνελευθεριότητα· οὗτοι γὰρ πάντες ἄδικοί εἰσι, πλεονέκται δὲ οὐδαμῶς. ὥστε ὁ πλεονέκτης περὶ ἄλλην τινά ἐστι πονηρίαν, ὅτι μήτε περὶ μίαν τούτων ἐστὶν οὔτε περὶ πάσας· ψέγεται δὲ ὡς ἄδικος· ἔστιν ἄρα ἄλλη τις ἀδικία μερική, ὡς μέρος οὖσα τῆς ὅλης ἀδικίας, καὶ ἄδικόν τι μερικὸν μέρος τοῦ ὅλου ἀδίκου τοῦ παρὰ τὸν νόμον. ἔτι εἰ ὁ μὲν κέρδους ἕνεκα μοιχεύει καὶ προσλαμβάνει, ὁ δὲ ἡδονῆς ἕνεκα, καὶ διὰ τοῦτο ζημιοῦται καὶ ἀναλίσκει τὰ ὄντα, ὁ μὲν ἀκόλαστος ἂν λέγοιτο καὶ οὐ πλεονέκτης, ὁ δὲ πλεονέκτης καὶ ἄδικος, ἀκόλαστος δὲ οὐδαμῶς· ὥστε ἀδικία τίς ἐστι μὴ περιέχουσα τὴν ἀκολασίαν· καὶ διὰ τοῦτο οὐκ ἔστιν ἡ αὐτὴ τῇ καθόλου ἀδικίᾳ ἀλλὰ μερική. ἔτι πᾶσα μὲν πονηρὰ πρᾶξις ἐπί τινα κακίαν ἀναφέρεται, οἷον τὸ μὲν μοιχεύειν εἰς ἀκολασίαν ἀνάγεται, τὸ δὲ φυγεῖν καὶ ῥῖψαι τὴν ἀσπίδα ἐπὶ δειλίαν, τὸ δὲ λοιδορήσασθαι καὶ πατάξαι ἐπὶ ὀργήν, τὸ δὲ κερδᾶναι τὰ ἑτέρων καὶ οὐδαμόθεν ἑαυτῷ προσήκοντα εἰς οὐδὲν ἕτερον ἀναφέρεται ἢ ἐπὶ τὴν ἀδικίαν. ὥστε φανερόν, ὅτι ἔστι τις ἀδικία ἄλλη μερικὴ συνώνυμος τῇ καθόλου· καὶ γὰρ ὁ ὁρισμὸς ἑκατέρας ἐν τῷ αὐτῷ ἐστι γένει· ἄμφω γὰρ ἐν τῷ πρὸς ἕτερον χρῆσθαι τῷ ἀγαθῷ τὸ εἶναι ἔχουσι· διαφέρει δὲ ἡ μερικὴ τῆς καθόλου, ὅτι ἡ μὲν μερικὴ περὶ χρήματα ἢ σωτηρίαν ἢ δι' ἡδονὴν τὴν ἀπὸ τοῦ κέρδους ἢ εἴ τί ἐστιν ὄνομα κοινὸν τούτων | ἁπάντων· ἡ δὲ καθόλου 159
περὶ ἅπαντά ἐστι, περὶ ὅσα ὁ σπουδαῖος καταγίνεται. ὅτι μὲν οὖν πολλαχῶς ἡ δικαιοσύνη λέγεται καὶ ὅτι ἔστι τις ἄλλη μερικὴ δικαιοσύνη παρὰ τὴν καθόλου ἀρετήν, δῆλον ἀπὸ τῶν εἰρημένων· τίς δέ ἐστιν αὕτη ἡ μερικὴ δικαιοσύνη, τοῦτο ἤδη ῥητέον. διωρισάμεθα μὲν οὖν, ὅτι τὸ ἄνισον

7 ἡ (ante ἀδικία) om. h 17 ἄδικοι μέν εἰσι h 34 δι' B: περὶ h

καὶ τὸ παράνομόν ἐστι τὸ ἄδικον, δίκαιον δέ ἐστι τὸ νόμιμον καὶ τὸ ἴσον· ἡ μὲν οὖν καθόλου δικαιοσύνη ἐστὶ περὶ τὸ νόμιμον καὶ ἡ καθόλου ἀδικία περὶ τὸ παράνομον καὶ τὸ ἄνισον. ἐπεὶ δὲ τὸ πλέον οὐ ταὐτόν ἐστι τῷ ἀνίσῳ, ἀλλ' ἔστι τὸ μὲν ἄνισον ὥσπερ ὅλον, τὸ δὲ πλέον ὡς μέρος (τὸ γὰρ πλέον καὶ ἄνισον, οὐ πᾶν δὲ τὸ ἄνισον πλέον), ἔστι τις ἀδικία περὶ τὸ πλέον, καὶ περὶ τὸ ἄνισον ἄλλη· αἳ οὐκ ἂν εἶεν αἱ αὐταὶ ἀδικίαι, ἀλλ' ἡ μὲν περὶ τὸ πλέον μερικὴ ἔσται ἀδικία, ἡ δὲ περὶ τὸ ἄνισον ἀδικία καθόλου. ἡ ἄρα μερικὴ ἀδικία, ἥτις ἔχει πρὸς τὴν τελείαν ἀδικίαν ὡς μέρος πρὸς ὅλον, περὶ τὸ πλέον ἐστί· καὶ αὕτη ἐστὶν ἡ λεγομένη πλεονεξία. ἀπὸ τούτων δὲ γινώσκεται καὶ ἡ μερικὴ δικαιοσύνη τί ἐστιν, ὡς ἐν τύπῳ· λεκτέον δὲ ἔτι περὶ αὐτῶν ἀκριβέστερον.

Περὶ τῶν εἰδῶν τῆς μερικῆς δικαιοσύνης. κεφ. γ΄.

Ἡ μὲν οὖν καθόλου δικαιοσύνη, καθὼς εἴρηται, τελεία ἐστὶν ἀρετὴ καὶ χρῆσις τῆς ὅλης ἀρετῆς (ὥσπερ καὶ ἡ ἀδικία παντελὴς κακία ἐστί)· καὶ γὰρ νόμιμός ἐστιν. ὁ δὲ νόμος οὐ μόνον τὰς πράξεις ἁπάσης ἀρετῆς κελεύει ποιεῖν, ὡς ἐν τοῖς εἰρημένοις ἐδείχθη, ἀλλὰ καὶ παιδεύει σπουδαίους | τοὺς πολίτας γενέσθαι καὶ εἰς ἕξιν τῆς ὅλης ἐλθεῖν ἀρετῆς. οὐ 160 γὰρ ταὐτὸν πράξεις ποιεῖν ἀρετῆς καὶ ἀρετῆς ἕξιν ἔχειν· καὶ διὰ τοῦτο ἄλλο ἐστὶ τὸ πολίτην εἶναί τινα ἀγαθὸν καὶ ἕτερον ἄνδρα εἶναι ἀγαθόν. ἀνὴρ μὲν γὰρ ἀγαθός ἐστιν ὁ ἕξιν ἀρετῆς ἔχων, πολίτης δὲ ἀγαθὸς ὁ πράττων ἀρετῆς ἔργα, δι' ὧν τοὺς ἑαυτοῦ πολίτας ὠφελήσει κοινῇ, καὶ ὅλως ὁ πρὸς τοὺς πολίτας ὢν ἀγαθός. ὅθεν ἀπορήσειεν ἄν τις, πῶς τῆς πολιτικῆς ἐστιν ἡ παιδεία, καθ' ἣν γίνεταί τις ἀνὴρ ἀγαθός· περὶ οὗ ὕστερον ἐροῦμεν. ἡ μὲν οὖν καθόλου δικαιοσύνη καὶ ἀδικία τοιαύτη. τῆς δὲ κατὰ μέρος δικαιοσύνης καὶ τοῦ κατ' αὐτὴν δικαίου ἓν μέν ἐστιν εἶδος τὸ ἐν ταῖς διανομαῖς, ὅταν διανέμειν δεήσῃ χρήματα ἢ τιμὴν ἢ ἄλλο τι τῶν ὅσα μερίζονται πρὸς τοὺς ἐν ταῖς πολιτείαις (ἐν τούτοις γάρ ἐστι καὶ τὸ ἴσον καὶ τὸ ἄνισον καὶ τὸ ἔλαττον καὶ τὸ μεῖζον· καὶ διὰ τοῦτο τὸ ὡς δεῖ μερίζειν καὶ διανέμειν δικαιοσύνης εἶδός ἐστιν). ἕτερον δὲ τὸ ἐν τοῖς συναλλάγμασι διορθωτικόν. τούτου δὲ μέρη δύο διὰ τὸ καὶ τὰ συναλλάγματα εἰς δύο διαιρεῖσθαι μέρη. τῶν γὰρ συναλλαγμάτων τὰ μέν ἐστιν ἑκούσια, τὰ δὲ ἀκούσια. ἑκούσια μὲν πρᾶσις ὠνὴ δανεισμὸς ἐγγύη χρῆσις (ὅταν τις ἐπὶ μισθῷ τὴν ἰδίαν οἰκίαν ἢ τὸ ζῷον δώσῃ τινὶ χρήσασθαι), παρακαταθήκη μίσθωσις ἢ δούλου ἢ τεχνίτου· ἑκούσια δὲ λέγεται ταῦτα, ὅτι λαβὼν μέν τις ἢ χρησάμενος καὶ ἑκουσίως ἀποδώσει, καταρχὰς μέντοι ἑκουσίως ἔλαβε καὶ παρ' ἑκόντος καὶ βουλομένου τοῦ διδόντος· καὶ διὰ τοῦτο ἑκούσια λέγονται· ἀκούσια δὲ τὰ μὲν λαθραῖα λέγονται, τὰ δὲ βίαια· λαθραῖα μέν, οἷον κλοπὴ | μοιχεία φαρμακεία προαγωγεία, τὸ δοῦλον ἀπατῆσαί τινος, 161

5. 6 περὶ τὸ πλέον om. h 19 τὸ ἄνδρα h 31 μέρη διαιρεῖσθαι h 32 ἐστιν B: εἰσιν h

δολοφονία ψευδομαρτυρία· βίαια δέ, οἷον πληγαὶ δεσμὸς θάνατος ἁρπαγὴ πήρωσις κακηγορία προπηλακισμός. συναλλάγματα δὲ καὶ τὰ τοιαῦτα λέγονται, ὅτι ὁ περὶ ταῦτα ἀδικῶν λαμβάνει μὲν λάθρα καὶ βιαίως ἢ χρήματα ἢ ἡδονήν· ἀποδίδωσι δὲ ἐν τῷ δικαστηρίῳ ἢ ζημίαν ἢ θάνατον ἢ τὸ αἰκισθῆναι ἢ τὸ ἀτιμασθῆναι. εἰσὶ τοίνυν δικαιοσύνης εἴδη δύο, τό τε περὶ τὴν διανομὴν καὶ τὸ περὶ τὰ συναλλάγματα· ⟨τοῦ δὲ περὶ τὰ συναλλάγματα⟩ τὸ μὲν περὶ τὰ ἑκούσιά ἐστι συναλλάγματα, τὸ δὲ περὶ τὰ ἀκούσια. ἐροῦμεν δὲ ἀκριβέστερον περὶ ἑκάστου.

Περὶ τῆς ἐν δικαιοσύνῃ ἰσότητος καὶ ἀναλογίας καὶ περὶ τοῦ διανεμητικοῦ εἴδους τοῦ δικαίου. κεφ. δʹ.

Ἔστι τοίνυν τὸ δίκαιον καὶ μέσον καὶ ἴσον καὶ ἀνάλογον καὶ ἡ δικαιοσύνη μεσότητος καὶ ἰσότητος καὶ ἀναλογίας ποιητική. καὶ μέσον μέν ἐστι τὸ δίκαιον, ὅτι μεταξύ ἐστι τοῦ τε πλείονος καὶ ἐλάττονος καὶ τοῦ ὑπὲρ τὸ δέον καὶ παρὰ τὸ δέον, ὥσπερ καὶ πᾶσαι αἱ ἀρεταί. καὶ τοῦτο κοινόν ἐστι τῇ δικαιοσύνῃ πρὸς τὰς ἄλλας ἀρετάς· τὸ δὲ ἴσον ἴδιόν ἐστι τῆς δικαιοσύνης, ὅτι ἑκάστῳ τὸ ἁρμόζον καὶ τὸ προσῆκον ἀποδίδωσι· καὶ ὃ δίδωσι τῷ λαμβάνοντι ἴσον ἐστί· τὰ γὰρ ἐφαρμόζοντα ἴσα. τὸ δὲ προσῆκον τρόπον τινὰ ἐφαρμόζει. ἄλλως τε ἐπεὶ ἡ ἀδικία ἀνισότης ἐστὶ καὶ τὸ ἄδικον ἄνισον, εἰκὸς ἂν εἴη τὴν δικαιοσύνην ἰσότητα εἶναι καὶ τὸ δίκαιον ἴσον· μέσον γάρ ἐστι τοῦ πλείονος καὶ τοῦ ἐλάττονος· ἐν ὁποίᾳ 162
γὰρ πράξει τὸ πλέον ἐστὶ καὶ τὸ ἔλαττον, ἀνάγκη καὶ τὸ ἴσον εἶναι· καὶ χωρὶς δὲ λόγου τινὸς οὕτω πᾶσι δοκεῖ τὸ δίκαιον ἴσον εἶναι. ἀνάλογον δέ ἐστιν, ὅτι κατὰ τὴν διανομὴν ἀνάλογα τίθησι τὰ διανεμόμενα τοῖς λαμβάνουσι. καὶ τοῦτον τὸν λόγον ἔχει τὰ διδόμενα πρὸς ἄλληλα, ὃν οἱ λαμβάνοντες πρὸς ἀλλήλους· εἰ γὰρ ὁ Ἀχιλλεὺς τοῦ Αἴαντος διπλασίων, φέρε εἰπεῖν, κατὰ τὴν ἀρετήν, ἡ πρὸς τὸν Ἀχιλλέα τιμὴ τῆς πρὸς τὸν Αἴαντα διπλασίων δοθήσεται παρὰ τοῦ δικαίου. καὶ καθόσον μέν ἐστι μέσον, πολλῶν ἐστι, τὰ γὰρ ἔξω τοῦ μέσου ἐγγὺς ὄντα καὶ πόρρω μᾶλλον καὶ ἧττον πολλά, καθόσον δὲ ἴσον, δύο τινῶν ἐστι, τοῦ τε λαμβάνοντος καὶ τοῦ δώρου· τὸ γὰρ ἴσον τῶν πρός τι ὂν ἀεὶ δύο τινῶν ἐστι· καθόσον δὲ ἀνάλογόν ἐστι τὸ δίκαιον, τὸ ἐλάχιστον τεσσάρων ἐστίν· ἡ γὰρ ἀναλογία ἀεὶ τεσσάρων· ἡ γὰρ ἀναλογία δύο λόγων ἐστὶν ἰσότης, ὁ δὲ λόγος ἐν δυσίν ἐστιν ὅροις· ὥστε ἀνάγκην εἶναι τὴν ἀναλογίαν τεσσάρων εἶναι, οἷον λόγος ἐστὶν ὁ διπλάσιος, φέρε εἰπεῖν, ἢ ὁ τριπλάσιος· ὁ δὲ διπλάσιος δύο τινῶν ἐστι σχέσις τοῦ μὲν ὄντος διπλασίου, τοῦ δὲ ἡμίσεως, ὥσπερ ὁ εἴκοσι τοῦ δέκα· ὥστε δύο ἀνάγκη ὅρους ἐν τῷ ἑνὶ εἶναι λόγῳ. εἰ δὲ λάβοιμεν καὶ τὸν αὐτὸν λόγον ἐν ἄλλοις δυσὶν ὅροις, οἷον τῷ ιβʹ καὶ ϛʹ, ἀναλογίαν ποιήσομεν, καὶ ἔσται ὡς ὁ κʹ πρὸς τὸν ιʹ ὁ ιβʹ πρὸς ϛʹ· καὶ οὕτως ἀεὶ

2 καὶ om. h 3 βίαια post τοιαῦτα add. h 4 ἢ (ante ζημίαν) B: ἢ διὰ h 6. 7 τοῦ δὲ περὶ τὰ συναλλάγματα h: om. B 34 ὁ δὲ διπλάσιος om. h 35 ἡμίσεος B 36 ἐν om. h 38 κʹ B: αʹ h τὸν om. h

ἔσται ἡ ἀναλογία ἐν τέσσαρσι τὸ ἐλάχιστον· δυνατὸν γὰρ καὶ ἐν πλείοσιν εἶναι. εἰ δὲ τρεῖς συμβαίνει πολλάκις ὅρους λαβεῖν καὶ ἀναλογίαν ποιῆσαι· ὥσπερ γὰρ ὁ κ′ πρὸς ι′, ὁ ι′ πρὸς ε′· ἀλλ' ὅτι τὸν δέκα δὶς λαμβάνομεν, τέσσαρες γίνονται πάλιν. καλεῖται δὲ ἡ μὲν τοιαύτη ἀναλογία συνεχής, ἡ δὲ | διὰ τεσσάρων ὅρων, διῃρημένη. ἑκατέραν δὲ γεωμετρικὴν ἀναλο- 163 γίαν οἱ μαθηματικοὶ καλοῦσι διὰ τὸ καὶ ἄλλην ἀναλογίαν εἶναι, ἥτις ἀριθμητικὴ ἀναλογία καλεῖται. ἔστι δὲ ἀριθμητικὴ ἀναλογία, ὅταν τὸ α′ ὑπερέχῃ τοῦ β′ τοσοῦτον, ὅσον τὸ γ′ ὑπερέχει τοῦ δ′. τὸ δὲ διανεμητικὸν δίκαιον ἀνάλογόν ἐστι κατὰ τὴν γεωμετρικὴν ἀναλογίαν· τὸ δὲ αἴτιον ἐροῦμεν. ὑποκείσθω δὴ τὸ μὲν διανεμόμενον τιμή, πρὸς οὓς διανέμεται ὁ Ἀχιλλεὺς καὶ ὁ Αἴας· δεῖ δὴ λόγον ἔχειν τὴν τιμὴν πρὸς τὴν τιμήν, ὃν ὁ Ἀχιλλεὺς πρὸς τὸν Αἴαντα· καὶ ἐναλλάξ, ὃν ἡ τιμὴ τοῦ Ἀχιλλέως πρὸς τὸν Ἀχιλλέα, ἡ τιμὴ τοῦ Αἴαντος πρὸς τὸν Αἴαντα· καὶ συνθέντι, ὃν ἔχει λόγον ὁ τετιμημένος Ἀχιλλεὺς πρὸς τὸν Ἀχιλλέα, τοῦτον ὁ τετιμημένος Αἴας πρὸς τὸν Αἴαντα· καὶ ἐναλλάξ, ὃν λόγον ἔχει ὁ τετιμημένος Ἀχιλλεὺς πρὸς τὸν τετιμημένον Αἴαντα, τοῦτον ἔχει τὸν λόγον ὁ Ἀχιλλεὺς πρὸς τὸν Αἴαντα· αὕτη δὴ πᾶσα ἡ ἀναλογία τῷ διανεμητικῷ δικαίῳ προσήκει, ἥτις εὑρεθῆναι οὐ δύναται ἐν τῇ ἀριθμητικῇ ἀναλογίᾳ, ἀλλ' ἐν τῇ γεωμετρικῇ μόνον. καὶ ὅτι μὲν ἐν τῇ γεωμετρικῇ ἀναλογίᾳ ταῦτα τὰ εἴδη πάντα τῶν ἀναλογιῶν εὑρίσκονται, δείκνυσιν ὁ γεωμέτρης. ὅτι δὲ ἐν τῇ ἀριθμητικῇ οὐ δύναται εὑρεθῆναι, δῆλον ἐκεῖθεν· ἔστωσαν γὰρ ἀριθμοὶ τέσσαρες ἐν ἀριθμητικῇ ἀναλογίᾳ, ὁ δ′ καὶ ὁ γ′, καὶ ὁ ϛ′ καὶ ὁ ε′· ὑπερέχει δὴ ὁ δ′ τοῦ γ′ ὅσον ὑπερέχει ὁ ϛ′ τοῦ ε′· ἀλλὰ συνθέντι οὐκ ἔσται ἀνάλογον ἀριθμητικῶς· συντεθέντα γὰρ ὁ ϛ′ καὶ ὁ ε′ ὑπερέξει τοῦ ε′ τῷ ϛ′· ὁ δὲ δ′ καὶ γ′ συντεθέντα ὑπερέξει τοῦ γ′ τῷ δ′· καὶ οὕτω διῃρημένα μὲν ἀνάλογον ἔχει ἀριθμητι|κῶς· ἡ αὐτὴ γὰρ ὑπεροχὴ τοῦ δ′ 164 πρὸς τὸ γ′, ἥτις ἐστὶ τοῦ ϛ′ πρὸς ε′· συντεθέντα δὲ οὐκέτι ἀνάλογόν ἐστι· μᾶλλον γὰρ ὑπερέχει ὁ ια′ τοῦ ε′, ἢ ὁ ζ′ τοῦ γ′. διὰ ταῦτα δὴ τὸ διανεμητικὸν δίκαιον ἀνάλογόν ἐστι κατὰ τὴν γεωμετρικὴν ἀναλογίαν καὶ οὐ κατὰ τὴν συνημμένην ἀλλὰ κατὰ τὴν διῃρημένην· τέσσαρας γὰρ εἶναι δεῖ τοὺς ὅρους τῷ ἀριθμῷ· οὐ γὰρ δυνατὸν τὸ [γὰρ] διδόμενον καὶ τὸν λαμβάνοντα ἓν εἶναι τῷ ἀριθμῷ. καὶ τὸ δίκαιον ἐκεῖνο ἀνάλογόν ἐστιν, ὅσον ἐστὶν ἐν ταῖς διανομαῖς, ὅταν ἕκαστος λάβῃ τὸ κατ' ἀξίαν, ἢ τιμὴν ἢ χρήματα ἢ ἄλλο τι τῶν μεριζομένων· ὅθεν εἰρήνη γίνεται καὶ τάξις ταῖς πολιτείαις· ἀπὸ γὰρ τῶν ἐναντίων αἱ στάσεις καὶ μάχαι καὶ τὰ ἐγκλήματα, ὅταν ἢ οἱ ἴσοι μὴ ἴσα λάβωσιν, ἢ μὴ ἴσοι ἴσα. ὅτι δὲ ἀναλογίαν ζητεῖ ὁ μετὰ δικαιοσύνης ποιούμενος τὴν διανομήν, καὶ ἀπὸ τούτου δῆλον· τὸ γὰρ κατ' ἀξίαν ἑκάστου, τοῦτο πάντες νομίζουσι δίκαιον· τὴν ἀξίαν δέ, δι' ἥν τις τιμᾶται, οὐ τὴν αὐτὴν πάντες λέγουσιν· ἀλλ' οἱ μὲν δημοκρατικοὶ τὴν ἐλευθερίαν λέγουσιν, οἱ δὲ ὀλιγαρχικοὶ τὸν πλοῦτον, οἱ δ' ἀριστοκρατικοὶ ἀρετήν. ἐπεὶ τοίνυν διάφοροί εἰσιν αἱ ἀξίαι, εἴ τις μετὰ δικαιοσύνης

25 δ′ prius h: τέταρτος B 27 τὸ om. h 31 τὸ γὰρ διδόμενον B: τὸ διδόμενον h 34 ταῖς om. h 35 καὶ αἱ μάχαι h

βουληθείη τιμὴν διανεῖμαι κατὰ τὴν ἀξίαν ἑκάστῳ, οὐκ ἴσην ποιήσεται τὴν διανομὴν ἀλλὰ ἀνάλογον. τὸ μὲν οὖν δίκαιον ἀνάλογον, καθὼς εἴρηται· τὸ ἄδικον δὲ τὸ ἔξω τοῦ ἀναλόγου, ὅταν ἡ διανομὴ κατὰ τὸ πλεῖον τῆς ἀξίας καὶ τὸ ἔλαττον γίνηται, ὅπερ καὶ ἐπὶ τῶν ἔργων τῶν ἄλλων τῆς ἀδικίας συμβαίνει. καὶ γὰρ ὁ ἀδικῶν τοῦ ἀδικουμένου πλεῖον ἀγαθὸν ἔχειν ζητεῖ, ὁ δὲ ἀδικούμενος ἔλαττον ἔχει· καὶ ἐπὶ τοῦ κακοῦ δὲ τὸ ἀνάπαλιν· 165 ὁ μὲν ἀδικῶν ἔλαττον κακὸν ἔχει, ὁ δὲ ἀδικούμενος μεῖζον· διότι τὸ ἔλαττον κακὸν μᾶλλον αἱρετὸν τοῦ μείζονος, καὶ ὡς μεῖζον ἀγαθὸν τὸ ἔλαττον κακὸν ζητεῖται. τὸ μὲν οὖν διανεμητικὸν εἶδος τοῦ δικαίου τοῦτό ἐστι. λέγομεν δὲ ἤδη περὶ θατέρου.

Περὶ τοῦ διορθωτικοῦ εἴδους τῆς δικαιοσύνης καὶ περὶ τῆς κατ' αὐτὸ ἀναλογίας. κεφ. ε'.

Τὸ δὲ δεύτερον εἶδος τοῦ δικαίου τὸ διορθωτικόν, ὃ περὶ τὰ συναλλάγματά ἐστι, τά τε ἑκούσια καὶ τὰ ἀκούσια καὶ τὰ λαθραῖα καὶ τὰ βίαια. ἔστι μὲν καὶ αὐτὸ κατὰ ἀναλογίαν τινά, ἀλλ' οὐ κατὰ τὴν γεωμετρικήν, καθ' ἣν ὑπῆρχε τὸ πρῶτον εἶδος, τὸ διανεμητικόν, ἀλλὰ κατὰ ἀριθμητικήν. τὸ μὲν γὰρ διανεμητικὸν δίκαιον ἀπὸ τῶν κοινῶν εἰς τοὺς πολίτας ποιούμενον τὴν διανομήν, ἀναλόγως ἑκάστῳ δίδωσι κατὰ τὴν ἀξίαν ἑκάστου καὶ τὴν εἰσφοράν, ἣν εἰς τὸ κοινὸν συνετέλεσεν· ἐπεὶ οὐ πάντες ὅμοιοι οὐδὲ πάντες ὁμοίως εἰσφέρουσιν· ὅθεν οὐ τὰ ἴσα ἀλλὰ τὰ ἀνάλογα δέχονται· τὸ δὲ διορθωτικὸν τῶν συναλλαγμάτων δίκαιον ὅρους μὲν ἔχει τὸν ἠδικηκότα καὶ τὸν ἠδικημένον. δίδωσι δὲ ἑκάστῳ οὐ τὸ ἀνάλογον ἀλλὰ τὸ ἴσον· τὴν γὰρ ἰσότητα, ἣν ὁ ἀδικῶν διαφθείρει, ἀφαιρούμενος ἀγαθόν τι τοῦ ἠδικημένου καὶ προστιθεὶς ἑαυτῷ, ταύτην ὁ δίκαιος ἀνακαλεῖται ζημιῶν τὸν ἀδικήσαντα τοσοῦτον ὅσον ἠδίκησε· καὶ οὕτως ἑκατέρῳ τὸ ἴσον δίδωσιν. οὕτω δέ τεσσάρων γινομένων τῶν ὅρων, τοῦ τε ἀδικηθέντος καὶ τοῦ ἠδικηκότος, καὶ ὃ πέπονθεν ὁ ἀδικηθεὶς παρὰ τοῦ ἀδικήσαντος, καὶ ὃ πέπονθεν | ὁ ἀδικήσας παρὰ τοῦ δικαστοῦ, συμβαίνει 166 ἀναλογίαν εἶναι ἀριθμητικήν. ᾧ γὰρ ὑπερέσχεν ὁ ἀδικήσας τοῦ ἠδικημένου, τούτῳ ὑπερέχειν ποιεῖ ὁ δικαστὴς τοῦ ἀδικήσαντος τὸν ἠδικημένον· καὶ οὕτω συμβαίνει εἰκόνα τινὰ τῆς τοιαύτης ἀναλογίας τὸ διορθωτικὸν δίκαιον εἶναι. καὶ γὰρ εἰ καὶ ἐπιεικὴς μὲν ὁ ἀποστερῶν, φαῦλος δὲ ὁ ἀποστερηθείς, οὐδὲν πρὸς τὸ τοιοῦτον δίκαιον διαφέρει, οὐδὲ εἰ ὁ μὲν μοιχεύσας φαῦλος, ὁ δὲ ἀδικηθεὶς ἐπιεικής, ἀλλ' ἀεὶ τὴν ἰσότητα ζητητέον τῷ διορθωτῇ· ὡς ἀδικηθεὶς γὰρ μόνον καὶ ὡς ἀδικούμενος ἑκάτερος λαμβάνεται· καὶ ὃ ἐκέρδανεν ὁ ἀδικήσας ἢ ἡδονῆς ἢ χρημάτων ἢ δόξης παρὰ τοῦ ἠδικημένου, καὶ διὰ τοῦτο ὑπερέσχεν αὐτοῦ, τοῦτο ἀποδίδωσιν ὁ δικαστὴς τῷ ἠδικημένῳ, ἢ ζημιώσας τὸν ἠδικηκότα ἢ ἀτιμάσας ἢ αἰκισάμενος ἢ ἀποκτείνας. δυνατὸν δὲ καὶ ἕτερον τρόπον τὴν ἀναλογίαν ταύτην ἐν

2 τὸ ἀνάλογον h 10 λέγομεν B: λέγωμεν h 13 ὃ B: ἣ h 32 ὁ (post δὲ) om. h

ταύτῃ τῇ δικαιοσύνῃ κατιδεῖν. συνεχεῖς ποιησάμενον τοὺς ὅρους· ἔστι γὰρ ὡς ὁ ἀδικήσας πρὸς τὸν ἠδικημένον, οὕτως ὁ δικαστὴς πρὸς τὸν ἀδικήσαντα· οἷς γὰρ ἐποίησε πρὸς τὸν ἠδικημένον ὁ ἀδικήσας, τὰ ἴσα πάσχει παρὰ τοῦ δικαστοῦ. ἐπεὶ τοίνυν ἡ μὲν ἀδικία τὸ μεῖζον καὶ τὸ ἔλαττον εἰσάγει καὶ ἐν τοῖς ἀγαθοῖς καὶ ἐν τοῖς κακοῖς, ἐναντίως μέντοι (ὃς γὰρ τὸ μεῖζον ἀγαθὸν ζητεῖ, τὸ ἔλαττον κακὸν αἱρεῖται), ἡ δὲ δικαιοσύνη τὴν ἰσότητα, ἡ δὲ ἰσότης μέσον ἐστὶ τοῦ μείζονος καὶ τοῦ ἐλάττονος, φανερὸν ὅτι ἡ τοιαύτη δικαιοσύνη μεσότης ἐστὶ μεταξὺ ζημίας καὶ κέρδους. καλείσθω γὰρ ζημία μὲν πᾶν τὸ ἀδικεῖσθαι, κέρδος δὲ πᾶν τὸ ἀδικεῖν καὶ πλεονεκτεῖν, ἄν τε εἰς χρήματα, ἄν τε εἰς δόξαν, | ἄν τε εἰς ἄλλο τι ἀδικεῖν 167 τις ἐθέλῃ. ἔστι τοίνυν τὸ ἐπανορθωτικὸν δίκαιον μέσον ζημίας καὶ κέρδους· διὰ τοῦτο καὶ ὅταν ἀμφισβητῶσιν, ἐπὶ τὸν δικαστὴν καταφεύγουσιν, οἰόμενοι τοῦτον τὸν τρόπον μηδέτερον τούτων ζημιωθῆναι. ὅθεν ἐξ ἀνάγκης μηδὲν κερδᾶναι ἀλλά τι μέσον λαβεῖν. καὶ γὰρ αὐτὸν εἶναι νομίζειν οἷον ἔμψυχον δίκαιον διορθωτικόν· καὶ καλοῦσι δὲ αὐτὸν μέσον, ὡς διὰ τοῦτο τοῦ μέσου τευξόμενοι. ἔνιοι δὲ οὐχ ἕνα μόνον ἀλλὰ καὶ δύο καὶ τρεῖς μεσιδίους καλοῦσιν ἐν ταῖς ἀμφισβητήσεσιν· ὅθεν φαίνονται ὅτι τὸ μέσον ζητοῦσιν, ὡς ταὐτὸν ὂν τὸ μέσον ζητεῖν καὶ τὸ δίκαιον· μέσον ἄρα τὸ δίκαιον, ἐπεὶ καὶ ὁ δικαστὴς μέσος. τὴν μεσότητα καὶ τὸ δίκαιον εἰσάγων καὶ ἐπανισῶν τὴν ἀπὸ τῆς ἀδικίας ἀνισότητα. καὶ ὥσπερ τὴν αβ γραμμὴν εἰς ἄνισα τμηθεῖσαν κατὰ τὸ δ, εἴ τις ἐθέλοι εἰς ἴσα διελεῖν, ἀφελὼν ἀπὸ τῆς μείζονος τῆς βδ τὴν ὑπεροχὴν ἣν ὑπερέχει τῆς ἐλάττονος τῆς δα, τὴν γδ, καὶ προσθεὶς τῇ δα, τὴν αγ ἴσην ἐποίησε τῇ γβ καὶ εὗρε τὴν διχοτομίαν τῆς αβ, οὕτω καὶ ἐπὶ τῆς ἀνισότητος τῆς ἀδικίας συμβαίνει. τὸ γὰρ διορθωτικὸν δίκαιον, ἀφελόμενον ἀπὸ τοῦ κέρδους τοῦ ἠδικηκότος, ὅπερ ὡς ὑπεροχή ἐστιν αὐτοῦ πρὸς τὸν ἠδικημένον, καὶ προστεθὲν τῷ ἠδικημένῳ, ἰσότητα καὶ μεσότητα ἐποίησε. καὶ διὰ τοῦτο καὶ δίκαιον καλεῖται, ὅτι δίχα ἐστίν, ὥσπερ ἂν εἴ τις εἴποι δίχαιον· καὶ ὁ δικαστὴς διχαστής. καὶ ὥσπερ ἐπὶ τῆς γραμμῆς ἔχει, ὅταν δίχα διαιρεθῇ. ὅτι ἡ ἑτέρα τῶν ἴσων εὐθειῶν μέση ἀνάλογόν ἐστι κατὰ τὴν ἀριθμητικὴν ἀναλογίαν τοῦ μείζονος καὶ τοῦ ἐλάττονος, οὕτω καὶ τὸ δίκαιον μέσον ἐστὶ τοῦ κέρδους καὶ τῆς ζημίας, τοῦ | μείζονος ἢ ἀγαθοῦ 168 ἢ κακοῦ καὶ τοῦ ἐλάττονος· ἔλαττον μὲν τοῦ μείζονος, μεῖζον δὲ τοῦ ἐλάττονος. ὅτι δὲ ἐπὶ τῆς γραμμῆς οὕτως ἔχει, καθὼς εἴρηται, φανερόν· ἡ γὰρ βδ ὑπερέχει τῆς γα τῇ γδ· ἡ ⟨δὲ⟩ γα ὑπερέχει τῆς αδ τῇ αὐτῇ τῇ γδ· ὥστε αἱ μὲν βδ, γα, αδ ἀνάλογον ἔχουσι κατὰ ἀριθμητικὴν ἀναλογίαν· μέση δέ ἐστιν ἡ γα, ἡ ἴση τῇ γβ, ἥτις ἐλάττων μέν ἐστι τῆς βδ, μείζων δὲ τῆς αδ, τῇ αὐτῇ τῇ γδ ἐλαττουμένη καὶ ὑπερέχουσα. ἔτι δὲ καὶ ἐκεῖθεν δῆλον, τὸ δίκαιον καὶ τὸ ἴσον μέσον ἀνάλογον εἶναι τῆς ζημίας καὶ τοῦ κέρδους, κατὰ τὴν ἀριθμητικὴν ἀναλογίαν· ἔστωσαν τρεῖς εὐθεῖαι ἴσαι ἀλλήλαις, αἱ αα, ββ, γγ· τετμήσθω δὲ ἡ αα δίχα κατὰ τὸ ε, ἥ τε

14 μηδὲν h: μηδὲ B 19 ἄρα τὸ Bh et Arist. cod. Mb: ἄρα τι τὸ Arist. vulg.
27 προστεθὲν Mullach: προσθὲν Bh 35 γδ h: δγ B ἡ δὲ γα h: ἡ γα B

γγ κατὰ τὸ ζ· καὶ ἀφῃρήσθω ἀπὸ τῆς αα ἡ αε· φανερὸν δή, ὅτι ἡ γγ μείζων ἔσται τῆς εα τῇ γζ· προσκείσθω δὲ ἡ ἀφαιρεθεῖσα τῆς αα τῇ γγ. καὶ ἔστω ἡ δγ· φανερὸν δή, ὅτι ἡ δγ μείζων ἐστὶ τῆς εα τῇ τε δγ καὶ τῇ γζ. εἰ τοίνυν δεήσει τῶν ἄκρων εὐθειῶν τὴν ἰσότητα ἐπαναγαγεῖν. διὰ τῆς ββ τοῦτο ποιήσομεν· ὥσπερ γὰρ κανόνα τῇ γδ ἐφαρμόσαντες τὴν ὑπεροχὴν ἀφελοῦμεν· ἐφαρμόσαντες δὲ τῇ αα, τὸ ἐλλεῖπον προσθήσομεν· καὶ οὕτως ἔσονται πάλιν αἱ ἄκραι ἴσαι ἀλλήλαις. αὕτη δὴ ἡ τὴν ἰσότητα ἐπανάγουσα ββ μέση ἀνάλογόν ἐστι κατὰ ἀριθμητικὴν τῇ δγ καὶ εα· ἡ μὲν γὰρ δγ τῆς ββ ὑπερέχει τῇ δγ, ἡ δὲ ββ τῆς εα ὑπερέχει τῇ αὐτῇ τῇ δγ· ὅτι δὲ καὶ ἐπὶ τοῦ διορθωτικοῦ δικαίου τὸ αὐτὸ συμβαίνει, φανερὸν ἐκ τῶν εἰρημένων. τοῦτο δὲ καὶ ἐπὶ τῶν τεχνῶν συμβαίνει. τότε γὰρ εὖ ἔχουσι καὶ συνίστανται, ὅταν ἐν χρείᾳ τούτων γενώμεθα, καὶ τοσοῦτον τεχνιτῶν δεώμεθα, ὅσον αὐτοὶ περὶ τὴν τέχνην | πονοῦσι καὶ ζη- 169
μιοῦνται· οὕτω γὰρ δυνατὸν συνιστάναι τοὺς τεχνίτας, τὴν ἔνδειαν παρὰ τῶν δεομένων ἀναπληροῦντας. εἰ δὲ οἱ μὲν πονοῦσι καὶ ποιοῦσι τὰς τέχνας, οἱ πάσχοντες δὲ αὐτάς, οἱ δεόμενοι αὐτῶν δηλονότι, οὐχ οὕτω πάσχουσιν ὡς ἐκεῖνοι ποιοῦσιν, ἀλλὰ πολλῷ ἔλαττον, οὐδὲν κωλύει πάσας ἀπολέσθαι. διὰ τοῦτο κἀνταῦθα τὸ μέσον καὶ τὸ ἴσον ἀναγκαῖόν ἐστιν, ὅ ἐστι μεταξὺ ζημίας καὶ κέρδους. ταῦτα δὲ τὰ ὀνόματα, ἡ ζημία καὶ τὸ κέρδος, λέγεται μὲν κυρίως ἐπὶ τῶν ἑκουσίων συναλλαγμάτων. ἐλήφθη δὲ καὶ ἐπὶ τῶν ἀκουσίων. λέγεται γὰρ ἁπλῶς κερδαίνειν τὸ κτήσασθαι πλείονα ὧν τις κέκτηται· ὁμοίως καὶ ζημιοῦσθαι τὸ κτήσασθαι ἐλάττονα ὧν εἶχεν ἐξ ἀρχῆς· τὸ δὲ τὰ ὄντα ἔχειν οὔτε ζημία οὔτε κέρδος ὀνομάζεται ἀλλά τι μέσον· ὥστε κέρδους τινὸς καὶ ζημίας μέσον τὸ δίκαιόν ἐστι· λέγω δὲ τῶν ἐν τοῖς ἀκουσίοις συναλλάγμασιν, ὅταν τις τοσαῦτα λάβῃ, ὅσα εἶχε πρὶν ἀδικηθῆναι ἢ ἀδικῆσαι, τοῦτ' ἔστι κερδᾶναι ἢ ζημιωθῆναι. τὸ γὰρ ἐν τοῖς ἑκουσίοις συναλλάγμασι κέρδος οὔτε ἄδικόν ἐστιν οὔτε εὐθύνεται· τούτων γὰρ ἄδειαν ἔδωκεν ὁ νόμος.

Ὅτι τὸ ἀντιπεπονθὸς οὐκ ἔστιν εἶδος δικαιοσύνης, εἰ μὴ κατὰ ἀναλογίαν ἡ ἀντιπεπόνθησις γένοιτο. κεφ. ϛ'.

Οἱ δὲ Πυθαγόρειοι ἔλεγον δίκαιον εἶναι τὸ ἀντιπεπονθός, τὸ τὰ αὐτὰ πάσχειν ἃ ποιεῖ τις· καὶ πρὸς τοῦτο φέρειν καὶ τὸ τοῦ Ῥαδαμάνθυος ἔπος

εἴ κε πάθοι τά κ' ἔρεξε, δίκη κ' ἰθεῖα γένοιτο.


τοῦτο δὲ τὸ ἀντιπεπονθὸς οὐκ ἐφαρμόττει οὐδενὶ εἴδει τοῦ δικαίου. οὔτε 170
γὰρ τὸ διανεμητικὸν δίκαιον τοιοῦτόν ἐστιν οὔτε τὸ διορθωτικόν· ἐπὶ μὲν γὰρ τῆς διανομῆς οὐ δυνατὸν ἀεὶ τὸν πολίτην ἐκεῖνα πάσχειν εὖ ἀπὸ τοῦ κοινοῦ ἅπερ ἐποίησεν· εἰ γὰρ τύραννον ἀπέκτεινε, πῶς τὸ αὐτὸ πείσεται; ἐπὶ δὲ τοῦ διορθωτικοῦ δικαίου πολλαχοῦ διαφωνεῖ· εἰ γάρ τις ἄρχοντα

---

8 ἀριθμητικὴν h: ἀριθμητικῶς B | τῇ B: τῆς h 14 συνιστάναι h: συνεστάναι B
34 Hesiod. frg. 212 Mark.

ἐπάταξεν, οὐ δίκαιον πληγῆναι μόνον ἀλλὰ καὶ κολασθῆναι· καὶ εἴ τις
ἄρχων ὤν τινα τῶν ἀρχομένων ἐπάταξεν, οὐ δίκαιον τὰ ἴσα παθεῖν· εἰ
δέ τις καὶ ἀκουσίως καὶ ἀγνοῶν ἔβλαψε τὸν πέλας, οὐ δίκαιόν ἐστιν ὁμοίως
ἀντιβλαβῆναι. δυνατὸν δὲ τὴν τοιαύτην ἀντιπάθειαν δικαίαν εἶναι ἐν ταῖς 10
ἀλλακτικαῖς κοινωνίαις, οἷον ἐν τῷ εὖ ποιεῖν ἀλλήλους καὶ κακῶς ποιεῖν
καὶ ἐν τοῖς τῶν τεχνῶν πρὸς ἀλλήλας συναλλάγμασι· πλὴν τὴν ἀντιπάθειαν
οὐ κατὰ τὸ ἴσον ἐκλαβεῖν δεῖ ἀλλὰ κατὰ τὸ ἀνάλογον. ὁ γὰρ τὸν ἄρχοντα
τυπτήσας τὴν τάξιν τῆς πολιτείας ἀνεῖλε. καὶ οὐ τυπτηθήσεται ἀλλὰ ἀπο-
κτανθήσεται· καὶ ὁ τὸν γάμον τοῦ πέλας διαφθείρας πείσεται μὲν καὶ αὐ-
τὸς κακῶς, οὐ τὰ αὐτὰ δέ, ἀλλὰ κατὰ τὸ ἀνάλογον· εἴτε γὰρ μὴ πείσεται
κακῶς ὁ δράσας κακῶς, δουλεία τις ἔσται καὶ τυραννὶς ἡ πολιτεία· εἴτε 20
τὰ αὐτὰ πείσεται ἅπερ ἔδρασεν, ἄτοπόν τι καὶ αἰσχρόν. ὁμοίως δὲ ἔχει
καὶ ἐπὶ τῶν χαρίτων καὶ τοῦ εὖ ποιεῖν καὶ εὖ πάσχειν· πρὸς μὲν γὰρ τὴν
ἰσότητα τῆς πολιτείας ἀναγκαῖόν ἐστι τὸν εὖ παθόντα καὶ εὖ ποιῆσαι καὶ
τὴν χάριν ἀμείψασθαι καὶ ἔτι δευτέρων ἄρξαι χαρίτων· εἰ γὰρ μὴ τοῦτο
εἴη. ἀπολεῖται ἡ μετάδοσις, ἣ συνέχει τὴν πολιτείαν καὶ τὴν ὁμόνοιαν.
διὰ τοῦτο καὶ Χαρίτων ἱερὸν ἐν ἑκάστῃ τῶν πόλεων ἵδρυται. | ἵνα αἱ 171
χάριτες τιμῶνται διὰ τῆς ἀντιχάριτος. οὐ δυνατὸν δὲ τὴν χάριν τὴν αὐ-
τὴν εἶναι τῇ ἀντιχάριτι ἀλλὰ ἀνάλογον· δίδωσι γάρ τίς τινι οὗ δεῖται ὁ
λαμβάνων, καὶ λαμβάνει παρ' ἐκείνου, οὗπερ αὐτὸς ἐν χρείᾳ καθέστηκε·
καὶ οὕτω χαίρει καὶ χαίρειν ποιεῖ· εἰ δὲ τὰ αὐτὰ λήψεται ἃ δέδωκε. τίς
ἡ χάρις; ὥστε τὸ εὖ ποιεῖν καὶ εὖ πάσχειν οὐ κατὰ τὸ αὐτὸ ἀλλὰ κατὰ
τὸ ἀνάλογον γίνεται. τοῦτο δὲ καὶ ἐκεῖθεν φανερώτερον γένοιτ' ἄν. αἱ
μεταδόσεις καὶ ἀντιδόσεις κοινωνίαι τινές εἰσιν· αἱ δὲ κοινωνίαι τῶν ἐν 10
χρείᾳ· ἐκείνου γάρ τις ζητεῖ κοινωνεῖν, οὗ χρείαν ἔχει· τὸ δὲ ἐν χρείᾳ
εἶναι τῶν ἀνομοίων ἐστίν· οὐ γὰρ δεῖταί τις ἑαυτοῦ ἢ τῶν ἑαυτοῦ ἢ ὧν
αὐτὸς δύναται ποιεῖν ἀλλ' ὧν οὐκ ἔχει οὐδὲ δύναται ποιεῖν ἐκείνων ζητεῖ
τῷ πλησίον κοινωνεῖν· ὁ γὰρ σκυτοτόμος οὐ δεῖται τοῦ σκυτοτόμου οὐδὲ
ὁ ἰατρὸς τοῦ ἰατροῦ ἀλλ' ὁ σκυτοτόμος ἰατροῦ καὶ ὁ ἰατρὸς σκυτοτόμου,
ὥστε φανερόν. ὅτι αἱ χάριτες τῶν ἀνομοίων εἰσίν. αἱ ἄρα μεταδόσεις καὶ
ἀντιδόσεις οὐχ αἱ αὐταὶ ἔσονται. ἀλλ' ἵνα καὶ κατὰ τὸ δίκαιον γίνωνται.
κατὰ τὸ ἀνάλογον τὴν ἰσότητα ἐκληπτέον· ὁ γὰρ σκυτοτόμος τῷ οἰκοδόμῳ
ὑπόδημα δώσει. λήψεται δὲ ὅσα εἰς οἰκίαν φέρει ἀναλόγως τῇ χάριτι· καὶ 20
ὁ ἰατρὸς τῷ γεωργῷ ἄλλα μὲν δώσει. ἄλλα δὲ παρ' αὐτοῦ λήψεται κατὰ
ἀναλογίαν. ἐνδέχεται γὰρ τὸ ἑτέρου ἔργον τιμιώτερον εἶναι θατέρου· οὐ
γὰρ ἀντὶ οἰκίας ὑποδήματα δώσει ὁ σκυτοτόμος τῷ οἰκοδόμῳ, ἀλλὰ το-
σοῦτον δεῖ εἰσενεγκεῖν τὸν σκυτοτόμον εἰς τὴν ἀντίδοσιν. ὅσον ἐκεῖνος εἰς
τὴν οἰκίαν ἐζημιώθη· εἰ δὲ μή. ἄνισα ἔσται τὰ ἀλλάγματα καὶ αἱ χάριτες
ἀνώμαλοι. δεῖ τοίνυν ἐν ταῖς | χάρισι τηρεῖν τὴν ἰσότητα· πλὴν κατὰ 172
τὴν ἀναλογίαν. ἣν ποιεῖ ἡ κατὰ διάμετρον σύζευξις· διάμετρος μὲν γάρ
ἐστιν ἡ ἀπὸ τῆς γωνίας τοῦ παραλληλογράμμου ἐπὶ τὴν ἀπεναντίον γωνίαν

6 ἀλλήλας B: ἀλλήλους h 8 τυπτηθήσεται B: τυπτήσεται h 22 ὥστε καὶ h
30. 31 καὶ αἱ ἀντιδόσεις h 31 αἱ αὐταὶ Mullach: ἑαυταὶ B: αὐταὶ h



ἐπιζευγνυμένη εὐθεῖα. ἔστω δὲ ὥσπερ τετράγωνον οἱ τέσσαρες ὅροι· ὁ οἰκοδόμος ὁ σκυτοτόμος τὸ ὑπόδημα ἡ οἰκία· ὁ οἰκοδόμος μέν, ἐφ' οὗ τὸ α, σκυτοτόμος δέ, ἐφ' οὗ τὸ γ, οἰκία, ἐφ' οὗ τὸ β, ὑπόδημα, ἐφ' οὗ τὸ δ· ἐπεὶ τοίνυν ὑπὸ τὸν σκυτοτόμον τὸ ὑπόδημα τίθεται, ὥσπερ τὸ δ ὑπὸ τὸ γ, καὶ ὑπὸ τὸν οἰκοδόμον ἡ οἰκία, ὥσπερ τὸ β ὑπὸ τὸ α, ἐν ταῖς πρὸς ἀλλήλους κοινωνίαις συναφθήσεται μὲν ὁ οἰκοδόμος τοῖς ὑποδήμασιν, ὥσπερ συνάπτεται τὸ α τῷ δ, ὁ δὲ σκυτοτόμος τῇ οἰκίᾳ, ὥσπερ τὸ γ τῷ β· καὶ οὕτως ἔσονται αἱ κοινωνίαι κατὰ διάμετρον, οὐ κατὰ τὰ αὐτὰ ἀλλὰ κατὰ τὰ ἀνάλογα. διὰ τοῦτο δεῖ τὰ ἀλλασσόμενα λόγον ἔχειν καὶ συμμετρίαν πρὸς ἄλληλα· εἰσὶ γὰρ ἔνια, ἃ οὐδὲ δύναται σχεδὸν | [173] ἀλλαγῆναι διὰ τὸ ἀσύμμετρα εἶναι, οἷον τὸ τοῦ αὐλητοῦ ἔργον καὶ τὸ τοῦ οἰκοδόμου. διὰ τοῦτο παρελήφθη τὰ νομίσματα, ἅτινα πρὸς πᾶν ἔργον δύνανται ἀλλαγῆναι καὶ παντὸς ἔργου τὴν ἀξίαν μετροῦσιν· ἀπὸ τούτων γὰρ γινώσκομεν πόσων ὑποδημάτων ἡ οἰκία ἀξία ἐστὶν ἢ πόσης τροφῆς ἢ ἄλλων ἔργων· εἰ γὰρ μὴ ἡ ἀξία ἑκάστου γινώσκοιτο, οὐ δύναται συστῆναι ἡ ἀλλαγὴ καὶ ἡ κοινωνία· τὸ γὰρ μὴ διδόναι καὶ λαμβάνειν ἀξίως οὐκ ἔστιν ἀλλαγὴ οὐδὲ κοινωνία. διὰ τοῦτο ἀνάγκη εἶναί τι ἓν μέτρον κοινὸν ἁπάντων, ᾧ πάντα δυνάμεθα μετρεῖν καὶ δι' οὗ τὴν ἀξίαν ἑκάστου γινώσκομεν. ἔστι δὲ φύσει μὲν καὶ ἀληθείᾳ ἡ χρεία μέτρον ἁπάντων· καθόσον γάρ τις δεῖταί τινος, κατὰ τοσοῦτον βούλεται αὐτῷ κοινωνεῖν· εἰ γὰρ μὴ δέοιτο τῶν ἑτέρου ἢ μὴ ὥσπερ ἄλλος τῶν ἐκείνου ἀλλὰ ἔλαττον, οὐκ ἔσται ποτὲ ἀλλαγή· δεόμενος δὲ τὰ ἑαυτοῦ δίδωσι καὶ λαμβάνει τὰ τῶν ἄλλων. ἡ μὲν οὖν χρεία φύσει καὶ ἀληθείᾳ μέτρον ἐστὶ τῶν πραγμάτων· αὕτη γὰρ πάντας εἰς ἓν συνάγει· νόμῳ δὲ καὶ κατὰ συνθήκην τὸ νόμισμα· καὶ διὰ τοῦτο καὶ νόμισμα καλεῖται, ὅτι οὐκ ἔστι φύσει, ἀλλὰ παρ' ἡμῶν ἐτέθη, καὶ ἐφ' ἡμῖν ἔστι μεταβαλεῖν αὐτὸ καὶ ποιῆσαι ἄχρηστον. ἔστι τοίνυν καὶ τὸ νόμισμα μέτρον, ὡς εἴρηται, τῆς τῶν πραγμάτων ἀξίας. καὶ αὐτοῦ μὲν οὐκ ἔστι χρεία δι' ἑαυτό, ἔστι δὲ ὥσπερ ὑπάλλαγμα τῆς χρείας· διὰ τούτων

7 ἐφ' (ante οὗ τὸ γ) h: ὑφ' in rasura B   20 ἀξίως B: ἀξίωμα h   21 ᾧ h: ὧν B   32 ἑαυτό B: ἑαυτῆς h

τοίνυν τῶν μέτρων γνωσθείσης ἑκάστου τῆς ἀξίας τῶν ἔργων. ἡ ἀλλαγὴ ἰσόρροπος ἔσται κατὰ τὸ ἀνάλογον. ἡ δὲ ἀναλογία ἔσται ἀντιπεπονθότως· 174 οὕτω γὰρ δυνατὸν ἰσασθῆναι τὴν ἀλλαγήν. ἀντιπεπονθότα δὲ λέγονται παρὰ τοῖς μαθηματικοῖς, ὅταν ᾖ ὡς τὸ α πρὸς τὸ β, τὸ γ πρὸς τὸ δ· καὶ ὡς τὸ α πρὸς τὸ γ, τὸ δ πρὸς τὸ β· εἰ τοῦτον τοίνυν τὸν τρόπον ἀνάλογον ἔσται τὰ ἀλλασσόμενα καὶ οἱ ἀλλάσσοντες, δικαία ἔσται ἡ ἀλλαγή. ἔστω

γεωργός σκυτοτόμος

α γ


β δ

σῖτος ὑπόδημα

γὰρ σκυτοτόμος, ἐφ' οὗ γ, γεωργός, ἐφ' οὗ α, ὑποδήματα, ἐφ' οὗ δ, σῖτος, ἐφ' οὗ β· κείσθω δὴ τὸν γεωργὸν πρὸς τὸν σκυτέα διπλάσιον λόγον ἔχειν. ἔσται δὲ καὶ ὁ σῖτος διπλάσιος τῇ ἀξίᾳ τῶν ὑποδημάτων· εἰ τοίνυν ἔσται ὡς ὁ γεωργὸς πρὸς τὸν σκυτέα τὰ ὑποδήματα πρὸς τὴν τροφὴν ἢ τὸν 10 σῖτον, διπλασίονα ἔσται τὰ ὑποδήματα τοῦ σίτου καὶ οὕτως ἔσονται ἄξια τοῦ σίτου· εἰ δὲ μὴ οὕτως ἡ ἀλλαγὴ γένοιτο, οὐ δεῖ εἰς σχῆμα ἀναλογίας ἄγειν αὐτά, οὐ γὰρ δυνατὸν ἰσασθῆναι. εἰ γὰρ μὴ ἔσται ὡς ὁ γεωργὸς πρὸς τὸν σκυτέα τὸ ἔργον τοῦ γεωργοῦ, ὃ λαμβάνει ὁ σκυτεύς, πρὸς τὸ ἔργον τοῦ σκυτέως, ὃ λαμβάνει ὁ γεωργός, οὐκ ἔσται ἰσότης, ἀλλ' ὅταν ἀντιπεπονθότως ἔχωσι, τότε ἀλλαγὴ κυρίως καὶ κοινωνία γίνεται. ὅτι δὲ ἡ χρεία συνέχει τὰς πολιτείας καὶ αὕτη τὰς κοινωνίας ποιεῖ καὶ τὰς 20 ἑνώσεις, καθάπερ ἕν τι ὄν, δῆλον· καὶ γὰρ ὅταν μὴ χρείαν ἔχωσιν ἀλλήλων, οὐκ ἀλλάττονται οὐδὲ κοινωνοῦσιν ἀλλήλοις ἢ ὅταν ὁ μὲν δέηται θατέρου, ἅτερος δὲ θατέρου χρείαν οὐκ ἔχῃ, καὶ τότε γὰρ ὁμοίως ἀκοινώνητοί εἰσιν· ὥσπερ τοὐναντίον, ὅταν οὗ μὲν ἔχει αὐτὸς δέηταί τις. αὐτὸς δὲ χρήζῃ ὧν ἐκεῖνος δοῦναι δυνατός. ἐπεὶ δὲ πολλάκις ὁ μὲν γεωργὸς δεῖται τοῦ ἔργου τοῦ τέκτονος, ὁ δὲ τέκτων οὐ δεῖται τοῦ γεωργικοῦ, ἵνα τὰ ἀλλάγματα καὶ αἱ κοινωνίαι μηδὲ τότε κωλύωνται, παρελήφθη τὸ νό- 175 μισμα· καὶ τοῦτο διδοὺς ὁ γεωργὸς τῷ τέκτονι λαμβάνει παρ' ἐκείνου τὸ ἐκείνου ἔργον· ὃ δὴ τὸ νόμισμα καθάπερ ἐγγυητής ἐστι πρὸς τὸν τέκτονα. ὅτι ἐπειδὰν τῶν τοῦ γεωργοῦ δεηθῇ. δι' αὐτοῦ λήψεται παρὰ τοῦ γεωρ-

13 δὲ B: δὴ h 14 ὁ om. h 17 μὴ om. h 23 δέηται Mullach: δεῖται Bh 24 ἔχῃ h: ἔχει B 26 χρήζῃ Mullach: χρήζει B [illegible] μήδὲ τότε Bh: [illegible] Mullach 31 γεωργικοῦ h

γοῦ, ὧν ἐν χρείᾳ κατέστη. καὶ οὕτω κἀνταῦθα διὰ τὴν μέλλουσαν τοῦ τέκτονος χρείαν ἡ ἀλλαγὴ καὶ ἡ κοινωνία γίνεται. καὶ τὸ νόμισμα δυνάμει ἐστὶ πάντα σχεδόν, ὧν δεῖται ἕκαστος ἑκάστου· καὶ ἡ τούτου χρεία μάλιστα μένει, εἰ καὶ μὴ ἀεὶ ὁμοίως. καὶ γὰρ ἐν μὲν ταῖς εὐθηνίαις πολλή τίς ἐστιν ἡ χρεία τοῦ νομίσματος, ἐν δὲ ταῖς σιτοδείαις οὐκέτι· οὐ γὰρ ἄν τις ἕλοιτο ὀλίγον προέσθαι σῖτον πολλῶν νομισμάτων. ὅμως δὲ δι' ἃ εἴρηται μᾶλλον μένει ἡ τούτου χρεία ἢ ἡ τῶν ἄλλων· διὸ δεῖ πάντα τιμᾶσθαι· οὕτω γὰρ δυνατὸν εἶναι ἀεὶ ἀλλαγὴν καὶ κοινωνίαν. ἀπὸ γὰρ τοῦ πάντα μετρεῖσθαι καὶ τιμᾶσθαι νομίσματι ἡ ἰσότης γίνεται· ἀπὸ δὲ τῆς ἰσότητος ἀλλαγὴν γενέσθαι ⟨δυνατόν⟩. ἰσότητα δὲ οὐκ ἀεὶ δυνατὸν γίνεσθαι ἄνευ νομίσματος· τινὰ γὰρ ἔργα τεχνῶν οὕτως ἀλλήλων διαφέρει, ὥστε παντελῶς ἀσύμμετρα εἶναι καὶ μηδένα λόγον ἔχειν πρὸς ἄλληλα· ὅθεν οὐ δυνατὸν ἰσότητα εὑρεῖν ἐν αὐτοῖς. ὅτι δὲ ἑκάτερος ἑκατέρου δεῖται, διὰ ταύτην τὴν χρείαν παρελήφθη ἕν τι κοινὸν μέτρον, ὃ πάντα μετρεῖ, τὸ νόμισμα· ὃ φύσει μὲν καὶ ἀληθείᾳ οὐ μετρεῖ (οὐ γάρ ἐστι μέρος τῶν μετρουμένων), νόμῳ δέ τινι ἡμετέρῳ καὶ συνθήκῃ· καὶ οὕτως ἐν μέσῳ γενόμενον τῶν ἀσυμμέτρων, σύμμετρα ποιεῖ καὶ ἰσάζει. τοῦτο δὲ ἔσται



καὶ ἀπὸ τοῦ διαγράμματος σαφέστερον. ἔστω τὸ α οἰκία, τὸ δὲ β μναῖ δέκα, τὸ δὲ γ ¦ κλίνη. ἔστω δὲ ἡ οἰκία πέντε μνῶν, ἡ δὲ κλίνη μιᾶς· 176 ὥστε αἱ δέκα μναῖ τὸ β τῆς μὲν κλίνης δεκαπλάσιόν ἐστι, τῆς δὲ οἰκίας διπλάσιον· ἡ ἄρα οἰκία ἡμίσειά ἐστι τῶν δέκα μνῶν. ἐπεὶ τοίνυν ἡ μὲν οἰκία ἥμισυ, ἡ δὲ κλίνη δέκατον τοῦ αὐτοῦ, τὸ δὲ ἥμισυ τοῦ δεκάτου πενταπλάσιον, ἡ ἄρα οἰκία τῆς κλίνης πενταπλασίων· σύμμετρος ἄρα ἡ οἰκία γέγονε τῇ κλίνῃ διὰ μέσου τοῦ νομίσματος, ὃ κοινὸν ἐγένετο μέτρον. εἰ δὲ σύμμετρος, καὶ ἴση γενέσθαι δυνατόν· εἰ γὰρ πενταπλασιασθῇ, ἴση ἔσται τῇ οἰκίᾳ. τί μὲν οὖν τὸ ἄδικον, καὶ τί τὸ δίκαιόν ἐστιν, εἴρηται, κατά τε διανομὴν καὶ διόρθωσιν, ἤτοι τὸ διανεμητικὸν καὶ διορθωτικόν.

Ὅτι ἡ δικαιοσύνη μεσότης ἐστὶ τοῦ ἀδικεῖν καὶ ἀδικεῖσθαι. κεφ. ζʹ.

Τούτων δὲ οὕτω διωρισμένων, φανερόν ἐστιν, ὅτι ἡ δικαιοπραγία με-

10 δυνατόν h: om. B 24 δεκάτου Bh: δεκαπλασίου Mullach 25 πενταπλασίων B: πενταπλάσιος h

σότης ἐστὶ τοῦ ἀδικεῖν καὶ ἀδικεῖσθαι· τὸ μὲν γὰρ πλέον ἐστί, τὸ δὲ ἔλαττον· τὸ μὲν γὰρ ἀδικεῖν οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ πλέον ἔχειν, ὅπου τὸ ἴσον ἔδει· τὸ δὲ ἀδικεῖσθαι, τὸ ἔλαττον ἔχειν. καὶ ἡ δικαιοσύνη μεσότης ἐστὶν οὐ τὸν αὐτὸν τρόπον ταῖς προτέραις ἀρεταῖς· τῶν μὲν γὰρ ἄλλων ἀρετῶν ἑκάστη μέση ἐστὶ δύο κακιῶν, τὴν μὲν ὑπερβάλλουσα τῆς δὲ ἐλλείπουσα· ἡ μὲν γὰρ σωφροσύνη μεταξὺ τῆς ἠλιθιότητος καὶ τῆς ἀκολασίας ἐστίν. ἡ δὲ ἀνδρεία μεταξὺ τῆς δειλίας καὶ τῆς θρασύτητος, καὶ αἱ ἄλλαι ὁμοίως· ἡ δὲ δικαιοσύνη οὐκ ἔχει παρ' ἑκάτερα δύο κακίας, αἷς ἀντίκειται, ἀλλὰ μόνῃ τῇ ἀδικίᾳ ἀντίκειται· μέση δέ ἐστιν, ὅτι τῆς ἀδικίας τὴν ἀνισότητα εἰσαγούσης, τὸ ἴσον αὐτὴ ζη|τεῖ, καὶ τούτου ἐστὶ 177 ποιητική. ὃ δὴ ἴσον μέσον ἐστὶ τοῦ μείζονος καὶ τοῦ ἐλάττονος. καὶ διὰ τοῦτο αὐτὴ μὲν μεσότης ἐστίν, ἡ δὲ ἀδικία ἀκρότης, ὅτι τῶν ἄκρων ἐστί. καὶ ἡ μὲν δικαιοσύνη ἐστὶν ἕξις, καθ' ἣν ὁ δίκαιος κατὰ προαίρεσιν πρακτικός ἐστι τοῦ δικαίου καὶ διανεμητικός, ὥστε καὶ ἑαυτῷ νομοθετεῖν προσηκόντως διανέμειν πρὸς ἄλλους καὶ πρὸς ἑαυτὸν εἰ δεήσει. καὶ τοῖς ἄλλοις παρέχειν κανόνα διανομῆς, οὐχ ἑαυτῷ μὲν πλέον τοῦ ἀγαθοῦ παρέχων ἐν τῇ διανομῇ, ἔλαττον δὲ τῷ πλησίον, ἢ τοῦ βλαβεροῦ ἑαυτῷ μὲν ἔλαττον, πλέον δὲ τῷ πλησίον, ἀλλὰ τὸ ἴσον τοῦ κατὰ ἀναλογίαν· ὁμοίως δὲ καὶ ἄλλῳ νομοθετῶν τὰ ἴσα ποιεῖν ἐν ταῖς διανομαῖς. τοιαύτη μὲν ἡ δικαιοσύνη. ἡ δὲ ἀδικία πᾶν τοὐναντίον· ὑπερβολὴ γὰρ καὶ ἔλλειψίς ἐστι τοῦ ὠφελίμου καὶ βλαβεροῦ παρὰ τὸ ἀνάλογον. ὁ γὰρ ἄδικος ἐν ταῖς διανομαῖς ὑπερβάλλει μὲν τὸν πλησίον ἐν τοῖς ὠφελίμοις, ἐλλείπει δὲ αὐτοῦ ἐν τοῖς βλαβεροῖς· ὅταν δὲ πρὸς ἄλλους τὴν διανομὴν ποιῆται, καὶ τότε μὲν παρὰ τὸ ἀνάλογον, πλὴν οὐ τοὺς αὐτοὺς ποιεῖ τῶν αὐτῶν ὑπερβάλλειν ἢ ἐλλείπειν, ἀλλ' ὡς ἔτυχεν· ὥστε εἶναι καὶ ὑπερβολὴν καὶ ἔλλειψιν ἐν τοῖς ἀδικήμασι τὸ μεῖζον καὶ τὸ ἔλαττον· καὶ μεῖζον μέν ἐστι τὸ ἀδικεῖν, ἔλαττον δὲ τὸ ἀδικεῖσθαι· ὧν μέσον ἐστὶ τὸ ἴσον, ἤτοι τὸ δίκαιον.

Πῶς ἔστιν ἀδικεῖν καὶ μὴ ἄδικον εἶναι. κεφ. η'.

Περὶ μὲν οὖν δικαιοσύνης καὶ ἀδικίας, καὶ τίς ἑκατέρα τούτων ἡ φύσις, καὶ περὶ δικαίου καὶ ἀδίκου, καθόλου εἴρηται. ἐκεῖνο δὲ νῦν ζητητέον· ἐπεί εἰσί τινα ἀδικήματα, ἃ ποιῶν | τις ἀδικεῖ μέν, ἄδικος 178 δὲ οὐκ ἔστι, τίνα ταῦτα. πρῶτον δὲ ἐκεῖνο δείξομεν, ὅτι δυνατὸν ἀδικεῖν τινα καὶ μὴ ἄδικον εἶναι, οἷον κλέπτειν καὶ μὴ κλέπτην εἶναι καὶ μοιχεύειν καὶ μὴ μοιχὸν εἶναι. ὁ γὰρ κλέψας τὴν μάχαιραν τοῦ μαινομένου, ἵνα μὴ ἑαυτὸν ὁ μαινόμενος ἀποσφάξῃ, ἔκλεψε μέν, κλέπτης δὲ οὐκ ἔστι· καὶ ὁ μοιχεύων, ἵνα δυνηθῇ πλουτεῖν, μοιχεύει μέν, μοιχὸς δὲ οὐκ ἔστιν, ἀλλὰ φιλοχρήματος· καὶ εἴ τις ἰατρὸς ἀπατῴη τὸν νοσοῦντα ἐφ' ᾧ σώσει, ἀπατᾷ μέν, ἀπατεὼν δὲ οὐκ ἔστι. ὅτι οὖν ἔστι δυνατόν τινα ἀδικεῖν καὶ

---

11 ἑαυτῷ h: ἑαυτῶν B 18 τὸ ἴσον h: τοῦ ἴσου B 19 ἄλλῳ h: ἄλλων B
29 ἑκατέρας scribe cum Arist. 35 ἀποσφάζῃ h 38 ὅτι μὲν οὖν h

μὴ ἄδικον εἶναι κατ' ἐκείνην τὴν ἀδικίαν ἧς τὸ ἔργον ποιεῖ, δῆλον. τίνα δέ ἐστι ταῦτα τὰ ἀδικήματα, ἑνὶ καθολικῷ λόγῳ ῥητέον· ὅσα ἀδικεῖ τις οὐχ ἕνεκα τοῦ τέλους, ὃ προσήκει τῇ ἀδικίᾳ ἐκείνῃ, ἧς τὴν πρᾶξιν ποιεῖ, ἀλλὰ ἄλλου τέλους ἕνεκα, ἢ ἀγαθοῦ ἢ φαύλου, κατ' ἐκεῖνα ἀδικεῖ μέν, ἄδικος δὲ οὐκ ἔστιν. ἀπατᾷ μὲν γὰρ ὁ ἰατρός, ἀπατεὼν δὲ οὐκ ἔστιν· οὐ γὰρ τέλος ἔχει τὴν ἀπάτην τοῦ νοσοῦντος ἀλλὰ τὴν σωτηρίαν· ὁμοίως καὶ ὁ κλέψας τὸ ξίφος τοῦ μαινομένου οὐ ζητεῖ τὸ πλέον λαβεῖν ἑαυτῷ καὶ λάθρα παρακερδᾶναι τοῦ πλησίον ὥσπερ ὁ κλέπτης, ἀλλὰ τέλος ἔχει τὴν τοῦ μαινομένου σωτηρίαν. πᾶσα δὲ πρᾶξις ἀπὸ τοῦ τέλους τὸ εἶδος λαμβάνει καὶ τὸν ὁρισμόν, καὶ διὰ τοῦτο καὶ τὸ ὄνομα· τὸ γὰρ ὄνομα συνεσταλμένος ὁρισμός ἐστιν. οὐδὲ γὰρ τὸν στρατηγὸν ἑλεπόλεις κατασκευάζοντα πολλάκις καὶ ὁρμητήρια ἐν πολιορκίαις οἰκοδόμον ἐροῦμεν ἢ τέκτονα· τὰ μὲν γὰρ οἰκοδόμου καὶ τοῦ τέκτονος ποιεῖ καὶ οἰκοδομεῖν λέγεται, ὅτι δὲ οὐ πρὸς τὸ τέλος ἀποσκοπεῖ τοῦ οἰκοδόμου ἀλλὰ τὸ τοῦ στρατηγοῦ, οὐκ οἰκοδόμος ἀλλὰ στρατηγός | ἐστι καὶ καλεῖται· καὶ ὁ τὸν 179
γάμον μὲν τοῦ πλησίον ἀδικῶν, μὴ δι' ἀκολασίαν δὲ αὐτὸ τοῦτο προαιρούμενος ἀλλὰ διὰ φιλοχρηματίαν, οὐκ ἂν εἴη μοιχὸς ἀλλὰ φιλοχρήματος. δυνατὸν τοίνυν τινὰ ἀδικεῖν, καὶ μὴ ἄδικον εἶναι κατ' ἐκείνην τὴν ἀδικίαν, ἧς τὴν πρᾶξιν ποιεῖ, ἀλλὰ ἢ οὐδαμῶς ἄδικον, ὥσπερ ὁ ἰατρός, ἢ καθ' ἑτέραν ἀδικίαν ἄδικον, ὥσπερ ὁ μοιχός. κατὰ τίνα δὲ τρόπον, εἴρηται. δυνατὸν δὲ καὶ ἄλλως ἀδικοῦντα μὴ ἄδικον εἶναι, ὅταν ἀκουσίως τις ἀδικῇ· ὁ γὰρ νυκτὸς ἀγνοήσας τὸν κλέπτην καὶ τὸν μὴ κλέπτην ἀποκτείνας ἠδίκησε μέν, ἄδικος δὲ οὐκ ἔστι.

Περὶ δικαίου, ὃ κυρίως οὐκ ἔστι δίκαιον. κεφ. θ'.

Περὶ μὲν οὖν τοῦ ἀντιπεπονθότος, τίνα τρόπον γινόμενον δίκαιον ἔσται, εἴρηται πρότερον. ἔστι δὲ καὶ ἄλλο δίκαιον, ὃ οὐκ ἔστι κυρίως δίκαιον, ὥσπερ δὴ τὸ πατρικὸν καὶ δεσποτικόν· ταῦτα γὰρ οὐκ εἰσι κυρίως δίκαια ἀλλὰ ὅμοιά πως τῷ πολιτικῷ δικαίῳ. λέγω δὲ πατρικὸν δίκαιον, ὃ προσήκει πατρὶ πρὸς παῖδα ποιεῖν, καὶ δεσποτικόν, ὃ δεῖ δεσπότην πρὸς δοῦλον. κυρίως τοίνυν καὶ ἀληθῶς δίκαιόν ἐστι τὸ διανεμητικὸν καὶ τὸ διορθωτικόν, ὅπερ ἐστὶ τὸ πολιτικόν, ὅπερ ἢ κατὰ γεωμετρικὴν ἀναλογίαν γίνεται, καθὼς εἴρηται, ἢ κατὰ ἀριθμητικήν. ἐν ἐκείνοις γάρ ἐστι δίκαιον, ἐν οἷς καὶ νόμος τίθεται· νόμος δὲ τίθεται ἐν ἐκείνοις, οἷς δυνατὸν καὶ ἀδικεῖσθαι καὶ ἀδικεῖν· ὁ γὰρ νόμος καὶ ἡ δίκη διάκρισίς ἐστι τοῦ δικαίου καὶ τοῦ ἀδίκου. ταῦτα δὲ ἁρμόζει τοῖς πολίταις· οὗτοι γὰρ ἀλλήλους δύνανται ἀδικεῖν τῷ βούλεσθαι ἕκαστον πλέον ἑαυτῷ νέμειν τῶν ἁπλῶς 180
ἀγαθῶν, ἔλαττον δὲ τῷ πλησίον, καὶ τῶν βλαβερῶν τὸ ἀνάπαλιν· διὰ τοῦτο οὐκ ἐῶμεν ἄρχειν ἄνθρωπον πόλεως, δηλονότι αὐτὸν ταῖς ἑαυτοῦ ὁρμαῖς ἑπόμενον, ἀλλὰ τοὺς νόμους ἄρχοντας ποιούμεθα, ἵνα μὴ ἑαυτοῦ ἕνεκα

16 καὶ μὴ] b

ἄρχῃ μηδὲ τὸ πλέον ἑαυτῷ παρέχῃ ἐν ταῖς διανομαῖς τῶν ἀγαθῶν, ἀλλὰ τὸ ἀνάλογον· εἰ γὰρ μὴ οὕτως ἔχει, τύραννος ἔσται. ὁ γὰρ ἄρχων οὐδὲν ἄλλο βούλεται ἢ φυλάττειν τὸ δίκαιον, ἤτοι τὸ ἴσον καὶ τὸ ἀνάλογον· οὐ γὰρ ἑαυτοῦ ἕνεκα ἄρχει, καθὼς εἴρηται, ἀλλὰ διὰ τὸ συμφέρον τῶν ἄλλων. διὰ τοῦτο καὶ τὴν δικαιοσύνην ἀλλότριον ἀγαθὸν ὀνομάζουσιν. ὅθεν καὶ μισθοὶ πολλοὶ κεῖνται τοῖς ἀγαθοῖς ἄρχουσιν· οἱ δέ εἰσι τιμαὶ δημόσιαι καὶ γέρα· ὃς δὲ οὐκ ἀρκεῖται τοῖς τοιούτοις μισθοῖς, τυραννίδι ἐπιχειρεῖ. τὸ μὲν οὖν πολιτικὸν δίκαιον διὰ τοῦτο κυρίως δίκαιον λέγεται. τὸ δὲ πατρικὸν ⟨καὶ δεσποτικὸν⟩ οὐκέτι· οὐ γὰρ δύναταί τις πρὸς ἑαυτὸν καὶ τὸ ἴδιον μέρος ἄδικος εἶναι, οὐδὲ τὸ ἴδιον κτῆμα προαιρεῖταί τις βλάπτειν· ἔστι δὲ ὥσπερ τι μέρος τῷ πατρὶ τὸ τέκνον, ἕως ὑπ' αὐτόν ἐστι καὶ τῆς αὐτοῦ προνοίας ἐξηρτημένον ἐστίν· ὁμοίως δὲ καὶ ὁ δοῦλος ὠφέλειά τις τοῦ δεσπότου ἐστί, καθόσον ἐστὶ δοῦλος καὶ ἕως ἂν ᾖ· οὐδεὶς δὲ τῇ ἑαυτοῦ ὠφελείᾳ ἐπιβουλεύει. ἐν οἷς δὲ οὐ δυνατὸν ἀδικίαν εἶναι οὐδὲ τὸ κυρίως δίκαιόν ἐστιν, ὅ ἐστι τὸ πολιτικόν, ἀλλὰ ὅμοιον αὐτῷ. τὸ γὰρ πολιτικόν, καθὼς εἴρηται, ἐν ἐκείνοις ἐστίν, ἐν οἷς ἐστι νόμος· ἐν πατρὶ δὲ καὶ υἱῷ καὶ δεσπότῃ καὶ δούλῳ διὰ τὰ εἰρημένα οὐκ ἔστι νόμος, ὅτι μηδὲ ἀδικία, ἀλλὰ ἐν ἐκείνοις ἐστίν, ἐν οἷς ἰσότης τοῦ ἄρ|χειν καὶ 181
ἄρχεσθαι· διὸ μᾶλλον δοκεῖ δίκαιον εἶναι τὸ τοῦ ἀνδρὸς πρὸς τὴν γυναῖκα ἢ πρὸς υἱὸν καὶ κτήματα· τοῦτο γάρ ἐστι τὸ οἰκονομικὸν δίκαιον καὶ μᾶλλον ἔοικε τῷ πολιτικῷ, ἔστι δὲ ὅμως καὶ αὐτὸ ἄλλο παρὰ τὸ πολιτικόν.

Περὶ τοῦ φυσικοῦ καὶ τοῦ νομικοῦ δικαίου, τί ἐστιν ἑκάτερον. κεφ. ι'.

Τοῦ δὲ πολιτικοῦ δικαίου τὸ μὲν φυσικόν ἐστι, τὸ δὲ νομικόν· καὶ φυσικὸν μὲν λέγεται, ὃ πανταχοῦ τὴν αὐτὴν ἔχει δύναμιν καὶ πᾶσι δίκαιον δοκεῖ, οἷον τὸ τὸν δανεισάμενον τὸ δάνειον ἀποδοῦναι (πᾶσι γὰρ δοκεῖ δίκαιον εἶναι τὸ ἕκαστον ἔχειν τὰ ἑαυτοῦ), νομικὸν δέ, ὅπερ πρὶν νομοθετηθῆναι ἀδιάφορον ἦν καὶ οὔτε δίκαιον οὔτε ἄδικον ἐδόκει, μετὰ δὲ τὸ νομισθῆναι δίκαιόν ἐστιν, ὥσπερ τὸ πιπράσκειν τὸν δοῦλον μιᾶς μνᾶς. πρὶν μὲν γὰρ τεθῆναι τὸν νόμον, ἀδιάφορος ἦν ἡ πρᾶσις τῶν δούλων καὶ ὡς ἕκαστος τῶν δεσποτῶν ἐβουλήθη, μετὰ δὲ τὸ τεθῆναι τοῦτον τὸν νόμον, οὐκέτι ἀδιάφορος, ἀλλὰ τὸ δίκαιόν ἐστι τὸ τοσοῦδε πωλεῖν. τοιαῦτα δέ εἰσι καὶ τὰ ἐπὶ τῶν μερικῶν, οἷα τὰ ψηφίσματα, οἷον ἔδοξε τῇ βουλῇ καὶ τῷ δήμῳ τὸν Δημοσθένη στεφανῶσαι ἢ τὸν Θεμιστοκλέα καλεῖν Ὀλύμπιον· ταῦτα γὰρ πρὶν ψηφισθῆναι ἀδιάφορα ἦν, ψηφισθέντα δὲ δίκαια δοκεῖ. τινὲς δὲ νομίζουσι, μηδὲν δίκαιον εἶναι φύσει ἀλλὰ πάντα νομικά. πάντα μὲν γὰρ τὰ φυσικὰ ἀμετάβλητα· τὸ γὰρ πῦρ πανταχοῦ καὶ ἑκάστοτε θερμαίνει καὶ παρ' ἡμῖν καὶ ἐν Αἰγύπτῳ ὁμοίως, τὰ δὲ δίκαια πάντα μετα|βάλλονται· τὸ γὰρ δανείζεσθαι καὶ μὴ ἀποδιδόναι παρά τισι δίκαιον 182

6 δημόσιαι h: δημόσιοι B 9 καὶ δεσποτικὸν h: om. B 11 τι om. h 34 Δημοσθένην B

δοκεῖ, καὶ τἄλλα ὁμοίως ἔχει, καὶ οὐ πᾶσι δίκαια δοκεῖ τὰ αὐτά· ὥστε πάντα τὰ δίκαια νομικὰ εἶναι καὶ οὐδὲν φυσικόν. πρὸς δὴ ταῦτα ἐκεῖνο λέγομεν, ὅτι οὐ καθάπαξ κινεῖται πᾶν δίκαιον καὶ μεταπίπτει· εἰ γὰρ καὶ παρ' ἀνθρώποις πάντα ἦν τὰ δίκαια μεταβλητά, παρά γε τοῖς θεοῖς ἀνάγκη εἶναι δίκαιον ἀμετάβλητον, ὥστε εἶναί τι φυσικὸν δίκαιον· νῦν δὲ καὶ παρ' ἀνθρώποις, τοῖς τε ὀρθῶς καὶ ὑγιῶς ἔχουσιν, ἔστι δίκαιον ἀκίνητον, ὃ φυσικὸν λέγεται. εἰ δὲ τοῖς νοσοῦσι τὰς φρένας καὶ διεστραμμένοις οὐ δοκεῖ δίκαιον, οὐδὲν διαφέρει, οὐδὲ γὰρ ὁ λέγων τὸ μέλι γλυκὺ εἶναι ψεύδεται, διότι τοῖς νοσοῦσιν οὐ τοιοῦτον δοκεῖ· τὸ τοίνυν δίκαιον τὸ φυσικὸν δοκεῖ μέν τισι δίκαιον, δοκεῖ δὲ ἄλλοις μὴ δίκαιον εἶναι. ἀλλὰ τὸ μὲν πρῶτον φυσικόν ἐστι καὶ ὑγιαινόντων ἀνθρώπων, τὸ δὲ δεύτερον παρὰ φύσιν καὶ μαινομένων ἀνθρώπων· ὅτι μὲν οὖν οὐδὲν κωλύει φυσικὸν εἶναι δίκαιον, ὅτι ἔνιοι δίκαιον ⟨οὐ⟩ νομίζουσιν αὐτό, δῆλον. ἐπεὶ δὲ καὶ τὸ νομικὸν δίκαιον κινητόν ἐστι καὶ τὸ φυσικὸν ὃν εἴρηται τρόπον, τίνι διακριθήσονται καὶ ἀμφότερα κινούμενα; καὶ ἔστιν ἡ διάκρισις φανερά. αὐτὸ γὰρ ἐξετασθήσεται τὸ δίκαιον καθ' ἑαυτό, εἰ συμφέρει πᾶσιν ἀκίνητον ὄν, καὶ εἰ καταλυθὲν βλάβην ἐπενεγκεῖν δύναται. καὶ εἰ οὕτως ἔχει, φυσικὸν δίκαιόν ἐστιν, εἰ δὲ μὴ τοιοῦτον, νομικόν· καὶ γὰρ ἐνδέχεται μὲν πάντας τῇ ἀριστερᾷ χειρὶ ὡς δεξιᾷ χρήσασθαι, ἡ μέντοι δεξιὰ φύσει φαίνεται κρείττων εἶναι τῆς ἀριστερᾶς· τὰ δὲ νομικὰ δίκαια κατὰ συνθήκην τηρούμενα ὅμοιά ἐστι τοῖς μέτροις, ἅπερ ἄλλα ἀλλαχοῦ γίνονται· τὰ γὰρ οἰνηρὰ καὶ σιτηρὰ 183 μέτρα οὐ πανταχοῦ εἰσιν ἴσα, ἀλλ' οὗ μὲν ὠνοῦνται τὸν οἶνον ἢ τὸν σῖτον, μείζω τὰ μέτρα ποιοῦσιν, οὗ δὲ πωλοῦσιν, ἐλάττω· τὸν αὐτὸν δὴ τρόπον ἔχει καὶ τὰ μὴ φυσικὰ ἀλλὰ ἀνθρώπινα καὶ κατὰ συνθήκην γινόμενα δίκαια. οὐ γὰρ τὰ αὐτὰ πανταχοῦ· ἐπεὶ οὐδὲ πολιτεία μία πᾶσιν, ἀλλὰ μία πανταχοῦ πολιτεία, ἡ κατὰ φύσιν, ἀρίστη· ὥσπερ καὶ τὸ φυσικὸν δίκαιον ἓν πανταχοῦ ἐν ταῖς εὐνομουμέναις πολιτείαις. καὶ οὕτως ἔχει πρὸς τὰς ἐν αὐταῖς πράξεις, ὡς τὸ καθόλου πρὸς τὰ καθ' ἕκαστα· τὰ μὲν γὰρ πραττόμενα πολλά, τὸ δὲ δίκαιον ἢ τὸ νόμιμον ἕν· καθόλου γάρ ἐστιν· οὐ γὰρ τόνδε τὸν ἀριστέα κελεύει τιμᾶσθαι καὶ τοιάνδε τιμήν, ἀλλὰ καθόλου πάντα ἀριστέα ἁπλῶς τιμᾶσθαι.

Τί ἐστι δικαίωμα καὶ δικαιοπράγημα καὶ ἀδικοπράγημα. κεφ. ια'.

Διαφέρει δὲ τὸ δικαίωμα τοῦ δικαίου καὶ τὸ ἀδίκημα τοῦ ἀδίκου· δίκαιον μὲν γάρ ἐστιν, ὅπερ ἁπλῶς θεωρεῖται καὶ καθόλου, ἢ νομικὸν ἢ φυσικόν, οἷον τὸν ἀνδροφόνον ἀποθνήσκειν· ὅταν δὲ τὸ τοιοῦτο δίκαιον ἐν τοῖς καθ' ἕκαστα γένηται καὶ ὅδε ὁ ἀνδροφόνος τόνδε τὸν τρόπον ἀποθάνῃ, τότε δικαίωμα καλεῖται· ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ἀδίκου καὶ ἀδικήματος ἔχει. καλεῖται δὲ δικαιοπράγημα μὲν πᾶσα πρᾶξις δικαία, κἄν τε

5 δίκαιον εἶναι h 11 ὑγιαινόντων B: ὑγιεινὸν τῶν h: ὑγιεινῶν Mullach 13 οὐ h: om. B 36 οἷον τὸ τὸν h

ἀδικίας ἔκτισις ᾖ, κἄν τε ἀρετῆς ἀνταπόδοσις· δικαίωμα δὲ ἰδίως ἡ τῆς
ἀδικίας τιμωρία. ὁποῖα δὲ καὶ πόσα εἴδη δικαιοπραγημάτων καὶ δικαιω-
μάτων εἰσίν, ὕστερον ἐπισκεψόμεθα. νῦν δὲ ἐκεῖνο λέγομεν. οὕτως οὖν
ἐχόντων τῶν δικαίων καὶ τῶν ἀδίκων, ὡς εἴρηται, ἀδικεῖ μὲν ἢ δικαιο- 184
πραγεῖ, ὅταν ἑκών τις αὐτὰ πράττῃ, ὅταν δὲ ἄκων, οὔτε ἀδικεῖ οὔτε δι-
καιοπραγεῖ καθ' αὑτό, ἀλλ' ἢ κατὰ συμβεβηκός. αἱ γὰρ πράξεις καθ'
ἑαυτὰς οὐκ εἰσιν ἄδικοι οὔτε δίκαιαι, οὐ γὰρ ἐφαρμόζει αὐταῖς ὁ ὁρισμὸς
τοῦ ἀδικοπραγήματος, ὃς συνίσταται ἐν τῷ ἑκουσίῳ· ἀκούσιοι γάρ εἰσιν.
ἀλλ' ὅτι συμβέβηκεν αὐταῖς ἡ ἰσότης τῆς δικαιοσύνης ἢ ἡ ἀνισότης τῆς
ἀδικίας, διὰ τοῦτο ἄδικοι ⟨ἢ δίκαιαι⟩ λέγονται κατὰ συμβεβηκός, καὶ οἱ
πράττοντες αὐτὰς ἀδικοπραγεῖν ἢ δικαιοπραγεῖν. καθ' αὑτὸ δέ, ὅταν ἑκού-
σιον ᾖ τὸ ἔργον, τότε ἀδίκημα ἔσται καὶ ἀδικοπράγημα· χωρὶς δὲ τοῦ 10
ἑκουσίου ἄδικον μὲν ἔσται πεποιηκώς, ἡ πρᾶξις δὲ οὐκ ἔσται ἀδίκημα·
αὐτὸς γὰρ οὐκ ἔστιν ἄδικος, εἰ καὶ ἄδικα ποιεῖ, ὡς ἐν τοῖς προειρημένοις
ἐδείχθη δυνατὸν εἶναι ἄδικα μὲν ποιεῖν, ἄδικον δὲ μὴ εἶναι. τότε γὰρ
ἄδικός ἐστιν, ὅταν ἡ πρᾶξις ἐπ' αὐτῷ ᾖ, καὶ μηδεὶς βιάζηται, καὶ εἰδὼς
καὶ μὴ ἀγνοῶν τὰ περιστατικὰ πάντα, οἷον τίνα τύπτει καὶ τίνος ἕνεκα·
ταῦτα δὲ ἐν τοῖς περὶ ἑκουσίου καὶ ἀκουσίου διωρισάμεθα. ὁμοίως δὲ 20
καὶ ἐπὶ τῶν δίκαια ποιούντων ἐστί· τότε γάρ τις δίκαιός ἐστι καὶ τὸ ἔργον
δικαιοπράγημα καθ' αὑτό, ὅταν ἑκουσίως γίνηται· ὁ γὰρ τὴν παρακατα-
θήκην ἀποδοὺς διὰ φόβον οὔτε δικαιοπραγεῖ οὔτε δίκαιός ἐστιν, ἀλλὰ κατὰ
συμβεβηκὸς λέγεται. ταῦτα δὲ ἔτι διαιρετέον ἀκριβέστερον.

Περὶ ἀδικημάτων καὶ ἀτυχημάτων καὶ συγγνωστῶν καὶ ἀσυγ-γνώστων. κεφ. ιβ'.

Αἱ γὰρ ἐν ταῖς κοινωνίαις βλάβαι αἱ μὲν ἑκούσιοί εἰσιν, αἱ δὲ ἀκού-
σιοι. καὶ τῶν ἀκουσίων αἱ μὲν ἁμαρ|τήματα λέγονται, αἱ δὲ ἀτυχήματα. 185
καὶ ἁμάρτημα μέν ἐστιν, ὅταν τις βλάψῃ τινὰ ἀκουσίως μέν, παρασχὼν
δέ τινα τῆς βλάβης αἰτίαν, οἷον εἴ τις ἐν ὁδῷ τοξεύων, ἐν ᾗ ἐνεδέχετο
ἄνθρωπον παριέναι, ἐφόνευσέ τινα· οὗτος γὰρ ἄκων μὲν ἀπέκτεινε τὸν ἄν-
θρωπον, παρέσχε δὲ αἰτίαν τοῦ φόνου τὸ ἐν τοιούτῳ τόπῳ τοξεύειν. ἀτύ-
χημα δέ ἐστιν, ὅταν παρὰ πᾶσαν προσδοκίαν ἡ βλάβη συμβῇ, οἷον εἴ τις
τοξεύων ἐπ' ἐρημίας οὕτω συμβὰν παριόντα τινὰ ἀπέκτεινεν· ἐνταῦθα γὰρ
παράλογός τις ἡ βλάβη συνέβη καὶ παράδοξος, καὶ οὐδὲν ἐς αὐτὸ συνετέ- 10
λεσεν ὁ βλάψας, εἰ μὴ κατὰ συμβεβηκός, ἀλλ' ἔξωθεν ἡ αἰτία πᾶσα τοῦ
φόνου. τῶν δὲ ἑκουσίων τὰ μὲν ἐκ προαιρέσεως λέγονται, τὰ δὲ οὐκ ἐκ
προαιρέσεως ἀδικήματα. καὶ ἐκ προαιρέσεως μὲν τὰ προβεβουλευμένα,
ὅταν τις σκεψάμενος καὶ βουλευσάμενος τὴν βλάβην ποιήσῃ δι' αὐτὸ τοῦτο,

---

3 λέγωμεν h 6 καθ' αὐτὸν Mullach ἀλλ' ἢ B: ἀλλὰ h 7 ἐφαρμόσει h 10 ἢ δίκαιαι inseruit Mullach 12 τότε καὶ ἀδίκημα h 14 ὡς γὰρ ἐν h 18 τοῖς B: τῷ h διωρισάμεθα] cf. p. 41 sqq. 27 ἁμάρτημα h: ἁμαρτήματα B 33 αὐτῇ B

ἵνα βλάψῃ· οὐκ ἐκ προαιρέσεως δέ, τὰ ἐκ πάθους τινὸς γινόμενα καὶ μὴ προβεβουλευμένα, οἷον ὅταν τις βλάψῃ τὸν πέλας ἀθρόον τῷ θυμῷ συσχεθείς, ἢ ὑπὸ ἐνδείας τυραννούμενος κλέψῃ, οὐκ αὐτὸ τοῦτο βουλόμενος κακουργεῖν, ἀλλὰ τὴν ἔνδειαν παραμυθήσασθαι. ταῦτα δὲ ἑκάτερα τά τε ἐκ προαιρέσεως καὶ οὐκ ἐκ προαιρέσεως ἀδικήματα λέγονται. τῶν δὲ πραττόντων αὐτὰ ὁ μὲν ἐκ προνοίας βλάπτων ἄδικός ἐστι καὶ πονηρός, ὁ δὲ ὑπὸ πάθους κινηθεὶς ἢ φυσικοῦ, οἷον ὀργῆς ἢ λύπης ἢ ἀναγκαίου, ὥσπερ πείνης ἢ φόβου, ὁ τοιοῦτος οὐκ ἔστιν ἄδικος οὐδὲ πονηρός. διὰ τοῦτο καὶ διακρίνεται παρὰ τοῖς δικασταῖς ὁ ἀμυνάμενος τοῦ προκατάρξαντος. ἄρχει δὲ οὐχ ὁ θυμῷ ποιῶν | ἀλλ' ὁ κινήσας αὐτὸν εἰς ὀργήν, 186 ὃς καὶ ἐγκαλεῖται ὡς ἄδικος· οὗτος γὰρ ἐγένετο τῆς βλάβης αἴτιος. καὶ τούτου χάριν ὁ μὲν προκατάρξας ἀπαρνεῖται μὴ προκατάρξαι. ὁ δὲ ἀμυνάμενος τὴν βλάβην μὲν ὁμολογεῖ ἣν ἔβλαψε τὸν ἄρξαντα, ἄμυναν δὲ καὶ ἀνταπόδοσιν ὀνομάζει διὰ τὸ μὴ οἴκοθεν ἀλλὰ παρὰ τοῦ βλαβέντος εἰς τὴν ὀργὴν κινηθῆναι. οὐ γάρ, ὥσπερ ἐν τοῖς ἑκουσίοις συναλλάγμασιν ἔχει, οὕτω κἀνταῦθα ἡ ἀμφισβήτησις γίνεται· ἐν ἐκείναις μὲν γὰρ ἡ πρᾶξις ἀμφισβητεῖται, οἷον εἰ ἔλαβε τὴν παρακαταθήκην ἢ τὸ δάνειον, καὶ λαβὼν οὐκ ἀπέδωκε, κἂν τοῦτο δειχθῇ, πονηρὸς εὐθὺς καὶ ἄδικός ἐστιν, εἰ μὴ ἐπιλαθόμενος ἀρνεῖται· ἐνταῦθα δὲ ἡ μὲν πρᾶξις ὁμολογεῖται καὶ φανερά ἐστιν· ὃ γάρ τις ὀργῇ ποιεῖ, φανερῶς ποιεῖ· ἀμφισβητεῖται δέ, εἰ δικαίως ἐπάταξεν ἢ ἀδίκως. ὥστε ὁ μὲν προκατάρξας καὶ ἐπιβουλεύσας ἄδικος οἴεται εἶναι καὶ διὰ τοῦτο οὐχ ὁμολογεῖ προκατάρξαι, ὁ δὲ ὀργισθεὶς παρ' ἐκείνου μὴ ἄδικος εἶναι νομίζει καὶ διὰ τοῦτο τὴν βλάβην ὁμολογεῖ. φαίνεται δὴ καὶ ἀπὸ τούτου, ὅτι ὅσα διὰ θυμὸν ἢ ἄλλα πάθη καὶ οὐ διὰ μοχθηρίαν ἀδικεῖ τις, κατ' ἐκεῖνα οὐκ ἔστιν ἄδικος, ὁ δὲ ἐκ προνοίας ἄδικός ἐστι καὶ πονηρός, οὐ μόνον ἐν τῷ διορθωτικῷ δικαίῳ, ἀλλὰ καὶ ἐν τῷ διανεμητικῷ, ἐάν τις μὴ κατὰ τὸ ἴσον καὶ ἀνάλογον διανέμῃ. ὁμοίως δὲ καὶ δίκαιός ἐστιν ἐν ἑκατέρῳ τῶν δικαίων ὁ μὴ διὰ πάθος ἀλλὰ τοῦ ἀγαθοῦ ἕνεκα τὸ δίκαιον ποιῶν· ὁ γὰρ ὑπὸ πάθους κινηθεὶς ἢ λύπης ἢ ἔρωτος, καὶ δικαιοπραγήσας δίκαια μὲν ἐποίησε, δίκαιος δὲ οὐκ ἔστιν.

ἐπεὶ δὲ τῶν ἀκουσίων ἀδικημάτων τὰ μὲν συγγνώμης τυγχάνει, τὰ δ' οὔ, 187 ῥητέον τίνα τὰ συγγνωστὰ καὶ τίνα τὰ ἀσύγγνωστα. ὅσα μὲν οὖν τις ἁμαρτάνει καὶ ἀγνοῶν καὶ δι' ἄγνοιαν, συγγνωστά· ὅσα δὲ ἀγνοῶν μέν, οὐ δι' ἄγνοιαν δέ, ἀλλὰ διὰ πάθος, ὃ μήτε φυσικόν ἐστι μήτε ἀνθρωπικόν, οἷον φόβον ἢ λύπην ἢ πεῖναν ἢ ἄλλην ἀνάγκην, ἀλλὰ τροφήν τινα, οἷον διὰ τὸ ὀρέγεσθαι πιεῖν ἀνθοσμίου καὶ φαγεῖν πέρδικος, τὰ τοιαῦτα οὐ συγγνωστά ἐστι. ἔστι δὲ τὸ μὲν δι' ἄγνοιαν καὶ ἀγνοοῦντα ἁμαρτάνειν, οἷον ὅταν τις ἀγνοῶν, ὅτι κακὸν τὸ τὸν πατέρα ἀπελαύνειν, νυκτὸς ἀγνοήσας τὸν πατέρα ἀπελαύνῃ τῆς οἰκίας· ὁ μὲν γὰρ μὴ εἰδὼς τὸ καθόλου ἀγνοῶν λέγεται ποιεῖν· ὁ δὲ μὴ εἰδὼς τὸ μερικόν, δι' ἄγνοιαν· ὁ δὲ ἄμφω μὴ γινώσκων καὶ ἀγνοῶν καὶ δι' ἄγνοιαν λέγεται ἁμαρτάνειν, ὃς καὶ συγγινώ-

2 προβεβουλευμένως h 9 ἀμυνόμενος h 14 βλάψαντος Bh: βλαβέντος Mullach
36 τοιαῦτα οὐ συγγνωστά B: τοιαῦτ' ἀσύγγωστά

σκεται· ἀγνοῶν δὲ καὶ οὐ δι' ἄγνοιαν, ὅταν τις ἀγνοῇ μὲν καθόλου, ὅτι κακὸν τὸ κλέπτειν, κλέπτῃ δὲ οὐ διότι ἀγνοεῖ. ἀλλὰ διὰ μοχθηρίαν καὶ πάθος, ὃ οὔτε ἀναγκαῖόν ἐστιν οὔτε φυσικόν, καθὼς εἴρηται.

Ὅτι οὐ δυνατὸν ἑκόντα ἀδικεῖσθαι. κεφ. ιγ'.

Δόξειε δ' ἂν μὴ ἱκανῶς διωρίσθαι περὶ δικαίου καὶ ἀδίκου. ἐπεὶ γὰρ τὸ ἀδικεῖν τῷ ἀδικεῖσθαι ἀντίκειται, διείλομεν δὲ τὸ ἀδικεῖν εἴς τε τὸ ἑκούσιον καὶ ἀκούσιον, διαιρετέον ἂν εἴη καὶ τὸ ἀδικεῖσθαι εἰς ἑκούσιον καὶ ἀκούσιον, ὃ καὶ Εὐριπίδῃ δοκεῖ. φησὶ γὰρ εἶναί τι ἀδικεῖσθαι ἑκούσιον, λέγων πως

μητέρα κατέκτα τὴν ἐμήν, βραχὺς λόγος,
ἑκὼν ἑκοῦσαν, καὶ θέλουσαν οὐχ ἑκών.

δεῖ γάρ, ἐπεὶ ἀντίκειται ἢ ἅπαν τὸ ἀδικεῖν ἑκούσιον εἶναι καὶ τὸ ἀδικεῖ- 188
σθαι πᾶν ἀκούσιον, ἢ ἐπεὶ διῄρηται τὸ ἀδικεῖν, καὶ τὸ μὲν ἑκούσιόν ἐστι, τὸ δὲ ἀκούσιον, καὶ τὸ ἀδικεῖσθαι οὕτω διῃρῆσθαι, ἵνα θατέρῳ θάτερον ἀντικέηται. τὸν αὐτὸν δὲ τρόπον δοκεῖ καὶ ἐπὶ τοῦ δικαιοῦν καὶ δικαιοῦσθαι· ἀλλὰ τὸ μὲν νομίζειν πᾶν ἀδικεῖσθαι ἢ δικαιοῦσθαι ἑκούσιον εἶναι, ἄτοπον· καὶ γὰρ καὶ ἄκων πολλάκις τις δικαιοῦται, ὅταν ἀδικήσας κολασθῇ· ὁμοίως δὲ καὶ τὸ εἶναί τι ἑκούσιον ἀδικεῖσθαι, οὐδὲ τοῦτό ἐστιν ἀληθές· ἀεὶ γὰρ ἀκουσίως τις ἀδικεῖται· δικαιοῦται δὲ ποτὲ μὲν ἀκουσίως, ποτὲ δὲ ἑκουσίως· ὁ μὲν γὰρ ἀδικῶν κολαζόμενος ἀκουσίως δικαιοῦται, ὁ δὲ ἀδικούμενος ἐκδικούμενος ἑκουσίως δικαιοῦται. ἀλλὰ περὶ μὲν τοῦ δικαιοῦσθαι τὰ εἰρημένα ἀρκείτω· περὶ δὲ τοῦ ἀδικεῖσθαι, ὅτι οὐ δυνατὸν ἑκούσιον εἶναι, ῥητέον ἔτι σαφέστερον. καὶ πρῶτον ἐροῦμεν τοὺς λόγους, ὅθεν δοκεῖ συνάγεσθαι ἑκουσίως τινὰ δύνασθαι ἀδικεῖσθαι. ἐπεὶ γὰρ ἑκουσίως ἐστὶν ἀδικεῖν τὸ βλάπτειν ἀδίκως τινά, εἰδότα καὶ τὴν βλάβην καὶ τὸν βλαπτόμενον, καὶ μηδὲν ἀγνοοῦντα τῶν περὶ τὸ πρᾶγμα, καὶ ἔτι οἴκοθεν κινούμενον καὶ οὐκ ἔξωθεν βιαζόμενον, εἴη ἂν τὸ ἑκουσίως ἀδικεῖσθαι τὸ βλάπτεσθαι παρὰ τὸ δίκαιον, εἰδότα τὴν βλάβην καὶ τὸν βλάπτοντα, καὶ πάντα τὰ περὶ τὸ πρᾶγμα, καὶ ἀνέχεσθαι, δυνάμενον ἀποσείσασθαι. τοῦτο δὲ ὅτι γίνεται, φανερόν· ὁ γὰρ ἀκρατὴς καὶ ὑφ' ἑτέρου βλάπτεται, εἰδὼς πάντα, καὶ ἀνέχεται, δυνάμενος ἀποσείσασθαι· δυνατὸν ἄρα ἐστὶν ἑκόντα τινὰ ἀδικεῖσθαι· ἔτι δὲ καὶ αὐτὸς ἑαυτὸν ὁ ἀκρατὴς βλάπτει καὶ ἑκουσίως· ἑκουσίως ἄρα ἑαυτὸν ἀδικεῖ· ἔτι ἀδικεῖσθαί ἐστι τὸ ἄδικα 189
πάσχειν· πάσχει δέ τις ἄδικα ἑκών· οἱ γὰρ ἐπιεικέστεροι ἐν ταῖς διανομαῖς ἐλάττω τῆς ἀξίας λαμβάνουσι βουλόμενοι, ὅπερ ἄδικον μέν ἐστιν, ἑκούσιον δέ· ἀδικοῦνται ἄρα ἑκουσίως· ἔστιν ἄρα τι ἀδικεῖσθαι ἑκούσιον. ἀλλὰ τοὐναντίον ἐστίν, ἀδύνατον εἶναι ἀδικεῖσθαί τινα ἑκουσίως. τότε γάρ τις ἀδικεῖται, ὅτε τι πάσχει ἄδικον παρὰ τὴν αὐτοῦ βούλησιν· τὸ γὰρ πάσχειν τι παρὰ τὴν ἑαυτοῦ βούλησίν τινα ἐναντίον ἐστὶ τῷ λόγῳ τοῦ ἑκουσίου·

2 κλέπτῃ Mullach: κλέπτει Bh 7 καὶ (ante τὸ) om. h 11 καὶ Bh: ἢ Aristoteles Eurip. frg. 69 Nauck 33 ἀδικεῖ ἔτι om. h

ὥστε οὐ δυνατὸν βούλεσθαί τινα ἀδικεῖσθαι, οὐδὲ τὸν ἀκρατῆ. καὶ οὗτος γὰρ ἀγαθὰ βούλεται ἑαυτῷ, καὶ οὐκ ἀνέχεται ἀδικεῖσθαι ἁπλῶς· ταύτης δὲ τῆς βλάβης ἀνέχεται, οἴεται γὰρ μὴ βλάπτεσθαι· καὶ οἴεται μὲν δέον εἶναι πράττειν ἃ ὠφελήσει, πράττει δὲ τὰ βλάπτοντα, οἰόμενος μὴ βλάπτοντα εἶναι· ὥστε οὐ δυνατόν ἐστιν ἀδικεῖσθαί τινα ἑκόντα. ἀπὸ τούτου δὲ καὶ τὰ ἐκ τοῦ ἐναντίου ἐπιχειρήματα λύεται. καὶ γὰρ ἀδικεῖ τις, ὅταν βλάπτῃ τινὰ ἑκὼν παρὰ τὴν τοῦ βλαπτομένου βούλησιν· ὁμοίως δὲ καὶ ἀδικεῖται, ὅταν ἄδικα πάσχῃ παρὰ τὴν ἑαυτοῦ βούλησιν. τὸ δὲ ἑκόντα ἄδικα πάσχειν οὐκ ἔστιν ἀδικεῖσθαι· ὥσπερ γὰρ τὸ ἄδικον ποιεῖν οὐ πᾶν ἐστιν ἀδικεῖν οὐδὲ ὁ ἄδικα ποιῶν ἄδικος, ὡς ἀνωτέρω δέδεικται, οὕτως οὐδὲ πᾶς ὁ πάσχων ἄδικα ἀδικεῖται· ἀλλ' ὥσπερ ὁ ἀπατῶν τὸν νοσοῦντα ἰατρὸς ἢ ὁ κλέπτων τὴν τοῦ μαινομένου μάχαιραν ἄδικα μὲν ποιεῖ, ἄδικος δὲ οὐκ ἔστι, διότι πρὸς σωτηρίαν ὁρᾷ τοῦ νοσοῦντος καὶ οὐ ζημιοῖ ἀλλὰ κερδαίνειν ποιεῖ, οὕτω καὶ ὁ ἐν ταῖς διανομαῖς ἐλάττω λαμβάνων τῆς ἀξίας οὐκ ἀδικεῖ ἑαυτόν, εἰ καὶ ἄδικα πάσχει· οὐ γὰρ ἵνα βλάβῃ ἑαυτὸν ἀνέχεται τῶν ἐλαττόνων ἀξιούμενος, ἀλλ' ἵνα ὠφελήσῃ μᾶλ|λον δόξαν μετριότητος 190 καὶ ἐπιεικείας λαβόντα. ἔπειτα εἰ καὶ βλάπτειν ἑαυτὸν ἀνέχεται, οὐκ ἀδικεῖται· οὐ γὰρ παρὰ τὴν αὑτοῦ βούλησιν τὰ ἄδικα πάσχει· τοῦτο γάρ ἐστιν ἀδικεῖσθαι. ὁ γὰρ ἀλλαξάμενος τὰ βελτίω τῶν ἐλαττόνων, ὥσπερ φησὶν Ὅμηρος τὸν Γλαῦκον τῷ Διομήδει δοῦναι

χρύσεα χαλκείων, ἑκατόμβοι' ἐννεαβοίων,

οὐκ ἀδικεῖται· βουλόμενος γὰρ ἔδωκεν· ὁ δὲ ἀδικούμενος ἀκουσίως βλάπτεται. οὐκ ἄρα δυνατὸν ἀδικεῖσθαί τινα ἑκόντα, βλάπτεσθαι δὲ ἑκόντα δυνατόν.

Περὶ τοῦ πότερον ἀδικεῖ μᾶλλον ὁ διανέμων ἀδίκως ἢ ὁ λαμβάνων. κεφ. ιδ'.

Ῥητέον δὲ ἐκεῖνο, πότερος ἀδικεῖ ὁ διανέμων ἀδίκως καὶ μὴ κατὰ τὸ ἀνάλογον ἢ ὁ λαμβάνων τὸ πλέον τῆς ἀξίας τῆς ἑαυτοῦ. φαίνεται δέ, ὅτι ὁ διανέμων ἀδικεῖ καθ' αὑτό, ὁ δὲ λαμβάνων κατὰ συμβεβηκός· ἐκεῖνος γὰρ ἀδικεῖ καθ' αὑτό, ὃς ἑκὼν τοῦτο ποιεῖ. ἑκὼν δέ τις ποιεῖ, ὅταν ᾖ παρ' αὐτῷ τῆς πράξεως ἡ αἰτία καὶ ἡ ἀρχὴ τοῦ ποιεῖν· τῆς δὲ διανομῆς ἡ ἀρχὴ παρὰ τῷ διανέμοντι· ὁ ἄρα διανέμων τὸ πλέον ἀδικεῖ καθ' αὑτό, ἀλλ' οὐχ ὁ δεχόμενος· οὐ γὰρ ἐπ' αὐτῷ ἐστιν ἡ ἀρχή, καθὼς εἴρηται. οὐ γὰρ ὁ ποιῶν τὰ ἄδικα ἀδικεῖν λέγεται, εἰ μὴ κατὰ συμβεβηκός· ὥσπερ λέγεται καὶ ἡ χεὶρ φονεύειν ἢ μάχαιρα ἢ λίθος, παρ' οἷς οὐκ ἔστιν ἀρχὴ τοῦ φόνου, οὐδὲ ἀφ' ἑαυτῶν πράττουσιν· ἄδικα μὲν γὰρ ποιοῦσιν, ἀδικοῦσι δὲ οὐδαμῶς. ὁ δὲ διανέμων ἀδίκως, εἰ μὲν ἀγνοῶν τοὺς νόμους ἔξω τοῦ νομικοῦ δικαίου ἔκρινεν, οὐκ ἀδικεῖ κατὰ τὸν νόμον, οὐδὲ ἄδικος ἡ κρίσις ἐστίν· ἕτερον δὲ τρό|πον ἀδικεῖ, λέγω δὴ κατὰ τὸ φυσικὸν δίκαιον. ἄλλο 191

13 ζημιοῖ B: ζημιοῦν h 21 Homer. Il. Z 236 27 πότερος B: πότερον h τὸ om. h

γὰρ τὸ νομικὸν δίκαιον καὶ ἄλλο τὸ φυσικόν, οἷον νόμου ὄντος τὸν ἀριστέα πλέον ἔχειν ἐν ταῖς διανομαῖς, ὁ διανέμων ἀγνοήσας τὸν νόμον τῶν ἴσων τοῖς ἄλλοις ἠξίωσεν· οὗτος τοίνυν κατὰ μὲν τὸ νομικὸν δίκαιον οὐκ ἠδίκησεν, ἠγνόησε γὰρ τὸν νόμον· ὁ δὲ δι' ἄγνοιαν τὰ ἄδικα πράττων οὐκ ἀδικεῖ· ἐπεὶ δὲ καὶ φυσικὸς νόμος ἐστὶ τοὺς εὐεργέτας ἀντευποιεῖν, καὶ μὴ ἀγνοῶν, ἅτε φυσικὸν ὄντα, παρέβη, κατὰ τοῦτον ἄδικός ἐστιν· εἰ δὲ καὶ τὸν νόμον γινώσκων καὶ τὸ φυσικὸν δίκαιον παρέβη, καὶ ἀδίκως ἔκρινε, καὶ τὸ πλέον ἔνειμεν ᾧ μὴ προσῆκεν, οὐ μόνον τὸν λαβόντα πλεονεκτεῖν ἐποίησεν, ἀλλὰ καὶ αὐτὸς πλεονεκτεῖ. καὶ γὰρ εἴτε διὰ φιλίαν ἢ δι' ἔχθραν ἢ διὰ δῶρα ἠδίκησε, συμμερίζεται τὸ ἀδίκημα· πλεονεκτεῖ γὰρ καὶ αὐτὸς ἢ χάριτος πρὸς τὸν φίλον ἢ τιμωρίας εἰς τὸν ἐχθρὸν ἢ ἀργυρίου, καὶ διὰ τοῦτο καὶ αὐτὸς κοινωνεῖ τοῦ ἀδικήματος τῷ πλέον λαβόντι· καθάπερ γὰρ εἰ ἀγρόν τις ἀδίκως, ᾧ μὴ προσῆκεν, ἔδωκεν ἀργυρίου, συμμερίσασθαι λέγεται τὸν ἀγρὸν τῷ λαβόντι (καίτοι οὐκ ἀγρὸν ἔλαβεν ἀλλ' ἀργύριον), οὕτω καὶ ὁ ἐν ταῖς διανομαῖς ἀδικήσας, ἵνα ἢ ἑαυτῷ ἢ φίλῳ χαρίσηται, μετέχει τοῦ πλεονεκτήματος καὶ συμμερίζεται τὸ ἀδίκημα· καὶ ὁ μὲν λαβὼν πλέον μὲν ἔχει καὶ ἄδικα ἐποίησεν, οὐκ ἠδίκησε δέ, εἰ μὴ δώροις ἢ ἄλλῃ τινὶ πειθοῖ τὸν διανομέα παρέπεισεν, ὁ δὲ διανομεὺς καὶ τὸ πλέον ἔχει ὃν εἴρηται τρόπον καὶ ἄδικός ἐστι. |

Ὅτι οὐ ῥᾴδιον παντὶ ἑκάστοτε ἄδικον ἢ δίκαιον εἶναι. κεφ. ιε'. 192

Τινὲς δὲ τὸ ἀδικεῖν ἢ δίκαιον εἶναι ῥᾴδιον νομίζουσι, καὶ ἅμα τῷ θελῆσαι δυνατὸν εἶναι δίκαιον ἢ ἄδικον γενέσθαι· τοῦτο δὲ οὐχ οὕτως ἔχει. τὸ μὲν γὰρ πρᾶξαι τὰ δίκαια ἢ τὰ ἄδικα καὶ ἢ δοῦναι ἀργύριον ἢ πατάξαι τὸν πλησίον ῥᾴδιόν ἐστι καὶ τοῦ βουλομένου· τὸ δὲ ἢ δικαιοσύνης ἕξιν ἔχειν ἢ ἀδικίας, ὃ χρόνου καὶ ἀσκήσεως δεῖται, δι' ἃς ἕξεις ἢ δίκαιός τις ἢ ἄδικος λέγεται, τοῦτο δὲ οὐκ ἔστιν ἐφ' ἡμῖν, ὥστε ἅμα τῷ βούλεσθαι καὶ ῥᾴδιον εἶναι κτήσασθαι. ὁμοίως δὲ νομίζουσι καὶ τὴν γνῶσιν τῶν δικαίων καὶ τῶν ἀδίκων ῥᾳδίαν εἶναι, καὶ τὸ δύνασθαι ταῦτα γινώσκειν οὐδὲν οἴονται σοφὸν εἶναι· ὅτι περὶ ὧν οἱ νόμοι λέγουσιν, οὐ χαλεπὸν συνιέναι. ταῦτα δὲ εἶναί φασι τὰ δίκαια· οὐκ εἰσὶ δέ, εἰ μὴ κατὰ συμβεβηκός· οὐ γὰρ ἁπλῶς οὕτω πραττόμενος ὁ νόμος δίκαιός ἐστιν ἑκάστοτε καὶ ὡς ἔτυχε τελούμενος καὶ παρ' ὧν, ἀλλ' ὡς δεῖ καὶ ὅτε δεῖ καὶ παρ' ὧν δεῖ. τὸ δὲ ταῦτα καθ' ἕκαστον τῶν νόμων εἰδέναι δυσχερέστερόν ἐστι τοῦ τὰ ὑγιεινὰ εἰδέναι· ἐπεὶ κἀκεῖ μέλι καὶ οἶνον καὶ ἐλλέβορον καὶ καῦσιν καὶ τομὴν εἰδέναι ῥᾴδιον, ἀλλὰ πῶς δεῖ τούτων ἕκαστον πρὸς τὴν ὑγίειαν τάξαι, καὶ τίνι προσενεκτέον καὶ πότε, τοσοῦτον ἔργον, ὅσον ἰατρὸν εἶναι. διὰ ταῦτα δὴ καὶ τὸν δίκαιον νομίζουσι δύνασθαι ἀδικεῖν οὐδὲν ἔλαττον τοῦ ἀδίκου ἀλλὰ καὶ πλέον, διὰ τὸ ἄδικα δύνασθαι πράττειν· δύναιτο γὰρ ἂν καὶ πατάξαι τὸν οὐδὲν ἠδικηκότα καὶ ὑφελέσθαι τὰ ἀλλότρια, καὶ ὁ ἀνδρεῖος ῥῖψαι τὴν ἀσπίδα καὶ

1 γὰρ h: μὲν B 2 πλέον Mullach: πλέα Bh

φυγεῖν· ἀλλ' οὐ τὸ τὰ ἄδικα πράττειν ἀδικεῖν ἐστιν οὐδὲ τὰ τοῦ δειλοῦ 193
πράττειν δειλαίνειν ἐστί, πλὴν κατὰ συμβεβηκός· ἀλλὰ τὸ μετὰ τῆς ἕξεως ταῦτα πράττειν, τουτό ἐστι τὸ δειλαίνειν ἢ ἀδικεῖν· ὅταν τις οὐκ ἐθέλων ἁπλῶς, ἀλλὰ πάθει κινούμενος δειλίας φεύγῃ ἢ τῷ ἕξιν ἔχειν ἀδικίας ἀδικῇ, ὥσπερ καὶ τὸ ἰατρεύειν καὶ τὸ ὑγιάζειν, οὐ τὸ τέμνειν ἢ φαρμακεύειν ἢ μὴ φαρμακεύειν ἐστίν, ἀλλὰ τὸ ὡς δεῖ καὶ ὅτε δεῖ. ταῦτα ποιεῖν ἕξιν ἰατρικῆς ἔχοντα. τὸ μὲν οὖν ἐπανορθωτικὸν καὶ διανεμητικὸν δίκαιον, περὶ ὧν εἰπεῖν προὔκειτο, τίνα ἐστὶ καθ' αὑτὰ καὶ ὅπως ἔχει, διωρίσαμεθα. νῦν δὲ ῥητέον ἐστί, πῶς ἔχει τὸ δίκαιον πρὸς τὸ ἐπιεικὲς καὶ ἡ δικαιοσύνη πρὸς τὴν ἐπιείκειαν, ἐκεῖνο μόνον τῷ περὶ τοῦ δικαίου λόγῳ προσθέντες, ὅτι τὸ διανεμητικὸν καὶ διορθωτικὸν δίκαιον ἐν ἐκείνοις ἐστίν, οἳ μετέχουσι τῶν ἁπλῶς ἀγαθῶν, οἷον πλούτου ⟨ἢ⟩ δόξης, ἐν οἷς ὑπερβολὴ καὶ ἔλλειψις εὑρίσκεται· ἐν γὰρ δόξῃ καὶ ὑπερβάλλειν δυνατὸν τὸ δέον καὶ ἐλλείπειν ὁμοίως καὶ ἐν πλούτῳ· ἐπὶ γὰρ τῶν οὕτως ἐχόντων ἡ ἰσότης καὶ ἡ ἀναλογία ζητεῖται· καὶ τοῖς μετέχουσι τούτων τοῦ διανεμητικοῦ δικαίου χρεία καὶ τοῦ διορθωτικοῦ. ἀλλ' ἐν μὲν τοῖς θεοῖς οὐκ ἔχει χώραν ἡ ἀνισότης οὐδὲ ὑπερβολή ἐστιν ἐν ἐκείνοις οὐδὲ ἔλλειψις, ὅθεν οὐδὲ χρεία τῆς τοιαύτης δικαιοσύνης, ἀλλ' οὐδὲ ἐν τοῖς φαύλοις παντάπασι τῶν ἀνθρώπων καὶ ὑπὸ τρυφῆς καὶ τῆς ἄλλης μοχθηρίας διεφθαρμένοις· τοῖς γὰρ ὑγιάζεσθαι μέλλουσιν ἀνάγκη τι μόριον ὑγιὲς ἔχειν, ἵν' ἐκεῖθεν ὁ ἰατρὸς ἐπανακαλέσηται τὴν ὑγίειαν· οἱ δὲ παντάπασι διαφθαρέντες οὐ δύνανται θεραπευθῆναι· ὅθεν οὐδ' ἐν αὐτοῖς ἔχει χώραν τὸ δίκαιον· ἐν 194
ἐκείνοις δέ ἐστι τῶν ἀνθρώπων, ὅσοι βούλονται τὰ δίκαια καὶ ποιοῦσι κατὰ τὴν ἀνθρωπίνην δύναμιν καὶ αὖθις ἁμαρτάνουσιν ὅσον ἀνθρώποις προσῆκε.

Περὶ ἐπιεικείας καὶ τοῦ ἐπιεικοῦς. κεφ. ιϛ'.

Περὶ δὲ ἐπιεικείας καὶ τοῦ ἐπιεικοῦς πῶς ἔχει ἡ μὲν ἐπιείκεια πρὸς δικαιοσύνην, τὸ δ' ἐπιεικὲς πρὸς τὸ δίκαιον, ἀκόλουθόν ἐστιν εἰπεῖν. καὶ γὰρ οὔτε πάντῃ ταὐτά ἐστιν οὔτε ἕτερα τῷ γένει. καθόσον μὲν γὰρ τὸ ἐπιεικὲς ἐπαινεῖται μᾶλλον τοῦ δικαίου, καὶ ὁ ἐπιεικὴς ἀνὴρ τοῦ δικαίου βελτίων δοκεῖ· ἔτι δὲ καὶ ἐπὶ τὰ ἄλλα μεταφέρομεν, ὅταν ἐπαινεῖν δέῃ τινὰ τῶν ἀρετῶν· καὶ γὰρ ἐπιεικεστέραν τήνδε ἐκείνης λέγομεν, τὸ βέλτιον δηλοῦντες, οὐ τὸ δικαιότερον· κατὰ τοῦτο ἄλλη τις δοκεῖ εἶναι παρὰ τὴν δικαιοσύνην ἡ ἐπιείκεια. πάλιν δὲ τῷ λόγῳ ἀκολουθοῦσι φαίνεται ἄτοπον, εἰ τὸ ἐπιεικὲς ἄλλο παρὰ τὸ δίκαιον ὄν, ἐπαινετόν ἐστιν· εἰ γὰρ ἐπαινετόν, δίκαιόν ἐστι· πᾶν γὰρ ἐπαινετὸν δίκαιον, καὶ ἡ δικαιοσύνη τελεία ἐστὶν ἀρετή, ὡς ἐν τοῖς ἀνωτέρω δέδεικται· εἰ δὲ οὐκ ἔστι δίκαιον, οὐδὲ ἐπαινετόν· ἢ εἰ τὸ ἐπιεικὲς ἐπαινετόν, τὸ δίκαιον οὐκ ἔστιν ἐπαινετόν· ἡ μὲν οὖν ἀπορία σχεδὸν διὰ ταῦτα συμβαίνει. ἔχει

1 οὐδὲ τὸ τὰ τοῦ h 4 τῷ h: τὸ B 11 προσθέντες Bh: προσθεῖσιν Mullach
12 οἳ B: ἃ h ἢ h: om. B 29 πάντῃ B: πάντα h 37 cf. p. 87,27

δὲ καὶ ἀμφότερα ὀρθῶς, τό τε ἓν εἶναι τὸ δίκαιον καὶ τὸ ἐπιεικὲς καὶ τὸ
διαφέρειν. καὶ οὐδὲν ἀλλήλοις ἐναντιοῦνται. τὸ γὰρ ἐπιεικὲς καὶ δίκαιόν
ἐστι καὶ δικαίου τινὸς βέλτιον· καὶ οὐχ ὡς ἑτερογενὲς τοῦ δικαίου βέλτιόν
ἐστιν αὐτοῦ, ἀλλ' ὡς μέρος ἄλλου μορίου ὁμογενοῦς· καὶ σπουδαίου ὄντος
καὶ αὐτοῦ καὶ δικαίου, τὸ ἐπιεικὲς δίκαιον σπουδαιότερόν ἐστι. ταύτην δὲ
τὴν | ἀπορίαν εἰσήγαγεν. ὅτι τὸ ἐπιεικὲς δίκαιον μέν ἐστιν. οὐ κατὰ 195
νόμον δέ· οὐ γὰρ περιέχεται ὑπὸ νόμου. ἀλλ' ἔστιν ἐπανόρθωμα δικαίου
νομίμου. τὸ δὲ αἴτιον τῆς διορθώσεως. ὅτι ὁ μὲν νόμος ἅπας καθόλου
διορίζεται· ἐπ' ἐνίοις δὲ τῶν καθ' ἕκαστα οὐ δυνατὸν ἐφαρμόζειν κατὰ
τὸν ὀρθὸν λόγον διὰ τὸ τὸν μὲν νόμον ὡρισμένον εἶναι καὶ εἰς ὡρισμένον
τι σκοπεῖν, τὰ δὲ καθ' ἕκαστα ἀόριστα καὶ ἄλλοτε ἄλλως ἔχοντα, οἷον ὁ
νόμος κελεύει καθόλου πάντα τὸν ἐπὶ τὸ τεῖχος ἀνελθόντα ξένον ἀποθνή-
σκειν· ἀνελθὼν ⟨δέ⟩ τις ἠρίστευσεν· εἰ τοίνυν ἐφαρμόσομεν τὸν νόμον τῷ
ἀριστεῖ καὶ ἀποκτείνομεν, παρὰ τὸν ὀρθὸν λόγον καὶ τὸ δίκαιον ποιήσομεν.
ὁμοίως δὲ καὶ ἐπὶ ἄλλων πολλῶν ἔχει· τοῦτο δὲ τὸ ἁμάρτημα οὐκ ἔστιν
ἐν τῷ νόμῳ οὐδὲ ἐν τῷ νομοθέτῃ ἀλλ' ἐν τῇ τῶν πραγμάτων φύσει.
ὁ γὰρ νόμος. ἐπεὶ ἀδύνατον τὰ κατὰ μέρος πάντα περιλαβεῖν ἀόριστα ὄντα.
τὸ ὡς ἐπὶ τὸ πλέον λαμβάνει καὶ πρὸς τοῦτο βλέπων νομοθετεῖ· καὶ οὐκ
ἀγνοῶν τὸ ἁμάρτημα ὁ νομοθέτης ἀπροσδιόριστον ἀφῆκε τὸν νόμον ἀλλὰ
διὰ τὸ μὴ δυνατὸν εἶναι τὴν τῶν πραγμάτων φύσιν διορισμῷ καθυποβλη-
θῆναι ἄλλοτε ἄλλως ἐχόντων. ἀόριστος γάρ ἐστιν ἡ τῶν πρακτῶν ὕλη
καὶ πολλὰς ἔχει τὰς μεταβολάς. διὰ τοῦτο τῶν ὡς ἐπὶ τὸ πλεῖστον συμ-
βαινόντων οἱ νομοθέται στοχάζονται· τὸ γὰρ ξένον ἐπὶ τὸ τεῖχος ἀνιόντα
κατὰ τὸν καιρὸν τοῦ πολέμου τὴν πόλιν ὠφελῆσαι. ἐπ' ἐλάχιστα συμβαί-
νει, πλέον δὲ ἐνδέχεται κατὰ τῆς πόλεως ἀνέρχεσθαι. ἐπεὶ τοίνυν ἀναγ-
καῖον εἰδέναι πῶς δεῖ τοὺς τοιούτους νόμους τηρεῖν καὶ ὅτε καὶ ἐπὶ τίσιν,
ἔδει τινὰ ἕξιν εἶναι καθ' ἣν δυνησόμεθα τὰ τοιαῦτα ἐπανορθοῦν ἁμαρτή-|
ματα· αὕτη δέ ἐστιν ἡ ἐπιείκεια, καθ' ἣν τὸ ἐλλεῖπον ἀναπληροῦται τοῦ 196
νόμου καὶ τὸ ἁμάρτημα ἐπανορθοῦται καὶ ὁ προσδιορισμός, ὃν ἐκεῖνος πα-
ρέλιπε, διὰ τὸ πάντα τὰ κατὰ μέρος οὐκ εἰδέναι, προστίθεται· ἐρεῖ γὰρ ὁ
ἐπιεικής. πάντα τὸν ἀνιόντα ξένον ἀποθνήσκειν. εἴγε ἐπιβουλεύσων ἀνῆλθεν.
εἰ δὲ ἠρίστευσεν, οὐ μόνον σωτηρίας ἀλλὰ καὶ γερῶν ἀξιωθήτω· ταῦτα δὲ
καὶ αὐτὸς ἂν εἶπεν ὁ νομοθέτης, εἴγε παρῆν· καὶ εἰ ᾔδει, ἐνομοθέ-
τησεν ἄν. τὸν αὐτὸν δὲ τρόπον καὶ τοὺς ἄλλους τοὺς ὁμοίους νόμους ὁ
ἐπιεικὴς ἐπανορθώσεται. διὰ τοῦτο ἡ ἐπιείκεια δίκαιον μέν ἐστι καὶ βέλ-
τιόν τινος δικαίου, οὐ τοῦ καθόλου δικαίου ἀλλὰ τοῦ νομικοῦ, τοῦ διὰ τὸ
καθόλου ἁμαρτάνοντος. καὶ ἔστιν αὕτη ἡ φύσις ἡ τοῦ ἐπιεικοῦς ἐπανόρ-
θωμα τοῦ νόμου, καθ' ὅσον ἁμαρτάνει καὶ ἐλλιπής ἐστι διὰ τὸ καθόλου·
τοῦτο γὰρ αἴτιον καὶ τοῦ μὴ πάντα τὰ δικαίως γινόμενα κατὰ νόμον
εἶναι, ὅτι καθόλου καὶ τῶν ὡς ἐπὶ τὸ πλεῖστον οἱ νόμοι. καὶ διὰ τοῦτο

1 καὶ τὸ ἐπιεικὲς om. h   13 δὲ h: om. B   ἐφαρμόσωμεν h   14 ἀποκτείνωμεν h   29 ὁ προσδιορισμὸς Mullach: τὸν προσδιορισμόν Bh   30 τὰ om. h   31 ἐμβουλεύσων h   35 καὶ om. h

ψηφισμάτων ἐδέησεν. ἃ ποιοῦσιν οἱ πολιτευόμενοι ἐν τοῖς κατὰ μέρος πράγμασιν, ἄλλοτε ἄλλως ἔχοντα ἄλλοτε ἄλλως καὶ αὐτοῖς ἔχουσι· τῶν γὰρ ἀορίστων ἀόριστος καὶ ὁ κανών ἐστιν, ὥσπερ καὶ τῆς Λεσβίας οἰκοδομῆς ὁ μολίβδινος κανών, ὃς μετεκινεῖτο πρὸς τὸ σχῆμα τοῦ λίθου· τὸν αὐτὸν γὰρ τρόπον καὶ τὰ ψηφίσματα πρὸς τὰ πράγματα μεταβάλλονται. τί μὲν οὖν ἐστι τὸ ἐπιεικὲς καὶ ἡ ἐπιείκεια, καὶ ὅ τι δίκαιον, καὶ πῶς ἔχει πρὸς τὸ καθόλου δίκαιον, καὶ τίνος βέλτιον δικαίου, εἴρηται. δῆλος δὲ ἀπὸ τούτων καὶ ὁ ἐπιεικὴς τίς ἐστιν· ἔστι γὰρ ὁ τῶν εἰρημένων προαιρετικὸς καὶ πρακτικός. καὶ ὁ μὴ [ὁ] ἀκριβοδίκαιος ἐπὶ τὸ χεῖρον ἀλλὰ ἐλαττωτικός, | καίπερ ἔχων τὸν 197 νόμον βοηθόν· καὶ ἡ ἕξις αὕτη ἐπιείκεια. δικαιοσύνη τις οὖσα. καὶ οὐκ ἄλλη τις παρὰ ταύτην καὶ διάφορος ἕξις.

Ὅτι οὐ δυνατὸν ἀδικεῖσθαι ἑκόντα. κεφ. ιζ΄.

Ῥητέον δὲ περὶ τοῦ ἀδικεῖσθαι τελεώτερον, εἰ δύναταί ποτε ἑκούσιον εἶναι. ἐπεὶ τοίνυν ἡ δικαιοσύνη καὶ ἡ ἀδικία ἡ μὲν καθολική τίς ἐστι καὶ τελεία ἀρετή, καθὼς δέδεικται, ὁμοίως δὲ καὶ ἡ ἀδικία κακία, ἡ δὲ μερική. φανερὸν ὅτι οὔτε κατὰ τὴν καθόλου οὔτε κατὰ τὴν μερικὴν ἀδικίαν δυνατόν τινα ἑαυτὸν ἀδικεῖν· δοκεῖ δὲ δυνατὸν εἶναι. διὰ ταῦτα, τοῦ νόμου μὴ κελεύοντος ἑαυτόν τινα ἀποκτείνειν, παράνομόν ἐστι τὸ ἑαυτόν τινα ἀποκτείνειν· ὃ γὰρ μὴ κελεύει ὁ νόμος, ἀπαγορεύει· τὸ δὲ παράνομον ἄδικον, καὶ ἀδικεῖ ὁ ἑαυτὸν ἀποκτείνας· ὁ δὲ ἀδικῶν τινὰ ἀδικεῖ· δῆλον δὴ ὅτι ἑαυτὸν ἀδικεῖ· τοῦτο δὲ καὶ ἑκουσίως ἐποίησεν· ἑκουσίως ἄρα ἀδικεῖται. ἔτι δὲ καὶ ὁ παρὰ τὸν νόμον βλάπτων τινὰ καὶ μὴ ἀμυνόμενος καὶ ἀντιβλάπτων, ἀλλὰ προκατάρχων τῆς βλάβης, ἑκὼν ἀδικεῖ, ὅταν καὶ γινώσκῃ τὴν βλάβην καὶ τὸν βλαπτόμενον καὶ τἄλλα τὰ περὶ τὸ πρᾶγμα· ὁ δὲ δι' ὀργὴν ἑαυτὸν ἀποσφάξας οὔτε ἀμύνεται ἑαυτὸν καὶ γινώσκει καὶ ἑαυτὸν καὶ τὴν βλάβην καὶ πάντα τὰ περὶ τὸ πρᾶγμα, ἑκὼν ἄρα ἀδικεῖ· εἰ δὲ ἑκὼν ἀδικεῖ, καὶ ἑκὼν ἀδικεῖται. διὰ ταῦτα μὲν οὖν δοκεῖ δυνατὸν εἶναι ἑκουσίως ἀδικεῖσθαί τινα κατὰ τὴν καθόλου ἀδικίαν, ἥτις ἐστὶν ἐναντία τῇ καθόλου δικαιοσύνῃ, ἥτις χρῆσίς ἐστι πάσης ἀρετῆς. τὸ γὰρ δι' ὀργὴν ἑαυτὸν ἀποσφάττειν ἐναντίον ἐστὶ τῷ | κατὰ τὴν πραότητα 198 νόμῳ. τοῦτο δὲ ὅτι ἀδύνατόν ἐστιν, ἀπὸ τῶν προειρημένων ἐδείχθη· ὁ γὰρ ὁρισμὸς τοῦ ἀδικεῖσθαι ἐναντίος ἐστὶ τῷ τοῦ ἑκουσίου λόγῳ. ὁ δὲ ἐναντίος λόγος, καθόσον μὲν ἑκουσίως ἀδικεῖν φησι τὸν ἀποσφάξαντα ἑαυτόν, ἀληθεύει, καθόσον δέ φησιν αὐτὸν ἑαυτὸν ἀδικεῖν, ψεύδεται· οὐ γὰρ αὐτὸς ἀδικεῖται, οὐ γὰρ παρὰ τὴν βούλησιν αὐτοῦ τὸ κακόν, ἀλλὰ ἡ πόλις, ἣ ζημιοῦται στρατηγὸν ἢ στρατιώτην ἢ οἰκοδόμον ἢ πολίτην ἁπλῶς, καὶ παρὰ τὴν αὐτῆς βούλησιν. διὰ τοῦτο καὶ ὡς ἠδικημένη δίκας ἀπαιτεῖ παρ' αὐτοῦ, ἀμυνομένη αὐτὸν δι' ὧν ἔξεστιν· οὐ γὰρ ἐᾷ θάπτειν τὸ σῶμα.

2 ἔχοντα ἄλλοτε ἄλλως om. h γὰρ B: δὲ h 9 ὁ μὴ ὁ B: ὁ μὴ h 13 ἑκόντα B: ἑαυτόν h

κατὰ μὲν οὖν τὴν καθόλου ἀδικίαν, ὅτι οὐχ ἑκούσιον τὸ ἀδικεῖσθαι, δέδεικται· κατὰ δὲ τὴν μερικήν, ἥτις ἐστὶν ἡ πλεονεξία, πῶς δυνατὸν ἑαυτόν τινα ἀδικεῖν; εἰ γὰρ τὸ ἀδικεῖν κατὰ ταύτην τὴν ἀδικίαν οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ πλέον ἔχειν θατέρου, ἕξει αὐτὸς ἑαυτοῦ πλέον ὁ ἑαυτὸν ἀδικῶν· εἰ δὲ πλέον ἑαυτοῦ, καὶ ἔλαττον· καὶ εἴη ἂν τὸ αὐτὸ καὶ προσθήκη αὐτῷ καὶ ἀφαίρεσις, ὅπερ ἀδύνατον· ἀνάγκη γὰρ τὸ τοιοῦτον δίκαιον τὸ ἐλάχιστον ἐν δυσὶν εἶναι· οὕτω γὰρ δυνατὸν καὶ ἀφαίρεσιν καὶ προσθήκην γενέσθαι· καὶ ⟨τὸ⟩ ἀδικεῖσθαι καὶ τὸ ἀδικεῖν. ἔτι δὲ ἀνάγκη τὸν ἀδικοῦντα τοῦ ἀδικουμένου πρότερον τὴν βλάβην ποιεῖν, καὶ ἑκουσίως καὶ ἐκ προαιρέσεως βλάπτειν· ὁ γάρ, διότι ἔπαθε, τὸ αὐτὸ ἀντιποιῶν, οὐ δοκεῖ ἀδικεῖν. τὸν δὲ ἑαυτὸν ἀδικοῦντα ἀνάγκη κατὰ ταὐτὸν καὶ ἀδικεῖν καὶ ἀδικεῖσθαι· διὰ τὸ τὸν αὐτὸν εἶναι καὶ ἀδικοῦντα καὶ ἀδικούμενον καὶ ἅμα καὶ ἀδικεῖν καὶ ἀδικεῖσθαι· δεῖ | ἄρα ἐν πλείοσιν εἶναι ταύτην τὴν ἀδικίαν· 199
οὐκ ἄρα δυνατὸν αὐτόν τινα ἑαυτὸν ἀδικεῖν. πρὸς δὲ τούτοις ὁ ἀδικῶν οὐδὲν ἄλλο ἐστὶν ἢ ὁ ποιῶν τὰ κατὰ μέρος ἀδικήματα· καὶ χωρὶς τῶν καθ' ἕκαστα οὐ δύναταί τις ἀδικεῖν οὐθ' ὅλως ἄλλο τι ποιεῖν· τὰ δὲ κατὰ μέρος κλοπὴ ὕβρις πληγαὶ τοιχωρυχία· οὐδεὶς δὲ ἢ κλέπτει τὰ ἑαυτοῦ ἢ τὸν ἑαυτοῦ τοῖχον διορύττει ἢ ἑαυτὸν ὑβρίζει ἢ πλήττει. ὅλως δὲ ἐλέγχεται ψεῦδος εἶναι τὸ ἑαυτόν τινα ἀδικεῖν καὶ ἑκουσίως ἀδικεῖσθαι διὰ τοῦ ὁρισμοῦ τοῦ ἀδικεῖσθαι, ὅ ἐστι τὸ ἄδικα πάσχειν παρὰ τὴν αὐτοῦ βούλησιν.

Ὅτι χεῖρον κακὸν τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι. κεφ. ιη'.

Φανερὸν δέ, ὅτι ἄμφω μὲν φαῦλα, καὶ τὸ ἀδικεῖσθαι καὶ τὸ ἀδικεῖν, καὶ γὰρ ἄμφω τοῦ μέσου ἔξω πίπτουσι, καὶ τὸ μὲν ἀδικεῖν πλέον ἐστί, τὸ δὲ ἀδικεῖσθαι ἔλαττον, τὸ δὲ δικαιοπραγεῖν ἴσον καὶ μέσον, ὥσπερ τὸ ὑγιεινὸν ἐν ἰατρικῇ καὶ τὸ εὐεκτικὸν ἐν γυμναστικῇ. ἄμφω μὲν οὖν φαῦλα, χεῖρον δέ ἐστι τὸ ἀδικεῖν. τὸ μὲν γὰρ ἀδικεῖν καὶ κακόν ἐστι καὶ ψέγεται· καὶ κακὸν ἢ κατὰ τελείαν κακίαν, ἤτοι τὴν καθόλου ἀδικίαν, ἢ τὴν μερικήν· καὶ ἢ ἑκουσίως καὶ μετὰ προαιρέσεως, ὅ ἐστι τὸ τελείως ἀδικεῖν ἢ ἑκουσίως μέν, οὐ μετὰ προαιρέσεως δέ, ὅπερ ἐγγύς ἐστι τοῦ ἀδικεῖν, καὶ οὐ τέλειον· οὐ γὰρ ἅπαν ἑκούσιον βλαβερὸν τοῦ πλησίον καὶ ἄδικον. τὸ δὲ ἀδικεῖσθαι κακὸν μέν ἐστιν, οὐ ψέγεται δέ, ὅτι μὴ διὰ πονηρίαν ἢ ἄλλην τινὰ κακίαν ἀδικεῖταί τις. καθ' αὑτὸ μὲν οὖν τὸ ἀδικεῖσθαι ἧττον κακόν ἐστι τοῦ ἀδικεῖν· κατὰ συμβε|βηκὸς δὲ οὐ- 200
δὲν κωλύει καὶ χεῖρον εἶναι, διότι συνέβη πολλάκις τὸ ἀδικεῖσθαι μείζονος βλάβης αἴτιον γενέσθαι ἢ τὸ ἀδικεῖν· ὥσπερ εἴ τις διὰ τὸ ἀδικεῖσθαι ὀργισθεὶς πῦρ ἀνῆψε τῇ τοῦ ἀδικοῦντος οἰκίᾳ, ἐκεῖθεν δὲ συνέβη πᾶσαν ἐμπρησθῆναι τὴν πόλιν. ὅμως δὲ καὶ οὕτω μεῖζον κακὸν τὸ ἀδικεῖν· οὐδὲν γὰρ αὐτὸ ἑαυτοῦ χεῖρον διὰ τὰ συμβεβηκότα· ἐπεὶ οὐδὲ πλευρῖτις

8 τὸ ex Aristotele addidi · τὸ (alterum) B: om. h 31 τοῦ Bh: τῷ Mullach

ἔλαττον κακόν ἐστι τοῦ προσπταίσματος, διότι συνέβη τινὰ προσπταίσαντα ὑπὸ τῶν πολεμίων ληφθῆναι καὶ ἀποθανεῖν. τὸ μὲν οὖν κυρίως δίκαιον καὶ ἄδικον καὶ δικαιοσύνη καὶ ἀδικία τὰ εἰρημένα ἐστί. λέγεται δὲ καὶ ἄλλο οὐ κυρίως ἀλλὰ κατὰ μεταφορὰν καὶ ὁμοιότητα τοῦ δικαίου, ὅπερ ἔχει τις πρὸς τὰ ἑαυτοῦ, ὥσπερ ὁ δεσπότης πρὸς τὸν δοῦλον καὶ ὁ πατὴρ πρὸς τὸν υἱόν. καθ' ὃ καὶ ἡ ψυχὴ πρὸς τὰ ἑαυτῆς μέρη δικαία λέγεται ἢ ἄδικος· καὶ τὸ λογικὸν τοῦ ἀλόγου διέστηκε· καὶ τὸ μὲν λογικὸν ἄρχει καὶ τάττει, τὸ δὲ ἄλογον ἄρχεται καὶ τάττεται. πρὸς ὃ δή τινες βλέποντες νομίζουσιν ἀδικεῖν τινα ἑαυτὸν καὶ δικαιοῦν· ὅτι ποτὲ μὲν ὁ λόγος ἀκολουθεῖ τῷ ἀλόγῳ, ποτὲ δὲ ἀντίκειται, ὅταν τις ποιῇ παρὰ τὰς ἑαυτοῦ ὀρέξεις· καὶ ἔχουσιν ὥσπερ ἄρχον πρὸς [τὸ] ἀρχόμενον· καὶ δίκαιόν ἐστιν ἐν αὐτοῖς, ὅπερ ἐν ἀρχομένῳ καὶ ἄρχοντι. περὶ μὲν οὖν δικαιοσύνης καὶ τῶν ἄλλων τῶν ἠθικῶν ἀρετῶν διωρίσθω τὸν τρόπον τοῦτον.

11 πρὸς τὸ ἀρχόμενον B: πρὸς ἀρχόμενον h

Ὅτι λοιπὸν περὶ τοῦ ὀρθοῦ διορίσασθαι λόγου τίς ἐστιν. κεφ. α΄.

Ἐπεὶ δὲ ἐν τοῖς προειρημένοις περὶ τῶν ἀρετῶν λόγοις ἐκεῖνο κεφά-
λαιον ἐποιούμεθα, ὅτι τὸ μέσον ἐστὶν ἐν παντὶ πάθει καὶ πάσῃ πράξει τὸ
ἐπαινετὸν καὶ τὸ ἄριστον καὶ τοῦτο δέον αἱρεῖσθαι, μὴ τὴν ὑπερβολὴν ἢ 10
τὴν ἔλλειψιν, μέσον δὲ εἶναι ἐλέγομεν, ὅπερ ὁ ὀρθὸς λόγος κελεύει, ῥητέον
ἂν εἴη, τίς ὁ ὀρθὸς λόγος καὶ τίς ὁ ὅρος αὐτοῦ. ἐν πάσαις γὰρ ταῖς
εἰρημέναις ἕξεσι. καθάπερ καὶ ἐπὶ τῶν ἄλλων πράξεων ἢ ἕξεών
ἐστί τις σκοπός, πρὸς ὃν ἀποβλέπων ὁ τὸν λόγον ἔχων καὶ ὑπ'
αὐτοῦ ταττόμενος αὐξάνει μὲν τὰ ἐλάττω τοῦ δέοντος, συστέλλει δὲ τὰ
ὑπὲρ τὸ δέον, εἴτε πάθη εἶεν εἴτε πράξεις εἴτε ἄλλο τι τῶν δυνατῶν καὶ
ἐπιτείνεσθαι καὶ ἀνίεσθαι· καὶ ἔστι τις κανὼν καὶ ὅρος, δι' οὗ τὸ μέσον 20
γινώσκεται, ὃ λέγομεν κατὰ τὸν ὀρθὸν λόγον γίνεσθαι, καὶ μεταξὺ εἶναι
τῆς ὑπερβολῆς καὶ τῆς ἐλλείψεως· ἀνάγκη τοίνυν τοὺς μέλλοντας γινώσκειν
περὶ τοῦ μέσου τὸν ὅρον αὐτοῦ γινώσκειν καὶ τὸν κανόνα· τοῦτο δὲ ὁ
ὀρθός ἐστι λόγος. τὸ γὰρ οὕτως ἁπλῶς εἰπεῖν, μέσον ἐστὶ τὸ κατὰ τὸν
ὀρθὸν γινόμενον λόγον, ἀληθὲς μέν, οὐδὲν δὲ σαφές· ἄδηλον γάρ ἐστι 202
τὸ μέσον τοῖς μὴ τὸν ὀρθὸν γινώσκουσι λόγον. καὶ γὰρ καὶ ἐν ταῖς ἄλλαις
πράξεσι καὶ σπουδαῖς, ἐν αἷς ἐστιν ἐπιστήμη, ἀληθὲς μὲν εἰπεῖν, ὅτι οὔτε
πλείω τοῦ δέοντος οὔτε ἐλάττω δεῖ πονεῖν, ἀλλὰ τὰ μέσα καὶ ὡς
ὁ ὀρθὸς λόγος· οὐ δυνατὸν δὲ ἀπὸ τούτου μόνου τὸ δέον μαθεῖν. οὐδὲ
γὰρ τὰ ἰατρικὰ καὶ ὑγιεινὰ γνώσεταί τις καὶ οἷα δεῖ προσάγειν τῷ νοσοῦντι,
εἰ μόνον ἀκούσεται ὅτι ὑγιεινά ἐστι καὶ ἰατρικά, ἅπερ ἂν ἡ ἰατρικὴ καὶ ὁ
ταύτην ἔχων ἰατρὸς κελεύοι ποιεῖν· καὶ γὰρ ἀληθὴς μὲν ὁ λόγος, ἄδηλον 10
δὲ τὸ ζητούμενον οὐδὲν ἧττον. τὸν αὐτὸν δὴ τρόπον καὶ περὶ τῶν μέσων
ἕξεων τῆς ψυχῆς οὐκ ἀληθῆ λόγον μόνον εἰπεῖν ἀναγκαῖον ἀλλὰ καὶ δη-
λωτικόν. τοῦτο δέ ἐστι τὸ περὶ τοῦ ὀρθοῦ διορίσασθαι λόγου, τίς τέ ἐστι

1 Ἀριστοτέλους ἠθικῶν βιβλίον ζ h 12 μέσον B: μέγαν h 15 τὸν (alterum) h: τὸ B 16 γὰρ B: δὲ h 17 ἐστι B: ἔτι h 26 ἕξεων om. h

καὶ τίς ὁ ὅρος αὐτοῦ· λέγωμεν τοίνυν περὶ τοῦ ὀρθοῦ λόγου, ἄνωθεν ἀρξάμενοι.

Διαίρεσις τοῦ λογικοῦ τῆς ψυχῆς· καὶ τίνα ἐν ἡμῖν τὰ κύρια πράξεως. κεφ. β'.

Ἐν τοῖς προειρημένοις διελόντες τὰς τῆς ψυχῆς ἀρετάς, τὰς μὲν ἠθικὰς 20
ἐλέγομεν εἶναι, ὅσαι τοῦ παθητικοῦ τῆς ψυχῆς μέρους, τὰς δὲ διανοητικάς,
ὅσαι τῆς διανοίας εἰσί. περὶ μὲν οὖν τῶν ἠθικῶν διεληλύθαμεν, περὶ δὲ
τῶν λοιπῶν ἤδη λέγομεν· ἐν αὐταῖς γὰρ τὸν ὀρθὸν εὑρήσομεν λόγον,
ἐκεῖνο πρῶτον εἰπόντες περὶ τῆς ψυχῆς. πρότερον ⟨μὲν⟩ οὖν δύο μέρη
τῆς ψυχῆς εἴπομεν εἶναι, τό τε λόγον ἔχον καὶ τὸ ἄλογον, | νῦν δὲ τὸ 203
λόγον ἔχον διαιροῦντες, λέγομεν δύο εἶναι τὰ λόγον ἔχοντα, ἓν μέν, δι' οὗ
τὰ ἀναγκαῖα γινώσκομεν καὶ ἀεὶ ὡσαύτως ἔχοντα καὶ ἃ μὴ ἐνδέχεται
ἄλλως ἔχειν, ἄλλο δέ, δι' οὗ τὰ ἐνδεχόμενα γινώσκομεν καὶ ἄλλοτε ἄλλως
ἔχοντα. καὶ γὰρ ἐπεὶ τὰ γνωστὰ διάφορά εἰσι καὶ τῷ εἴδει ἕτερα, καὶ
τὰς γνώσεις ἕπεται διαφόρους εἶναι τῷ εἴδει. τὴν γὰρ γνῶσιν ὁμοίαν εἶναι
τῷ γινωσκομένῳ καὶ ἀναγκαίαν μὲν τὴν τοῦ ἀναγκαίου, ἐνδεχομένην δὲ
τὴν τοῦ ἐνδεχομένου, πᾶσα ἀνάγκη· καὶ γὰρ ἐνδεχομένη γνῶσίς ἐστιν, 10
ἥτις οὐκ ἀεὶ ἀληθεύει· ψεύδεται δὲ ἡ γνῶσις, ὅταν τὸ γινωσκόμενον μὴ
οὕτως ἔχῃ ὥσπερ γινώσκεται· τὸ δὲ μὴ οὕτως ἔχειν ὥσπερ εἶχε τῶν
ἐνδεχομένων ἐστὶ καὶ ἄλλοτε ἄλλως ἐχόντων· τῶν ἐνδεχομένων ἄρα ἡ
γνῶσις ἐνδεχομένη ἐστί. διὰ τὰ αὐτὰ δὴ καὶ τῶν ἀναγκαίων ἀναγκαία ἡ
γνῶσις· πᾶσα γὰρ γνῶσις καθ' ὁμοιότητά τινα καὶ οἰκειότητα γίνε-
ται· καὶ γὰρ ἐφαρμογή τίς ἐστι καὶ ἐπαφὴ τοῦ γινωσκομένου καὶ τοῦ γι-
νώσκοντος. ἐπεὶ τοίνυν διττὴ ἡ γνῶσις, ἡ μὲν ἀναγκαία, ἡ δὲ ἐνδεχομένη, 20
καλείσθω ἡ μὲν ἀναγκαία ἐπιστημονική, ἡ δὲ ἐνδεχομένη λογικὴ ἢ βου-
λευτική. τὸ γὰρ βουλεύεσθαι καὶ λογίζεσθαι ταὐτόν· ἔστι γὰρ ἡ
βούλευσις περὶ τὰ ἐνδεχόμενα· οὐδεὶς γὰρ βουλεύεται περὶ τῶν μὴ
ἐνδεχομένων ἄλλως ἔχειν· ἀνάγκη γὰρ ὁμοίως ἔχειν, καὶ οὐδὲν ἡ
βουλὴ κινήσει οὐδὲ μεταβαλεῖ. ἐπεὶ τοίνυν περὶ τὰ ἐνδεχόμενα τὸ βου-
λευτικόν, περὶ δὲ τὰ ἐνδεχόμενα αὐτό φαμεν εἶναι τὸ λογιστικόν, ταὐτὸν
ἂν εἴη τὸ λογιστικὸν καὶ βουλευτικόν. | ἔστιν ἄρα τὸ βουλευτικὸν τὸ ἕτερον 204
μέρος τοῦ λογικοῦ. ἐπεὶ δὲ περὶ τῶν διανοητικῶν ἀρετῶν ὁ λόγος ἡμῖν,
τουτέστι τῶν οὐσῶν ἐν τῇ διανοίᾳ, τῷ λογικῷ, τὰ δὲ μέρη τοῦ λογικοῦ τὸ
ἐπιστημονικόν ἐστι καὶ βουλευτικόν, ἐν αὐτοῖς τοῖς μέρεσι τοῦ λογικοῦ
ζητητέον ἡμῖν τὰς διανοητικὰς ἀρετάς· ληπτέον ἄρα ἑκατέρου τούτων
τίς ἡ βελτίστη ἕξις· αὕτη γὰρ ἀρετὴ ἑκατέρου. ἐπεὶ δὲ ἡ ἀρετὴ
ἐν τοῖς οἰκείοις ἔργοις θεωρεῖται, ζητητέον τίνα τὰ ἔργα τὰ προσήκοντα
τῷ ἐπιστημονικῷ καὶ βουλευτικῷ. τρία τοίνυν ἐστὶν ἐν τῇ ψυχῇ τὰ 10

3. 4 κυρία τῆς πράξεως h 8 λέγωμεν h 9 μὲν h: om. B 22 τινα καὶ B: καὶ κατ' h 25 λογικὴ B et Arist. cod. Kb: λογιστικὴ h et Arist. vulg. 32 λογιστικοῦ h 33 λογιστικῷ h

κύρια πράξεως καὶ ἀληθείας. ἀληθείας μὲν κύρια νοῦς καὶ αἴσθησις. ὅτι ἑκάτερον γνῶσίς ἐστιν· ἡ δὲ γνῶσις τέλος ἔχει τὴν ἀλήθειαν· πράξεως δὲ ἡ ὄρεξις· ἐν αὐτῇ γάρ ἐστι πᾶσα πράξεως ἀρχή. καὶ παντὸς ἔργου αὕτη αἰτία. ὁ μὲν γὰρ νοῦς γινώσκει ὅτι τόδε τι δέον ποιῆσαι, ἡ δὲ εἰς τὴν πρᾶξιν κίνησις ἀπὸ τῆς ὀρέξεως γίνεται· ἡ δὲ αἴσθησις οὐδεμιᾶς ἐστιν ἀρχὴ πράξεως. δῆλον δὲ ἀπὸ τῶν ἀλόγων· καὶ γὰρ αἴσθησιν ἔχοντα οὐ δύνανται πρᾶξιν ἔχειν· πρᾶξις γάρ ἐστιν ἡ μετὰ βουλεύσεως ἐνέργεια· ὥστε ἡ μὲν αἴσθησις οὐδεμιᾶς αἰτία πράξεως, ὁ δὲ νοῦς καὶ ἡ ὄρεξις πασῶν πράξεών εἰσιν ἀρχή, ὁ μὲν τὰ δέοντα διδάσκων, ἡ δὲ ἐπὶ τὸ πράττειν κινοῦσα. ὃν δὲ ἔχει λόγον ἐν τῇ διανοίᾳ κατάφασις καὶ ἀπόφασις, τοῦτον ἔχει ἐν τῇ ὀρέξει δίωξις καὶ φυγή· ὥστε ἐπεὶ ἡ ἠθικὴ ἀρετὴ ἕξις ἐστὶ προαιρετική, ἡ δὲ προαίρεσις ὄρεξις βουλευτική (προαίρεσις γάρ ἐστι τὸ θελῆσαι καὶ ἑλέσθαι τὸ βουλευθέν), πᾶσα ἀνάγκη, εἴπερ ἡ προαίρεσις ἀγαθή ἐστι καὶ σπουδαία, ἐκεῖνα αἱρεῖσθαι, ὅσα σπουδαῖα, καὶ τὴν | ὄρεξιν 205
ὀρθὴν εἶναι τὸ ἀγαθὸν βουλομένην. οὐ δύναται δὲ ἡ προαίρεσις τὸ ἀγαθὸν ἐθέλειν, μὴ τῆς βουλεύσεως διδασκούσης· ὥστε ἀνάγκη εἶναι τὴν μὲν βούλευσιν ἀληθῆ λέγειν, τὴν δὲ προαίρεσιν ἑλέσθαι· καὶ τὴν ὄρεξιν τὸ ἀγαθὸν διώκειν. καὶ τὸ αὐτὸ τὴν μὲν βούλευσιν λέγειν. τὴν ὄρεξιν δὲ διώκειν. αὕτη μὲν οὖν ἡ διάνοια, τὸ λογιστικὸν δηλονότι καὶ βουλευτικόν, καὶ ἡ κατ᾽ αὐτὴν ἀλήθεια πρακτικὴ καλεῖται, διότι τέλος ἔχει τὴν πρᾶξιν τοῦ ἀγαθοῦ· καὶ ἔστιν αὐτῆς ἔργον ἡ εἰρημένη ἀλήθεια, ἥτις ἐστὶ περὶ τὸ ἀγαθὸν καὶ κακόν· τῆς δὲ θεωρητικῆς διανοίας καὶ μὴ πρακτικῆς ἔργον ἐστὶν ἡ ἀλήθεια καὶ τὸ ψεῦδος. καὶ τέλος ἔχει τὴν γνῶσιν τοῦ ἀληθοῦς· τοῦτο γάρ ἐστιν ἔργον παντὸς διανοητικοῦ, καθόσον ἐστὶ διανοητικός. ὃς δὲ διανοητικὸς καὶ πρακτικός ἐστιν, ἐκείνην τὴν ἀλήθειαν ἔργον ἔχει, ἥτις σύμφωνός ἐστι τῇ σπουδαίᾳ πράξει καὶ τῇ ὀρθῶς ἐχούσῃ καὶ σπουδαίως ὀρέξει.

Ὅτι ἡ πρακτικὴ διάνοια ἀρχή ἐστι τῆς προαιρέσεως. κεφ. γ΄.

Ἡ μὲν οὖν προαίρεσις αἰτία καὶ ἀρχὴ πράξεως· αἰτία δὲ οὐ τελική (οὐ γὰρ ἕνεκα τῆς προαιρέσεως πράττομεν), ἀλλὰ ποιητικὴ μᾶλλον· πρὶν γὰρ πρᾶξαι προαιρούμεθα, τὸ δὲ τέλος μετὰ τὴν πρᾶξιν· προαιρέσεως δὲ ἀρχὴ ὄρεξις καὶ λόγος, ἥτις ἐστὶν ἡ βούλευσις. τὸ ἕτερον τοῦ λογικοῦ μέρος τὸ λογιστικὸν καὶ βουλευτικόν, ὃ τὴν ἀλήθειαν ζητεῖ μέν, οὐ δι᾽ ἑαυτὴν δέ, ἀλλὰ τῆς πράξεως τοῦ ἀγαθοῦ χάριν· διὰ τοῦτο δέ, ὅτι ὁ λόγος καὶ ἡ ὄρεξις τῆς προαιρέσεώς εἰσιν ἀρχαί, οὐδὲ δυνατὸν προαίρεσιν εἶναι | ἄνευ διανοίας καὶ ἠθικῆς ἕξεως· ἀπὸ γὰρ τῆς ἠθικῆς ἕξεως ἡ 206
ὄρεξις γίνεται τοῦ ἀγαθοῦ ἢ τοῦ κακοῦ. καθὸ δὲ θεωρητικὴ ἡ διάνοια, οὐδενός ἐστιν ἀρχή, οὐδὲν γὰρ κινεῖ, ἀλλὰ μόνον καθὸ πρακτικὴ τῶν εἰρημένων ἐστὶν ἀρχὴ τῆς τε ὀρέξεως καὶ τῆς προαιρέσεως καὶ τῆς πράξεως· ἔτι δὲ καὶ τῆς ποιητικῆς ἀρχή ἐστιν ἡ πρακτικὴ αὕτη διάνοια. διαφέρει

21 εἰρημένη B: ἠρημένη h   περί τε τὸ h   28 ὅτι h: ἔτι B

γὰρ ποιητικὴ πρακτικῆς· ἡ μὲν γὰρ πρακτικὴ τοῦ ἀγαθοῦ τέλος ἔχει αὐτὸ τὸ εὖ πράττειν τὸ ἀγαθόν, καὶ μέχρι τούτου σκοπεῖ, ὅπως εὖ πράξει τὰ τῇ ὀρέξει δοκοῦντα, ἡ δὲ ποιητικὴ αὐτό ἐστι τὸ πράττειν εὖ τὸ ἀγαθὸν καὶ τέλος ἔχει τὴν ἀνθρωπίνην εὐδαιμονίαν. καὶ τὸ μὲν τέλος τῆς πρακτικῆς καθ' αὑτό ἐστι, τὸ δὲ τέλος τῆς ποιητικῆς πρός τι· καὶ γὰρ πρὸς τὸν ἄνθρωπον ἀναφέρεται· τὴν γὰρ ὠφέλειαν τοῦ ἀνθρώπου ζητεῖ. ἐπεὶ τοίνυν ὅπερ ἔχει τέλος ἡ πρακτικὴ διάνοια καὶ οὗ ἐστιν ἀρχὴ καὶ αἰτία, τὴν πρᾶξιν τοῦ ἀγαθοῦ, τοῦτο ἀρχὴν ἔχει τοῦ ἰδίου τέλους ἡ ποιητική (ἀπὸ γὰρ τῆς ἀγαθῆς πράξεως ἡ ἀνθρωπίνη εὐδαιμονία), διὰ τοῦτο καὶ αὐτῆς ἀρχὴ λέγεται. ἐπεὶ δὲ ἀρχή ἐστιν ἡ διάνοια τῆς ὀρέξεως, ἡ δὲ ὄρεξις τῆς προαιρέσεως, εἴη ἂν ἡ προαίρεσις ἢ ὀρεκτικὸς νοῦς ἢ ὄρεξις διανοητική· ταῦτα δ' ἂν εἴη ἐν μόνῳ τῷ λογικῷ ζῴῳ, ὅς ἐστιν ἄνθρωπος.

Περὶ τέχνης ἐπιστήμης φρονήσεως καὶ σοφίας καὶ νοῦ. καὶ τίνι διαφέρει τῶν λοιπῶν ἡ ἐπιστήμη. κεφ. δ'.

Ἡ μὲν οὖν προαίρεσις τοιαύτη, προαιρετὰ δέ, δηλονότι ἃ δυνάμεθα προαιρεῖσθαι, τὰ ἐνδεχόμενά | εἰσι, καὶ τούτων τὰ μέλλοντα· περὶ γὰρ 207
τῶν παρελθόντων οὐδεὶς βουλεύεται εἰ δεῖ ποιῆσαι· περὶ ὧν δὲ οὐδεὶς βουλεύεται οὐδὲ προαιρεῖται· τὰ γὰρ βουλευτὰ καὶ προαιρετά, ὡς ἐν τοῖς περὶ προαιρέσεως εἴρηται· οὐδεὶς γὰρ προαιρεῖται Ἴλιον πεπορθηκέναι· διὸ ὀρθῶς Ἀγάθων εἶπε

μόνου γὰρ αὐτοῦ καὶ θεὸς στερίσκεται,
ἀγένητα ποιεῖν ἅσσ' ἂν ᾖ πεπραγμένα.

καὶ ταῦτα μὲν οὕτως ἔχει· λέγομεν δὲ περὶ τοῦ ἔργου τοῦ τε ἐπιστημονικοῦ διανοητικοῦ καὶ τοῦ βουλευτικοῦ ἀκριβέστερον. τὸ μὲν γὰρ ἔργον ἑκατέρων, ὡς δέδεικται, ἀλήθειά ἐστι· τοῦ ἔργου δὲ δειχθέντος ἑκατέρου, φανερά ἐστιν αὐτῶν ἡ ἀρετή· ἑκάστου γὰρ ἡ ἀρετὴ ἐν τῷ οἰκείῳ ἔργῳ αὐτοῦ συνίσταται· τὸ γὰρ εὖ καὶ καλῶς ποιῆσαι τὸ ἔργον, τοῦτό ἐστιν ἡ ἀρετή· αἱ τοίνυν ἕξεις καθ' ἃς δυνήσεται ἑκάτερον αὐτῶν τὴν οἰκείαν ἀλήθειαν ἀληθεύειν, ὡς ἔνι μάλιστα δυνατόν, αὗταί εἰσιν αἱ ἀρεταὶ ἑκατέρου. ἀρξάμενοι οὖν ἄνωθεν περὶ αὐτῶν πάλιν λέγωμεν. ἐπεὶ περὶ τῆς ἀληθείας ὁ λόγος ἡμῖν, ζητητέον ποσαχῶς ἡ ψυχὴ δύναται ἀληθεύειν ἐν τῷ καταφάσκειν καὶ ἀποφάσκειν, καὶ πόσαι εἰσὶν αἱ ἕξεις καθ' ἃς ἀληθεύομεν. εἰσὶ τοίνυν πέντε τὸν ἀριθμόν, τέχνη ἐπιστήμη φρόνησις σοφία νοῦς· τὴν γὰρ ὑπόληψιν καὶ τὴν δόξαν, ὡς ἐνδεχομένως ἀληθεύουσαν, παραλείπομεν. τῶν γὰρ εἰρημένων πέντε δυνάμεων νοῦς μὲν οὐδέποτε ψεύδεται οὐδὲ ἡ ἐπιστήμη· τοῦτο γάρ ἐστιν αὐτοῖς τὸ εἶναι, τὸ ἐξ ἀνάγκης ἀληθεύειν· τέχνη δὲ καὶ φρόνησις καὶ σοφία ψεύδονται μέν ποτε,

2 πράξῃ h   8 post πρᾶξιν add. λέγω h   18 εἰ δεῖ—βουλεύεται (19) h (et Parisin. 1871): om. B   21 vide p. 48,35   Agath. fr. 5 N.   ὁ Ἀγάθων h   24 λέγωμεν Mullach   27. 28 αὐτοῦ ἔργῳ h

ἀλλ' οὐ δι' ἑαυτάς, ἀλλὰ διὰ τὴν τῆς ὕλης ἀνωμαλίαν· τότε γάρ τις 208 μέθοδος ψεύδεται δι' ἑαυτήν, ὅταν ἀπὸ τῶν κανόνων αὐτῆς τὸ ψεῦδος συνάγηται· εἰ δ' αὐτὴ μὲν περὶ τοὺς οἰκείους κανόνας ὑγιῶς ἔχει, τὰ δὲ πράγματα ἄλλοτε ἄλλως ἔχοντα τὸ ψεῦδος ποιοῦσιν, οὐκ αὐτὴ λέγοιτο ἂν δικαίως ψευδής, ἡ δὲ ὑπόληψις καὶ ἡ δόξα· καὶ τῶν γινωσκομένων ἀεὶ ὡσαύτως ἐχόντων αὐτὴ ψεύδεται, ὅθεν δῆλον ὅτι οὐ δι' ἑαυτὴν ψεύδεται, ὥσπερ τὸ οἴεσθαι τὸν ἥλιον ποδιαῖον εἶναι ἢ τὴν σελήνην οἴκοθεν ἔχειν τὸ φῶς· τούτων γὰρ ὡς ἔχουσιν ἀεὶ ὁμοίως ἐχόντων ἡ περὶ αὐτῶν δόξα καὶ ὑπόληψις ψεύδεται. τὰ μὲν οὖν ἀληθεύοντα πέντε εἰσὶν ὡς εἴρηται· ῥητέον δὲ τί ἐστιν ἕκαστον αὐτῶν· καὶ γὰρ εἰ καὶ ὁμοιότητας ἔχουσι πρὸς ἄλληλα (καὶ γὰρ πολλὰ ⟨κοινὰ⟩ τέχνη καὶ ἐπιστήμη καὶ αὖθις ἐπιστήμη καὶ σοφίᾳ καὶ τοῖς ἄλλοις ὁμοίως), ἀλλ' ὅμως ἀκριβῶς σκοποῦσι περὶ αὐτῶν καὶ διάφορά εἰσι καὶ διάφορος ὁ ἑκάστου λόγος. ἐπιστήμη μὲν οὖν ἐστι γνῶσις τῶν ἀναγκαίων· ἐκεῖνο γὰρ λέγομεν ἐπίστασθαι, ὃ οὐκ ἐνδέχεται ἄλλως ἔχειν καὶ οὗ βεβαίως ἐστὶν ἡ ἀλήθεια παρ' ἡμῖν διὰ τὸ ἐπὶ τοῦ αὐτοῦ μένειν· ἡ γὰρ περὶ τὰ ἐνδεχόμενα ἀλήθεια οὐχ οὕτω βεβαία· μετὰ γὰρ τὸ γνωσθῆναι μεταβάλλεται καὶ πολλάκις λανθάνει ἀπογινόμενον, ὥστε μηδὲ τὸν περὶ αὐτοῦ λόγον καὶ τὴν ἀλήθειαν ἑστάναι, ἀλλὰ ἄλλοτε ἄλλως ἔχειν· οὗ δὲ ἡ γνῶσις βεβαία καὶ ἕστηκεν, ἐκεῖνό ἐστι τὸ ἀναγκαῖον καὶ ὁμοίως ἔχον ἀεί. τοιαῦτα δέ εἰσι τὰ ἀίδια· ἀνάγκη ἄρα τὸ ἐπιστητὸν ἀίδιον εἶναι καὶ τὴν ἐπιστήμην γνῶσιν εἶναι τῶν ἀιδίων. ἔτι πᾶσα ἐπιστήμη διδακτή ἐστι καὶ τὸ ἐπιστητὸν μαθητόν. | πᾶσα δὲ 209 διδασκαλία καὶ μάθησις ἐκ προϋπαρχούσης γίνεται γνώσεως, ὡς ἐν τοῖς Ἀναλυτικοῖς λέγομεν· πάσης ἄρα ἐπιστήμης εἰσὶν ἀρχαί. καὶ αἱ μὲν τῶν ἐπιστημῶν ἀρχὰς ἔχουσιν ἀμέσους καὶ ἀναποδείκτους δι' ἐπαγωγῆς δεικνυμένας, οἷαί εἰσιν αἱ τῆς γεωμετρίας ἀρχαί, τινὲς δὲ ἐξ ἀρχῶν ὁρμῶνται ἀποδεικτῶν, αἳ συλλογισμῷ δείκνυνται, ἄλλης ἐπιστήμης ὑψηλοτέρας, οἵα ἐστὶν ἡ ὀπτική, καθάπερ ἀρχαῖς χρωμένη ταῖς ἀποδείξεσι τῆς γεωμετρίας. ἡ μὲν οὖν ἐπαγωγὴ καθάπερ ἀρχή ἐστι καὶ τῶν ἀναποδείκτων ἀρχῶν, αἳ καθόλου μέν εἰσι, γινώσκονται δὲ ἀπὸ τῶν καθ' ἕκαστα, ὁ δὲ συλλογισμός, ὃς πιστοῦται τὰς ἀποδείκτους ἀρχὰς ἐνίων ἐπιστημῶν, ἀρχὰς ἔχει τὰς καθόλου καὶ ἀναποδείκτους ἐννοίας· εἰσὶν ἄρα ἀρχαὶ ἐπιστήμης αἱ καθόλου καὶ κοιναὶ ἔννοιαι, ἐξ ὧν ὑποτιθεμένων συλλογιζόμεθα, ἃς οὐ πιστοῦται συλλογισμὸς ἀλλ' ἐπαγωγή, ὑφ' ἧς ἐπιστήμης ἄλλη ἀποδείκνυται ἐπιστήμη, ἥτις καὶ ὑπ' αὐτὴν εἶναι λέγεται. καὶ διὰ τοῦτο πᾶσα ἐπιστήμη ἀπὸ αὐτοπίστων τῶν ἐσχάτων ἀρχῶν ἀποδείκνυται. ἔστιν ἄρα ἐπιστήμη ἕξις ἀποδεικτικὴ ἐκ τῶν καθ' αὑτὸ καὶ ᾗ αὐτό, καὶ πρώτων καὶ αἰτίων τοῦ συμπεράσματος ἀποτελουμένη, καθάπερ ἐν τοῖς Ἀναλυτικοῖς διωρισάμεθα. καὶ γὰρ ὅταν τις ὑποθέσεις τινὰς πιστεύῃ καὶ γνώριμοι αὐτῷ ὦσιν αἱ τοῦ πράγματος ἀρχαί, τότε ἐπίστασθαι αὐτὸ δύναται· εἰ γάρ τις μὴ τὰς ἀρχὰς

11 κοινὰ h: om. B 14 τῶν ὁ finis libri B 16 ἐπὶ τοῦ D: om. h 22 διδακτή h et Arist.: διδακτική D 23 cf. Anal. post. A 1 p. 71a1 38 cf. Anal. post. A 2 p. 71b21

γινώσκοι μηδὲ φανερώτεραι εἶεν αἱ προτάσεις τοῦ συμπεράσματος αὐτῷ, κατὰ συμβεβηκὸς ἔχει τὴν ἐπιστήμην· οὐ γὰρ δι᾽ ἑαυτοῦ ὁ τοιοῦτος ἐπίσταται καὶ διὰ τὴν ἐγκειμένην αὐτῷ τῶν ἀρχῶν | γνῶσιν, ἀλλὰ παρ᾽ 210
ἄλλων ἴσως ἀκούσας· εἰ γὰρ οὕτως ἐγίνωσκε διὰ τὰς ἀρχὰς τὸ συμπέρασμα, μᾶλλον ἂν ἐγίνωσκε τὰς ἀρχὰς ἢ τὸ συμπέρασμα· δι᾽ ὃ γὰρ ἄλλο γνωστόν, ἐκεῖνο μᾶλλον γινώσκεται. περὶ μὲν οὖν ἐπιστήμης διωρίσθω τὸν τρόπον τοῦτον.

Περὶ τέχνης. κεφ. ε΄.

Ῥητέον δὲ περὶ τῆς τέχνης. τῶν ἐνδεχομένων γὰρ καὶ ἄλλοτε ἄλλως ἐχόντων τὰ μέν εἰσι ποιητά, τὰ δὲ πρακτά· καὶ ποιητὰ μέν, περὶ ἃ ἡ ποίησις, πρακτὰ δέ, περὶ ἃ ἡ πρᾶξίς ἐστι· καὶ ποίησις μέν ἐστιν, ἧς τὸ * * * ἐπεὶ δὲ ἕτερόν ἐστι ποίησις τῆς πράξεως, ἕτερον ἂν εἴη ἡ μετὰ λόγου ἕξις πρακτικὴ τῆς μετὰ λόγου ποιητικῆς ἕξεως. ἕτερα δέ εἰσιν οὐχ οὕτως, ὥστε περιέχεσθαι ὑπ᾽ ἀλλήλων, ὡς τὸ μερικὸν καὶ τὸ καθόλου, ἀλλ᾽ ὥσπερ ἵππος καὶ βοῦς· οὔτε γὰρ ἡ πρᾶξις ὑπὸ τὴν ποίησιν ἀνάγεται (οὐ γάρ ἐστι ποίησις), οὔτε ἡ ποίησις ὑπὸ τὴν πρᾶξιν (οὐ γάρ ἐστι πρᾶξις). δῆλον δὲ ἀπὸ τῶν ὁρισμῶν ἑκατέρας· ἄλλος γὰρ πράξεως ὁρισμὸς καὶ ἄλλος ποιήσεως. ἔστι δὲ τέχνη μὲν ἕξις μετὰ λόγου ποιητική, ὥσπερ ἡ οἰκοδομική· φρόνησις δὲ ἕξις μετὰ λόγου πρακτική, ὡς μετὰ ταῦτα ῥηθήσεται· ἡ ἄρα τέχνη καὶ τῆς ἐπιστήμης διαφέρει (καὶ γὰρ περὶ ἐνδεχόμενα καταγίνεται), καὶ τῆς φρονήσεως, ὅτι ποιητική ἐστιν οὐ πρακτική· ἡ γὰρ τέχνη πᾶσα ἕξις ἐστὶ μετὰ λόγου ἀληθοῦς ποιητική· καὶ ἥ ἐστι τοιαύτη ἕξις, τέχνη ἐστίν· ἀντιστρέφει γάρ. πᾶσα δὲ τέχνη περὶ γένεσίν ἐστιν ἐκείνων, ἃ ἐνδέχεται | γενέσθαι καὶ μὴ γενέσθαι, οἷον ἡ οἰκοδομικὴ περὶ 211
τὸ γενέσθαι οἰκίαν καὶ ἡ ναυπηγικὴ περὶ τὸ γενέσθαι πλοῖον, ἃ ἐνδέχεται γενέσθαι καὶ μὴ γενέσθαι. πλὴν οὐκ ἔστι περὶ πάντα τὰ ἐνδεχόμενα γενέσθαι, ἀλλὰ περὶ ἐκεῖνα μόνον, ὧν ἡ ἀρχὴ τῆς γενέσεως ἐν τῷ ποιοῦντι καὶ οὐκ ἐν τῷ ποιουμένῳ ἐστίν, οἷά ἐστι τὰ φυσικά· τῶν γὰρ κατὰ φύσιν ἡ ἀρχὴ τῆς γενέσεως ἐν αὐτοῖς ἐστι· καί εἰσι μὲν ἐνδεχόμενα, τεχνητὰ δὲ οὐκ εἰσιν· οὐκ ἔχουσι γὰρ τὴν αἰτίαν τῆς ὑπάρξεως ἔξωθεν, ὥσπερ οἰκία τὸν οἰκοδόμον καὶ πλοῖον τὸν ναυπηγόν. ἔστι δὲ ἡ τέχνη καὶ ἡ τύχη σχεδὸν περὶ τὰ αὐτὰ ὑποκείμενα· καὶ γὰρ καὶ ἡ τύχη περὶ ἐνδεχόμενά ἐστι καὶ ἄλλοτε ἄλλως ἔχοντα καὶ ὧν ἡ αἰτία τῆς ὑπάρξεως ἔξωθεν· εἰ γὰρ ἐν αὐτοῖς εἶχον τὰ τυχηρὰ τὰς ἀρχὰς τῆς ὑπάρξεως, οὐκ ἂν ἐδόκει παράδοξα· νῦν δὲ διὰ τοῦτο θαυμάζονται, ὅτι ἡ αἰτία αὐτῶν οὐ μόνον ἔξωθεν ἀλλὰ καὶ ὅθεν ἂν οὐδεὶς προσεδόκησε· τὸ γὰρ σκάπτειν τοῦ πλουτεῖν αἴτιον ὑπῆρξε πολλάκις· θεμελίῳ γάρ τις βόθρον ὀρύττων περιέτυχε

1 γινώσκοι scripsi: γινώσκῃ Dh 12 lac. Dh: ἔργον μετὰ τὴν ποίησιν suppl. Heinsius: fort. τέλος ἕτερόν ἐστιν scrib. δὲ h: om. D 25 τὸ πλοῖον h 32 καὶ (ante ἡ τύχη) om. h 32. 33 περὶ ἐνδεχόμενα — καὶ ὧν D: ἐν τούτοις ὧν h 37 ἐν θεμελίῳ Mullach

θησαυρῷ· παρὰ προσδοκίαν δέ ἐστι, διότι καθ' αὑτὸ οὐκ ἔστιν αἴτιον τὸ σκάπτειν τοῦ πλουτεῖν (ἢ γὰρ ἂν πάντες ἐπλούτουν οἱ σκάπτοντες), ἀλλὰ κατὰ συμβεβηκός· τὰ γὰρ κατὰ συμβεβηκὸς αἴτια, ὧν εἰσιν αἴτια, οὐ προσεδοκῶντο γενέσθαι· ἐκεῖνα γάρ τις περὶ τοῦ πράγματος προσδοκᾷ, ὅσα ἐν τῷ αὐτοῦ περιέχονται λόγῳ, ἢ δυνάμει ἢ ἐνεργείᾳ· τὰ δὲ κατὰ συμβεβηκὸς οὐ τοιαῦτα. ἔστι τοίνυν τέχνη καὶ τύχη τρόπον τινὰ περὶ τὰ αὐτά. τρόπον τινὰ δὲ λέγω, ὅτι τῶν ἐνδεχομένων μέν ἐστι καὶ ἄλλοτε ἄλλως ἐχόντων· οὐκ ἔστι δὲ καθ' αὑτὸ τούτων αἰτία ἀλλὰ κατὰ συμβεβηκός, ἡ δὲ τέχνη καθ' αὑτό ἐστιν αἰτία τῶν τεχνητῶν. | ἡ μὲν οὖν τέχνη, ὡς 212 εἴρηται, ἕξις ἐστὶ μετὰ λόγου ⟨ἀληθοῦς⟩ ποιητικὴ περὶ τὰ ἐνδεχόμενα, ὧν ἡ αἰτία ἐν τῷ ποιοῦντι· ἀτεχνία δὲ τοὐναντίον μετὰ λόγου ψευδοῦς ποιητικὴ ἕξις περὶ τὸ ἐνδεχόμενον ἄλλως ἔχειν.

Περὶ φρονήσεως. κεφ. ϛ'.

Νῦν δὲ λέγομεν περὶ φρονήσεως. γένοιτο δ' ἂν σαφὴς ὁ περὶ τῆς φρονήσεως λόγος, εἰ θεωρήσομεν, τίνας λέγομεν εἶναι φρονίμους. δοκεῖ δὴ φρόνιμος εἶναι, ὃς δύναται καλῶς βουλεύεσθαι περὶ τὰ αὑτῷ ἀγαθὰ καὶ συμφέροντα, οὐ περὶ τῶν μερικῶν ἀγαθῶν σκοπούμενος, οἷον περὶ ὑγιείας ἢ ἰσχύος ἢ ἄλλου τινὸς καὶ τῶν πρὸς ταῦτα φερόντων, ἀλλὰ περὶ τοῦ εὖ ζῆν ἁπλῶς καὶ ὅσα συντελεῖ πρὸς εὐδαιμονίαν, ὅ ἐστι τὸ ἀνθρώπινον τέλος. ὅτι δὲ οὕτως ἔχει, δῆλον· φρονίμους γὰρ ὀνομάζομεν τοὺς πρός τι τέλος ἀγαθὸν τὰς ἰδίας πράξεις τάττοντας καὶ καλῶς βουλευομένους περὶ αὐτῶν καὶ ὡς ἂν δι' αὐτῶν δυνηθεῖεν τοῦ σπουδαίου τέλους τυχεῖν, ἐκεῖνα πράττοντας, ὧν οὐκ ἔστι τέχνη· ὥστε καὶ ὅλως ἂν εἴη φρόνιμος ὁ βουλευτικός· εἰ δὲ βουλευτικός, περὶ τὰ ἐνδεχόμενά ἐστιν. οὐδεὶς γὰρ βουλεύεται περὶ τῶν ἀναγκαίων καὶ μὴ δυναμένων ἄλλως ἔχειν, ἔτι δὲ οὐδὲ περὶ τῶν ἐνδεχομένων μὲν γενέσθαι ὅλως, ὑπ' αὐτοῦ δὲ γενέσθαι οὐκ ἐνδεχομένων· ὁμοίως γὰρ οὐδὲ περὶ αὐτῶν βουλεύεταί τις, ἀλλὰ μόνον περὶ τῶν δυνατῶν ὑπ' αὐτοῦ πραχθῆναι. φανερὸν δὴ ἐκ τῶν εἰρημένων, ὅτι ἡ φρόνησις ἄλλο ἐστὶν οὐ μόνον παρὰ τὴν | τέχνην, ὡς 213 δέδεικται, ἀλλὰ ⟨καὶ⟩ παρὰ τὴν ἐπιστήμην, ὅτι ἡ μὲν περὶ τὰ ἀναγκαῖά ἐστιν, ἡ δὲ φρόνησις περὶ τὰ ἐνδεχόμενα ἄλλως ἔχειν. ἔστι γὰρ φρόνησις ἕξις ἀληθὴς μετὰ λόγου πρακτικὴ περὶ τὰ ἀνθρώπου ἀγαθὰ καὶ κακά. τῆς τέχνης δὲ διαφέρει, καθὼς εἴρηται, ὅτι ἄλλο πρᾶξις καὶ ἄλλο ποίησις· τῆς μὲν γὰρ ποιήσεως τὸ τέλος ἄλλο ἐστὶ παρὰ τὴν ποίησιν· ἄλλο γάρ ἐστι ναυπηγικὴ καὶ ἕτερον τὸ πλοῖον· τῆς δὲ πράξεως τὸ τέλος οὐκ ἔστιν ἄλλο παρὰ τὴν πρᾶξιν ἀεί· καὶ γὰρ ἐνίοτε αὐτὴ ἡ πρᾶξις τέλος ἐστὶν ἑαυτῆς, ὅταν εὖ καὶ καλῶς πράττηται· τῆς γὰρ ἱππικῆς τέλος τὸ εὖ καὶ καλῶς ἱππεύειν. ἔστι τοίνυν φρόνησις ἕξις περὶ τὰ ἀνθρώπου ἀγαθὰ ἢ κακά. διὰ τοῦτο Περικλέα καὶ τοὺς τοιούτους φρονίμους οἰόμεθα

7 μέν om. h 10 ante μετὰ add. μὲν h 10 ἀληθοῦς Heinsius suppl.: om. Dh
14 λέγωμεν h 28 μόνον h: μόνων D 30 καὶ om. D

εἶναι, διότι τὰ ἑαυτοῖς ἀγαθὰ καὶ τὰ τοῖς ἄλλοις ἀνθρώποις ἐδύναντο θεωρεῖν· τοιούτους δὲ εἶναι ἡγούμεθα τοὺς οἰκονομικοὺς καὶ πολιτικούς. τοῦτο δὲ καὶ ἀπὸ τοῦ ὀνόματος τῆς σωφροσύνης γίνεται δῆλον· ὁ γὰρ σώφρων φυλάττων τὸ ἑαυτοῦ ἀγαθόν. τὴν φρόνησιν λέγεται σώζειν· καὶ τὴν σωφροσύνην, ὡς σώζουσαν τὴν φρόνησιν, τούτῳ προσαγορεύομεν τῷ ὀνόματι. καὶ γὰρ ὁ ἀκόλαστος οὐδεμίαν τῶν ἄλλων γνώσεων τῇ ἡδονῇ διαφθείρει, εἰ μὴ τὴν φρόνησιν μόνην· ἀλλ' οὔτε τὴν ἐπιστήμην οὔτε τὴν τέχνην οὔτε ἄλλην τινὰ τῶν ἀπηριθμημένων· ἡ γὰρ ἡδονὴ οὐδὲν κωλύει εἰδέναι τὸ τρίγωνον δύο ὀρθὰς ἔχειν, ὅπερ ἐστὶ τῆς ἐπιστήμης, οὐδὲ πῶς δεῖ ναῦν οἰκοδομῆσαι ἢ ἄλλο τι ποιῆσαι τεχνητόν· ἀλλὰ μόνον τὸ | 214 πρακτὸν διαστρέφει, περὶ ὃ ἡ φρόνησίς ἐστιν· αἱ γὰρ ἀρχαὶ καὶ τὰ αἴτια τῶν πρακτῶν τὰ τέλη εἰσίν, ὧν ἕνεκα πράττονται· τέλος δέ ἐστιν ἑκάστῳ πρακτῷ τὸ ἀγαθὸν τοῦ πράττοντος προσεχῶς, ὅπερ εἰ ἀγνοηθήσεται, τὸ πρακτὸν διαστρέφεται· ἀγνοεῖται δέ, ὅτε τις ὑφ' ἡδονῆς ἢ λύπης διαφθαρεὶς ἢ ἄλλου τινὸς πάθους οἴεται τὴν ἡδονὴν εἶναι τὸ ἀγαθὸν καὶ τὸ τέλος τὸ προσῆκον αὐτὸ νομίζει καὶ εἰς αὐτὴν τάττει τὰς πράξεις· καὶ οὕτω διαφθείρει τὸ ἑαυτοῦ ἀγαθόν, ὅ ἐστι τὸ τέλος καὶ ἡ προσήκουσα τῶν πρακτῶν ἀρχή· ἔστι γὰρ ἡ κακία φθαρτικὴ ἀρχῆς. καὶ διὰ τοῦτο τοῦ ἀκολάστου φθείροντος τὴν φρόνησιν, ὁ διασώζων σώφρων καλεῖται· ὥστε ἀνάγκη τὴν φρόνησιν ἕξιν εἶναι μετὰ λόγου ἀληθῆ, περὶ τὰ ἀνθρώπινα ἀγαθὰ πρακτικήν. δῆλον μὲν οὖν καὶ ἀπὸ τούτων, ὅτι ἄλλο ἐστὶ παρὰ τὴν ἐπιστήμην καὶ τὴν τέχνην καὶ τὰς ἄλλας γνώσεις. ἔτι δὲ τῆς μὲν τέχνης ἐστὶ καὶ κακία καὶ ἀρετή· καὶ γὰρ δυνατὸν καὶ ἀγαθὸν εἶναι τεχνίτην καὶ πονηρόν· φρονήσεως δὲ οὔτε κακία ἐστὶν (ἀδύνατον γὰρ φρόνιμόν τινα φαῦλον εἶναι) οὔτε ἀρετή· αὐτὴ γάρ ἐστιν ἀρετή· ἀρετὴ δὲ ἀρετῆς οὐκ ἔστιν, οὐ γὰρ μεσότης μεσότητος. ἔτι ὁ μὲν κατὰ τὴν τέχνην ἑκὼν ἁμαρτάνων βελτίων τοῦ ἄκοντος ἁμαρτάνοντος, καθόσον ἐστὶ τεχνίτης· ἐπὶ δὲ τῆς φρονήσεως οὐχ οὕτως ἀλλὰ τοὐναντίον· ὁ γὰρ ἑκὼν τὴν φρόνησιν διαφθείρων χείρων τοῦ ἄκοντος. δῆλον οὖν, ὅτι ἡ φρόνησις ἀρετή τίς ἐστι καὶ οὐ τέχνη· ἀρετὴ δέ ἐστι τοῦ δοξαστικοῦ. δυοῖν γὰρ ὄντοιν τῶν λόγον ἐχόντων τῆς ψυχῆς μερῶν, τοῦ τε διανοητικοῦ καὶ τοῦ δοξαστικοῦ, ἤτοι τοῦ βουλευτικοῦ, | 215 τὸ δεύτερον περὶ τὰ ἐνδεχόμενά ἐστι, περὶ ἃ καὶ ἡ φρόνησις. ἔστι δὲ ἡ φρόνησις οὐχ ἕξις μόνον μετὰ λόγου ἀληθής, ὥσπερ ἡ τέχνη, ὅταν μὴ ποιῇ ὁ τεχνίτης τὰ τεχνητά (οὐδὲν γὰρ κωλύει καὶ μὴ ποιοῦντα τεχνίτην εἶναι καὶ τέχνην τὴν μετὰ λόγου ἕξιν ἀληθῆ). τὴν δὲ φρόνησιν ἀεὶ πρακτικὴν εἶναι πᾶσα ἀνάγκη· τὰ μὲν γὰρ ὑποκείμενα καὶ ἡ ὕλη τῆς τέχνης οὐκ ἀεὶ πάρεστι τῷ τεχνίτῃ· τὰ δὲ τῆς φρονήσεως ὑποκείμενα οὐδέποτε τὸν φρόνιμον ἐπιλείπει· τὰ γὰρ τῆς ψυχῆς πάθη καὶ ἀνθρώπιναι πράξεις καὶ αἱ πρὸς ἀλλήλους τῶν ἀνθρώπων κοινωνίαι καὶ τἆλλα, περὶ ἃ πᾶσα ἀρετή ἐστι καὶ ἡ φρόνησις, ταῦτα τοίνυν ἔξω τοῦ ἀνθρωπίνου βίου γενέσθαι

4 φρόνησιν h: σωφροσύνην D 13 ἀγνοήσεται h 17 ὅτε scripsi: ὅταν Dh 14 διαφθαρεὶς h: διαφθαρῇ D 25 οὔτε ἀρετή h: οὔτε ἀρετήν D 30 ὄντων h

ἀδύνατον· διὰ τοῦτο καὶ λήθη τῆς μὲν τέχνης ἐστι. φρονήσεως δὲ οὐκ ἔστιν. περὶ μὲν οὖν φρονήσεως εἴρηται.

Περὶ τοῦ νοῦ. κεφ. ζ'.

Ῥητέον δὲ ἤδη περὶ τοῦ νοῦ, περὶ τίνα ἐστὶ τῶν γνωστῶν. ἐπεὶ τοίνυν ἡ ἐπιστήμη γνῶσίς ἐστι τῶν καθόλου καὶ τῶν ἐξ ἀνάγκης ὄντων, μετὰ λόγου καὶ ἀποδείξεως, ἡ δὲ ἀπόδειξις ἀρχὰς ἔχει, ἃς δεῖ προϋποκεῖσθαι τῆς ἀποδείξεως τῷ ἐπιστήμονι. ζητητέον τίνος τῶν ἀπηριθμημένων γνώσεών ἐστι τὸ ταύτας εἰδέναι τὰς ἀρχάς. ἐπιστήμης ἢ τέχνης ἢ φρονήσεως ἢ σοφίας ἢ νοῦ. ἐπιστήμης μὲν οὖν οὐ δυνατὸν εἶναι· ἡ γὰρ ἐπιστήμη ἀποδεικτική· αἱ δὲ ἀρχαὶ οὐκ ἀποδεικταί· ἀλλ' οὐδὲ φρονήσεως, οὐδὲ τέχνης· αἱ μὲν γὰρ περὶ τὰ ἐνδεχόμενα, αἱ δὲ ἀρχαὶ οὐ τοιαῦται· ἔτι δὲ οὐδὲ τῆς σοφίας ἐστὶ τὸ τὰς ἀρχὰς εἰδέναι· καὶ γὰρ καὶ σοφία ἐστί, τὸ | ἀποδεικτά τινα εἰδέναι· αἱ δὲ ἀρχαὶ ἄμεσοι. λείπεται δὴ τὸν 216 νοῦν εἶναι γνῶσιν τῶν ἀρχῶν, καὶ τοῦτό ἐστι νοῦς, ᾧ τὰς ἀρχὰς γινώσκομεν τῆς ἐπιστήμης.

Περὶ σοφίας. κεφ. η'.

Ἡ δὲ σοφία διχῶς λέγεται· ἔστι γὰρ ἡ μὲν μερικὴ σοφία, ἡ δὲ καθόλου· καὶ μερικὴ μέν ἐστιν ἡ ἑκάστης τέχνης ἀρετὴ καθ' ἣν τοῦτον ἢ ἐκεῖνον τὸν τεχνίτην σοφὸν λέγομεν κατὰ τὴν αὐτοῦ τέχνην, οἷον τὸν Φειδίαν λιθουργὸν σοφὸν λέγομεν, ὅτι ἄριστός ἐστι τὴν λιθουργικήν, καὶ Πολύκλειτον σοφὸν ἀνδριαντοποιόν. καθόλου δὲ σοφία ἐστί, καθ' ἣν οὐ κατά τι λεγομέν τινας σοφούς, ὥσπερ Ὅμηρός φησιν ἐν τῷ Μαργίτῃ

τὸν δ' οὔτ' ἄρ' σκαπτῆρα θεοὶ θέσαν οὔτ' ἀροτῆρα
οὔτ' ἄλλως τι σοφόν·

ὥστε δῆλον, ὅτι ἡ ἀκριβεστάτη τῶν ἐπιστημῶν ἂν εἴη ἡ σοφία, κἄν τε τὴν μερικὴν εἴπῃ τις κἄν τε τὴν καθόλου· ἥ τε γὰρ μερικὴ αὐτὸ τοῦτό ἐστιν ἀκριβὴς ἐπιστήμη καὶ τέχνη, καὶ ἡ καθόλου διὰ τὸ καθόλου εἶναι ἀκριβεστέρα ἐστὶ τῶν ἄλλων, καθόσον μᾶλλόν ἐστιν ὡρισμένη. ἐπεὶ τοίνυν καθόλου τί ἐστιν ἡ σοφία, δεῖ τὸν σοφὸν τὸν κατ' αὐτὴν σοφὸν μὴ τὸ μὲν τῶν γνωστῶν εἰδέναι, τὸ δὲ ἀγνοεῖν· καὶ διὰ τοῦτο μὴ μόνον τὰ ἀποδεικτὰ ὁ σοφὸς εἴσεται ἀλλὰ καὶ τὰς ἀρχάς, ὅθεν αἱ ἀποδείξεις, καὶ τὸν ἐγχωροῦντα περὶ αὐτῶν ἀποδώσει λόγον. ὥστε εἴη ἂν ἡ σοφία νοῦς καὶ ἐπιστήμη· καὶ οὕτως ἔσται ἐπιστήμη ἡ τιμιωτάτη, καθάπερ κεφαλὴν ἔχουσα τὰς ἀρχάς. ἐν | γὰρ τῷ αὐτῆς λόγῳ καὶ τὰ ἀποδεικτὰ 217 καὶ αἱ ἀρχαὶ λαμβάνονται· ἐπὶ γὰρ τῶν ἄλλων ἐπιστημῶν οὐχ οὕτως ἔχει·

13. 14 τοῦ νοῦ coni. Mullach 16 capitis inscriptionem om. D: κεφ. θ'. περὶ σοφίας h, quod numero correcto recepimus, quoniam ultimum huius libri caput numero ιγ' indicatum a paraphrasta affertur libri X cap. 9, ubi ne D quidem dissentit 26 εἴπῃ Mullach: εἴποι Dh 30 γνωστῶν h: γνωστὸν D

οὐ γὰρ ἐν τῷ ὁρισμῷ αὐτῶν ἡ γνῶσις τῶν ἀρχῶν παραλαμβάνεται, ἀλλὰ
τῶν ἀποδείκτων μόνον. διαφέρει δὲ ἡ σοφία φρονήσεως, ὅτι ἡ μὲν φρό-
νησις πολιτική ἐστιν, ἡ δὲ σοφία ἡ τῶν ἄλλων ἐπιστημῶν σπουδαιοτάτη·
οὐ γὰρ ἡ φρόνησις σπουδαιοτάτη· σπουδαιοτάτη γάρ ἐστιν, ἥτις περὶ τὸ
ἄριστον καταγίνεται· ἡ δὲ φρόνησις περὶ τὰ ἀνθρώπινα ἀγαθὰ καταγίνεται·
ὁ δὲ ἄνθρωπος καὶ τὰ αὐτοῦ ἀγαθὰ οὐκ ἔστι τὸ ἄριστον. ἔτι φρόνιμόν 10
ἐστι τὸ εὑρετικὸν τοῦ ἰδίου ἀγαθοῦ· ἀγαθὸν δὲ οὐ πᾶσι τὸ αὐτό· οὐ γὰρ
τὸ αὐτὸ πᾶσιν ὑγιεινὸν καὶ ὠφέλιμον· φρόνιμον ἄρα οὐ παρὰ πᾶσι τὸ αὐτό·
σοφὸν δὲ τὸ αὐτὸ παρὰ πᾶσιν. τὸ γὰρ ἐπιστητὸν σοφόν· τὸ δὲ τὸ τρί-
γωνον δύο ὀρθὰς ἔχειν, ἐπιστητόν ἐστι, καὶ τὸ αὐτὸ δοκεῖ παρὰ πᾶσιν
ἐπιστητὸν εἶναι, καθάπερ καὶ τὸ αὐτὸ εὐθὺ καὶ τὸ αὐτὸ λευκὸν παρὰ
πᾶσιν· φρόνιμον δὲ οὐκ ἐπ' ἀνθρώπων μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων,
τὸ θεωρεῖν ἕκαστον τὰ ἑαυτοῦ ἀγαθὰ καὶ πράττειν· ὅθεν καὶ ἔνια τῶν
θηρίων φρόνιμά φασιν εἶναι, ὅσα περὶ τὸν αὐτῶν βίον ἔχοντα 20
φαίνεται δύναμιν προνοητικήν· φανερὸν τοίνυν, ὅτι οὐκ ἂν εἴη ἡ
σοφία καὶ ἡ φρόνησις ἡ αὐτή. εἰ γὰρ τὴν πρακτικὴν τῶν ἑαυτοῖς ὠφελί-
μων ἐροῦσι σοφίαν, πολλαὶ ἔσονται σοφίαι· πολλὰ γὰρ τὰ ὠφέλιμα ἑκάστῳ·
καθάπερ καὶ ἰατρικὴ οὐ μία περὶ πάντα τὰ ζῷα διότι ἄλλοις ἄλλα ὑγιεινὰ
ἢ νοσώδη· εἰ δὲ φαῖεν βέλτιστον εἶναι τὸν ἄνθρωπον τῶν ἄλλων ζῴων
καὶ διὰ τοῦτο τὴν πολιτικήν, ἤτοι τὴν φρόνησιν, σπουδαιοτάτην εἶναι,
καθάπερ ἡ σοφία, οὐδὲν | διαφέρει· καὶ γὰρ ἀνθρώπου ἄλλα πολλῷ θειό- 218
τερα τὴν φύσιν, οἷα τὰ προδήλως συνιστάντα τὸ πᾶν, λέγω δὴ ἐξ ὧν ὁ
κόσμος συνέστηκεν. ἐκ τῶν εἰρημένων δὲ δῆλον, ὅτι σοφία ἐστὶ νοῦς
καὶ ἐπιστήμη, περὶ τὰ φύσει τιμιώτατα, ἅ εἰσι τὰ ἀναγκαῖα καὶ ἀεὶ ὡσαύ-
τως ἔχοντα. διὸ Ἀναξαγόραν καὶ Θαλῆν καὶ τοὺς τοιούτους σο-
φοὺς μὲν λέγουσι, φρονίμους δὲ οὐδαμῶς, διότι τὰ μὲν αὑτοῖς συμφέροντα
ἠγνόουν καὶ τὰ πρὸς τὸν βίον χρήσιμα, ἐγίνωσκον δὲ περιττά τινα καὶ 10
θαυμαστὰ καὶ χαλεπὰ καὶ δαιμόνια. ἡ μὲν οὖν σοφία περὶ ταῦτα· φρό-
νησις δὲ περὶ τὰ ἀνθρώπινα καὶ περὶ ὧν ἔστι βουλεύσασθαι. τοῦ
γὰρ φρονίμου μάλιστα τοῦτό φαμεν ἔργον εἶναι, τὸ εὖ βουλεύεσθαι·
οὐδεὶς δὲ περὶ τῶν ἀναγκαίων βουλεύεται καὶ ἅπερ οὐ δύναται ἄλλως
ἔχειν, οὐδὲ ὅσα μὴ ἔχουσι τέλος τὸ πρακτὸν ἀγαθόν· ἡ δὲ σοφία τέλος
ἔχει τὴν καθόλου ἀλήθειαν. καὶ ἡ μὲν ὑποκείμενον ἔχει τὸ καθόλου ἐπι-
στητὸν καὶ τὰς ἀρχὰς ἁπάσης ἐπιστήμης, ἡ δὲ φρόνησις καὶ τῶν μερικῶν
ἐστι. γινώσκει μὲν γὰρ ὁ φρόνιμος καὶ καθόλου τίνα τὰ τοῦ ἀνθρώπου 20
ἀγαθά, γινώσκει δὲ καὶ τὰ μερικὰ ἐξ ἀνάγκης, τίνα εἰσὶν ἃ δεῖ πράττειν
τόνδε τὸν ἄνθρωπον κατὰ τόνδε τὸν καιρόν· καὶ γὰρ πρακτική ἐστιν· ἡ δὲ
πρᾶξις περὶ τὰ καθ' ἕκαστα. διὰ τοῦτο καὶ οἱ τὰ μερικὰ μόνον εἰδότες
τῶν τὰ καθόλου εἰδότων πρακτικώτεροι. καὶ ὅλως ἐν πᾶσιν οἱ ἔμπειροι
μᾶλλον δύνανται πράττειν ἢ οἱ τὰ καθόλου γινώσκοντες· εἰ γάρ τις εἰδείη
μὲν ὅτι τὰ κοῦφα κρέα εὔπεπτα καὶ ὑγιεινά, τίνα δέ εἰσιν ἀγνοεῖ, | οὐ 219
ποιήσει ὑγίειαν, ἀλλ' ὁ εἰδώς, ὅτι τὰ ὀρνίθεια κοῦφα καὶ ὑγιεινά, ποιήσει

4 ἡ om. h

μᾶλλον. ἐπεὶ τοίνυν ἡ φρόνησις πρακτική, καὶ ἄμφω ἔχειν ἀνάγκη ἢ τὰ καθ' ἕκαστα μᾶλλον· μετὰ γὰρ τοῦ καθόλου μόνου οὐ δύναται εἶναι πρακτική. τί μὲν οὖν ἐστιν ἡ σοφία καὶ τίνι διαφέρει φρονήσεως, εἴρηται.

Περὶ φρονήσεως. κεφ. θ'.

Περὶ δὲ φρονήσεως ἔτι λέγωμεν. ἔστι τοίνυν ἡ φρόνησις καὶ τῶν καθόλου καὶ καθ' ἕκαστα, καθάπερ ἀρχιτεκτονική· ὁ γὰρ τὰ καθόλου εἰδὼς πρὸς τὸν ἔμπειρον ὥσπερ ἀρχιτέκτονος ἔχει λόγον. τῆς δὲ φρονήσεως ἁπλῶς ἡ μέν ἐστιν ἠθική, ὅταν τις ζητῇ μόνον τὸ ἑαυτῷ ἀγαθόν, ἥτις φρόνησις καλεῖται, ἡ δέ, ἥτις τὸ πόλεως ἀγαθὸν ἔχει τέλος, ἥτις καλεῖται πολιτική. καὶ ἔστι μὲν ἡ αὐτὴ τῇ φρονήσει, τῷ λόγῳ δὲ διαφέρει, καθόσον περὶ ὑποκείμενά εἰσι διάφορα. τῆς δὲ πολιτικῆς ἡ μέν ἐστι καθάπερ ἀρχιτεκτονικὴ φρόνησις, ἥτις καλεῖται νομοθετική, ἡ δὲ μερικὴ καὶ ὑπ' αὐτήν ἐστιν, ἥτις καλεῖται πολιτική. πολιτικὴν δὲ λέγω τὴν πρακτικὴν καὶ βουλευτικήν, ἥτις ἐστὶ περὶ τὰ ψηφίσματα καὶ τὰς πράξεις· τὰ γὰρ ψηφίσματα πρακτικά εἰσιν, οὐχ ὡς ἡ πρώτη φρόνησις, ἡ ἀρχιτεκτονική, ἀλλ' ὡς ἡ ἐσχάτη, ἥτις καὶ κυρίως ἐστὶ πρακτική. διὰ τοῦτο καὶ τούτους μόνους λέγουσι πολιτευομένους καὶ τὸ κατ' αὐτοὺς πολιτείαν, διότι οὗτοι μόνοι τῶν φρονίμων πράττουσιν ὥσπερ οἱ χειροτέχναι. καὶ γὰρ οὗτοι μόνοι κυρίως πράττουσι· οἱ γὰρ ἀρχιτέκτονες τῷ τάττειν μόνον τὰς πράξεις πρακτικοὶ λέγονται, κυρίως δὲ οὔκ εἰσι πρακτικοί. δοκεῖ δὲ κυρίως εἶναι φρόνησις, ὅταν τις ζητῇ μόνον τὸ ἑαυτῷ ἀγαθόν, ἥτις καὶ ἔχει τὸ κοινὸν ὄνομα καὶ φρόνησις ἰδίως λέγεται· τῶν δὲ ἄλλων ἡ μὲν περὶ οἰκίαν οἰκονομική, ἡ δὲ περὶ πόλιν, ἡ μὲν νομοθεσία, ἡ δὲ πολιτική· καὶ τῆς πολιτικῆς ἡ μὲν βουλευτική, ἡ δὲ δικαστική. ἡ μὲν οὖν ἰδίως καλουμένη φρόνησις, δηλονότι τὸ τὰ ἑαυτῷ ὠφέλιμα εἰδέναι καὶ ἀγαθά, γνῶσίς τίς ἐστιν, ὥσπερ καὶ ἡ πολιτική. οὐκ ἔστι δὲ πάντη ἡ αὐτὴ τῇ πολιτικῇ· καὶ διὰ τοῦτο τὸν μὲν τὰ ἀγαθὰ ⟨ἑαυτῷ⟩ μόνον ζητοῦντα φρόνιμον οἱ ἄνθρωποι νομίζουσι, τὸν δὲ πολιτικὸν πολυπράγμονα. διὰ τοῦτο καὶ Εὐριπίδης φησὶ

πῶς δ' ἂν φρονοίην, ᾧ παρῆν ἀπραγμόνως
ἐν τοῖσι πολλοῖς ἠριθμημένον στρατοῦ
ἴσων μετασχεῖν;
τοὺς γὰρ περισσοὺς καί τι πράσσοντας πλέον.

τούτου χάριν καὶ ἰδίως φρόνησις ἐκλήθη ἡ ἠθική, καὶ φρόνιμος ἰδίως ὁ ζητῶν μόνον τὸ ἑαυτοῦ ἀγαθόν, καὶ τοῦτο μόνον δεῖν οἰόμενος πράττειν, περαιτέρω δὲ μὴ ζητεῖν. καίτοι οὐ δυνατὸν ἴσως τὴν ἠθικὴν εἶναι ἄνευ τῆς οἰκονομικῆς οὐδὲ τὴν οἰκονομικὴν ἄνευ τῆς πολιτικῆς· οὐ γὰρ δυνατὸν εὖ καὶ καλῶς τὰ καθ' ἑαυτόν τινα διαθεῖναι, τῆς οἰκίας αὐτῷ ἢ τῆς πόλεως οὐ καλῶς ἐχούσης. χαλεπὸν γὰρ μὴ διαφθαρῆναί τινα μετὰ πολλῶν

4 η' Dh 27 ἑαυτῷ h: om. D 29 Eurip. Philoct. fr. 785 sq. Nauck 32 post μετασχεῖν add. τῷ σοφωτάτῳ τύχης h 33 post πλέον add. Ζεὺς μισεῖ h

φαύλων διατρίβοντα· εἰ δὲ μετὰ μηδενὸς διατρίβει, ἀλλὰ βίον ἔχει μονώτην, πῶς εἴσεται τὸ ἑαυτῷ ἀγαθόν; ἄδηλον γάρ, καὶ χρεία διδασκαλίας 221 πρὸς αὐτὸ καὶ σκέψεως. ταῦτα δὲ ἀδύνατον ἄνευ ἐμπειρίας γενέσθαι· ἡ δὲ ἐμπειρία τῶν ἐν κοινωνίᾳ ὄντων ἐστί, καὶ οἰκίας καὶ πόλεως, καὶ ἄνευ τούτων οὐκ ἔνι ἔμπειρον οὐδὲ φρόνιμον εἶναι. διὰ τοῦτο καὶ οἱ νέοι μαθηματικοὶ μὲν γίνονται καὶ σοφοὶ τὰ τοιαῦτα, φρόνιμοι δὲ οὐ δοκοῦσιν εἶναι. τὸ γὰρ αἴτιον, ὅτι τῶν καθ' ἕκαστά ἐστιν ἡ φρόνησις, ἅτινα ἐξ ἐμπειρίας γινώσκονται· ὁ δὲ νέος ἔμπειρος οὐκ ἔστι διὰ τὸ χρόνου πολλοῦ δεῖσθαι τὴν ἐμπειρίαν. καὶ τοῦτο δὲ ἀκόλουθον σκέψασθαι, πῶς οἱ νέοι μαθημα- 10 τικοὶ μὲν γίνονται, σοφοὶ δὲ ἢ φυσικοὶ οὐδαμῶς· ἢ ὅτι τῶν μὲν φυσικῶν καὶ τῆς σοφίας αἱ ἀρχαὶ ἀπὸ τῶν καθ' ἕκαστα λαμβάνονται; καὶ γὰρ καὶ τὴν σοφίαν, ἥτις περὶ τὰ ἀναγκαῖά ἐστι καὶ ἀίδια, ἀδύνατόν ἐστι κατορθωθῆναι ἄνευ τῆς ἐμπειρίας. ἀπὸ γὰρ τῶν ἡμῖν καὶ τῇ αἰσθήσει γνωρίμων ἐπὶ τὰ ὑπὲρ τὴν αἴσθησιν ἀγόμεθα· χωρὶς μὲν γὰρ τοῦ γνῶναι τίνα συμβαίνουσι τῷδε ἢ ἐκείνῳ τῷ φυσικῷ, τὸν καθόλου περὶ αὐτῶν λόγον, οὐ δυνατὸν συμπερᾶναι οὐδὲ ποιῆσαι ἐπιστήμην. πάλιν δὲ χωρὶς τῆς φυσικῆς ἐπιστήμης ἀδύνατον ἐπὶ τὴν σοφίαν ἐλθεῖν· μετὰ τὰ φυσικὰ γὰρ τὰ ὑπὲρ 20 φύσιν γιγνώσκομεν· τὸ δὲ γνῶναι τὰ καθ' ἕκαστα, ἐμπειρίας ἐστίν· ἡ δὲ ἐμπειρία χρόνου πολλοῦ· καὶ διὰ τοῦτο τοὺς νέους οὐ δυνατὸν φυσικοὺς ἢ σοφοὺς εἶναι. τῶν δὲ μαθηματικῶν αἱ ἀρχαὶ χωρὶς τῆς ὕλης λαμβάνονται· καὶ διὰ τοῦτο οὐ χρείαν ἔχουσι γνῶσιν ἔχειν τῶν καθ' ἕκαστα· καὶ γὰρ οὐκ ἐν τῇ ὕλῃ σκοποῦσι τὸν κύκλον ἢ τὸν ἀριθμόν, ἐν ᾗ πολυειδής τις, ὡς εἰπεῖν, καὶ ἀόριστος γίνεται, καθάπερ τὰ φυσικὰ ὁ φυσικός, ἀλλὰ ἀφελόντες | τῆς ὕλης καὶ αὐτὸν σκοποῦντες καθ' ἑαυτόν, τούτου χάριν τοὺς 222 νέους οὐδὲν κωλύει μαθηματικοὺς εἶναι· καὶ γὰρ τὰς μὲν τῶν φυσικῶν ἀρχὰς καὶ ὅλως τὰ φυσικὰ εἰ καὶ λέγουσιν, ἀλλ' οὐκ ἴσασιν ἀκριβῶς περὶ αὐτῶν οὐδὲ πιστεύουσι, τὰς δὲ τῶν μαθηματικῶν καὶ πιστεύουσι· γινώσκουσι γὰρ διὰ τὸ ὡρισμένους εἶναι τοὺς αὐτῶν λόγους. ἐπεὶ τοίνυν φανερόν, ὅτι τῆς φρονήσεως τῆς ἠθικῆς αἰτία ἐστὶν ἡ ἐμπειρία, τὴν δὲ ἐμπειρίαν οὐκ ἔνι γενέσθαι χωρὶς κοινωνίας πολιτικῆς, ἡ δὲ πολιτικὴ κοινωνία οὐ δύναται εἶναι ἄνευ τῆς πολιτικῆς φρονήσεως, δῆλον ὅτι τὴν ἠθικὴν 10 φρόνησιν οὐ δυνατὸν εἶναι ἄνευ τῆς πολιτικῆς. ἔτι ἐπεὶ ἡ ἁμαρτία ἡ περὶ τὰς πράξεις ἀπὸ ἀγνοίας συμβαίνει ἢ τῆς καθόλου ἢ τῆς μερικῆς (καὶ γὰρ ὁ ἀγνοῶν καθόλου, ὅτι τὰ βαρύσταθμα ὕδατα φαῦλα, καὶ ὁ τοῦτο μὲν εἰδώς, ἀγνοῶν δὲ μερικῶς, ὅτι τάδε τὰ ὕδατα βαρύσταθμα, ὁμοίως ἁμαρτήσεται· χρήσεται γὰρ ἑκάτερος τοῖς φαύλοις ὕδασι), φανερόν, ὅτι πρὸς τὸ μὴ ἁμαρτεῖν ἀναγκαῖον μὴ μόνον εἰδέναι, ὅτι τάδε τὰ ὕδατα βαρύσταθμα, ἀλλὰ καὶ ὅτι τὰ βαρύσταθμα φαῦλα· δεῖται ἄρα ἡ μερικὴ φρόνησις τῆς καθόλου φρονήσεως, τῆς πολιτικῆς, καὶ ἀδύνατον τὴν ἠθικὴν ἄνευ τῆς πολι- 20 τικῆς συστῆναι, ὥσπερ καὶ τὴν μερικὴν γνῶσιν ἄνευ τῆς καθόλου μὴ ἁμαρτάνειν ἀδύνατον. ἀπὸ τούτων δὲ φανερὸν καὶ ὅτι ἡ φρόνησις οὔτε ἐπιστήμη ἐστὶν οὔτε νοῦς· ἐπιστήμη μέν, ὅτι ἡ φρόνησις περὶ τὰ καθ' ἕκαστά

14 τὴν om. h 42 ἐπιστήμη μὲν nescio an deleas ἡ φρόνησις D in marg.: om. h

ἐστιν, ἅπερ ὕστερα τῇ φύσει εἰσί· ἡ δὲ ἐπιστήμη τῶν πρώτων τῇ φύσει τῶν καθόλου ἐστί· νοῦς δὲ ἡ φρόνησις οὐκ ἔστιν. ἔτι καὶ ἀντίκειται τῷ νῷ. καὶ γὰρ ὁ μὲν νοῦς περὶ τὰ | πρῶτα καὶ ἀναπόδεικτα, φρόνησις δὲ 223 περὶ τὰ ἔσχατα, περὶ ἃ οὐδὲ ἐπιστήμη ἐστὶν ἀλλ' αἴσθησις. ἐκεῖνα δὲ λέγω, οὐχ ὧν ἰδίως ἑκάστη αἴσθησις ἀντιλαμβάνεται, οἷον τῶν γευστῶν καὶ ὀσφραντῶν ἢ ἀκουστῶν· οὐ γὰρ χυμοὺς κρίνει ἡ φρόνησις ἢ ἀναθυμιάσεις ἢ ἤχους, ἀλλ' ἁπλῶς τὰ καθ' ἕκαστα· ταῦτα γὰρ μόνη γινώσκει ἡ αἴσθησις· διὰ τοῦτο τὴν φρόνησιν περὶ ἐκεῖνα λέγομεν εἶναι, περὶ ἃ καὶ ἡ αἴσθησις, οἷον εἰ δεῖ τήνδε τὴν πόλιν τῶν Ἀθηναίων τῇδε τῇ πόλει τῶν Κορινθίων πολεμεῖν, τοῦ φρονίμου εἰδέναι· πρακτικὴ γὰρ ἡ φρόνησις· ἡ δὲ πρᾶξις τῶν μερικῶν. τοῦτον δὲ τὸν τρόπον καὶ οἱ μαθηματικοὶ τὸ αἰσθητὸν γινώσκουσι τρίγωνον, οὐ καθόσον ἀντίκειται τῇ ὁράσει ἢ τῇ ἁφῇ, ἀλλὰ ἁπλῶς, καθόσον ἐστὶ τῶν καθ' ἕκαστα καὶ μερικῶν, ἅπερ τελευταῖα γινώσκονται· ἐν αὐτοῖς γὰρ ὁ γινώσκων ἵσταται καὶ οὐδὲν περαιτέρω ζητεῖ. καὶ γὰρ ἀπὸ μὲν τῶν μερικῶν καὶ αἰσθητῶν ἀρχομένοις ἐσχάτη ἐστὶν ἡ γνῶσις τῶν καθόλου· ἀπὸ δὲ τῶν καθόλου τῆς γνώσεως προϊούσης τὰ αἰσθητὰ τελευταῖον γινώσκονται. τὸ μὲν οὖν γινώσκειν τὰ μερικά, καθόσον εἰσὶν αἰσθητά, καὶ ἀντίκεινται τὰ μὲν γεύσει, τὰ δὲ ἀκοῇ, τὰ δὲ ἁφῇ, τὰ δὲ ὁράσει, τῆς αἰσθήσεώς ἐστι καὶ οὐ τῆς φρονήσεως· τὸ δὲ εἰδέναι ταῦτα, καθόσον λυσιτελοῦσιν ἢ λυμαίνονται τῷ ἀνθρωπίνῳ ἀγαθῷ, τοῦτο δέ ἐστι τῆς φρονήσεως.

Περὶ εὐβουλίας. κεφ. ι'.

Περὶ μὲν οὖν σοφίας καὶ φρονήσεως καὶ νοῦ καὶ τέχνης καὶ ἐπιστήμης καὶ τί ἐστιν ἕκαστον καὶ τίσι διαφέρουσιν ἀλλήλων εἴρηται. νῦν δὲ ῥητέον περὶ εὐβουλίας περὶ συνέσεως | καὶ περὶ γνώμης, τίς τέ ἐστιν 224 ἑκάστη καὶ τίνι διαφέρει τῶν εἰρημένων πέντε ἀληθευτικῶν ἕξεων. καὶ πρῶτον περὶ εὐβουλίας· οἰκείως γὰρ ἔχει μάλιστα τῇ φρονήσει, ἧς τὸν λόγον ἀρτίως ἀπηλλάξαμεν, ὥστε τὸν περὶ εὐβουλίας λόγον τῷ περὶ τῆς φρονήσεως συναπτέον. πρῶτον μὲν οὖν οὐκ ἔστι ζήτησις· ἐπὶ πλέον γάρ ἐστιν ἡ ζήτησις τῆς εὐβουλίας· οὐ μόνον γὰρ ὁ εὖ βουλευόμενος ἀλλὰ καὶ ὁ κακῶς βουλευόμενος ζητεῖ, καὶ οὐ μόνον τὰ ἐνδεχόμενα ἀλλὰ καὶ τὰ ἀναγκαῖα ζητοῦνται, περὶ ἅ ἐστιν ἡ ἐπιστήμη, οἷον εἰ τὸ τρίγωνον ἔχει δύο ὀρθάς, ζητεῖται πρὸς τῆς ἐπιστήμης, καὶ εἰ ἡ σελήνη σφαιροειδής ἐστι· διὰ τοῦτο ἡ εὐβουλία οὐκ ἔστι ταὐτὸν τῇ ζητήσει. ἔτι δὲ οὐδὲ ἐπιστήμη ἐστὶν ἡ εὐβουλία· ὁ μὲν γὰρ ἐπιστήμων οὐ ζητεῖ περὶ ὧν ἐπίσταται, ὁ δὲ εὔβουλος ζητεῖ· ἡ γὰρ εὐβουλία βουλή τίς ἐστιν, ἡ δὲ βουλὴ ζήτησίς ἐστι τοῦ τί δεῖ πράττειν· καὶ ὁ βουλευόμενος ζητεῖ καὶ λογίζεται περὶ τῶν πράξεων, ὅπως εὖ καὶ καλῶς γένωνται, ὥστε ἡ μὲν εὐβουλία ζήτησις, ἡ δὲ ἐπιστήμη οὐ τοιαύτη· ἡ εὐβουλία ἄρα οὐκ ἔστιν ἐπιστήμη. ἔτι δὲ οὐδὲ

---

1 fort. ἢ τῶν καθόλου scribendum 8 καὶ διὰ τοῦτο h 22 θ' Dh 33 πρὸς h: πρὸ D

εὐστοχία ἐστὶν ἡ εὐβουλία. ἡ μὲν γὰρ εὐστοχία ἄνευ χρόνου τινὸς καὶ
λογισμοῦ καὶ μελέτης γίνεται· τὸ γὰρ γνῶναι περὶ τοῦ προκειμένου καλῶς
ἀθρόον καὶ ἄνευ μελέτης, τοῦτό ἐστιν εὐστοχία· ἡ δὲ εὐβουλία οὐ τοιαύτη·
μετὰ γὰρ χρόνον καὶ βραδέως ἡ βουλὴ γίνεται· καὶ διὰ τοῦτο καὶ ὁ τῶν
πολλῶν λόγος φησὶ δεῖν ταχέως μὲν πράττειν τὰ βουλευθέντα, βουλεύε-
σθαι δὲ βραδέως. ἔτι ἡ ἀγχίνοια ἕτερον παρὰ τὴν εὐβουλίαν· ἀγχίνοια
γάρ ἐστιν ἄσκεπτος ἀπό|δοσις τοῦ μέσου, δηλονότι τῆς αἰτίας τοῦ προτε- 225
θέντος· ἡ δὲ εὐβουλία μετὰ σκέψεως· ἔστι γὰρ ἀγχίνοια εὐστοχία τις· οὐκ
ἄρα ἀγχίνοια ἡ εὐβουλία ἐστί. καὶ γὰρ ἡ μὲν εὐστοχία ἐστὶ τὸ περὶ τοῦ
παντὸς τοῦ προτεθέντος εὐεπηβόλως εἰπεῖν, ἡ δὲ ἀγχίνοια τῆς αἰτίας τοῦ
προτεθέντος ζητήματος ἀπόδοσις ταχεῖά ἐστιν, οἷον διὰ τί βέλτιον ἄρχε-
σθαι ἢ ἄρχειν ἐν ταῖς ὀλιγαρχίαις· ὅτι ἀσφαλέστερον. διὰ ταῦτα μὲν οὖν
ἡ εὐβουλία οὔτε εὐστοχία οὔτε ἀγχίνοιά ἐστιν. ἀλλ' οὐδὲ δόξα ἐστὶν ἡ
εὐβουλία· πολλῶν γὰρ ὄντων τῶν εἰδῶν τῆς δόξης, οὐδὲν τούτων ἡ εὐ- 10
βουλία ἐστί· καὶ γὰρ τῶν δοξῶν αἱ μέν εἰσι συμπεράσματα διανοίας ἐξ
ἀνάγκης ἀποδειχθέντα, ὥσπερ τὸ τρίγωνον δύο ὀρθὰς ἔχει, εἴ τις ἄνευ
ἀποδείξεως δοξάζει, δόξαν ἔχει ἀναγκαίαν· αἱ δὲ ἀπὸ αἰσθήσεως συνάγον-
ται, ὧν ἔνιαι καὶ ψευδεῖς πολλάκις εἰσί. πᾶσαι δὲ τὴν ἀλήθειαν ἔχουσι
τέλος καὶ ἡ ὀρθότης τῆς δόξης ἡ ἀλήθειά ἐστιν· ἡ δὲ εὐβουλία τέλος ἔχει
τὸ συμφέρον ἢ τοῦ βουλευομένου ἢ ᾧ τὴν βουλὴν δίδωσιν, ὃ καὶ διὰ ψεύ-
δους καὶ ἀπάτης πολλάκις οἱ εὔβουλοι κατορθοῦσιν. ἔτι δὲ οὐ τῆς εὐ-
βουλίας ἄλλη τίς ἐστιν ὀρθότης, ἀλλὰ αὐτή ἐστιν ὀρθότης βουλῆς· εἰ γὰρ 20
ὁ κακῶς βουλευόμενος ἁμαρτάνει, πάντως ὁ εὖ βουλευόμενος κατὰ τὸν
ὀρθὸν βουλεύεται λόγον. ἔστι γὰρ ὀρθότης ἡ εὐβουλία οὔτε δόξης οὔτε
ἐπιστήμης ἀλλὰ τῆς βουλῆς, ὡς δηλοῖ καὶ τοὔνομα· ἐπιστήμης μὲν γὰρ
οὐδεμία ὀρθότης, οὐδὲ γὰρ ἁμαρτάνει ἡ ἐπιστήμη, ὥστε ὀρθότητος δεῖσθαι.
τῆς δὲ δόξης ἡ ὀρθότης, καθὼς εἴρηται, ἡ ἀλήθειά ἐστιν· | οὔτε τοίνυν 226
δόξα ἐστὶν ἡ εὐβουλία ἢ ἐπιστήμη οὔτε ὀρθότης ἐστὶν ἢ δόξης ἢ ἐπι-
στήμης· ἔτι δὲ ἡ μὲν εὐβουλία ζήτησίς ἐστι κατὰ τὸν ὀρθὸν λόγον· ἡ δὲ
δόξα εὕρεσίς τινος συμπεράσματος καὶ περί τι ὡρισμένον ἐστί· καὶ ἡ μὲν
εὐβουλία ζητεῖν ἐστιν, ἡ δὲ δόξα εὑρηκέναι. καθὸ καὶ τῆς διανοίας ἡ εὐ-
βουλία λείπεται· ἡ μὲν γὰρ διάνοια λόγος ἐστὶν ἀπηρτισμένος καὶ εὑρη-
μένος μετὰ τῆς προσηκούσης αἰτίας, ἡ δὲ εὐβουλία ἐν τῇ ζητήσει ἔχει τὸ
εἶναι· ὁ γὰρ βουλευόμενος, ἐάν τε εὖ ἐάν τε κακῶς βουλεύηται, ζη-
τεῖ τι καὶ λογίζεται· καὶ μετὰ λόγου μὲν ζητεῖ, οὔπω δὲ συνεπέρανεν· 10
ἡ δὲ δόξα οὐ τοιαύτη· οὐ γὰρ ζήτησίς ἐστιν, ἀλλὰ φάσις ἀπηρτισμένη·
οὔτε τοίνυν ἐπιστήμη ἐστὶν ἡ εὐβουλία οὔτε εὐστοχία οὔτε δόξα. ἀλλ'
ἐπεὶ ὀρθότης ἐστὶ βουλῆς, ζητητέον πρῶτον τί ἐστι βουλή, καὶ περὶ τίνα
καταγίνεται ὁ βουλευόμενος. καὶ περὶ μὲν βουλῆς καὶ βουλευτῶν ἐν τοῖς
πρότερον εἴρηται· ῥητέον δὲ περὶ τῆς ὀρθότητος. ἡ τοίνυν ὀρθότης πολ-
λαχῶς λέγεται. καὶ γὰρ καὶ οἱ πονηρὸν τιθέμενοι τέλος καὶ τὰ πρὸς αὐτὸ

5 δεῖν h: δεῖ D 16 ἄνευ D: ἀπὸ τῆς h 18 ὧν D: ὅθεν h 24 ἔστι D: ἔτι h 31 δόξα δὲ h

ἄντικρυς φέροντα ζητοῦντες ὀρθῶς βουλεύονται· καὶ ἡ τοιαύτη βουλὴ ὀρθότης ἐστὶ καὶ οἱ ἀγαθὸν μὲν τιθέμενοι τέλος καὶ πρὸς αὐτὸ φερόμενοι, τὰ δὲ πρὸς αὐτὸ συμφέροντα μάλιστα τῶν ἄλλων οὐ ζητοῦντες ἀλλ' ἕτερα ὥσπερ οἱ διὰ προτάσεων ψευδῶν ἢ μὴ ἐξ ἀναγκαίων ἀληθὲς συνάγοντες συμπέρασμα· καὶ οὗτοι γὰρ περὶ μὲν τὰ πρὸς τὸ τέλος σφάλλονται, ὅτι δὲ πρὸς τὸ τέλος τὸ ἀγαθὸν φέρονται, ὀρθῶς βουλεύονται· καὶ ἡ τοιαύτη βουλὴ ὀρθότης ἐστί. πρὸς δὲ τούτοις καὶ ἡ εὐβουλία ὀρθότης ἐστίν, ἥτις καὶ κυρίως ὀρθότης λέγεται βουλῆς, καθ' ἣν πρὸς τὸ ἀγαθὸν φερόμεθα 227 τέλος καὶ ἐκεῖνα ζητοῦμεν, δι' ὧν δυνησόμεθα ῥᾷστα καὶ κάλλιστα τοῦ τέλους τυχεῖν. εὐβουλία γὰρ οὔτε ἡ πρώτη ὀρθότης ἐστὶν οὔτε ἡ δευτέρα· ἡ μὲν γὰρ πρώτη κακή ἐστι βουλή, ἡ δὲ εὐβουλία ἀγαθόν· τοῦτο γὰρ βούλεται τὸ ὄνομα, ἀγαθὴ βουλή· ἡ δὲ δευτέρα ὀρθότης ζητεῖ μὲν ὃ δεῖ, δι' οὗ δὲ τυχεῖν οὐ ζητεῖ καὶ περὶ τὰ πρὸς τὸ τέλος οὐ καλῶς βουλεύεται, περὶ ἃ ἡ βουλὴ γίνεται, καθὼς προείρηται· ὥστε καθόσον μὲν εἰς τὸ ἀγαθὸν φέρεται, ὀρθῶς φέρεται, καθόσον δὲ οὐ διὰ τῶν προσηκόντων τῷ τέλει φέρεται, οὐ καλῶς φέρεται· ὥστε οὐκ ἂν εἴη εὐβουλία ἡ τοιαύτη ὀρθότης. ἔτι δὲ οὐδὲ ἡ διὰ πολλοῦ χρόνου καὶ πλείονος τοῦ δέοντος γινομένη βουλὴ εὐβουλία ἐστίν. εὐβουλία γάρ ἐστι μόνον ἡ ὀρθότης τῆς βουλῆς, ἡ κατὰ τὸ ὠφέλιμον, ὅταν περὶ ὧν δεῖ βουλευώμεθα καὶ ὡς δεῖ καὶ ὅσον χρόνον δεῖ. ἐπεὶ δὲ τὸ τέλος ἢ καθόλου ἐστὶ καὶ ἔσχατον ἢ μερικόν, ἔσχατον μέν, πρὸς ὃ πᾶσα πρᾶξις ἀνθρωπίνη φέρεται, μερικὸν δέ, πρὸς ὅ τινες πράξεις φέρουσιν, ἀκολούθως καὶ ἡ εὐβουλία ἔχει· ἡ μὲν καθόλου ἐστίν, ἥτις ὀρθὴ καὶ ἀγαθὴ βουλή ἐστι περὶ τῶν φερόντων εἰς τὸ ἔσχατον τέλος, τὴν κατ' ἀρετὴν ζωήν, ἡ δὲ μερική, ἥτις εἰς μερικόν τι τέλος φέρει, ὃ οὐκ ἔστι μὲν τὸ ἔσχατον, φέρει δὲ εἰς τὸ ἔσχατον τέλος. ἐπεὶ δὲ τῶν φρονίμων ἐστὶ τὸ εὖ βουλεύεσθαι, δεῖ προσθεῖναι τῷ τῆς εὐβουλίας ὁρισμῷ καὶ τὴν φρόνησιν· ὥστε εἶναι τὸν ὁρισμὸν τῆς εὐβουλίας οὕτως· εὐβουλία ἐστὶν ὀρθότης | ἡ κατὰ τὸ συμφέρον πρός τι τέλος, 228 οὗ ἡ φρόνησις ἀληθὴς ὑπόληψίς ἐστι· κατὰ τὸ συμφέρον μέν, διὰ τὴν βουλὴν ἣ πρὸς τέλος μὲν ἀγαθὸν φέρεται, δι' ὧν δὲ προσῆκεν οὐδαμῶς, λέγω δὴ πράξεων καὶ χρόνου καὶ τρόπου· τὸ δὲ πρός τι τέλος, οὗ ἡ φρόνησις ἀληθὴς ὑπόληψίς ἐστι, διὰ τὴν πονηρὰν βουλήν, ἥτις τὰ μὲν τέλει προσήκοντα καὶ ἀκόλουθα ζητεῖ· πρὸς τέλος δὲ φέρεται πονηρόν, οὗ οὐκ ἔστιν ἡ φρόνησις ἀληθὴς ὑπόληψις.

Περὶ συνέσεως. κεφ. ια'.

Περὶ μὲν εὐβουλίας τοσαῦτα· ῥητέον δὲ περὶ συνέσεως. ἔστι τοίνυν σύνεσις καὶ ἀσυνεσία, καθ' ἃς λέγομεν συνετοὺς καὶ ἀσυνέτους. καὶ οὔτε ἐπιστήμῃ ταὐτόν ἐστιν ἡ σύνεσις οὔτε δόξῃ οὔτε φρονήσει· ἐπιστήμη μὲν γὰρ οὐκ ἔστιν οὐδὲ δόξα ἡ σύνεσις· ἢ γὰρ ἂν πάντες οἱ ἐπιστήμονες

3 συμφέροντα D: φέροντα h   22 ἡ μὲν γὰρ h   35 ι' Dh

ἢ οἱ δοξάζοντες συνετοὶ ἦσαν. ἀλλ' οὐκ εἰσίν· ἀλλ' οὐδὲ μία τις τῶν ἐπιστημῶν ἐστιν ἡ σύνεσις, οἷον ἰατρικὴ ἢ γεωμετρία· ἢ γὰρ ἂν περὶ ὑγιεινῶν ἦν ἢ περὶ μεγεθῶν. ἄλλως τε οὐδὲ περὶ τὰ ἀναγκαῖα καὶ ἀεὶ ὡσαύτως ἔχοντά ἐστιν ἡ σύνεσις. οὐδὲ ἰδίως περὶ ἑνός τινος τῶν ἐνδεχομένων ἄλλως ἔχειν ἀλλὰ καθόλου περὶ ὧν ἀπορήσειεν ἄν τις καὶ βουλεύσαιτο, καὶ ἃ σκέψεως ἀνέχεταί τινος καὶ βουλῆς καὶ ζητήσεως· διὰ τοῦτο περὶ τὰ αὐτὰ μέν ἐστιν ἡ σύνεσις τῇ φρονήσει· ἔστι γὰρ | περὶ τὰ ἐν- 229
δεχόμενα, ὧν ἐσμεν αὐτοὶ κύριοι πράττειν καὶ μὴ πράττειν. οὐκ ἔστι δὲ πάντῃ ταὐτὸν τῇ φρονήσει· ἡ μὲν γὰρ φρόνησις ἐπιτάττει μόνον πρὸς ποῖον τέλος δεῖ φέρεσθαι καὶ τίνα δεῖ ποιεῖν, ὥστε τέλους τυχεῖν· καὶ τοῦτό ἐστιν αὐτῆς τὸ ἔργον, τὸ ἐπιτάττειν ἃ δεῖ πράττειν, τὸ δὲ κρίνειν τὰ ἐπιταχθέντα παρὰ τῆς φρονήσεως καὶ τὸ εἰδέναι ὅτι καλῶς ἔχει καὶ οὕτω δεῖ πράττειν, τοῦτό ἐστιν ἡ σύνεσις. οὐ γὰρ διαφέρει ὁ εὐσύνετος τοῦ συνετοῦ, ἀλλὰ καὶ ὁ συνετὸς αὐτὸ τοῦτο βούλεται, τὸ εὖ καὶ καλῶς συνιέναι καὶ κρίνειν τὰ παρὰ τοῦ φρονίμου ἐπιταττόμενα. καὶ ταὐτόν ἐστι σύνεσις καὶ εὐσυνεσία, ἥτις οὔτε φρόνησίς ἐστιν οὔτε τὸ ἔχειν φρόνησιν. οὔτε δὲ τὸ δέχεσθαι καὶ λαμβάνειν φρόνησιν σύνεσίς ἐστιν· τὸ γὰρ λαμβάνειν φρόνησίν ἐστι τὸ μανθάνειν ἅπερ ὁ φρόνιμος γινώσκει, ἡ δὲ σύνεσίς ἐστι τὸ κρίνειν αὐτά· οὐκ ἄρα ταὐτὸν σύνεσις τῷ φρόνησιν λαμβάνειν ἢ φρόνησιν ἔχειν. ἀλλ' ὥσπερ ὁ παρ' ἄλλου τινὸς ἐπιστήμην ἀκούων καὶ γινώσκων καλῶς ξυνιέναι λέγεται. οὕτως ὁ παρὰ τοῦ φρονίμου ἐπιταττόμενα γινώσκων καὶ κρίνων ὀρθῶς συνιέναι τε λέγεται καὶ συνετὸς ὀνομάζεται καὶ εὐσύνετος διὰ τὸ καλῶς γινώσκειν· τὸ γὰρ εὖ καὶ τὸ καλῶς ταὐτόν· καὶ ἀπὸ ταύτης τῆς αἰτίας ἐλήφθη τὸ ὄνομα. ὅτι τὸ ἄλλου λέγοντος ἄλλον τινὰ ἀκούοντα γινώσκειν καλῶς μανθάνειν καὶ συνιέναι λέγεται.

Περὶ γνώμης. κεφ. ιβ'. 230

Ῥητέον δὴ περὶ τῆς γνώμης. ἔστι δὲ καὶ αὕτη περὶ τὰ ἐνδεχόμενα. καθάπερ καὶ ἡ φρόνησις καὶ ἡ εὐβουλία καὶ ἡ σύνεσις. διὰ τοῦτο καὶ περὶ αὐτῆς λέγωμεν. ἔστι τοίνυν γνώμη, καθ' ἣν εὐγνώμονας λέγομεν καὶ ἔχειν γνώμην, ἡ ὀρθὴ κρίσις τοῦ ἐπιεικοῦς. τίς δέ ἐστιν ὁ ἐπιεικὴς καὶ ἡ ἐπιείκεια, εἴρηται ἐν τοῖς πρότερον. ὅτι δὲ τοῦτό ἐστιν ἡ γνώμη, δῆλον· τὸν γὰρ ἐπιεικῆ μάλιστά φαμεν εἶναι συγγνωμονικόν· καὶ ἐπιεικὲς τὸ ἔν τισιν ἔχειν συγγνώμην. ἡ δὲ συγγνώμη γνώμη ἐστὶν ὀρθή, κριτικὴ τοῦ ἐπιεικοῦς· κρίσις γὰρ ὀρθὴ καὶ γνώμη ἐπιεικής ἐστιν ἡ συγγνώμη. ὀρθὴ δὲ λέγεται κρίσις ἡ τοῦ ἀληθοῦς· εἰ τοίνυν ἡ μὲν συγγνώμη κρίσις ἐστὶ τοῦ ἐπιεικοῦς καὶ γνώμη ὀρθή. κατὰ δὲ τὴν ὀρθὴν γνώμην εὐγνώμονές τινες λέγονται. ἡ γνώμη ἄρα, καθ' ἣν εὐγνώμονες λέγονται, τοῦ ἐπιεικοῦς ἐστι κρίσις. πᾶσαι μὲν οὖν αἱ ἕξεις αἱ ἀληθευτικαὶ πρὸς τὸ αὐτὸ φέρουσι. καὶ τὰ αὐτὰ ἔχουσιν ὑποκείμενα, περὶ ἃ καταγίνονται· καὶ γὰρ καὶ φρό-

5 ἀλλὰ καθόλου D: καθόλου δὲ h 21 ὁ τὰ παρὰ h 26 ια Dh 29 εὐγνώμονας h: ἀγνώμονας D 31 πρότερον] cf. p. 108,27 sqq.

νησις καὶ νοῦς καὶ εὐβουλία καὶ σύνεσις καὶ γνώμη περὶ τὰ καθ' ἕκαστά εἰσι καὶ τὰ μερικὰ τὰ ἐν οἷς αἱ πράξεις. νοῦν δὲ λέγω τὸν πρακτικόν, ὃς ἀρχὰς ἔχει τὰ μερικὰ καὶ αἰσθητά· ὁ γὰρ αὐτὸς ἄνθρωπος, ὅταν μὲν τὰ πρὸς τὸ ἀγαθὸν τέλος φέροντα ποιῇ, φρόνιμός ἐστιν, ὅταν δὲ περὶ αὐτῶν ὡς δεῖ βουλεύηται, εὔβουλός ἐστιν, ὅταν δὲ ὅσα ἔταξε πρὸς τὸ τέλος τὸ ἀγαθὸν καὶ ἐποίησε, γινώσκῃ καὶ κρίνῃ ὀρθῶς καὶ ὡς ἔδει πεπρᾶχθαι, συνε|τός ἐστιν· ὅταν δὲ τὰ ὑπ' ἄλλου πραχθέντα ὀρθῶς κρίνων καὶ 231 συγγνώμης ἐνίοτε ἀξιοῖ οἷς τοῦτο προσῆκεν, εὐγνώμων ἐστὶ καὶ συγγνώμων. πᾶσα γὰρ ἡ τοῦ ἐπιεικοῦς κρίσις περὶ πάντα ἐστὶ κοινῇ τὰ ἀγαθὰ τὰ ὑπ' ἄλλων πραττόμενα· καὶ γὰρ καὶ ἡ καλουμένη ἐπιείκεια, ἥτις ἐστὶ τοῦ νομικοῦ δικαίου διορθωτική, περὶ ἧς εἴρηται πρότερον, τοὺς παρ' ἑτέρων τεθέντας νόμους κρίνει, καὶ ἡ συγγνώμη καὶ ἡ γνώμη περὶ τῶν πραττομένων ὑφ' ἑτέρων ὀρθῶς ψηφίζεται· πάντα δὲ ταῦτα τοῦ ἐπιεικοῦς ἐστι. συμβαίνει δὲ καὶ πάσας τὰς ἀνθρωπίνας πράξεις ταύτας εἶναι μόνας, ἃς ὁ ἐπιεικὴς κρίνει καὶ περὶ ὧν ψηφίζεται· ἡ μὲν γὰρ ἐπιείκεια περὶ τὸ νομικὸν δίκαιόν ἐστιν, ἡ δὲ γνώμη περὶ τὰ πρακτά ἐστιν, ὅταν ὑφ' ἑτέρων πράττωνται· περὶ τὰ αὐτὰ δὲ καὶ ὁ νοῦς ἐστιν ὁ πρακτικός· καὶ γὰρ ἐπεὶ ὁ νοῦς γνῶσίς ἐστι τῶν ἀρχῶν, ἀρχαὶ δὲ τῶν μὲν πράξεων τὰ καθ' ἕκαστα, τῶν δὲ θεωρητῶν καὶ ὧν ἐστι τέλος ἡ ἀλήθεια, οἱ ὅροι καὶ οἱ ἄμεσοι λόγοι καὶ αἱ κοιναὶ ἔννοιαι, εἴη ἂν ὁ μὲν θεωρητικὸς νοῦς γνῶσις τῶν ὅρων καὶ τῶν πρώτων καὶ ἀκινήτων λόγων, ὁ δὲ πρακτικὸς γνῶσις τῶν ἐσχάτων καὶ ἐνδεχομένων, δηλονότι τῶν καθ' ἕκαστα πρακτῶν· ὥστε τὸν πρακτικὸν καὶ τὸν θεωρητικὸν νοῦν τῶν ἐσχάτων εἶναι καὶ πρώτων. καὶ γὰρ καὶ οἱ ἄμεσοι λόγοι καὶ οἱ ὅροι καὶ τὰ καθ' ἕκαστα καὶ πρῶτα καὶ ἔσχατά εἰσιν. οἱ μὲν ἄμεσοι λόγοι τῇ φύσει πρῶτοι, ἔσχατοι δὲ ἡμῖν· τὰ δὲ καθ' ἕκαστα πρῶτα μὲν ἡμῖν, ἔσχατα δὲ τῇ φύσει· ταῦτα δὲ τὰ ἔσχατα τῇ φύσει ἀρχαί εἰσι καὶ αἴτια τοῦ τέλους τοῦ πρακτοῦ· καὶ γὰρ ἀπὸ τῶν ἐν τῇ αἰσθήσει καθ' ἕκαστα διδασκόμεθα πράττειν | τὰ συμ- 232 φέροντα ἡμῖν αὐτοῖς καὶ τοῖς ἄλλοις καὶ δι' ὧν πρὸς τὸ ζητούμενον ἀφιξόμεθα τέλος· καὶ ἀπὸ τούτων τῶν μερικῶν καθολικούς τινας συνάγοντες λόγους, φρόνιμοι γινόμεθα πρὸς τὰς ἐν τῷ βίῳ πράξεις. διὰ τοῦτο δεῖ τὸν πολιτικὸν γνῶσιν ἔχειν τῶν μερικῶν· ἡ τοιαύτη δὲ γνῶσις ἄνευ μέσου γινομένη νοῦς ἐστι· νοῦς γάρ ἐστιν ἡ γνῶσις τῶν ἀμέσων καὶ τῶν ἀρχῶν. διὰ τοῦτο καὶ φυσική τις ἡ τοιαύτη γνῶσις εἶναι δοκεῖ. οὐ γὰρ ἀπὸ μεθόδων τινῶν καὶ μαθήσεως περιγίνεται ἀλλὰ φύσει. καὶ οὐχ ὁ νοῦς μόνον ἀλλὰ καὶ ἡ φρόνησις καὶ ἡ σύνεσις καὶ ἡ γνώμη φυσικὰ δοκεῖ εἶναι· ἀπὸ γὰρ τῆς φυσικῆς γνώσεως τοῦ νοῦ ταῦτα πάντα ὁρμῶνται, καὶ περὶ τὰ αὐτά εἰσι τῷ νῷ, τὰ καθ' ἕκαστα δηλονότι. σοφία δὲ οὐκέτι· φύσει γὰρ σοφὸς οὐδείς ἐστιν, ὅτι μεθόδων χρεία καὶ μαθήσεως πρὸς τὸ γενέσθαι σοφόν, καὶ τὴν μὲν φρόνησιν καὶ τὴν γνώμην καὶ τὸν νοῦν καὶ τὴν σύνεσιν οἰόμεθα ταῖς ἡλικίαις ἀκολουθεῖν· φαμὲν γὰρ τήνδε τὴν ἡλικίαν

17 πράττωνται h: τάττωνται D 28 διδασκόμεθα D: διδασκόμενοι h 36 ἡ (ante φρόνησις) om. h

νοῦν ἔχειν καὶ γνώμην καὶ φρόνησιν, ὡς τῆς φύσεως αἰτίας οὔσης· σοφίαν δὲ οὐ τῇδε τῇ ἡλικίᾳ ἢ τῇδε ἀποδίδομεν· καὶ νέῳ γὰρ δυνατὸν γενέσθαι σοφὸν καὶ μειρακίῳ καὶ οὐ πρεσβύτῃ μόνον, καθάπερ ἐπὶ τῆς φρονήσεως ἔχει καὶ τῶν ἄλλων. ἡ γὰρ πεῖρα τῶν πρεσβυτέρων ἐστίν, ἧς χωρὶς οὐ δυνατὸν φρόνιμον γενέσθαι καὶ νοῦν καὶ σύνεσιν ἔχειν καὶ γνώμην. νοῦν λέγω τὸν πρακτικόν· ὁ γὰρ νοῦς καθὼς εἴρηται καὶ θεωρητικός ἐστι καὶ πρακτικὸς καὶ ἀρχὴ καὶ τέλος· ἀρχὴ μέν, καθόσον τῶν πρώτων ἀρχῶν ἐστι γνῶσις καὶ θεωρητικὸς λέγεται· ἀρχὴ γάρ ἐστιν ἀποδείξεως· τέλος δέ, | 233 καθόσον γνῶσίς ἐστι τῶν καθ' ἕκαστα καὶ ἐν αἰσθήσει. καὶ πρακτικὸς λέγεται· περὶ τούτων γὰρ αἱ ἀποδείξεις. καὶ ταῦτά εἰσι τὰ ἀποδεικτά, καὶ εἰς ταῦτα τελευταῖον ὁ ἀποδεικνὺς ἔρχεται ἀπὸ τῶν καθόλου καταβαίνων. οὗτος δὲ ὁ νοῦς ἀπὸ ἐμπειρίας περιγινόμενος ἐν τοῖς πρεσβυτέροις εὑρίσκεται· διὰ τοῦτο δεῖ πιστεύειν ταῖς τῶν ἐμπείρων καὶ πρεσβυτέρων ἢ φρονίμων ταῖς ἀναποδείκτοις φάσεσι καὶ δόξαις οὐχ ἧττον τῶν ἀποδείξεων· διὰ γὰρ τὸ ἔχειν ἐκ τῆς ἐμπειρίας ὄμμα ὁρῶσι τὰς ἀρχὰς τῶν πράξεων, τὰ καθ' ἕκαστα δηλονότι πρακτά· δι' ὧν τὰ συμφέροντα γινώσκουσι καὶ ὑποτίθενται καὶ ἑαυτοῖς καὶ τοῖς ἄλλοις ἀνθρώποις.

Περὶ φρονήσεως καὶ τῆς σοφίας, τί χρήσιμοί εἰσι καὶ ποτέρα βελτίων. κεφ. ιγ'.

Τί μὲν οὖν ἐστιν ἡ φρόνησις καὶ ἡ σοφία. καὶ περὶ τίνα ἐστὶν ἑκατέρα, καὶ ὅτι ἄλλου τῆς ψυχῆς μορίου ἐστὶν ἑκατέρα, εἴρηται. διαπορήσειε δ' ἄν τις περὶ αὐτῶν, τί χρήσιμοί εἰσι καὶ πρὸς τί συντελοῦσι τοῖς ἀνθρώποις. ἡ μὲν γὰρ σοφία οὐδὲν θεωρεῖ ἐξ ὧν ἐστιν εὐδαίμων ὁ ἄνθρωπος· ἡ μὲν γὰρ εὐδαιμονία περὶ τὴν πρᾶξίν ἐστιν, ἡ δὲ σοφία οὐδεμιᾶς αἰτία γενέσεως· οὐ γὰρ τέλος ἔχει τὸ πρακτὸν ἀγαθόν. ἡ δὲ φρόνησίς ἐστι μὲν αἰτία πράξεως καὶ πρὸς τὸ πρακτὸν ἀγαθόν, ἀναγκαία δὲ πρὸς τὴν κτῆσιν τῆς ἀρετῆς οὐ πάνυ δοκεῖ· τοῖς μὲν γὰρ σπουδαίοις ἀπὸ τοῦ ἔθους τὰς ἀρχὰς περιγενομένας βεβαίας εἶναι συμβαίνει· ἕξεις γάρ εἰσι· καὶ οὐδὲν μᾶλλον ἀπὸ τοῦ εἰδέναι τὰ καλὰ καὶ δίκαια | 234 πρακτικοὶ αὐτῶν γίνονται, ὥσπερ οὐδὲ ὑγιεινοὶ ἢ εὐεκτικοὶ γινόμεθα ἀπὸ τοῦ καλῶς εἰδέναι τὰ ὑγιεινὰ καὶ εὐεκτικά, ἀλλὰ τῷ ἔχειν ἕξιν ὑγιείας καὶ εὐεξίας· οὐ γὰρ ὁ πύκτης πυκτικώτερος γίνεται διὰ τὸ εἰδέναι τί ἐστι τὸ εὖ καὶ καλῶς πυκτεύειν· οὐ γὰρ τῷ εἰδέναι ἀλλὰ τῷ ἕξιν ἔχειν πυκτικῆς πυκτεύει· ὁμοίως δὲ καὶ ὁ παλαιστὴς καὶ ὁ δρομικός· καὶ πᾶς γυμνικὸς διὰ τὴν ἕξιν γυμνικός ἐστιν, οὐ διὰ τὸ εἰδέναι τὰ εὐεκτικὰ καὶ γυμνικά· λέγω δὲ εὐεκτικὰ καὶ γυμνικὰ ἢ ὑγιεινὰ οὐ τὰ ποιητικὰ εὐεξίας ἢ ὑγιείας ἀλλ' ἃ ποιεῖ ὁ ὑγιαίνων ἢ ὁ εὐεκτῶν ἀπὸ τοῦ ἕξιν ὑγιείας ἢ εὐεξίας ἔχειν· ὥσπερ τοίνυν ἐπὶ τῶν εἰρημένων ἕξεων οἱ ἔχοντες οὐκ ἂν ἀμείνους γένοιντο διὰ

---

19 εἰσι om. h   20 $\overline{\iota\beta}$ Dh   35 πᾶς D: γάρ τοι καὶ ὁ h

τὸ εἰδέναι, οὕτως οὐδὲ ὁ σπουδαῖος καλλίων περὶ τὴν ἀρετὴν γένοιτο διὰ τὴν
φρόνησιν. εἰ δὲ τοῖς σπουδαίοις οὐδὲν πρὸς τὴν ἀρετὴν ἡ φρόνησις συν-
τελεῖ. λείπεται δὴ τοὺς μὴ ὄντας σπουδαίους τὴν φρόνησιν καλλίους ποι-
εῖν· καὶ τούτους δὲ οὐ σφόδρα ἀναγκαῖον φρονίμους εἶναι πρὸς τὸ γενέ-
σθαι σπουδαίους· δυνατὸν γὰρ καὶ παρ' ἄλλων μαθόντας τὸν περὶ ἀρετῆς
λόγον καὶ πεισθέντας αὐτοῖς σπουδαίους γενέσθαι· ὥσπερ βουλόμενοι ὑγι-
αίνειν οὐκ αὐτοὶ μανθάνομεν ἰατρικὴν ἀλλὰ τοὺς ἰατροὺς ἐρωτῶμεν. καὶ 20
οὐδὲν κωλύει ὑγιαίνειν. ταῦτα μὲν οὖν ἀπορήσειεν ἄν τις περὶ τῆς φρο-
νήσεως καὶ τῆς σοφίας, εἰς τί συντελοῦσι τοῖς ἀνθρώποις καὶ πρὸς τί εἰσι
χρήσιμοι. ἔτι δὲ καὶ ἐκεῖνο δεῖ ζητεῖν περὶ τῆς πρὸς ἀλλήλας αὐτῶν
σχέσεως, ποτέρα βελτίων. δοκεῖ μὲν γὰρ ἡ σοφία βελτίων τῆς φρονήσεως
καθόσον τῶν ἀναγκαίων ἐστὶ γνῶσις· δοκεῖ δὲ ἡ φρόνησις βελτίων τῆς
σοφίας, καθόσον ἀρχή ἐστι πρά|ξεως καὶ διὰ τοῦτο κυριωτέρα τῆς σο- 235
φίας, ἥτις μόνον θεωρητική ἐστιν. ἡ γὰρ πρακτικὴ ἕξις ἄρχει καὶ ἐπι-
τάττει περὶ ἕκαστον. ταῦτα μὲν οὖν ἠπόρηται περὶ σοφίας καὶ φρονήσεως·
ῥητέον δὲ πρὸς ταῦτα καὶ πρῶτον περὶ τοῦ πρώτου· πρῶτον μὲν οὖν εἰ
καὶ πρὸς μηδὲν ἦσαν χρήσιμοι αἱ τοιαῦται ἀρεταί, ἀλλὰ δι' ἑαυτὰς ἀναγ-
καῖον αἱρετὰς αὐτὰς εἶναι· ἀρεταὶ γάρ εἰσιν ἑκατέρα ἑκατέρου τοῦ διανοη-
τικοῦ, καθὼς εἴρηται· πᾶσα δὲ ἀρετὴ αἱρετόν τί ἐστιν. ἔπειτα καὶ χρή- 10
σιμοί εἰσι πρὸς τὴν εὐδαιμονίαν, οὐχ ὥσπερ ἰατρικὴ πρὸς ὑγίειαν, ἀλλ'
ὥσπερ εὐεξία πρὸς ὑγίειαν ἔχει. οὕτω σοφία καὶ φρόνησις πρὸς εὐδαιμονίαν
χρήσιμοί εἰσιν. ἡ μὲν γὰρ καθόλου εὐδαιμονία ἡ παντελής ἐστιν ἀρετή,
σοφία δὲ καὶ φρόνησις μέρος εἰσὶ τῆς ὅλης ἀρετῆς· ὥστε μέρος εἰσὶ τῆς
ἀνθρωπίνης εὐδαιμονίας σοφία καὶ φρόνησις, καὶ τὸ ταύτας ἔχειν μετὰ
τῶν ἄλλων ἀρετῶν εὐδαιμονεῖν ἐστι τὴν ὅλην εὐδαιμονίαν. ἔτι δὲ καὶ
πρὸς πᾶσαν πρᾶξιν σπουδαίαν ἡ φρόνησις χρήσιμός ἐστι καὶ δι' αὐτῆς
πᾶν τοιοῦτον ἔργον ἀποτελεῖται. ἡ μὲν γὰρ ἠθικὴ ἀρετὴ τὴν θέλησιν εἰς 20
τὸ ἀγαθὸν ἀπευθύνει τέλος καὶ ὀρθὸν ποιεῖ τὸν σκοπόν, ἡ δὲ φρόνησις τὰ
πρὸς τὸ τέλος φέροντα τὸ ἀγαθὸν ζητεῖ, καὶ βουλεύεται δι' ὧν κάλλιστα
καὶ ῥᾷστα καὶ ὡς δεῖ τοῦ τέλους ἔνι τυχεῖν. τοῦ δὲ τετάρτου μορίου
τῆς ψυχῆς, ὅ ἐστι τὸ θρεπτικόν, οὐκ ἔστιν ἀρετὴ τοιαύτη, περὶ ἧς ἡμῖν
ὁ λόγος, ἥτις ἀρχὴν ἔχει τὸ ὀρεκτικόν, λέγω δὴ τὴν ἠθικήν. οὐ γάρ ἐστι
τὸ θρεπτικὸν κύριον πράξεως οὐδεμιᾶς· ὃ δὲ οὐκ ἔστιν ἀρχὴ πράξεως,
οὐ δύναται ἀρετὴν ἔχειν τοιαύτην. δύναται δὲ λέγεσθαι ἀρετὴ τοῦ θρε- 236
πτικοῦ τὸ εὐτραφὲς καὶ ὅσα ἄλλα ἕπονται. ὅταν καλῶς ἔχῃ τὸ θρεπτικόν,
οἷον κάλλος ἢ μέγεθος, ὅπερ ἀρετὴ οὐκ ἔστι κυρίως· οὐ γὰρ ἀπὸ προαι-
ρέσεως γίνεται οὐδὲ αἱρετή ἐστιν. ἀλλὰ κατὰ μεταφορὰν λέγεται. καὶ
ταῦτα μὲν μεταξὺ εἴρηται· ῥητέον δὲ ἔτι πρὸς τὸ προκείμενον. ὅτι μὲν
οὖν εἰ καὶ πρὸς μηδὲν ἄλλο συντελεῖν ἠδύνατο ἡ σοφία καὶ ἡ φρόνησις,
διά γε ἑαυτὰς ἔδει πολλοῦ τινος ἀξίας εἶναι δοκεῖν, δέδεικται. δείξομεν 10
δὲ ἔτι σαφέστερον, ὅτι ἡ φρόνησις συντελεῖ πρὸς τὸ σπουδαιοτέρους γενέ-

1 τὸ εἰδέναι — γένοιτο διὰ bis D 3 post ποιεῖν add. καὶ σπουδαίους D 10 ἀλλήλους h 21 εὐεξία D: ἡ ὑγίεια h

σθαι καὶ πρακτικωτέρους τῶν καλῶν καὶ δικαίων· μικρὸν δὲ ἄνωθεν ἀναληπτέον τὸν λόγον, ἀρξαμένους ἐκεῖθεν. ὥσπερ γὰρ λέγομεν δυνατὸν εἶναι πράττοντάς τινας τὰ δίκαια οὔπω δικαίους εἶναι, καὶ τὰ σώφρονα καὶ μὴ σώφρονας εἶναι, οἷοί εἰσιν οἱ τὰ προσταττόμενα ὑπὸ τοῦ νόμου ποιοῦντες διὰ φόβον καὶ ἀκουσίως ἢ οἱ δι' ἄγνοιαν δίκαιόν τι πεποιηκότες· ὥσπερ εἴ τις λάθοι τὸν ἀδικοῦντα κολάσας ἀντὶ τοῦ ἠδικημένου ἢ δι' ἄλλο τι ἢ χρήματα ἢ ἡδονὴν τὸ δίκαιον ποιοῦντες καὶ μὴ δι' ἑαυτό· ὥσπερ τοίνυν τοὺς τοιούτους οὐ λέγομεν δικαίους, καίτοι πράττοντας τὰ δίκαια, οὕτως, ὡς ἔοικεν, ἐπὶ πάσης ἀρετῆς ἔχει· καὶ ὁ ποιῶν τὸ ἀγαθὸν καὶ τὴν ἀρετὴν καὶ δι' ἑαυτὴν καὶ τοῦ ἀγαθοῦ ἕνεκα, καὶ αὐτὸς προαιρούμενος καὶ οὐκ ἀκουσίως, οὗτός ἐστιν ἀληθῶς ὁ σπουδαῖος· ὁ γὰρ βιαζόμενος ὑφ' ἑτέρου πρὸς τὸ ποιῆσαι τὸ ἀγαθὸν τοῦ ἀγαθοῦ μὲν ἕνεκα ποιεῖ ὅπερ ποιεῖ, εἴπερ ὁ καταναγκάζων αὐτὸν τοῦ ἀγαθοῦ ἕνεκα καταναγκάζει· σπουδαῖος δὲ οὐκ ἔστιν οὐδὲ ἀγαθός, ὅτι μὴ προαιρούμενος καὶ ἑκουσίως πράττει 237 τὸ ἀγαθόν. ἡ μὲν οὖν ἕξις τῆς ἀρετῆς ῥυθμίζουσα τὸ ὀρεκτικὸν τῆς ψυχῆς, τὸ θυμικὸν καὶ ἐπιθυμητικόν, ὀρθὴν ποιεῖ τὴν προαίρεσιν· ἐπιθυμεῖ γὰρ καὶ προαιρεῖται τὸ ἀγαθὸν ἀπὸ τῆς ἀγαθῆς ἕξεως· οὐ δεῖ δὲ μέχρι τούτου τὸν σπουδαῖον ἵστασθαι τοῦ ἕξιν ἔχειν ἀρετῆς, ἀλλὰ καὶ πράττειν ἐξ ὧν ἔσται βεβαία ἡ ἕξις ἐν τῇ ψυχῇ, τὰς πράξεις τὰς σπουδαίας δηλονότι. τὸ τοίνυν τὰς τοιαύτας πράξεις εἰδέναι οὐ δυνατὸν λαβεῖν ἀπὸ τῆς ἕξεως τῆς ἀρετῆς· αὕτη γὰρ μόνην ἐμποιεῖ τῇ ψυχῇ τὴν ὄρεξιν τοῦ ἀγαθοῦ· τὸ δὲ εἰδέναι ἃ δεῖ πράττειν τὸν σπουδαῖον ἄλλης ἐστὶ δυνάμεως. λεκτέον δὴ περὶ ταύτης τῆς δυνάμεως σαφέστερον. ἔστι δή τις δύναμις, ἣν καλοῦσι δεινότητα· αὕτη δέ ἐστι τοιαύτη ὥστε τὰ πρὸς τὸν ὑποτεθέντα σκοπὸν συντείνοντα δύνασθαι ταῦτα πράττειν καὶ τυγχάνειν αὐτῶν. ἂν μὲν οὖν ὁ σκοπὸς ᾖ καλός, ἐπαινετή ἐστιν, ἂν δὲ φαῦλος, πανουργία· διὸ καὶ τοὺς φρονίμους δεινοὺς καὶ πανούργους φαμὲν εἶναι. ἔστι δὲ ἡ φρόνησις οὐχ αὕτη ἡ δύναμις, ἡ δεινότης, ἀλλ' οὐκ ἄνευ τῆς δυνάμεως ταύτης· ταύτης γὰρ τῆς δυνάμεως ἀρετή ἐστιν ἡ φρόνησις. οὔτε τοίνυν ἄνευ φρονήσεως τελειωθείη ἂν ἡ ἠθικὴ ἀρετή, τήν τε φρόνησιν ἀδύνατον ἐπιγενέσθαι τῷ πρακτικῷ νῷ ἄνευ τῆς ἄλλης ἠθικῆς ἀρετῆς· οἱ γὰρ συλλογισμοὶ τῶν πρακτῶν, οὓς δηλονότι συλλογιζόμενοι πράττομεν, ἀρχὰς ἔχουσι τὰ τέλη τῶν πράξεων· ἀπὸ γὰρ τῶν τελῶν συλλογιζόμεθα, εἰ ἀγαθαί εἰσιν αἱ πράξεις ἢ πονηραί· τὰς δὲ τοιαύτας ἀρχάς, τὰ τέλη δηλονότι, οὐ γινώσκομεν ἄνευ τῆς ἕξεως τῆς ἠθικῆς ἀρετῆς· πονηρὸν γὰρ | τιθέμεθα τέλος ὑπὸ 238 πονηρᾶς ἕξεως καὶ πρὸς τοῦτο τὰς πράξεις τάττομεν, ὥσπερ εἰς ἀγαθόν. καὶ συμβαίνει τὴν γνῶσιν τῶν τοιούτων πρακτῶν μὴ εἶναι φρόνησιν· ἡ γὰρ φρόνησις περὶ τὰ ἀγαθὰ τοῦ ἀνθρώπου· ὥστε ἀνάγκη τὸν φρόνιμον τὸ ἀγαθὸν τίθεσθαι τέλος· καὶ διὰ τοῦτο οὐ δυνατὸν τὴν φρόνησιν συστῆναι ἄνευ τῆς ἄλλης ἠθικῆς ἀρετῆς καὶ ἀδύνατον φρόνιμον εἶναι μὴ ὄντα ἀγαθόν. οὕτω μὲν οὖν φαίνεται τὴν φρόνησιν μὴ εἶναι ἄνευ τῆς ἄλλης ἠθι-

23 ἔστι δή h et Arist.: ἔστι δέ D

κῆς ἀρετῆς. φανερὸν δὲ μηδὲ τὴν ἀρετὴν εἶναι ἄνευ φρονήσεως· καὶ γὰρ ὡς ἔχει ἡ φρόνησις πρὸς τὴν δεινότητα (οὐ ταὐτὸν μέν, ὅμοιον δέ· καὶ γὰρ ἡ μὲν δεινότης φυσική ἐστιν ἐπιτηδειότης τῆς ψυχῆς, ἡ δὲ φρόνησις ἀρετή ἐστι τῆς τοιαύτης ἐπιτηδειότητος), οὕτω καὶ ἡ ἠθικὴ ἀρετὴ πρὸς τὴν φυσικὴν ἀρετὴν ἔχει. πᾶσι γὰρ δοκεῖ τῶν ἠθικῶν ἀρετῶν ἑκάστη φυσική πως εἶναι· καὶ γὰρ δίκαιοι καὶ σωφρονικοὶ καὶ ἀνδρεῖοι, καὶ τἄλλα ἔχομεν εὐθὺς ἐκ γενετῆς. ἀλλ' ὅμως ζητοῦμεν ἕτερόν τι, νομίζοντες οὐ ταύτας εἶναι τὰς κυρίως ἀρετάς. αὗται γὰρ καὶ παισὶ καὶ θηρίοις ὑπάρχουσαι βλαβεραὶ γίνονται ἐνίοτε διὰ τὸ ἄνευ νοῦ προσεῖναι, καὶ καθάπερ τῷ σώματι ἰσχυρῷ κινουμένῳ συμβαίνει σφάλλεσθαι ἰσχυρῶς, ὅταν ἄνευ ὄψεως κινῆται, οὕτω καὶ τὰς τοιαύτας ἕξεις ἄνευ νοῦ πονηρὰς εἶναι συμβαίνει, μετὰ δὲ νοῦ ἀγαθάς· αἳ καὶ ἀρεταὶ κυρίως καλοῦνται. καὶ αἱ αὐταὶ ἕξεις νοῦ μὲν ἄνευ οὐκ εἰσιν ἀρεταὶ κυρίως, μετὰ δὲ νοῦ κυρίως ἀρεταὶ γίνονται· | ὥστε καθάπερ ἐπὶ τοῦ δοξα- 239 στικοῦ δύο εἰσὶν εἴδη, δεινότης καὶ φρόνησις, οὕτως ἐπὶ τοῦ ἠθικοῦ δύο ἐστί, τὸ μὲν ἀρετὴ φυσική, τὸ δὲ ἡ κυρίως. καὶ τούτων ἡ κυρίως οὐ γίνεται ἄνευ φρονήσεως. διόπερ φασὶ πάσας τὰς ἀρετὰς φρονήσεις εἶναι. καὶ Σωκράτης τούτῳ τῷ λόγῳ στοιχῶν, πῇ μὲν ὀρθῶς εἶχε πῇ δὲ ἡμάρτανεν· ὅτι μὲν γὰρ φρονήσεις ᾤετο εἶναι τὰς ἀρετὰς ἁπάσας, ἡμάρτανεν, ὅτι δὲ οὐκ ἄνευ φρονήσεως, καλῶς ἔλεγε. σημεῖον δέ· καὶ γὰρ νῦν πάντες, ὅταν ὁρίζωνται τὴν ἀρετήν, εἰπόντες αὐτὴν ἕξιν καὶ περὶ τίνα καταγίνεται, προστιθέασι καὶ κατὰ τὸν ὀρθὸν λόγον· ὀρθὸς δὲ λόγος ὁ κατὰ τὴν φρόνησιν· φαίνεται ἄρα μὴ δύνασθαι εἶναι ἀρετὴν ἄνευ φρονήσεως. ἔτι δέ, οὐ μόνον κατὰ τὸν ὀρθὸν λόγον ἕξις ἡ ἀρετὴ λέγεται ἀλλὰ καὶ μετὰ τοῦ ὀρθοῦ λόγου· ὁ δὲ περὶ τῶν τοιούτων ὀρθὸς λόγος ἡ φρόνησίς ἐστιν. ὁ μὲν γὰρ Σωκράτης λόγους τὰς ἀρετὰς ᾤετο εἶναι (πάσας γὰρ ἐπιστήμας ἔλεγεν εἶναι), ἡμεῖς δὲ ἕξεις μετὰ λόγου. τὸ γὰρ κατὰ λόγον διαφέρει τοῦ μετὰ λόγου· κατὰ λόγον γάρ τις ποιεῖ τι καὶ ἑτέρου κινοῦντος ⟨καὶ τὸ τέλος σκοποῦντος⟩, ὥσπερ ἡ φύσις κατὰ λόγον ποιεῖ, μετὰ λόγου δέ, ὅταν αὐτὸς εἰδὼς πράττῃ καὶ τὸ τέλος σκοπῶν κατὰ λόγον ποιῇ. διὰ τοῦτο δεῖ προσκεῖσθαι τῷ κατὰ λόγον τὸ μετὰ λόγου· λόγος δέ ἐστιν ἡ φρόνησις καθὼς εἴρηται. δῆλον τοίνυν ἐκ τῶν εἰρημένων, ὅτι οὐχ οἷόν τε ἀγαθὸν εἶναι κυρίως τὴν ἕξιν ἄνευ φρονήσεως οὐδὲ φρόνησιν ἄνευ ἀρετῆς. | ἐντεῦθεν δὲ λύοιτ' ἂν καὶ εἴ 240 τις ἐκ τοῦ ἐναντίου λόγος εἰσάγοιτο. δοκεῖ γὰρ δυνατὸν εἶναι χωρίζεσθαι τὴν φρόνησιν τῆς ἠθικῆς ἀρετῆς· οὐ γὰρ ὁ αὐτὸς οὕτως εὐφυῶς ἔχει πρὸς ἁπάσας, ὥστε πάσας τὰς ἠθικὰς ἀρετὰς καὶ τὴν φρόνησιν ὁμοῦ λαβεῖν δυνηθῆναι· ὥστε τὴν μὲν λήψεται, τὴν δὲ οὔπω εἰληφὼς ἔσται. δοκεῖ ἄρα χωρίζεσθαι τὰς ἀρετάς. τοῦτο τοίνυν κατὰ μὲν τὰς φυσικὰς ἀρετὰς ἐνδέχεται, κατὰ δὲ τὰς ἠθικάς, καθ' ἃς ἁπλῶς ἀγαθὸς ὁ ἄνθρωπος λέγεται,

10 τῷ om. h 16 ἡ Mullach: ὁ Dh 29 καὶ τὸ τέλος σκοποῦντος h: om. D 33 ἀγαθὸν Dh: ἀγαθὴν Mullach 36 οὕτως h: οὗτος D 40 ἠθικάς h: φυσικάς D

οὐκ ἐνδέχεται. ἅμα γὰρ τῇ φρονήσει μιᾷ οὔσῃ πᾶσαι ὑπάρξουσιν. ἡ τοίνυν φρόνησίς ἐστι μὲν καὶ πρακτικὴ καὶ χρήσιμός ἐστι πρὸς τὰς πράξεις ἁπάσας τῶν ἄλλων ἀρετῶν. ἔστι δὲ καὶ καθ' ἑαυτὴν ζητητέα διὸ τὸ ἀρετὴ εἶναι τοῦ βελτίστου μορίου τῆς ψυχῆς, τοῦ λογικοῦ δηλονότι, καὶ τούτου μόνου χάριν χρεία ἂν ἦν αὐτῆς. οὐ γάρ τις ἁπλῶς γένοιτ' ⟨ἂν⟩ ἀγαθὸς κατὰ τὸ βέλτιστον ἑαυτοῦ μέρος φαύλως ἔχων· νῦν δὲ οὐκ ἔνι οὐδεμίαν ἀρετὴν ἄνευ τῆς φρονήσεως συστῆναι. οὐ γὰρ ἔστιν ὀρθὴν εἶναι τὴν προαίρεσιν ἄνευ φρονήσεως, ὥσπερ οὐδὲ ἄνευ ἀρετῆς, καθὼς εἴρηται· 20 ἡ μὲν γὰρ ἀρετὴ πρὸς τὸ τέλος κινεῖ τὸ ἀγαθόν, καὶ τούτου ἐφίεσθαι παρασκευάζει· ἡ δὲ φρόνησις τὰ πρὸς τὸ τέλος ποιεῖ πράττειν. ἀλλὰ μὴν οὐδὲ κυρία γέ ἐστι τῆς σοφίας, ὅτι διὰ τὴν φρόνησιν ἡ σοφία. τῷ γὰρ φρόνιμοι εἶναι ζητοῦμεν τὴν σοφίαν καὶ ἡ φρόνησις τὸ τέλος ζητεῖ τῆς σοφίας καὶ τὰ πρὸς τὴν σοφίαν φέροντα ζητεῖ· καὶ οὕτω γὰρ ἔχουσα οὐκ ἔστι τῆς σοφίας βελτίων· ἔστι γὰρ ἡ σοφία ἀρετὴ τοῦ βελτίονος μορίου τῆς ψυχῆς· ἡ μὲν γὰρ φρόνησις ἀρετή ἐστι τοῦ πρακτικοῦ νοῦ. ἡ 241 δὲ σοφία τοῦ θεωρητικοῦ. εἰ δὲ καὶ περὶ τῆς σοφίας ἡ φρόνησις σκοπεῖ, ἀλλ' οὐ χρῆται αὐτῇ πρὸς τὸ ἑαυτῆς τέλος, ὥσπερ αἱ ἀρχιτεκτονικαὶ ἔχουσι πρὸς τὰς ὑπ' αὐτὰς τέχνας, ἀλλὰ ζητεῖ ὅπως γένηται· καὶ οὐ διὰ τοῦτο κυρία αὐτῆς ἐστιν, ὥσπερ οὐδ' ἡ ἰατρικὴ κυρία ἐστὶ τῆς ὑγιείας· οὐ γὰρ αὐτῇ ἐπιτάττει ἀλλὰ αὐτῆς ἕνεκα. καὶ διὰ τοῦτο μᾶλλον βελτίων ἡ σοφία τῆς φρονήσεως, καθάπερ καὶ ἡ ὑγίεια τῆς ἰατρικῆς, ὅτι αὐτῆς ἕνεκα πράττει. εἰ δὲ ἐπιτάττει ἡ φρόνησις, ἀλλ' οὐ τῷ σοφῷ, ἀλλὰ τῷ 10 μήπω εἰς ταύτην ἐλθόντι τὴν ἀρετήν, τῷ δὲ ἐλθόντι οὐκέτι· οὐδὲ γὰρ ἡ πολιτική, διότι ἐπιτάττει περὶ πάντων τῶν ἐν τῇ πόλει, ἤδη καὶ τῶν θεῶν ἄρχει.

5 ἂν ins. Mullach post γάρ: om. Dh 24 τῶν prius om. h

Περὶ ἐγκρατείας. κεφ. α'.

Μετὰ τὰ εἰρημένα περὶ τῶν ἠθικῶν ἀρετῶν καὶ τῶν διανοητικῶν ῥητέον περὶ ἐγκρατείας καὶ τῆς ὑπὲρ ἡμᾶς ἀρετῆς, ἥτις ἡρωϊκή τίς ἐστι καὶ θεία. οὔτε γὰρ ἡ ἐγκράτεια ὁμογενής ἐστι ταῖς εἰρημέναις ἀρεταῖς οὔτε ἡ ὑπὲρ ἄνθρωπον ἀρετή· διὰ τοῦτο μετὰ τὰ περὶ τῶν ἀρετῶν εἰρημένα περὶ τούτων ἰδίως λέγομεν, ἄλλην ποιησάμενοι ἀρχήν. ὅτι δὲ οὐδετέρα αὐτῶν ὁμοταγής ἐστι ταῖς προειρημέναις, δῆλον ἔσται ἀπὸ τῶν περὶ αὐτῶν ῥηθησομένων· τῶν δὴ ψόγου ἀξίων καὶ φευκτῶν τρία ἐστὶν εἴδη, κακία ἀκρασία θηριότης. τὰ δὲ ἐναντία τούτοις τῇ μὲν κακίᾳ ἡ ἀρετὴ ἡ ἠθική, περὶ ἧς διείληπται, τῇ δὲ ἀκρασίᾳ ἡ ἐγκράτεια, τῇ δὲ θηριότητι ἡ ὑπὲρ ἄνθρωπον ἀρετή. ⟨ἣ⟩ ἡρωϊκὴ καλεῖται, καθ' ἣν ἄνθρωποι γίνεσθαι λέγονται θεῖοί τινες ἐξ ἀνθρώπων, ὥσπερ καὶ Ὅμηρος εἰσάγει τὸν Πρίαμον περὶ τοῦ παιδὸς Ἕκτορος λέγοντα

οὐ γὰρ ἐῴκει
ἀνδρός ⟨γε⟩ θνητοῦ πάϊς ἔμμεναι, ἀλλὰ θεοῖο

δι' ἀρετῆς ὑπερβολήν. | αὕτη ἡ ἕξις ἐστὶν ἡ ἀντικειμένη τῇ θηριωδίᾳ· 243
ὥσπερ γὰρ ἡ θηριωδία οὐκ ἔστι κακία, οἵα ἐστὶν ἡ ἀντικειμένη ταῖς ἀρεταῖς (οὐ γάρ ἐστιν ἀνθρωπίνη κακία, ὅλως δὲ οὐδὲ κακία. οὐ γάρ ἐστι θηρίου κακία ἢ ἀρετὴ διὰ τὸ μὴ μετὰ λόγου ποιεῖν ἢ παρὰ τὸν λόγον), οὕτως οὐδὲ ἡ θεία ἀρετὴ καὶ ἡρωϊκὴ ἀρετὴ ἂν εἴη κυρίως. τὸ γὰρ ἀνθρώπινον ἀγαθὸν ἀρετὴ λέγεται· τὸ δὲ θεῖον τί ἐστιν; οὐκ ἔστι δὲ θεοῦ ἀρετή, ἀλλά τι τιμιώτερον ἀρετῆς τὸ θεῖόν ἐστιν ἀγαθόν· καὶ ὥσπερ σπάνιόν ἐστιν ἡ τοιαύτη ἕξις, οὕτω καὶ ἡ ἀντικειμένη θηριωδία σπάνιον. ἔστι δὲ μάλιστα ἐν τοῖς βαρβάροις. γίνεται δὲ ἡ τοιαύτη θηριωδία οὐ μόνον διὰ πονηροτάτην ἕξιν ἀλλὰ καὶ διὰ νόσους καὶ πηρώσεις. περὶ μὲν οὖν

1 inscriptionem libri finxi: ἀριστοτέλους ἠθικῶν νικομαχείων η̄ D: ἀρ. ἠθ. βιβλίον η h 3 τῶν alterum om. h 6 ἀρετή h: αὕτη D 7 λέγομεν D: λέγωμεν h 12 ἣ h: om. D 13 Ὅμηρος] Il. Ω 258 15 οὐ γὰρ D et Arist. Mb: οὐδὲ γὰρ Arist. LbOb: οὐδὲ Arist. vulg. 16 γε h: om. D

τῆς τοιαύτης διαθέσεως ὕστερον ποιησόμεθα λόγον. περὶ δὲ τῆς κακίας εἴρηται πρότερον, ὅτε περὶ ἀρετῶν ἐλέγομεν τῶν ἠθικῶν. νῦν δὲ περὶ τῆς ἀκρασίας ἐροῦμεν καὶ περὶ τῆς μαλακίας καὶ τῆς τρυφῆς καὶ τῶν ἀντικειμένων, ἐγκρατείας καὶ καρτερίας. οὔτε γὰρ τῇ εἰρημένῃ κακίᾳ καὶ ἀρετῇ αἱ αὐταί εἰσιν οὔτε πάντῃ διάφοροι, ὡς ἑτερογενεῖς εἶναι. καθόσον μὲν γὰρ τὸ ἀγαθὸν αἱρεῖται ὁ ἐγκρατὴς καὶ τῷ λόγῳ ἀκολουθεῖ, ἀρετῇ προσήκει ἡ ἐγκράτεια, καθόσον δὲ ἐναντιοῦται αὐτῷ ἡ ἐπιθυμία καὶ ἐν ἀγῶνί ἐστιν ἀεὶ διὰ τὸ μὴ ἔχειν ἕξιν, κατὰ τοῦτο οὐκ ἔστιν ἀρετή. ἀκολούθως δὲ οὐδὲ ἡ ἀκρασία κακία ἐστὶ κατὰ τὴν κακίαν τὴν ἀντικειμένην ταῖς ἠθικαῖς ἀρεταῖς. ὁ μὲν γὰρ τὴν ἄλλην κακίαν φαῦλος, ἕξιν ἔχων τῆς φαυλότητος, πράττει τὰ φαῦλα, μὴ ἀντιτείνοντος αὐτῷ τοῦ λογισμοῦ, ὁ δὲ ἀκρατής, τοῦ λογισμοῦ πρὸς τὸ ἀγαθὸν ἕλκοντος, ὑπὸ τῶν ἐπιθυμιῶν κρατεῖται 244 καὶ διὰ τοῦτο οὐκ ἔστιν ὁμοειδὴς τῇ κακίᾳ ἡ ἀκρασία· ὅτι δὲ παρὰ τὸν λόγον καὶ αὐτή ἐστι καὶ ἑκούσιον, κατὰ τοῦτο αὐτῇ κοινωνεῖ. λέγωμεν δὴ περὶ αὐτῶν κατὰ τὸν τρόπον, καθ' ὃν καὶ περὶ τῶν ἄλλων εἴπομεν· ἐκθησόμεθα γὰρ τοὺς δοκοῦντας περὶ αὐτῶν λόγους, ὧν τοὺς μὴ συμβαίνοντας τῇ ἀληθείᾳ ἐλέγξαντες, τοὺς μάλιστα ἐνδόξους καταλείψαντες βεβαιώσομεν· καὶ οὕτως ἔσται φανερὸς ὁ περὶ αὐτῶν λόγος. δοκεῖ δὴ πᾶσιν ἡ ἐγκράτεια ἀγαθὸν καὶ ἡ καρτερία τῶν σπουδαίων καὶ τῶν ἐπαινετῶν εἶναι, ἡ δὲ ἀκρασία τοὐναντίον. φασὶ δὲ περὶ τῆς ἐγκρατείας καὶ ταῦτα· πρῶτον μέν, ὅτι ὁ ἐγκρατὴς ὁ αὐτός ἐστι τῷ ἐμμενετικῷ ἔν τινι λογισμῷ καὶ ἀκινήτῳ καὶ ἐγκράτεια τὸ ἐμμένειν τῷ λογισμῷ, ἀκρασία δὲ καὶ ἀκρατὴς τοὐναντίον· δεύτερον, ὅτι εἰδὼς ὁ ἐγκρατὴς ὅτι φαῦλαι αἱ ἐπιθυμίαι, ἀφίσταται τούτων καὶ ἀκολουθεῖ τῷ λόγῳ, ὁ δὲ ἀκρατής, εἰδὼς ὅτι φαῦλα πράττει, διὰ τὴν ἡδονὴν οὐ πείθεται τῷ λόγῳ· τρίτον, ὅτι καὶ ὁ σώφρων ἐγκρατής ἐστι καὶ καρτερικὸς καὶ ὁ ἀκόλαστος τοὐναντίον· τέταρτον, ὅτι καὶ πᾶς ἐγκρατὴς σώφρων (ἔνιοι δὲ οὐ πάντα φασὶν ὁμοίως καὶ τὸν ἀκρατῆ πάντα ἀκόλαστον καὶ τὸν ἀκόλαστον ἀκρατῆ εἶναί φασιν· ἄλλοι δὲ διαφέρειν ἀλλήλων)· πέμπτον, ὅτι ἐνδέχεται φρόνιμον καὶ δεινὸν ὄντα καὶ ἀκρατῆ εἶναι· ἕκτον, ὅτι λέγονται ἀκρατεῖς οἱ πρὸς θυμὸν ἐπιρρεπεῖς καὶ οἱ σφόδρα τιμῆς καὶ κέρδους ὀρεγόμενοι. ταῦτα μὲν οὖν εἰσι πάντα σχεδὸν τὰ λεγόμενα περὶ ἐγκρατείας καὶ ἀκρασίας· ὧν περὶ ἑκάστου σκεψώμεθα· καὶ πρῶτον περὶ τοῦ πρώτου.

Ὅτι οὐκ ἔστιν ἐγκράτεια τὸ ἁπλῶς ἐμμένειν τοῖς δεδογμένοις. 245
κεφ. β'.

Εἰ τοῦτό ἐστιν ἡ ἐγκράτεια, τὸ ἐμμένειν πάσῃ δόξῃ, ἔσται καὶ φαύλη ἐγκράτεια, ὅταν ἐμμένῃ τις ψευδεῖ δόξῃ· ἀλλὰ μὴν ὑπόκειται ἐπαινετὸν καὶ ἀγαθὸν εἶναι αὐτήν· οὐκ ἄρα τὸ ἐμμένειν ἁπλῶς τῇ παρούσῃ δόξῃ ἐγκράτειά ἐστιν. ὁμοίως δὲ καὶ ἡ ἀκρασία οὐ πᾶσα φαύλη ἔσται καὶ

2 ὅτε Mullach: ὅτι Dh 5 πάντα h 14 κατὰ om. h 27 οὐ πάντα φασὶν om. h 29 καὶ om. h 36 ἡ om. h

φευκτὴ ἀλλὰ καὶ ἀγαθή, ὅταν μὴ ἐμμένῃ τις τῇ ψευδεῖ δόξῃ, ὥσπερ ὁ 10
Νεοπτόλεμος πεισθεὶς ὑπὸ τοῦ Ὀδυσσέως ψεύσασθαι, καὶ μὴ ἐμμείνας τῇ δόξῃ ἀλλὰ ἀληθεύσας· ἢ εἴ τις ἀπατηθεὶς ὑπὸ τοῦ προσδιαλεγομένου καὶ δοξάσας ψευδῆ οὐκ ἐμμένει τοῖς δεδογμένοις· οὐ γὰρ ψέγεται ὁ τοιοῦτος· ὁ δὲ ἀκρατὴς ψέγεται· οὐκ ἄρα ὁ ἐμμενετικὸς τῇ δόξῃ ἐγκρατής ἐστιν οὐδὲ ὁ τῆς δόξης ἐκστατικὸς ἀκρατής· ὅλως δὲ ἀκρασία μετὰ ἀφροσύνης συμβαίνει ἀρετὴ εἶναι, εἰ τοῦτό ἐστιν ἀκρασία τὸ ἐξίστασθαι τῆς δόξης καὶ μὴ ἐμμένειν τοῖς δοκοῦσιν ἀγαθοῖς· εἰ γάρ τις ὑπὸ ἀφροσύνης νομίζει τὴν 20
ἀκολασίαν ἀγαθόν, μὴ ἐμμένει δὲ τοῖς δεδογμένοις, ἔσται σώφρων· καὶ οὕτως ἔσται ὁ ἀκρατὴς σπουδαῖος, ὅπερ ἐστὶ ψεῦδος· ψεκτὸν γὰρ δοκεῖ πᾶσιν ἡ ἀκρασία. ἔτι ὁ δυνάμενος ἐκστῆναι τῆς δόξης τοῦ μὴ δυναμένου βελτίων ἐστὶ πολλάκις· ὁ δὲ ἀκρατὴς τοῦ ἐγκρατοῦς οὐκ ἔστι βελτίων· οὐκ ἄρα ὁ ἐμμενετικὸς τῇ δόξῃ ἐγκρατής, οὐδὲ ὁ ἐκστατικὸς ἀκρατής. ὅτι δὲ ὁ δυνάμενος ἐκστῆναι τῆς δόξης βελτίων τοῦ μὴ δυναμένου, δῆλον· ὁ γὰρ τῷ ἠπατῆσθαι τὰ φαῦλα | διώκων, ὅτι νομίζει ἀγαθὰ εἶναι, βελτίων ἐστὶ 246
τοῦ εἰδότος ὅτι φαῦλα καὶ διώκοντος· ὁ μὲν γὰρ ἠπατημένος μεταπεισθεὶς δύναται ἀγαθὸς γενέσθαι, ὁ δὲ δι' ἀκρασίαν διώκων καὶ εἰδὼς ὅτι φαῦλα, οὐ δύναται ἐκστῆναι τῶν κακῶν· πῶς γὰρ ἂν ἐκσταίη, ἐπεὶ οὐ δύναται μεταπεισθῆναι; ὃ γὰρ ἔδει γινώσκειν, οἶδε, καὶ εἰδὼς ἀκρατεύεται, καὶ ἔνοχός ἐστι τῇ παροιμίᾳ "ὅταν τὸ ὕδωρ πνίγῃ, τί δεῖ ἐπιπίνειν;" φανερὸν δὴ ὅτι τὸ ἐμμένειν τῇ παρούσῃ δόξῃ οὐκ ἔστιν ἐγκράτεια οὐδὲ τὸ ἐξίστασθαι ἀκρασία.

Περὶ τῆς γνώσεως τοῦ ἀκρατοῦς, ᾗ γινώσκων οὐκ ἐμμένει. 10
κεφ. γ'.

Ζητητέον δὴ περὶ τοῦ δευτέρου· ἀπορία γάρ ἐστι, πῶς ὑπολαμβάνων ὀρθῶς περὶ ὧν πράττει τις ἔπειτα ἀκρατεύεται. καί φασί τινες, ὅτι οὐ γινώσκει ὁ ἀκρατὴς ἃ πράττει φαῦλα εἶναι, οὐδ' ἔχει ἐπιστήμην αὐτῶν, ὥσπερ ὁ Σωκράτης ἔλεγεν, οὐ δυνατὸν ἐπιστήμης ἐνούσης ἄλλο τι κρατεῖν καὶ περιέλκειν ὥσπερ ἀνδράποδον. οὗτος δὲ ὁ λόγος ἐναντίος ἐστὶ τοῖς φανεροῖς· ὅτι γάρ ἐστιν ἀκρατής, καὶ τοῦτό ἐστιν ἀκρατής, ὁ πρὸς τἀναντία ὧν οἶδεν ἀγαθῶν φερόμενος, φανερόν. διὸ ζητητέον, εἰ δι' ἄγνοιαν πράττει 20
πᾶς ὁ πράττων τὸ πονηρόν. τίς ὁ τρόπος γίνεται τῆς ἀγνοίας· ἄλλοι δὲ οἴονται εἰδέναι μὲν ἃ πράττει τὸν ἀκρατῆ, ἐπιστήμην δὲ οὐκ ἔχειν αὐτῶν ἀλλὰ δόξαν· οὐ γὰρ δυνατὸν ἐπιστήμην ἔχοντα κρατεῖσθαι ὑπὸ τῶν ἡδονῶν· οὐδὲν γὰρ εἶναι τῆς ἐπιστήμης ἐπικρατέστερον· διὰ τοῦτο τὴν τοῦ ἀκρατοῦς γνῶσιν δόξαν εἶναί φασιν. ἀλλὰ μὴν εἴ γε δόξα ἐστὶ καὶ μὴ ἐπιστήμη, οὐδ' ἰσχυρὰ γνῶσις τοῦ πράγματος ἐν τῷ ἀκρατεῖ ἀλλ' 247
ἀσθενής τις καὶ ἠρεμαία καθάπερ ἐν τοῖς διστάζουσι, συγγνώμη ἂν

8 νομίζει corr. in νομίζοι D: νομίζῃ h 9 ἐμμένει scripsi: ἐμμείνῃ Dh 19 ἀκρατεύεται h: ἐγκρατεύεται D 32 καὶ τίς h

εἴη τοῖς ἀκρατέσι, μὴ ἐμμένουσι τοῖς οὕτω γινωσκομένοις, βιαίων ἀνθελκουσῶν ἐπιθυμιῶν· οὐκ ἄρα μοχθηρὸν ἡ ἀκρασία· οὐδενὶ γὰρ συγγνώμη τῶν μοχθηρῶν καὶ ψεκτῶν καὶ φευκτῶν· τοιοῦτον δὲ ἡ ἀκρασία. ἐπεὶ δὲ οὔτε δόξα ἐστὶν ἡ γνῶσις τοῦ ἀκρατοῦς οὔτε ἐπιστήμη, δοκεῖ φρόνησιν εἶναι· αὕτη γὰρ λείπεται καὶ ἔστιν ἰσχυρὰ γνῶσις· καὶ τοῦτο δὲ ἄτοπον· ἔσται γὰρ ἅμα καὶ φρόνιμος καὶ ἀκρατής. οὐδεὶς δ' ἂν εἴποι φρονίμου εἶναι τὸ πράττειν τὰ φαῦλα ἑκόντα· ἐπεὶ καὶ δέδεικται ἐν τοῖς ἔμπροσθεν, ὅτι πρακτικός γε ὁ φρόνιμος καὶ περὶ αὐτάς ἐστι τὰς πράξεις τὰς μερικὰς καὶ τὰς ἄλλας ἀρετὰς ἑπομένας ἔχων ἐξ ἀνάγκης· οὐκ ἄρα φρονήσει γινώσκει ὁ ἀκρατής. κατὰ μὲν οὖν τοὺς εἰρημένους τρόπους γινώσκειν τὸν ἀκρατῆ δέδεικται μὴ δυνατὸν εἶναι· ζητητέον ἄρα τὸν τρόπον, ὃ μετὰ μικρὸν ἀκριβέστερον ἐπισκεψόμεθα.

Ὅτι οὐκ ἔστιν ὁ ἐγκρατὴς σώφρων οὔτε ὁ σώφρων ἐγκρατής. κεφ. δ'.

Νῦν δὲ σκοπῶμεν περὶ τοῦ τρίτου, εἰ δυνατὸν τὸν σώφρονα ἐγκρατῆ εἶναι καὶ ἔτι περὶ τοῦ τετάρτου, εἰ πᾶς ἐγκρατὴς σώφρων. φανερὸν δὲ ἔσται λαβοῦσι τὸν ὁρισμὸν τοῦ ἐγκρατοῦς· ἔστι δὴ ἐγκρατὴς ὁ ἀνθιστάμενος πρὸς ἰσχυρὰς καὶ φαύλας ἐπιθυμίας· ⟨ἔχει ἄρα ὁ ἐγκρατὴς ἰσχυρὰς καὶ φαύλας ἐπιθυμίας·⟩ εἰ δὴ ὁ σώφρων ἔσται ἐγκρατής, ἕξει φαύλας ἐπιθυμίας καὶ ἰσχυράς· ὅπερ ἐναντίον ἐστὶ τῷ λόγῳ τῆς σωφροσύνης. ἐν γὰρ τῷ ἕπεσθαι τὰς ἐπιθυμίας τῷ λόγῳ ἡ σωφροσύνη οὐ συνίσταται· ἄλλως 248 τε ὁ μὲν σώφρων ἥδεται οἷς πράττει (ἄλλως γὰρ οὐκ ἂν ἦν σώφρων), ὁ δὲ ἐγκρατὴς ἐν ἀγῶνι ὢν καὶ μάχῃ πρὸς τὰς ἐπιθυμίας οὐχ ἥδεται· ἡ γὰρ ἡδονὴ ἐν τῇ ἠρεμίᾳ ἐστίν. ἔτι τὸν ἔχοντα ἕξιν ἀνδρείας ἐπιόντα ἐξαίφνης τὰ φοβερά, καὶ πρὶν τῷ λόγῳ κατ' αὐτῶν χρήσασθαι, οὐ ταράττει· ὁμοίως δὴ καὶ τὸν ἔχοντα ἕξιν σωφροσύνης οὐ κινήσει τὰ ἡδέα, καὶ πρὶν περὶ αὐτῶν σκέψασθαι καὶ τὸν λόγον ἀντιστῆσαι. ὁ δὲ ἐγκρατὴς οὐ τοιοῦτος· ἐν γὰρ τῷ χρῆσθαι τῷ λόγῳ κατ' αὐτῶν καὶ ἀνθίστασθαι πρὸς αὐτὰς ἡ ἐγκράτεια συνίστασθαι λέγεται. εἰ μὲν γὰρ χρησταὶ αἱ ἐπιθυμίαι τοῦ ἐγκρατοῦς, φαύλη ἡ ἐγκράτεια, κωλύουσα αὐταῖς χρῆσθαι, εἰ δὲ ἀσθενεῖς καὶ οὐ φαῦλαι, οὐδὲν σεμνὸν ἡ ἐγκράτεια· νῦν δὲ τοιαύτη δοκεῖ· εἰ δὲ φαῦλαι καὶ ἀσθενεῖς, οὐδὲν μέγα τὸ τοιούτων κρατεῖν, ὥστε οὐ μέγα ἡ ἐγκράτεια· λείπεται δὴ φαύλας εἶναι τὰς ἐπιθυμίας τοῦ ἐγκρατοῦς καὶ ἰσχυράς. καὶ διὰ τοῦτο οὔτε ὁ σώφρων ἐγκρατὴς ἂν εἴη οὔτε ὁ ἐγκρατὴς σώφρων.

Ὅτι οὐκ ἔστιν ὁ φρόνιμος ἀκρατής. κεφ. ε'.

Ἐκ τῶν εἰρημένων δὲ φανερόν, καὶ ὅτι οὐ δύναται ὁ φρόνιμος ἀκρα-

4 φρόνησιν D: φρόνησις h 10 ὁ om. h 12 ἐπισκεψώμεθα h 16 πᾶς D: πως h 18. 19 ἔχει—ἐπιθυμίας h: om. D 26 καὶ prius om. h 28 χρήσασθαι h

τῆς εἶναι. ἐπεὶ γὰρ τῇ φρονήσει ἕπεται καὶ ἡ σωφροσύνη, ὅτι καὶ πᾶσα ἠθικὴ ἀρετή, ὁ δὲ σώφρων οὐ δύναται ἐγκρατὴς εἶναι, πολλῷ μᾶλλον οὐδὲ ἀκρατής ἐστιν· εἰ δὲ τοῦτο, οὐδὲ ὁ φρόνιμος ἀκρατὴς ἂν εἴη.

Ὅπως ζητῆσαι ⟨δεῖ⟩ τὸ περὶ ἐγκρατείας ζήτημα. κεφ. ϛ΄. 249

Ζητητέον δὲ καὶ περὶ τοῦ ἕκτου, εἰ περὶ πλοῦτον καὶ δόξαν καὶ ἁπλῶς πᾶν ἐπιθυμητὸν ἡ ἀκρασία ἐστὶ καὶ ἡ ἐγκράτεια. καὶ εἰ τοῦτο, καὶ ὁ περὶ ἕκαστον τούτων ἐπιρρεπῶς ἔχων ἀκρατής ἐστι. ζητητέον τίς ὁ ἁπλῶς ἀκρατής. οὐ γὰρ ὁ περὶ πάντα ἔχων οὕτως, ἐστίν· οὐδεὶς γὰρ ἁπάσας ἔχει τὰς ἀκρασίας. ὥστε ζητῶμεν τὸν κυρίως ἀκρατῆ. τὰ μὲν οὖν ζητήματα τὰ περὶ τῆς ἐγκρατείας καὶ αἱ ἀπορίαι τοιαῦται συμβαίνουσι· τούτων δὲ τὰ μὲν ἀνελεῖν δεῖ, τὰ δὲ καταλιπεῖν· ἡ γὰρ λύσις τῆς ἀπορίας εὕρεσίς ἐστι τοῦ ζητουμένου. πρῶτον μὲν οὖν σκεπτέον, πότερον εἰδότες ἀκρατεύονται οἱ ἀκρατεῖς ἢ οὔ, καὶ πῶς εἰδότες· ἔπειτα περὶ ποῖά ἐστιν ὁ ἐγκρατὴς καὶ ὁ ἀκρατής, λέγω δὲ περὶ πᾶσαν ἡδονὴν καὶ λύπην, ἢ περί τινας ἀφωρισμένως· καὶ τὸν ἐγκρατῆ καὶ τὸν καρτερικὸν εἰ διαφέρουσι, καὶ ὅσα ἀκόλουθα τούτοις τοῖς ζητήμασίν εἰσιν. ὧν ἀρχή ἐστι τὸ ζητῆσαι περὶ τοῦ ἐγκρατοῦς καὶ ἀκρατοῦς, κατὰ τί διαφέρουσι· κατὰ τὰ ὑποκείμενα, περὶ ἅ εἰσιν, ἢ κατὰ τὸν τρόπον, καθ' ὃν πρὸς αὐτὰ ἔχουσιν, ἢ κατ' ἀμφότερα. μετὰ δὲ τοῦτο σκεπτέον, εἰ περὶ ἅπαντα τὰ ἡδέα ἐστὶν ἡ ἀκρασία καὶ ἡ ἐγκράτεια ἢ οὔ. οὔτε γὰρ περὶ ἅπαντά ἐστιν ἡ ἀκρασία καὶ ἡ ἐγκράτεια καὶ ὁ ἁπλῶς ἀκρατής, ἀλλὰ περὶ ἃ ὁ ἀκόλαστος, οὔτε ὁμοίως τῷ ἀκολάστῳ ἔχει πρὸς αὐτά, ἀλλὰ ἕτερον τρόπον· ὁ μὲν γὰρ ἀκόλαστος διεφθαρμένως κρίνων καὶ νομίσας ἤδη ἀγαθὸν τὸ διώκειν ἀεὶ τὸ ἡδὺ πρὸς αὐτὸ φέρεται, ὁ δὲ ἀκρατής, τοῦ λόγου ἀντιλέγοντος τῇ ἐπιθυμίᾳ, αὐτὸς ἀκολουθεῖ. |

Τίνα τρόπον γινώσκει ὁ ἀκρατής. κεφ. ζ΄. 250

Τὸ μὲν οὖν δόξαν εἶναι τὴν γνῶσιν τῶν ἀκρατῶν, ᾗ ἀντιπράττουσι, καὶ μὴ ἐπιστήμην, οὐδὲν διαφέρει πρὸς τὸν λόγον· τοῦτο γὰρ ζητοῦμεν, εἰ βεβαία ἐστὶν αὐτῷ ἢ ἀμφίβολος ἡ γνῶσις τοῦ ἀγαθοῦ. συμβαίνει δὲ πολλάκις τὴν δόξαν οὕτω βεβαίως ἐγκεῖσθαι, ὥστε μὴ διαφέρειν ἐπιστήμης κατὰ τὸ ἀντιβαίνειν ταῖς ἐπιθυμίαις. καὶ ἔνιοι οὕτω πιστεύουσιν οἷς δοξάζουσιν, ὥσπερ οἱ ἐπιστήμονες τοῖς διὰ τῆς ἐπιστήμης γινωσκομένοις· ὥσπερ ὁ Ἡράκλειτος ἃ ἐδόξαζεν ᾤετο ἐπίστασθαι ἀκριβῶς, οἷον, ὅτι οὐκ ἔστι κίνησις καὶ τἆλλα ὅσα ἐτίθει. τῇ γοῦν τοιαύτῃ δόξῃ τοῦ ἀγαθοῦ ὁ ἀντιπράττων οὐδὲν διαφέρει τοῦ ἔχοντος τὴν ἐπιστήμην τοῦ ἀγαθοῦ καὶ πρὸς τὸ ἡδὺ φερομένου· ὁμοίως γάρ εἰσι μοχθηροί, καθόσον ὁμοίως ἰσχυρῷ λογισμῷ ἑκάτερος πολεμεῖ. ὥστε, ὃ ἐν τοῖς προειρημένοις ἠπορήθη, πῶς

4 δεῖ h: om. D   8 οὕτως h: οὗτός D   17 εἰσιν D: ἐστιν h   ἀρχή D: ἡ ἀρχή h

δυνατὸν τὸν εἰδότα τὸ ἀγαθὸν αἱρεῖσθαι τὸ κακόν. οὐχ οὕτω δύναται λυθῆναι. ζητητέον δὴ πῶς ἑτέρως λυθήσεται. λέγωμεν τοίνυν ὅτι τὸ ἐπίστασθαι καὶ κατὰ ἐπιστήμην γινώσκειν διττόν ἐστι. λέγεται γὰρ ἐπίστασθαι καὶ ὁ ἔχων τὴν ἐπιστήμην καὶ χρώμενος αὐτῇ, ὥσπερ εἴ τις γεωμέτρης ὢν καὶ γεωμετρεῖ λέγεται ἐπίστασθαι καὶ ὁ ἔχων μὲν τὴν ἐπιστήμην μὴ χρώμενος δὲ αὐτῇ, ὥσπερ γεωμέτρης λογοποιῶν ἢ ἄλλο τι πράττων, οὐ γεωμετρῶν· ὥσπερ οὖν ἐπὶ τοῦ γεωμέτρου θαυμαστὸν μέν ἐστιν, εἰ γεωμετρῶν ψευδῆ συναγάγοι, θαυμαστὸν δὲ οὐδέν, εἰ λογοποιῶν οὐ συνορᾷ, εἴ τις παρὰ τὴν γεωμετρίαν τὰ σχήματα θεωροίη, τὸν ἴσον τρόπον καὶ ἐπὶ τοῦ ἀκρατοῦς ἔχει. εἰ μὲν γὰρ ἐπιστάμενος ὁ ἀκρατὴς 251 καὶ χρώμενος τῇ ἐπιστήμῃ καὶ κατ' αὐτὴν θεωρῶν ἐπὶ τἀναντία ὧν ἐπίσταται φέρεται, θαυμαστόν, εἰ δὲ μὴ χρώμενος, κἂν ἐπιστήμην ἔχῃ, οὐ δεῖ θαυμάζειν. ἔτι καὶ ὅταν τις ἔχων τὴν ἐπιστήμην καὶ χρώμενος, ἂν μὴ τελείως χρῆται, οὐδὲν θαυμαστόν, εἰ μοχθηρός ἐστιν. ἐπεὶ γὰρ δυσὶ τρόποις προτάσεων ἀποδεικνὺς ἐπίσταται ὁ ἐπιστάμενος, καθόλου καὶ μερικῷ, ἐὰν ἀμφοτέρας ἔχων θατέρᾳ μὴ χρῆται, λέγω τῇ καθόλου, τῇ δὲ μερικῇ οὐ χρῆται, θαυμαστὸν οὐδὲν εἰ μοχθηρός ἐστιν, οἷον ἐπίσταταί τις, ὅτι τόδε πονηρόν, τὸ δὲ πονηρὸν οὐ δεῖ πράττειν, τόδε ἄρα οὐ δεῖ πράττειν. καὶ ἀμφοτέρων οὐσῶν ἐν τῇ ψυχῇ τῶν προτάσεων, ἐπειδὰν ἐπιθυμία τις ἐπί τι κινῇ πονηρόν, συμβαίνει τῇ μὲν καθόλου χρῆσθαι, ὅτι τὸ κακὸν οὐ δεῖ πράττειν καὶ θεωρεῖν κατ' αὐτὴν τηνικαῦτα, τὴν δὲ μερικήν, ὅτι τόδε κακόν, ἔχειν μέν, οὐ χρῆσθαι δέ, οὐδὲ συνορᾶν ἐνεργείᾳ καὶ διὰ τοῦτο πρὸς τὴν μοχθηρίαν χωρεῖν, ὥσπερ ἀποτυφλωθέντα, τοῦτο δὲ οὐδὲν θαυμαστόν. εἰ γὰρ καὶ χρῆται τῇ καθόλου προτάσει, ἀλλὰ πράττειν οὐ δύναται κατὰ τὴν ἐπιστήμην μὴ χρώμενος καὶ τῇ μερικῇ· αὕτη γάρ ἐστιν ἡ κυρία τῶν πράξεων. ἢν γάρ τις εἰδῇ, ὅτι τοῖς ξηροῖς χρηστέον, μὴ εἰδῇ δὲ ὅτι τάδε ξηρά, οὐδὲν μᾶλλον χρήσεται τοῖς ξηροῖς· οὕτω δὴ καὶ ἐπὶ τούτων ἔχει· ἄν τις τῇ καθόλου χρῆται καὶ θεωρῇ, τῇ μερικῇ δὲ οὐ χρῆται, οὐδὲν τῆς ἐπιστήμης ἀπώνατο. αἱ μερικαὶ δὲ διαφέρουσι· τὰς μὲν γὰρ ἀνάγκη πᾶσα εἰδέναι, τῶν καθόλου γινωσκομένων, τὰς δὲ οὔ. ὅταν γὰρ τὸ καθόλου οὕτως ἔχῃ, ὥστε περιέχειν αὐτὸν τὸν συλλογιζόμενον ἢ τὸν ὁμοειδῆ, τῇ καθόλου γινώσκεται καὶ ἡ μερική, οἷον πᾶσιν 252 ἀνθρώποις βλαβερὸν ὁ ἐλλέβορος, αὐτὸς δὲ ἄνθρωπος, αὐτῷ ἄρα βλαβερὸν ὁ ἐλλέβορος. ἐνταῦθα τῇ καθόλου καὶ ἡ μερικὴ συγγινώσκεται· οὐ γὰρ ἑαυτὸν δύναται ἀγνοεῖν ὅτι ἐστὶν ἄνθρωπος· ὁμοίως δὲ κἂν τοὺς ὁμοειδεῖς περιέχῃ· οὐδὲ γὰρ οὐδὲ αὐτοὺς ἀγνοεῖν δυνατόν. ὅταν δὲ ἡ καθόλου πρᾶγμά τι περιέχῃ, τότε οὐκ ἀνάγκη, τῆς καθόλου γινωσκομένης, καὶ τὴν μερικὴν γινώσκεσθαι, οἷον πᾶς ἐλλέβορος βλαβερόν, τόδε ἐλλέβορος, τόδε ἄρα βλαβερόν· ἐνταῦθα οὐκ ἀνάγκη γινώσκεσθαι τὴν μερικήν, τῆς καθόλου γινωσκομένης. τὴν τοιαύτην οὖν μερικὴν ὁ ἀκρατὴς ἢ οὐκ ἔχει ἢ ἔχων οὐ χρῆται. τὸ δὲ χρῆσθαι καὶ μὴ χρῆσθαι τοσούτῳ διαφέρει ἀλλήλων.

7 πράττων om. h   16 ἀμφοτέρας ἔχων θατέρᾳ D: ἀμφοτέροις h   34 γινώσκεται D: συγγινώσκεται h

ὥστε τὸν μὲν χρώμενον τῇ ἐπιστήμῃ καὶ ἁμαρτάνοντα ἄτοπόν τινα ἡγούμεθα καὶ θαυμάζομεν εἰ ἔστι τις οὕτως ἔχων, τὸν δὲ μὴ χρώμενον καὶ ἁμαρτάνοντα, οὐδαμῶς. ἔτι οὐ τούτῳ μόνῳ διαφέρουσιν οἱ ἐπιστάμενοι, τῷ τοὺς μὲν ἔχειν καὶ χρῆσθαι, τοὺς δὲ ἔχειν μέν, οὐ χρῆσθαι δέ, ἀλλὰ καὶ κατ' αὐτὸ τὸ ἔχειν διαφέρουσιν· οὐ γὰρ ὁμοίως ἔχουσι τὰς ἐπιστήμας οἱ ἐπιστάμενοι· ἔστι γὰρ ἔχοντά τινα ἐπιστήμην μὴ ἔχειν, οἷον τὸν καθεύδοντα καὶ μαινόμενον καὶ οἰνωμένον. κατὰ τοῦτον δὲ τὸν τρόπον ἔχουσι τὴν ἐπιστήμην καὶ οἱ ἐν τοῖς πάθεσιν ὄντες· μεθύουσι γὰρ ὑπὸ τῆς ἐπιθυμίας καὶ μαίνονται ὑπὸ τοῦ θυμοῦ· καὶ ὥσπερ ἐπὶ τῶν μαινομένων καὶ οἰνωμένων καὶ αὐτῶν τὰ σώματα ἀλλοιοῦνται καὶ μεθίστανται φανερῶς ὑπὸ τῶν τοιούτων παθῶν· καὶ γὰρ χρῶμα καὶ βλέμμα, ἔνιοι δὲ καὶ καθαρῶς μαίνονται. φανερὸν οὖν, ὅτι ἡ ἐπιστήμη τῶν ἀκρατῶν ὁμοίως ἔχει τῇ τῶν μεθυόντων καὶ μαινομένων. εἰ δὲ καὶ λέγουσι λόγους τῆς ἐπι- 253
στήμης, οὐ παρὰ τοῦτο φαίνονται μὴ ὁμοίως ἔχειν τοῖς εἰρημένοις· καὶ γὰρ καὶ οἱ μεθύοντες ἀποδείξεις καὶ ἔπη λέγουσιν Ἐμπεδοκλέους· ὥσπερ καὶ οἱ ἄρτι μανθάνοντες παῖδες συνείρουσι μὲν τοὺς λόγους, ἴσασι δὲ οὔπω πρὶν ἐν ἔθει γενέσθαι καὶ ὥσπερ συμφῦναι. ὅπερ διὰ μακροῦ γίνεται χρόνου· ὥστε καθάπερ τοὺς ὑποκρινομένους, οὕτως ὑποληπτέον λέγειν καὶ τοὺς ἀκρατευομένους, οἳ πρόσωπα ὑποκρινόμενοι τὰ ἐν τοῖς ποιήμασιν ἔπη λέγουσι μέν, ἴσασι δὲ οὐδὲν ὧν λέγουσιν. ἔτι καὶ τόνδε τὸν τρόπον φυσικῶς ἄν τις συνίδοι τὴν αἰτίαν, δι' ἣν γινώσκοντες οἱ ἀκρατεῖς τὸ ἀγαθὸν οὐχ αἱροῦνται. ἔστι δόξα καθόλου καὶ ἔστι δόξα μερική, ἥτις δὴ μερικὴ περὶ τὰ αἰσθητά ἐστιν· ὅταν δὲ ἀπὸ τῆς καθόλου καὶ τῆς μερικῆς δόξης ἄλλην τινὰ συναγάγωμεν δόξαν, ἀνάγκη, εἰ μέν ἐστιν ἡ δόξα θεωρητική, καταφάναι τὴν διάνοιαν καὶ πιστεῦσαι ὅτι οὕτως ἔχει, εἰ δέ ἐστι πρακτικὴ ἡ δόξα, ἀνάγκη πράττειν εὐθύς, ἂν μή τις κωλύῃ, οἷον θεωρητικὴ μὲν δόξα, ὅτι ἐλλέβορος βλαβερὸν ἢ τὸ μέλι γλυκύ, ὅπερ εἰ συνάγομεν, πιστεύομεν μόνον, οὐ πράττομεν, πρακτικὴ δέ, ὅτι τοῦ γλυκέος γεύεσθαι δεῖ, ὅπερ εἰ συνάγομεν, πράξομεν καὶ γευσόμεθα. ὅταν οὖν αἱ μὲν δόξαι, καὶ ἡ καθόλου καὶ ἡ μερική, κελεύωσι πράττειν τι, οἷον, δεῖ γεύεσθαι τοῦδε, ὅτι τόδε γλυκύ, τοῦ δὲ γλυκέος γεύεσθαι δεῖ, ἡ δὲ ἐπιστήμη κελεύῃ καὶ ὁ καθόλου λόγος μὴ γεύεσθαι, τύχῃ δὲ καὶ ἐπιθυμία ἐνοῦσα τοῦ πράγματος, τὸ μὲν ἐκ τούτων συναγόμενον ἐνεργείᾳ ἔχει καὶ χρῆται αὐτῷ, τὸ δὲ καθόλου κωλύει γεύεσθαι, ἡ δ' ἐπιθυμία μετὰ τῆς δόξης | ἐπὶ τὸ γευστὸν ἄγει· δύναται γὰρ κινεῖν ἕκαστον τῶν 254
μορίων. λέγω δὲ τὰς οἰκείας αἰσθήσεις τῷ ἐπιθυμητῷ, ὅρασιν εἰ ὁρατόν ἐστι τὸ ἡδύ, ὃ πρὸς ἑαυτὸ ἕλκει, καὶ γεῦσιν τὸ γευστόν· ὥστε συμβαίνει τὴν ἀκρασίαν ὑπὸ λόγου γίνεσθαι, καὶ δόξης τῆς ἐναντίας τῷ λόγῳ· ἔστι δὲ ἐναντία ἡ δόξα τῷ ὀρθῷ λόγῳ οὐ δι' ἑαυτὴν ἀλλὰ διὰ τὴν ἐπιθυμίαν· οὐ γὰρ ἡ δόξα τῇ ἰδίᾳ δυνάμει τοῦ λόγου τοῦ ὀρθοῦ κρατεῖ· ἀδύνατον

4 τοὺς δὲ D: τὴν δὲ h 11 καὶ γὰρ καὶ h 20 ὧν λέγουσιν οὐδὲν h 28 et 29 συνάγομεν scripsi: συναγάγομεν D: συναγάγωμεν h 32 κελεύῃ h: κελεύει D 33 ἐνεργείᾳ D: ἐνέργειαν h

γὰρ ἐπιστήμης δόξαν περιγενέσθαι ἀλλὰ τῇ δυνάμει τῆς ἐπιθυμίας. ἣ καὶ τὸ σῶμα μεθίστησι καὶ ἀλλοιοῖ· γίνεται δὴ ἡ ἀκρασία ὑπὸ λόγου καὶ δόξης ἀντιφθεγγομένης τῷ ὀρθῷ λόγῳ διὰ τῆς ἐπιθυμίας. διὰ τοῦτο οὐδὲ τὰ θηρία ἀκρατῆ δύνανται λέγεσθαι, ὅτι οὐκ ἔχουσι λόγον ᾧ ἀνθίσταται ἡ ἐπιθυμία, ἀλλὰ φαντασίαν τινὰ τῶν μερικῶν καὶ μνήμην. πῶς δὲ λύεται ἡ ἄγνοια τοῦ ἀκρατοῦς τῆς ἐπιθυμίας σβεσθείσης καὶ πάλιν γίνεται ὁ ἀκρατὴς ἐπιστήμων καὶ κατὰ τὴν ἐπιστήμην ἐνεργῶν, ὁ αὐτός ἐστι λόγος, ὅς ἐστι καὶ ἐν τῷ μεθύοντι καὶ καθεύδοντι· τοῦτο δὲ φυσιολόγων εἰδέναι. ὅταν δὲ ἐν τῷ πάθει γένηται ὁ ἀκρατής, τὴν ἐλάττω πρότασιν, τὴν κυρίαν τῶν πράξεων, τὴν ὅτι τόδε κακόν, ἢ οὐκ ἔχει οὐδαμῶς οὐδὲ ἐπίσταται ἢ οὕτως ἔχει ὥσπερ οἱ μεθύοντες καὶ οἱ μαινόμενοι ἔπη τινὰ καὶ ἀποδείξεις λέγουσιν· ἄλλως τε, ὅτι οὐδὲ ἡ ἐλάττων πρότασις αὐτὴ καθ' αὑτὴν ἐπιστημονική ἐστιν, ὥσπερ ἡ καθόλου καὶ μείζων. ὥστε ἔοικεν, ὃ ἐζήτει Σωκράτης συμβαίνειν· οὐ γὰρ παρούσης τῆς κυρίως εἶναι δοκούσης ἐπιστήμης, ἥτις ἐστὶν ἡ καθόλου, γίνεται τὸ πάθος· οὐ γὰρ ταύτης κρατεῖ ἡ ἐπιθυ|μία ἀλλὰ τῆς κυρίας τῶν πράξεων, ἥτις ἐστὶν ἡ ἐλάττων καὶ ἡ 255 περὶ τὰ καθ' ἕκαστα. ταύτην γὰρ διαφθείρει ὁ πράττων, ἥτις ἐστὶ περὶ τὰς πράξεις· καὶ αὕτη περιέλκεται διὰ τὸ πάθος, οὐχ ἡ καθόλου. περὶ μὲν οὖν τῆς γνώσεως τῶν ἀκρατῶν, εἰ γινώσκουσιν ὅλως τὸ ἀγαθὸν καὶ πῶς γινώσκοντες ἀκρατεύονται, τοσαῦτα εἰρήσθω.

Τίς ὁ ἁπλῶς ἀκρατὴς καὶ ὁ ἁπλῶς ἐγκρατής. κεφ. η'.

Μετὰ δὲ ταῦτα ῥητέον, εἰ ἔστι τις ἁπλῶς ἀκρατὴς ἄνευ προσθήκης ἢ πάντες κατὰ μέρος, οἷον ἀκρατὴς θυμοῦ καὶ ἀκρατὴς δόξης· καὶ εἰ ἔστιν ἁπλῶς ἀκρατής, λεκτέον περὶ ποῖά ἐστιν ὑποκείμενα. ὅτι μὲν οὖν περὶ ἡδονὰς καὶ λύπας εἰσὶν ἅπαντες οἱ ἐγκρατεῖς καὶ καρτερικοὶ καὶ ἁπλῶς καὶ μερικοί, καὶ οἱ ἀκρατεῖς καὶ μαλακοί, φανερόν. ἐπεὶ δὲ τῶν ἡδέων τὰ μέν εἰσιν ἀναγκαῖα, τὰ δὲ οὐκ ἀναγκαῖα μέν, αἱρετὰ δὲ καθ' ἑαυτὰ καὶ ἡδέα (λέγω δὲ ἀναγκαῖα μέν, ὧν χωρὶς οὐ δύναται συνεστάναι ἢ τὸ εἶδος καθόλου τὸ ἀνθρώπινον, ὥσπερ ὁ γάμος ἢ τὸ ἄτομον, ὥσπερ τροφὴ ἄνεσις ὕπνος καὶ τὰ τοιαῦτα· οὐκ ἀναγκαῖα δέ, αἱρετὰ καὶ ἡδέα δι' ἑαυτά, οὐ διὰ τὴν σύστασιν τοῦ ἀνθρώπου, πλοῦτος τιμὴ νίκη καὶ τὰ τοιαῦτα), συμβαίνει καὶ ἐν ἀμφοτέροις ἡδέσιν ὑπερβολὰς εἶναι, καὶ ἐν τοῖς ἀναγκαίοις καὶ ἐν τοῖς δι' ἑαυτὰ αἱρετοῖς, ὅταν τις αὐτοῖς χρήσηται πλέον ἢ δεῖ καὶ ὁ ὀρθὸς κελεύει λόγος αὐτοῖς χρήσασθαι. ὁ μὲν οὖν πρὸς τὰ ἡδέα ὑπερβάλλων τὰ μὴ ἀναγκαῖα οὐ λέγεται ἁπλῶς χωρὶς προσθήκης ἀκρατὴς ἀλλὰ ἀκρατὴς δόξης ἢ | ἀκρατὴς πλούτου, ὡς ἕτερος ὢν 256 ἐκείνου τοῦ κυρίως καὶ ἁπλῶς ἀκρατοῦς, ὀνομαζόμενος δὲ ἀκρατὴς διά τινα πρὸς ἐκεῖνον ὁμοιότητα, καθάπερ διαφέρει ὁ ἄνθρωπος ὁ τὰ Ὀλύμπια νενικηκὼς τοῦ ἁπλῶς ἀνθρώπου. καὶ γὰρ εἰ καὶ μικρόν ἐστι τὸ διάφορον αὐτῶν, ἀλλ' ὅμως διαφέρει, καὶ ἕτερός ἐστι διὰ τὴν προσθήκην. ὅτι δὲ διάφορός ἐστιν ἡ περὶ τὰ μὴ ἀναγκαῖα ἡδέα ἀκρασία τῆς ἀκρασίας, δῆλον καὶ ἀπὸ τοῦ τὴν μὲν ἀκρασίαν ἁπλῶς ψέγεσθαι καὶ δοκεῖν οὐ μόνον ἁμαρ-

τίαν ἀλλὰ καὶ κακίαν ἢ κυρίως ἢ κατά τι. τὴν δὲ μετὰ προσθήκης ἀκρασίαν οὐ ψέγεσθαι ὡς κακίαν. οἱ μὲν οὖν περὶ τὰ μὴ ἀναγκαῖα ἡδέα ὑπερβάλλοντες ἀκρατεῖς λέγονται μετὰ προσθήκης. οἱ δὲ περὶ τὰς ἀναγκαίας καὶ σωματικὰς ἡδονὰς ὑπερβάλλοντες, οὐ κρίνοντος καὶ συντιθεμένου τοῦ λόγου ἀλλὰ ἀνθισταμένου, καὶ τὰς μὲν ἡδονὰς ὑπερβαλλόντως διώκοντες, περὶ ἃς ἔφαμεν εἶναι τὸν σώφρονα καὶ τὸν ἀκόλαστον, τὰς δὲ λύπας φεύγοντες πλέον ἢ προσῆκεν, οἷον πείνης δίψης καὶ ἀλέας καὶ ψύχους καὶ πάντων τῶν περὶ ἁφὴν καὶ γεῦσιν, οἱ τοιοῦτοι ἀκρατεῖς λέγονται, οὐ μετὰ προσθήκης ἀλλὰ ἁπλῶς. δῆλον δὲ καὶ ἀπὸ τοῦ ἀκολάστους λέγεσθαι τοὺς περὶ ταῦτα ὑπερβάλλοντας, τοὺς δὲ περὶ τὰ μὴ ἀναγκαῖα ἡδέα ὑπερβάλλοντας οὐδαμῶς. ὅτι γὰρ περὶ τὰς αὐτὰς σωματικὰς ἡδονὰς συμβαίνει εἶναι τὸν σώφρονα καὶ ἐγκρατῆ καὶ τὸν ἀκρατῆ καὶ ἀκόλαστον, εἰς ταὐτὸν τίθεμεν τὸν σώφρονα τῷ ἐγκρατεῖ καὶ τὸν ἀκόλαστον τῷ ἀκρατεῖ. εἰ καὶ 257 οὐχ ὁμοίως ἔχουσι πρὸς ταύτας τὰς ἡδονάς. ὁ μὲν γὰρ ἀκόλαστος προαιρούμενος ἐπὶ τὴν ἐπιθυμίαν φέρεται, ὁ δὲ ἀκρατὴς μὴ προαιρούμενος, ἀλλὰ τοῦ ὀρθοῦ λόγου ἀνθισταμένου. τὸν μὲν οὖν ἀκρατῆ τῷ ἀκολάστῳ εἰς ταὐτὸν τίθεμεν καὶ τῷ σώφρονι τὸν ἐγκρατῆ καὶ περὶ τὰ αὐτὰ λέγομεν αὐτοὺς εἶναι, τὸν δὲ περὶ τὰς ἄλλας ἡδονὰς τὰς μὴ ἀναγκαίας ἀκρατῶς ἔχοντα οὐδαμῶς. εἰ δὲ καὶ περὶ τὰ αὐτά ἐστιν ἡδέα ὁ ἀκρατὴς τῷ ἀκολάστῳ, ἀλλὰ μᾶλλον ψέγεται ὁ ἀκόλαστος ὡς μᾶλλον ταῖς ἐπιθυμίαις δουλεύων. ὁ μὲν γὰρ ἀκρατὴς σφοδροτάτων ἐπιθυμιῶν ἡττᾶται (οὐ γὰρ ἦν ἄλλως, τοῦ ὀρθοῦ ἀνθισταμένου λόγου), ὁ δὲ ἀκόλαστος καὶ μικρῶν καὶ ἀσθενῶν ἐπιθυμιῶν ἡττᾶται διὰ τὸ μὴ ἀντιπράττειν αὐταῖς τὸν ὀρθὸν λόγον καὶ ζητεῖ τὰς ὑπερβολὰς καὶ φεύγει μετρίας λύπας· καὶ εἰ μετρίων κινουσῶν ἐπιθυμιῶν οὕτως εἰς τὰς ὑπερβολὰς φέρεται, τίς ἂν γένοιτο, εἰ προσγένοιτο αὐτῷ ἐπιθυμία νεανικὴ καὶ περὶ τὰς τῶν ἀναγκαίων χρείας λύπη ἰσχυρά;

Περὶ τῆς θηριωδίας καὶ τῆς κατ' αὐτὴν ἀκρασίας. κεφ. θ'.

Πάλιν τῶν ἡδέων τὰ μέν ἐστι φύσει ἀγαθά, τὰ δὲ φύσει κακά, τὰ δὲ μεταξύ. καὶ φύσει μὲν ἀγαθὰ ἡδέα εἰσίν, ἃ δι' ἑαυτὰ καὶ οὐ δι' ἄλλα ζητοῦμεν, οἷον δόξαν νίκην ὑγίειαν, φύσει δὲ κακὰ οἷον τὸ φαγεῖν ἄνθρωπον καὶ πιεῖν αἵματος ἀνθρωπίνου καὶ ἡ παρὰ φύσιν ἀκολασία, μεταξὺ δὲ τούτων, ὅσα δι' ἑαυτὰ μὲν οὔτε ἀγαθά εἰσιν οὔτε κακὰ ἀλλὰ χρήσιμα πρός τι ἀγαθόν, οἷον τὰ σιτία καὶ τὸ | ἱμάτιον καὶ ὁ γάμος· τὰ μὲν οὖν 258 φύσει ἀγαθὰ καὶ τὰ μεταξύ, ἐπειδάν τις ζητῇ, ἐπαινεῖται, ἐὰν μὴ ὑπερβάλλῃ τὸν ὀρθὸν λόγον ἀλλ' ὡς προσῆκε ζητῇ. καὶ γὰρ ἡ ὑπερβολὴ ἐν ἅπασιν οὐκ ἐπαινετόν, ἀλλ' ἡ μὲν ἐν τοῖς φύσει ἀγαθοῖς ὑπερβολὴ ψεκτὸν μὲν οὐκ ἔστιν οὐδὲ μοχθηρόν, ὅτι τὰ διωκόμενα, ὡς εἴρηται, φύσει εἰσὶν ἀγαθὰ καὶ δι' ἑαυτὰ ζητοῦνται, φευκτὸν δέ ἐστι καὶ φαῦλον· τοῦ γὰρ φι-

21 ἀκρατὴς h: ἐγκρατὴς D

λεῖν τοὺς παῖδας, φύσει ὄντος ἀγαθοῦ. φεύγειν δεῖ τὴν ὑπερβολήν. καὶ μὴ καθάπερ ἡ Νιόβη, ἣ καὶ πρὸς τοὺς θεοὺς ὑπὲρ τῶν τέκνων ἐμάχετο. ἢ ὁ Σάτυρος ὡς θεὸν ἐπικαλούμενος τὸν πατέρα· λίαν γὰρ ἐδόκει μωραίνειν. ἀλλ' οὐδὲ ἀκρασία ἐστὶν ἡ τοιαύτη ὑπερβολή. ἡ γὰρ ἀκρασία οὐ μόνον φευκτὸν ἀλλὰ καὶ τῶν ψεκτῶν ἐστι. λέγεται δὲ ἀκρασία δι' ὁμοιότητά τινα, ἣν ἔχει περὶ τὴν ἀκρασίαν μετὰ προσθήκης. καθὼς εἴρηται ἀκρασία κέρδους ἢ ἀκρασία τιμῆς. καὶ ἀκρατὴς οὐχ ἁπλῶς ἀλλὰ ἀκρατὴς τιμῆς ἢ φιλοτεκνίας ἤ τινος τῶν τοιούτων· ὥσπερ κακὸν ἰατρὸν λέγομεν τὸν παρὰ τὴν ἐπιστήμην χρώμενον τοῖς νοσοῦσι. καὶ κακὸν ὑποκριτὴν τὸν μὴ ἀκριβῶς μιμούμενον ὃν ὑποκρίνεται, καὶ οὐχ ἁπλῶς κακόν. ὅτι οὐκ ἔστι κακία ἡ τοιαύτη παρατροπή. ἀλλὰ καθ' ὁμοιότητα μετὰ προσθήκης. ἡ μὲν οὖν περὶ τὰ φύσει ἀγαθὰ καὶ ἡδέα ὑπερβολὴ οὕτως ἔχει. τῶν δὲ μεταξὺ ἀγαθῶν αἱ ὑπερβολαὶ μοχθηραί εἰσι καὶ ψεκταί, ὅτι τὰ τοιαῦτα ἀγαθὰ ἀφ' ἑαυτῶν οὐκ ἔχουσι τὸ τοιαῦτα ἢ τοιαῦτα εἶναι, ἀλλὰ ἀπὸ τοῦ τέλους πρὸς ὃ τάττονται ἢ ἀγαθά εἰσιν ἢ κακά. καὶ διὰ τοῦτο, ἂν πρὸς τέλος ταχθῶσι μοχθηρόν, μοχθηρά εἰσι. τάττονται δὲ εἰς μοχθη|ρὸν τέ- 259 λος, ὅταν μεθ' ὑπερβολῆς διώκωνται· ὁ γὰρ ὑπερβάλλων ἐν τῇ χρήσει τῶν σιτίων καὶ τῶν ἐνδυμάτων καὶ τῶν ἄλλων ἀναγκαίων καὶ παρὰ τὸν ὀρθὸν λόγον αὐτοῖς χρώμενος εἰς τὴν ἀκολασίαν αὐτὰ τάττει. καὶ διὰ τοῦτο ἡ τούτων ἁπάντων ὑπερβολὴ μοχθηρία ἐστί. τινῶν δὲ καὶ ἁπλῶς ἀκρασία καὶ χωρὶς προσθήκης, περὶ ἃ καὶ ἡ σωφροσύνη ἐστὶ καὶ ἡ ἀκολασία. τῶν δὲ φύσει κακῶν καὶ ἡδέων οὐχ αἱ ὑπερβολαὶ μοχθηραί εἰσιν. ἀλλ' ἁπλῶς αἱ περὶ ταῦτα ἕξεις, αἵ εἰσιν αἱ θηριώδεις· ἅπερ οὐδὲ φύσει ἡδέα εἰσί. τῶν γὰρ ἡδέων τὰ μέν ἐστιν ἡδέα φύσει καὶ πᾶσι ζῴοις, οἷον τροφὴ καὶ ὕπνος καὶ τὰ τοιαῦτα, τὰ δὲ φύσει μὲν ἡδέα, οὐ πᾶσι δὲ ἡδέα. ὥσπερ ἡ τοιάδε τροφή, οἷον τὸ πόαν φαγεῖν ἢ κρέα ἐνίοις τῶν ζῴων φύσει ἡδέα εἰσί, τὰ δὲ οὐδαμῶς φύσει ἡδέα ἀλλὰ ἢ διὰ ἔθη ἢ διὰ πηρώσεις ἢ διὰ μοχθηρίαν φύσεως, ἅτινά εἰσι φύσει κακά, περὶ ἃ ἡ θηριότης ἐστίν· οἷον τὴν ἄνθρωπον ἐκείνην λέγουσι ποιεῖν, τὰς κυούσας ἀνασχίζουσαν τὰ παιδία κατεσθίειν· ἢ οἷς ἥδοντο οἱ ἀπηγριωμένοι περὶ τὸν Πόντον ἄνθρωποι, οἱ μὲν ἰχθῦς ὠμοὺς ἐσθίοντες καὶ κρέα ὠμά, οἱ δὲ δανείζοντες τὰ τέκνα ἀλλήλοις εἰς εὐωχίαν· ἢ ὁ Φάλαρις ἐποίησε φαγὼν τὸν ἑαυτοῦ παῖδα. τοιαῦτα δὴ τὰ φύσει κακὰ καὶ ἡδέα, οὐ φύσει ἡδέα ἀλλὰ διὰ μοχθηρίαν μὲν φύσεως ἡδέα δοκοῦσι ταῦτα. τοῖς δὲ διὰ πηρώσεις τινὲς ἥδονται ἢ διὰ μανίαν ἢ ἄλλην τινὰ νόσον· διὰ μανίαν μέν, ὥσπερ ὁ μανεὶς καὶ φαγὼν τοῦ συνδούλου ἧπαρ ἢ ὁ τὴν μητέρα καθιερεύσας καὶ φαγών, διὰ νόσον δὲ ὁ ἐσθίων ἀνθράκων καὶ γῆς· ἐξ 260 ἔθους δὲ γίνεται θηριώδης ὁ ταῖς παρὰ φύσιν ἡδοναῖς ἐκ προοιμίων τοῦ βίου συνεθισθεὶς καὶ χαίρων μὲν σιτίοις, οἷς οὐδεὶς ἥδεται ἀνθρώπων μὴ τῶν φυσικῶν ὅρων ἐκστάς, ἀκολασταίνων δὲ τὴν παρὰ φύσιν ἀκολασίαν·

5 ante ἀκρασία add. καὶ h   11 ἀλλὰ Dh: ἀλλ' ἢ Mullach   24 καὶ πᾶσι — μὲν ἡδέα (25) bis D   32 εἰς corr. ex πρὸς D   33 φύσει prius om. h   34 μὲν om. h

τούτων δέ ἐστι καὶ ὁ χαίρων τριχῶν τίλσει ἢ ὀνύχων τρώξει· ταῦτα δὲ καὶ διὰ μοχθηρίαν φύσεως γίνεται. ὅσοι μὲν οὖν διὰ μοχθηρίαν φύσεως τοῖς φύσει κακοῖς ἥδονται, οὐκ εἰσιν ἀκρατεῖς· οὐ γάρ ἐστιν αὐτοῖς ὀρθὸς λόγος, ᾧ ἀνθίστανται· ὁμοίως δὲ οὐδὲ ὅσοι ἐξ ἔθους ἢ νοσήματος ἢ μανίας, ἀλλὰ τὸ ἥδεσθαι τοῖς τοιούτοις ἔξω ἐστὶ παντελῶς τῶν τῆς κακίας ὅρων. εἰ δέ τις τούτων τῶν ἐπιθυμιῶν νῦν μὲν κρατεῖ, νῦν δὲ ἡττᾶται, οὐ λέγεται ἀκρατὴς ἁπλῶς, ἀλλὰ μετὰ προσθήκης, οὐδὲ ἐγκρατὴς ἁπλῶς ἀλλὰ μετὰ προσθήκης, οἷον ἐγκρατὴς τὴν θηριωδίαν καὶ ἀκρατὴς ὁμοίως· οὐ γάρ ἐστιν ἡ θηριωδία περὶ τὰ αὐτὰ τῇ ἀκολασίᾳ, ὥσπερ ἡ ἁπλῶς ἐγκράτεια· ἡ μὲν γὰρ ἀκολασία περὶ τὰς φυσικάς ἐστιν ἡδονὰς ὁμοίως καὶ ἡ ἁπλῶς ἐγκράτεια, ἡ δὲ θηριωδία περὶ τὰς παρὰ φύσιν. πᾶσα μὲν γὰρ ὑπερβάλλουσα κακία καὶ ἀφροσύνη καὶ δειλία καὶ ἀκολασία καὶ χαλεπότης αἱ μὲν θηριώδεις, αἱ δὲ νοσηματώδεις εἰσίν. ὁ μὲν γὰρ φύσει τοιοῦτος οἷος δεδιέναι πάντα, κἂν ψοφήσῃ μῦς, θηριώδη δειλίαν δειλός, νοσηματώδης δέ, οἷος ἦν ὁ δεδιὼς τὴν γαλῆν διὰ νόσον· καὶ ἐπὶ τῆς ἀφροσύνης οἱ μὲν ἐκ φύσεως ἀλόγιστοι καὶ μόνῃ αἰσθήσει ζῶντες, ὥσπερ τινὰ γένη τῶν πόρρω βαρβάρων, θηριώδη ἀφροσύνην ἄφρονες, οἱ δὲ διὰ νόσους ἐπιληπτικὰς ἢ μανίας νοσηματώδεις. 261 ταύτας δὲ τὰς ἕξεις δυνατὸν καὶ ἔχειν καὶ μὴ κρατεῖσθαι ὑπ' αὐτῶν, ὥσπερ εἰ Φάλαρις ἐκράτει τῆς ἐπιθυμίας, ἐπιθυμῶν παιδίου φαγεῖν, δυνατὸν δὲ καὶ κρατεῖσθαι ὑπ' αὐτῶν. τὴν γοῦν τοιαύτην ἀκρασίαν καὶ ἐγκράτειαν οὐχ ἁπλῶς ἀκρασίαν καὶ ἐγκράτειαν ἐροῦμεν, ἀλλὰ μετὰ προσθήκης, καθὼς ἐν τοῖς ἀνωτέρω εἴρηται, ἀκρασία θηριώδης ἢ ἀκρασία νοσηματώδης, καὶ ἐγκράτεια θηριώδους κακίας ἢ ἐγκράτεια νοσηματώδους κακίας· ἀκρασία δὲ ἁπλῶς ἡ περὶ τὴν ἀνθρωπίνην ἀκολασίαν μόνη. ὅτι μὲν οὖν ἀκρασία καὶ ἐγκράτειά ἐστι μόνον περὶ ἅπερ ἀκολασία καὶ σωφροσύνη, καὶ ὅτι ἡ περὶ τὰ ἄλλα ἡδέα ἄλλο τι εἶδός ἐστιν ἀκρασίας κατὰ μεταφορὰν λεγόμενον καὶ οὐ κυρίως, εἴρηται.

Ὅτι ἡ τῆς ἐπιθυμίας ἀκρασία αἰσχίων τῆς τοῦ θυμοῦ. κεφ. ι'.

Ζητητέον δὲ ὁποτέρα ἀκρασία τῆς ἑτέρας αἰσχίων, ἡ τῶν ἐπιθυμιῶν ἢ ⟨ἡ⟩ τοῦ θυμοῦ. δοκεῖ δὲ ἡ τῶν ἐπιθυμιῶν αἰσχίων εἶναι τῆς τοῦ θυμοῦ ἀκρασίας. ὁ μὲν γὰρ θυμούμενος οὐ πάντῃ παρακούει τοῦ λόγου, ἀλλὰ κατά τι καὶ ὑπακούει καὶ παρακούει, καθάπερ οἱ ταχεῖς τῶν διακόνων, οἳ πρὶν ἀκοῦσαι πᾶν τὸ προσταττόμενον ἐκθέουσιν, εἶτα διαμαρτάνουσι τῆς προστάξεως, ἢ ὥσπερ οἱ κύνες πρὶν σκέψασθαι εἰ φίλος ὁ προσιών, πρὸς τὸν ψόφον μόνον ὑλακτοῦσιν· οὕτω καὶ ὁ θυμὸς διὰ θερμότητα καὶ ταχυτῆτα τῆς φύσεως ἀκούσας τοῦ λόγου μόνον, οὐκ ἐπίταγμα δὲ ἀκούσας, ὁρμᾷ πρὸς τὴν τιμωρίαν. ὁ μὲν γὰρ λογισμὸς ἢ ἡ φαντασία | τοῦτο δείκνυσι μόνον, ὅτι οὗτος ὑβρίζει ἢ κατα- 262

4 ὅσοι D: ὅσα h 29 τοῦ om. h 30 ποτέρα D 31 ἡ (ante τοῦ θυμοῦ) h: om. D

φρονεῖ ἢ ζημιοῖ. ὁ δὲ θυμός, ὥσπερ συλλογισάμενος ὅτι δεῖ τῷ τοι-
ούτῳ πολεμεῖν, εὐθὺς χαλεπαίνει. οὕτω μὲν οὖν ὁ θυμὸς ἕπεται κατά
τι τῷ λόγῳ, ἡ δὲ ἐπιθυμία, ἐὰν μόνον εἴπῃ ἡ αἴσθησις ἢ ὁ λογι-
σμὸς διεφθαρμένος ὑπὸ τῆς αἰσθήσεως, ὅτι τόδε ἡδύ, ὁρμᾷ εὐθὺς πρὸς
τὴν ἀπόλαυσιν· ὥσθ' ὁ μὲν θυμὸς ἀκολουθεῖ τῷ λόγῳ πως, ἡ δὲ
ἐπιθυμία οὔ. αἰσχίων οὖν διὰ τοῦτο ὁ πρὸς τὴν ἐπιθυμίαν ἀκρατὴς
τοῦ πρὸς θυμόν· ὁ μὲν γὰρ ἀκρατὴς τοῦ θυμοῦ κρατεῖται ὑπὸ λόγου τρό-
πον τινά, ὁ δὲ τῆς ἐπιθυμίας ἀκρατὴς ὑπὸ τῆς ἐπιθυμίας κρατεῖται. ἔτι 10
ταῖς μᾶλλον φυσικαῖς ὀρέξεσιν ἀκολουθεῖν κουφότερον κακὸν τοῦ ἕπεσθαι
ταῖς ἧττον φυσικαῖς· μᾶλλον γὰρ ἀξιοῦται τὸ τοιοῦτον συγγνώμης· ἀλλὰ ἡ
τοῦ θυμοῦ ἀκρασία φυσικώτερον τῆς ἀκρασίας τῶν ἐπιθυμιῶν. λέγω δὲ
τῶν μὴ ἀναγκαίων ἐπιθυμιῶν καὶ τῶν ὑπερβαλλουσῶν, οἷον χρημάτων καὶ
δόξης· ὥστε ἀνεκτότερον κακὸν ἡ τοῦ θυμοῦ ἀκρασία τῆς τῶν ἐπιθυμιῶν.
ὅτι δὲ τὸ μᾶλλον φυσικὸν μᾶλλον συγγνωστόν, δῆλον. ἐγκαλούμενος γάρ
τις ὅτι τύπτει τὸν πατέρα, ἀπελογεῖτο φυσικὸν αὐτῷ εἶναι τὸν θυμὸν τὸν 20
τοιοῦτον καὶ τὴν περὶ αὐτὸν ἀκρασίαν, καὶ γὰρ καὶ τὸν πατέρα αὐτοῦ τοι-
οῦτον εἶναι πατραλοίαν καὶ ἔτι τὸν πάππον καὶ τὸν ἑαυτοῦ υἱὸν ἔσεσθαι
καὶ τυπτήσειν αὐτὸν ἐπειδὰν ἀνὴρ γένηται. καί τις ἑλκόμενος ὑπὸ τοῦ
υἱοῦ ἐκέλευεν αὐτὸν πρὸς ταῖς θύραις παύεσθαι, "καὶ γὰρ ἐγὼ τὸν πα-
τέρα τὸν ἐμὸν εἵλκυσα", φησί, "μέχρις ἐνταῦθα". φαίνεται τοίνυν ὅτι
ἀπολογίαν τινὰ δίδωσι τοῖς αἰσχροῖς τὸ πεφυκέναι πρὸς αὐτὰ καὶ ἀνεκτό-
τερον ποιεῖ τὸ ἔγκλημα. ὅτι δὲ καὶ φυσικώτερον ἡ τοῦ θυμοῦ ἀκρασία 263
τῆς τῶν ἐπιθυμιῶν δῆλον· ἁπλῶς γὰρ θυμοῦσθαι φυσικώτερόν ἐστι τοῦ
ἐπιθυμεῖν τῶν μὴ ἀναγκαίων. τὸ μὲν γὰρ θυμοῦσθαι διὰ σωτηρίαν τῆς
φύσεως ἐνετέθη τῇ φύσει, ἵνα τὸ βλαβερὸν ἀποσείηται, καὶ εἰς τοῦτο φέρει.
ἡ δὲ τῶν μὴ ἀναγκαίων ἐπιθυμία οὐκέτι· ἔστι γὰρ καὶ ἄνευ νίκης ἢ τι-
μῆς διασῴζειν τὴν φύσιν· διὰ τοῦτο καὶ κοινότερον τὸ θυμοῦσθαι τῶν ἐπι-
θυμιῶν τῶν μὴ ἀναγκαίων· τὸ μὲν γὰρ καὶ πᾶσιν ἀνθρώποις καὶ πᾶσι
ζῴοις πρόσεστιν, αἱ δὲ οὐδὲ πᾶσιν ἀνθρώποις. ἐπεὶ δὲ τὸ θυμοῦσθαι τῶν 10
τοιούτων ἐπιθυμιῶν φυσικώτερον, καὶ αἱ ὑπερβολαὶ τοῦ θυμοῦ φυσικώτεραι
τῆς τῶν ἐπιθυμιῶν ὑπερβολῆς. ἡ ἄρα τοῦ θυμοῦ ἀκρασία φυσικώτερον
καὶ διὰ τοῦτο ἧττον αἰσχρὰ τῆς τῶν ἐπιθυμιῶν. ἔτι τῶν ἀδίκων οἱ ἐπι-
βουλότεροι ἀδικώτεροι. ἐπιβουλοτέρα δὲ ἡ ἐπιθυμία τοῦ θυμοῦ· ἀδικωτέρα
ἄρα. ὅτι δὲ ἐπιβουλοτέρα, δῆλον. λεληθότως γὰρ εἰσέρχεται καὶ οὐχ
ἀθρόον ὥσπερ ὁ θυμός· καὶ οἱ θυμούμενοι φανεροί εἰσιν, οἱ δὲ ἐπιθυ-
μοῦντες οὐ πάνυ φαίνονται. ὅτι λάθρα πως καὶ δόλῳ κλεπτόμενοι ἐπιθυ-
μοῦσι· καὶ διὰ τοῦτο καὶ αὐτοὶ δόλῳ τινὶ καὶ κλοπῇ ἐπὶ τὰ ἐπιθυμητὰ 20
φέρονται· ὅθεν καὶ Ὅμηρός φησι τὴν Ἀφροδίτην δολοπλόκον, καὶ τὸν κε-
στὸν ἱμάντα διὰ τοῦτο τῇ Ἀφροδίτῃ ἀνατιθέασι, τὸ ποικίλον ὑποφαίνοντες
τῆς ἐπιθυμίας· καὶ τὸ

31 τῆς τῶν ἐπιθυμιῶν ὑπερβολῆς h: τοῦ τῶν [ἐπιθυμιῶν D 38 δολοπλόκον Homero falso tribuit

πάρφασις, ἥτ' ἔκλεψε νόον πύκα περ φρονέοντος

εἰς τοῦτο φέρει. ὥστε εἴπερ ἀδικωτέρα ἡ τοιαύτη ἐπιθυμία, καὶ αἰ-
σχίων τῆς τοῦ θυμοῦ ἡ περὶ τὴν ἐπιθυμίαν ⟨ἀκρασία⟩ ἐστί, καὶ κυρίως ἀκρασία
καὶ ἡ ἀκολασία, ἥτις ἐστὶ κυρίως κακία. | ἔτι οὐδεὶς λυπεῖται ταῖς ἀτό- 264
ποις ἐπιθυμίαις ἀκολουθήσας, πᾶς δὲ ὀργιζόμενος λυπεῖται· κακίζεται δὲ
μᾶλλον ὃς ἐν τῷ ποιεῖν τὸ κακὸν ἥδεται ἢ ὃς ἐν τῷ ποιεῖν τὸ κακὸν λυ-
πεῖται· ὁ γὰρ λυπούμενος δοκεῖ τινα διδόναι δίκην ὧν ἁμαρτάνει καὶ διὰ
τοῦτο ἧττον κακίζεται· ὁ ἄρα ἀτόποις ἀκολουθῶν ἐπιθυμίαις μᾶλλον κα-
κίζεται δικαίως ἢ ὁ θυμούμενος· χεῖρον ἄρα κακὸν ἡ περὶ τὴν ἐπιθυμίαν
ἀκρασία τῆς τοῦ θυμοῦ· οἷς γὰρ ὀργίζεσθαι δικαιότερον, ταῦτ' ἀδικώτερα.
ὅτι μὲν οὖν αἰσχίων ἡ τῆς ἐπιθυμίας ἀκρασία τῆς τοῦ θυμοῦ, καὶ ὅτι 10
ἐστὶν ἡ ἐγκράτεια καὶ ἀκρασία περὶ ἐπιθυμίας καὶ ἡδονὰς σωματικάς, δῆλον
ἐκ τῶν εἰρημένων.

Τίσι διαφέρουσιν ἀλλήλων ἐγκράτεια καὶ καρτερία καὶ σωφροσύνη καὶ αἱ ἀντικείμεναι κακίαι. κεφ. ια'.

Νῦν δὲ ἔτι θεωρήσωμεν τὰς διαφορὰς σωφροσύνης καὶ ἐγκρατείας καὶ
καρτερίας καὶ τῶν ἀντικειμένων ταύταις, ἀκολασίας ἀκρασίας καὶ μαλακίας.
τῶν γὰρ σωματικῶν ἡδονῶν αἱ μέν εἰσιν ἀνθρωπικαί, αἱ δὲ θηριώδεις. αἱ
δὲ νοσηματώδεις· ἀνθρωπικαὶ μὲν τοιαῦται. οἷαι τέρπειν φύσει τὸν ἄν- 20
θρωπον, τοσαῦται, ὅσαις χαίρει ἄνθρωπος ἢ ἀγαθὸς ἢ κακὸς τὴν ἀνθρω-
πίνην κακίαν, οἷον ἐπὶ πλούτῳ ἢ δόξῃ ἢ τροφῇ ἢ γάμῳ· ὁ γὰρ ἡδό-
μενος καὶ διώκων ἢ ὡς δεῖ ἢ ἐλλείπων ἢ ὑπερβάλλων τὸν λόγον. οὐ
τὴν ἑαυτοῦ φύσιν. ὁ τοιοῦτος ἥδεται τὴν ἀνθρωπικὴν ἡδονήν· θηριώδεις
δὲ αἱ τῆς φύσεως τῆς ἀνθρωπίνης ἐκπίπτουσαι κατὰ τὴν ποιότητα καὶ
κατὰ τὴν ποσότητα· καὶ αἱ ὑπερ|βολαὶ δὲ τῶν ἀνθρωπίνων ἡδονῶν, ὅταν 265
ὑπερβάλλωσιν ἑαυτὰς καὶ τῶν ἀνθρωπίνων ὅρων ἐκτὸς γένωνται, θηριώ-
δεις εἰσί· νοσηματώδεις δὲ αἱ διὰ νόσον ἢ μανίαν ὑπερβάλλουσαι τὴν ἀν-
θρωπίνην ἡδονήν, καὶ αἱ παρὰ φύσιν· καὶ ὅλως, καθὼς ἐν τοῖς ἀνωτέρω
διῄρηται ⟨περὶ⟩ τῆς θηριώδους ἡδονῆς, περὶ ταύτας τὰς ἡδονὰς παραπλή-
σιαί εἰσιν ἕξεις. ἀλλ' ἡ σωφροσύνη καὶ ἀκολασία περὶ τὰς ἀνθρωπικὰς
μόνον εἰσί. διὸ καὶ τὰ θηρία οὐ λέγομεν σώφρονα οὐδὲ ἀκόλαστα, εἰ μή
που κατὰ μεταφορὰν καὶ οὐ κυρίως· καὶ τότε δὲ λέγομεν σώφρονα ἢ ἀκό- 10
λαστα θηρία, συγκρίνοντες πρὸς ἄλληλα· ἔχουσι γάρ τινα διαφορὰν περὶ
τὰς σωματικὰς ἡδονάς· καὶ τὰ μὲν μᾶλλον χαίρουσι τοῖς τοιούτοις, τὰ δὲ
ἧττον, κυρίως δὲ οὐ λέγονται ἀκόλαστα ἢ σώφρονα, ὅτι οὐδαμῶς ἔχουσι
λόγον, ἀλλὰ πάντῃ τῆς φύσεως ταύτης ἀφέστηκεν, ὥσπερ οἱ μαινόμενοι
τῶν ἀνθρώπων. διὰ τοῦτο καὶ ἔλαττον κακὸν ἡ θηριότης τῆς ἀνθρω-
πίνης κακίας, εἰ καὶ φοβερώτερον. ἡ μὲν γὰρ ἀνθρωπίνη κακία τὸ βέλ-

1 Homer Il. Ξ 217 φρονεόντος corr. ex φρονεόντον D: φρονεόντων h et Arist. cod. Mb 3 ἡ scripsi: καὶ D: καὶ ἡ h ἀκρασία h: om. D 28 cf. p. 60, 15 sqq. 29 περὶ h: om. D 38 εἰ D: ἢ h

τιστον τῶν ἐν τῷ ἀνθρώπῳ διαφθείρει, δηλονότι τὸν λόγον, ἡ δὲ θηριότης οὐδαμῶς· οὐ γὰρ ἔχει λόγον· ὥσπερ καὶ τὸ ἄψυχον κακὸν ἔλαττον τοῦ ἐμψύχου κακοῦ· τὸ γὰρ κακὸν τὸ ἔχον ἀρχήν, ἥτις αὐτὸ κινεῖ, βλαβερώτερον τοῦ μὴ ἔχοντος· τὸ γὰρ ἀκίνητον κακὸν ἀνεκτότερον τοῦ κινουμένου κακοῦ, καθόσον ἔλαττον δύναται δρᾶν. ὥσπερ οὖν τὸ ἔμψυχον κακὸν χεῖρον τοῦ ἀψύχου, ὅτι ἔχει ἀρχὴν ἐν αὐτῷ τὴν ψυχήν, ἥτις αὐτὸ κινεῖ, οὕτω καὶ τὸ λογικόν, ὅτι τοῦ ἀλόγου μᾶλλον ἀρχὴν ἔχει, βλαβερώτερον καὶ χεῖρον· μυριοπλάσια γὰρ ἂν ⟨κακὰ⟩ ποιήσειεν ἄνθρωπος κακὸς θηρίου. καὶ ταῦτα μὲν | εἰς τοσοῦτον· ἐχώμεθα δὲ τῶν προκειμένων. 266 ἔστι μὲν οὖν περὶ ἕκαστον γένος τῶν προειρημένων ἰδία τις ἕξις. περὶ δὲ τὰς ἀνθρωπικὰς ἡδονὰς καὶ λύπας ἐστὶ μὲν ἡ σωφροσύνη, ὡς προείρηται, ἐστὶ δὲ ἡ ἐγκράτεια καὶ ἡ καρτερία καὶ αἱ ἀντικείμεναι ταύταις· λέγω δὲ ἀνθρωπικὰς ἡδονὰς καὶ λύπας, περὶ ἃς ἡ σωφροσύνη, ὅσαι ἁφῇ καὶ γεύσει προσήκουσι. τούτων δὴ οἱ μὲν ἡττῶνται μᾶλλον ἢ οἱ πολλοί, καὶ πρὸς αὐτὰς φέρονται, ὡς ὀλίγοι μοχθηροί, οἱ δὲ κρατοῦσιν ὧν οἱ πολλοὶ ἡττῶνται. ἐπεὶ δὲ λῦπαί εἰσι καὶ ἡδοναὶ ὧν ἡττῶνται καὶ κρατοῦσιν, οἱ μὲν τῶν ἡδονῶν κρατοῦντες ἐγκρατεῖς εἰσι, καὶ οἱ ἡττώμενοι ἀκρατεῖς, οἱ δὲ τῶν λυπηρῶν κρατοῦντες, ὥστε μὴ κινεῖσθαι ὑπ᾽ αὐτῶν, καρτερικοί, καὶ οἱ ἡττώμενοι καὶ ῥᾳδίως ὑπ᾽ αὐτῶν κινούμενοι μαλακοί. τὰ πλεῖστα δὲ οἱ ἄνθρωποι οὔτε καρτερικοί εἰσιν οὔτε μαλακοί, ἀλλὰ μεταξύ, εἰ καὶ πρὸς τὸ χεῖρον ῥέπουσι μᾶλλον· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἕξεων ἔχει· πάλιν δὲ διοριστέον περὶ αὐτῶν ἀκριβέστερον. ἐπεὶ γὰρ αἱ μὲν τῶν ἡδονῶν ἀναγκαῖαί εἰσιν, αἱ δὲ οὐκ (ἐρρήθη δὲ περὶ αὐτῶν πρότερον, τίνες ἡδοναὶ καὶ μέχρι τίνος ἀναγκαῖαί εἰσιν), αἱ μὲν ὑπερβολαὶ οὐκ εἰσιν ἀναγκαῖαι οὐδ᾽ αἱ ἐλλείψεις. ὁμοίως δὲ καὶ αἱ ἐπιθυμίαι καὶ αἱ λῦπαι ἔχουσιν· ὁ μὲν τὰς ὑπερβολὰς διώκων τῶν ἡδονῶν, καὶ ἢ τὰς φύσει μεγάλας ἀεὶ ζητῶν ἡδονάς, ἢ τὰς φύσει μετρίας ὑπερβαλλόντως ζητῶν, οὐχ ἑλκόμενος βιαίως πως ὑπ᾽ αὐτῶν, ἀλλὰ μετὰ προαιρέσεως ἐπ᾽ αὐτὰς τρέχων, οὐ δι᾽ ἄλλο τι, δόξαν, φέρε εἰπεῖν, ἢ κέρδος, ἀλλ᾽ αὐτὰς δι᾽ ἑαυτάς, ἀκόλαστος· τὸν τοιοῦτον γὰρ ἀνάγκη μὴ μεταμέλεσθαι | μετὰ τὴν ἡδονὴν καὶ διὰ 267 τοῦτο ἀνίατον εἶναι· ὁ γὰρ ἀμεταμέλητος ἀνίατος· τοιοῦτος δὲ ὁ ἀκόλαστος· ὁ δὲ ἔλαττον τοῦ δέοντος τὰ τοιαῦτα ζητῶν, ὁ ἐκ διαμέτρου ἀντικείμενος, ὅς ἐστιν ἀναίσθητος· ὁ δὲ μέσος ὁ σώφρων ἐστίν. οὐ μόνον δὲ ὁ διώκων τὰς σωματικὰς ἡδονάς, ὃν εἴρηται τρόπον, ἀκόλαστός ἐστιν, ἀλλὰ καὶ ὁ φεύγων τὰς σωματικὰς λύπας, οὐχ ἡττώμενος αὐτῶν, ἀλλὰ προαιρούμενος ὁμοίως ἀκόλαστός ἐστι. τῶν δὲ ἀπροαιρέτως ἐπὶ τὰ ἡδέα φερομένων ὁ μὲν φέρεται διὰ τὴν ἡδονήν, ὁ δὲ ἵνα φύγῃ τὴν ἀπὸ τῆς ἐπιθυμίας λύπην· ὥστε διαφέρουσιν οὗτοι ἀλλήλων. ἔστι δὲ ὁ μὲν διὰ τὸ φεύγειν τὴν λύπην τὰ ἡδέα διώκων μαλακός, ὁ δὲ δι᾽ ἡδονὴν ἀκρατής. ἀντίκειται δὲ ὁ μὲν ἀκρατὴς τῷ ἐγκρατεῖ, ὁ δὲ καρτερικὸς τῷ μαλακῷ· ἡ μὲν γὰρ καρτερία ἐστὶν ἐν τῷ ἀντέχειν, ἡ δὲ ἐγκράτεια ἐν τῷ κρατεῖν·

8 κακὰ Arist.: om. Dh   23 οὐκ h: οὐ D   πρότερον] cf. p. 142,28   24 μὲν D: δὲ h   25 οὐδ᾽ αἱ scripsi: οὐδὲ Dh

ἕτερον δὲ τὸ ἀντέχειν τοῦ κρατεῖν, ὥσπερ καὶ τοῦ μὴ ἡττᾶσθαι τὸ νικᾶν· διὸ βέλτιον καὶ αἱρετώτερον ἡ ἐγκράτεια τῆς καρτερίας· βέλτιον γὰρ νικᾶν ἢ μὴ ἡττᾶσθαι. φαίνεται δὲ ὅτι καὶ ἡ ἀκολασία χείρων τῆς ἀκρασίας ἐστί. φανερὸν γὰρ πᾶσιν ὡς χείρων ἐστὶν ὁ διώκων τὴν ἡδονὴν προαιρούμενος καὶ ἢ μὴ ἐπιθυμῶν ἢ ἠρέμα καὶ οὐ τυραννούμενος τοῦ ὑπὸ σφοδροτάτων ἐπιθυμιῶν τυραννουμένου· ἔστι δὲ ὁ μὲν πρῶτος ὁ ἀκόλαστος, ὁ δὲ δεύτερος ὁ ἀκρατής· ὥστε ἡ ἀκολασία χείρων τῆς ἀκρασίας ἐστίν. ὁ μὲν οὖν ἐγκρατὴς καὶ καρτερικὸς οὕτω διαφέρουσι. καὶ οὕτως αἱρετώτερον ἐγκράτεια καρτερίας, καὶ ἀκρασία ἀκολασίας ἀνεκτότερον.

Τίς ἡ συγγνωστὴ ἀκρασία καὶ μαλακία. κεφ. ιβ΄. 268

Ἔτι δὲ διοριστέον περὶ αὐτῶν. ἐγκρατὴς μὲν οὖν ἐστιν ὁ κρατῶν τῶν ἐπιθυμιῶν, καρτερικὸς δέ ἐστιν ὁ ἀντέχων πρὸς αὐτὰς καὶ μὴ ἡττώμενος· ὁ δὲ χαυνούμενος πρὸς ἃ οἱ πολλοὶ ἀντιτείνουσι καὶ δύνανται φέρειν, οὗτος μαλακὸς καὶ τρυφῶν· καὶ γὰρ ἡ τρυφὴ μαλακία τίς ἐστιν. ὃς ἕλκει τὸ ἱμάτιον, ἵνα μὴ πονήσῃ τὴν ἀπὸ τοῦ αἴρειν λύπην. καὶ μιμούμενος τὸν ἐκλελυμένον ὑπὸ νόσου, οὐκ οἴεται ἄθλιος εἶναι, ἀθλίῳ ὅμοιος ὤν· τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ ἐγκρατείας καὶ ἀκρασίας ἐστίν. εἰσὶ γὰρ ἡδοναὶ καὶ λῦπαι οὕτω μεγάλαι καὶ σφοδραί, ὥστε τὸν ἡττώμενον αὐτῶν συγγνώμης τινὸς ἀξιοῦσθαι· τὸ γὰρ τοιούτων ἡττᾶσθαι οὐδὲν θαυμαστόν· ὥσπερ ὁ Φιλοκτήτης, ὃν εἰσήγαγεν ἐν τοῖς ποιήμασι Θεοδέκτης ὁ ποιητὴς πεπληγμένον ὑπὸ ὄφεως, καὶ μέχρι τινὸς κρατοῦντα τῆς λύπης, εἶτα ἀναβοήσαντα· ἢ ὃν εἰσάγει Καρκῖνος ὁ ποιητὴς Κερκύονα ἐπὶ τῇ ὕβρει τῆς θυγατρὸς Ἀλόπης καρτεροῦντα μέχρι τινός, εἶτα ἡττηθέντα τῆς ἀλγηδόνος· ὥσπερ οἱ κατέχειν πειρώμενοι τὸν γέλωτα ἀθρόον ἐκκαγχάζουσιν, ὅπερ ὁ Ξενόφαντος ἐποίησεν. οὐ τοῦτο τοίνυν ἐστὶ θαυμαστὸν τὸ ἡττηθῆναι οὕτω σφοδροτάτων παθῶν, ἀλλ' εἴ τις ἡττᾶται πρὸς ἃς οἱ πολλοὶ δύνανται ἀντέχειν ἡδονὰς καὶ λύπας καὶ μὴ δύναιτο ἀντιτείνειν, μὴ διὰ φύσιν τινὰ τοῦ γένους, ὥσπερ οἱ Σκυθῶν βασιλεῖς φύσει εἰσὶ μαλακοί, ἢ ὥσπερ τὸ θῆλυ φύσει ἐστὶ τοῦ ἄρρενος μαλακώτερον, ἢ διὰ νόσον, ἀλλὰ διὰ πονηρὰν ἕξιν καὶ μοχθηρίαν, ὁ τοιοῦτος ἀσύγγνωστος. ἔστι δὲ καὶ ὁ σφόδρα | χρώμενος ταῖς παιδιαῖς μαλακός, εἰ καὶ δοκεῖ ἀκόλαστος εἶναι. οἱ γὰρ τὴν ἄνεσιν σφόδρα ζητοῦντές εἰσιν οἱ μαλακοί· ἡ δὲ παιδιὰ ἄνεσίς τις καὶ ἀνάπαυσίς ἐστι· καὶ ὁ σφόδρα χρώμενος παιδιαῖς ὑπερβάλλει κατά τινα ἄνεσιν καὶ παιδιώδης καλεῖται. 269

Περὶ τῶν εἰδῶν τῆς ἀκρασίας· καὶ ὅτι χεῖρον κακὸν ἡ ἀκολασία τῆς ἀκρασίας. κεφ. ιγ΄.

Τῆς δὲ ἀκρασίας δύο εἰσὶν εἴδη· καὶ τὸ μὲν προπέτεια, τὸ δὲ

15 ὃς D: ὃς οὐχ h 20 ὁ om. h 30 ἀλλὰ D: ἀλλ' ὁ h

ἀσθένεια καλεῖται. οἱ μὲν γὰρ προβουλευσάμενοι μὴ συγχωρῆσαι τῷ πάθει, εἶτα ἡττηθέντες αὐτοῦ τὴν ἀσθενῆ ἀκρασίαν εἰσὶν ἀκρατεῖς· οἱ δὲ μὴ προβουλευσάμενοι ἀλλ' εὐθὺς προσβαλόντος ἡττηθέντες τὴν προπετῆ ἀκρασίαν εἰσὶν ἀκρατεῖς· ἔνιοι γὰρ προαισθόμενοι καὶ προϊδόντες καὶ προεγείραντες ἑαυτοὺς καὶ τὸν λογισμόν, οὐχ ἡττῶνται ὑπὸ τοῦ πάθους, ὥσπερ τὰ προτριβέντα καὶ προγαργαλισθέντα ⟨μέλη οὐ γαργαλίζονται⟩. μάλιστα δὲ οἱ ὀξεῖς καὶ μελαγχολικοὶ τὴν προπετῆ ἀκρασίαν εἰσὶν ἀκρατεῖς· οἱ μὲν ὀξεῖς διὰ τὴν ταχύτητα οὐκ ἀνα- 30 μένουσι τὴν ἀπὸ τοῦ λόγου κρίσιν, οἱ δὲ μελαγχολικοὶ διὰ τὸ σφόδρα φανταστικοὶ εἶναι καὶ ἀκολουθεῖν τῇ φαντασίᾳ· διὸ σφοδροτέρως κινοῦνται μὴ ἐπιστρεφόμενοι πρὸς τὸν λόγον. πᾶς δὲ ἀκρατὴς καὶ μεταμελητικός ἐστι, καθὼς εἴρηται· τῆς γὰρ ἐπιθυμίας σβεσθείσης, ὁ λόγος ὑγιαίνων συνορᾷ τὴν ἀτοπίαν τοῦ πάθους, ᾧ ἕπεται μετάνοια. ὁ δὲ ἀκόλαστος ἀμεταμέλητος· ὁ γὰρ λόγος αὐτῷ οὐχ ὑγιαίνει· καὶ διὰ τοῦτο κατιδεῖν τὸ αἰσχρὸν οὐ δύναται. | καὶ διὰ τοῦτο ὁ μὲν ἀκρατὴς ἰατός ἐστιν, ὁ δὲ ἀκόλαστος 270 ἀνίατος. οὐ γάρ, ὥσπερ εἴπομεν ἐν οἷς πρότερον ἐζητοῦμεν περὶ αὐτῶν, οὕτω καὶ ἔχει· εἴρηται γὰρ ὥς τις ἔνδοξος λόγος γυμνάζει τὸ ζήτημα, τὸ δὲ ἀληθὲς τοῦτό ἐστιν. ἔοικε γὰρ ἡ μὲν ἀκολασία ὑδέρῳ καὶ φθίσει, ἃ συνεχῶς τὸν νοσοῦντα λυπεῖ, ἡ δὲ ἀκρασία τοῖς ἐπιληπτικοῖς, ἃ διαλιμπάνοντα οὐ συνεχῶς ἐνοχλοῦσιν· ἡ μὲν γὰρ ἀκολασία συνεχὴς πονηρία ἐστίν· ἀεὶ γὰρ ὁ ἀκόλαστος οἴεται δεῖν ἀκολασταίνειν· ὁ δὲ ἀκρατὴς οὐκ ἀεί, ἀλλ' ὅταν σφοδραῖς περιπέσῃ ἐπιθυμίαις. καὶ ὅλως δὲ ἕτερον τὸ 10 γένος ἀκολασίας καὶ ἀκρασίας· ἡ μὲν γὰρ ἀκολασία λανθάνει οὖσα αἰσχρά, ἡ δὲ ἀκρασία οὐ λανθάνει· οἶδε γὰρ ὁ ἀκρατὴς ὅτι αἰσχρὸν τῷ πάθει συγχωρῆσαι. ἡ μὲν οὖν ἀκολασία χείρων ἑκατέρου εἴδους τῆς ἀκρασίας, αὐτῶν δὲ τῶν τῆς ἀκρασίας εἰδῶν ἡ ἀσθένεια χείρων τῆς προπετείας. οἱ γὰρ τὴν ἀσθενῆ ἀκρασίαν ἀκρατεῖς ὑπ' ἐλάττονος πάθους ἡττῶνται, οἱ δὲ τὴν προπετῆ ἀκρασίαν ὑπὸ μείζονος· οἷς γὰρ δυνατὸν καὶ βουλεύσασθαι, φανερὸν ὅτι οὐ σφοδρῶς πολεμεῖ τὸ πάθος· οἱ δὲ προπετεῖς, δι' ὧν οὐ 20 δύνανται βουλεύσασθαι δῆλοί εἰσιν ὑπὸ μεγάλων ἐπιθυμιῶν βιαζόμενοι· καὶ ἄλλως δὲ αἰσχρότερον ἡττηθῆναι προβουλευσαμένους, ὥσπερ ὁπλισαμένους ἢ ἀπροβουλεύτους· ὅμοιος γάρ ἐστιν ὁ κατὰ τὴν ἀσθενῆ ἀκρασίαν ἀκρατὴς τοῖς ταχέως μεθυσκομένοις καὶ ὑπὸ ὀλίγου οἴνου καὶ ἐλάττονος ἢ ὡς οἱ πολλοί. ὅτι μὲν οὖν κακία ἐστὶν ἡ ἀκρασία, φανερόν. πλὴν οὐχ ἁπλῶς κακία, οἷα ἡ ἀκολασία, ἀλλά πῃ· καθόσον μὲν | γὰρ 271 προαιρεῖταί πως τὸ κακὸν ἐν τῷ πάθει ὤν, κακία ἐστί. καθόσον δὲ οὐ πάντῃ οἴεται δεῖν διώκειν τὸ πάθος, οὐκ ἔστι κακία· καὶ ἔστιν ὁμοία τοῖς Μιλησίοις, οὓς Δημόδοκος ἔφη σκώπτων "Μιλήσιοι ἀσύνετοι μὲν οὐκ εἰσιν, δρῶσι δὲ οἷάπερ οἱ ἀσύνετοι"· τὸν αὐτὸν τρόπον καὶ οἱ ἀκρατεῖς ἀκόλαστοι μὲν οὐκ εἰσι, δρῶσι δὲ τὰ τῶν ἀκολάστων. ἐπεὶ δὲ ὁ μὲν ἀκρατὴς

3 προσπετῆ D 6 μέλη οὐ γαργαλίζονται h: om. D 8 ἀκρατεῖς post μελαγχολικοὶ D S. 9 ἀναμένει D 17 γυμνάζει h: γυμνάζουσι D 18 ἃ D: ἢ h 21 ὁ (prius) om. h 22 ὅταν Mullach: ὅτε Dh περιπέσῃ h: περιπέσει D

διώκει τὰς σωματικὰς ἡδονὰς παρὰ τὸν ὀρθὸν λόγον, οὐ πεπεισμένος ὅτι εἰσὶν ἀγαθαὶ καὶ δεῖν διώκειν, ὁ δὲ ἀκόλαστος πέπεισται ὡς δεῖ διώκειν, ὁ μὲν ἀκρατὴς εὐμετάπειστός ἐστιν, ὁ δὲ ἀκόλαστος οὔ. τὴν γὰρ ἀρχὴν τῶν πράξεων, ἥτις ἐστὶ τὸ ἀγαθὸν καὶ τὸ τέλος οὗ ἕνεκα, ἡ μὲν ἀρετὴ σῴζει, ἡ δὲ μοχθηρία φθείρει. καὶ γὰρ διὰ μὲν τῆς ἀρετῆς ἀφικνούμεθα εἰς τὸ ἀγαθόν, διὰ δὲ τῆς μοχθηρίας ἀποχωροῦμεν αὐτοῦ· τὸ δὲ τοιοῦτον τέλος οὐ διὰ λόγου καὶ ἀποδείξεως γινώσκεται, ὥσπερ οὐδὲ αἱ ἀρχαὶ τῶν μαθημάτων ἀποδείξει γινώσκονται, ἀλλὰ ἀρετή τίς ἐστι φυσικὴ ἢ ἐθιστή, τὴν ὀρθὴν δόξαν ἔχειν περὶ τοῦ τέλους. ἢ γὰρ φύσει ἢ ἀπὸ ἀγαθοῦ ἔθους ἡ τοιαύτη ἡμῖν περιγίνεται γνῶσις. ὁ μὲν οὖν εἰδὼς τὸ ἀγαθόν, ὃ δεῖ ποιεῖσθαι τέλος τῶν πράξεων, καὶ πράττων ἃ πρὸς αὐτὸ φέρει, σώφρων· ὁ δὲ τὸ κακὸν ὑποτιθέμενος τέλος καὶ πρὸς ἐκεῖνο τάττων τὰς ἡδονὰς ἀκόλαστος. ὃς δὲ ὑποτίθεται μὲν ἀγαθὸν τέλος καὶ πρὸς τοῦτο τάττειν τὰς ἑαυτοῦ πράξεις οἴεται δεῖν, ἐξίσταται δὲ διὰ πάθος τοῦ ὀρθοῦ λόγου, οὐχ ὥστε νομίσαι δέον εἶναι διώκειν τὰς τοιαύτας ἡδονάς, ἀλλ' ὥστε μόνον περὶ τὰς πράξεις ἐξαμαρτάνειν, ὁ τοιοῦτος οὔτε σώφρων ἂν εἴη οὔτε ἀκόλαστος, | ἀλλὰ τοῦ μὲν σώφρονος χείρων διὰ τὰς πράξεις, τοῦ δὲ ἀκολά- 272
στου βελτίων διὰ τὸν λόγον. ὁ μὲν γὰρ πὴ φαῦλος, ὁ δὲ ἀκόλαστος ἁπλῶς. τῷ δὲ ἀκρατεῖ ἄλλος ἐναντίος, ὁ ἐγκρατής, ὃς οὐκ ἐξίσταται τοῦ λογισμοῦ διὰ τὸ πάθος· ὅθεν φανερόν, ὅτι ἡ μὲν ἐγκράτεια σπουδαία ἕξις ἐστίν, ἡ δὲ ἀκρασία φαύλη.

Τίς ὁ καθ' αὑτὸ ἐγκρατὴς καὶ τίς ὁ κατὰ συμβεβηκός. κεφ. ιδʹ.

Ζητητέον δὲ κἀκεῖνο, ὅπερ ἠπορήθη πρότερον, πότερον ὁ ὁποιᾳοῦν προαιρέσει ἐμμένων οὗτος ἐγκρατής ἐστιν ἢ ὁ τῇ ὀρθῇ. καὶ περὶ τοῦ ἀκρατοῦς ὁμοίως. κατὰ συμβεβηκὸς μὲν οὖν ἐγκρατὴς λέγεται ὁ ἐμμένων ὁποιᾳοῦν προαιρέσει, καθ' αὑτὸ δὲ ἐγκρατής, ὁ ἐμμένων τῇ ὀρθῇ προαιρέσει καὶ τῷ ἀληθεῖ λόγῳ· καὶ ἀκρατὴς ὁμοίως κατὰ συμβεβηκὸς ὁ μὴ ἐμμένων ὁποιᾳοῦν δόξῃ, καθ' αὑτὸ δὲ ὁ μὴ ἐμμένων τῇ ὀρθῇ. καὶ γὰρ εἴ τις ζητεῖ καὶ αἱρεῖταί τι οὐκ αὐτὸ δι' ἑαυτό, ἀλλὰ δι' ἄλλο, αὐτὸ μὲν κατὰ συμβεβηκὸς ζητεῖ, οὗ δὲ ἕνεκα τοῦτο ζητεῖ, ἐκεῖνο ζητεῖ καθ' αὑτό. ὁ γὰρ διὰ δόξαν χρήματα ζητῶν κατὰ συμβεβηκὸς μὲν τὰ χρήματα ζητεῖ, καθ' αὑτὸ δὲ τὴν δόξαν. τὸν αὐτὸν δὴ τρόπον καὶ ἐπὶ τούτων συμβαίνει· ὁ μὲν γὰρ τῇ ἀγαθῇ δόξῃ ἐμμένων καὶ τῇ ὀρθῇ προαιρέσει αὐτὸ τὸ ἀγαθὸν αἱρεῖται, διότι ἀγαθόν· ὥστε καθ' αὑτὸ ἐγκρατής ἐστιν· ὁ δὲ ἐμμένων τῇ μὴ ὀρθῇ προαιρέσει καὶ τῇ ψευδεῖ δόξῃ, ἐμμένει διὰ τὸ νομίζειν ὅτι ἀγαθόν ἐστιν ὃ αἱρεῖται· νομίζει δὲ ὅτι ἐστὶν ἐν αὐτῷ τοῦ ἀγαθοῦ τι ἀμυδρὸν ἴχνος, δι' ὃ ἔχεται τῆς μὴ ὀρθῆς προαιρέσεως καὶ τῆς ψευδοῦς 273
δόξης ὡς ὀρθῆς καὶ ἀληθοῦς. ἐπεὶ τοίνυν οὐ δι' ἑαυτὰ αἱρεῖται ἃ αἱρεῖται καὶ οἷς ἐμμένει, ἀλλὰ διὰ τὸ ἀγαθόν, οὐ καθ' αὑτὸ ἐγκρατής ἐστιν.

9 τὴν D: τὸ h   23 ὁ om. h

ἀλλὰ κατὰ συμβεβηκός. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἀντικειμένων ἔχει· πῶς μὲν ἀκρατὴς ὁ μὴ ἐμμένων ὁποιᾳοῦν δόξῃ, ἁπλῶς δὲ ὁ μὴ ἐμμένων τῇ ὀρθῇ· τὸ γὰρ ἁπλῶς καὶ τὸ καθ' αὑτὸ ταὐτόν ἐστιν.

Ὅτι ⟨οἱ⟩ ἰσχυρογνώμονες καὶ ἰδιογνώμονες οὐκ εἰσιν ἐγκρατεῖς. κεφ. ιε´.

Οἱ δὲ καλούμενοι ἰσχυρογνώμονες ἐμμένουσι μὲν δόξῃ τινί, ἐνίοτε δὲ καὶ ἀληθεῖ καὶ ἀγαθῇ προαιρέσει, ἐγκρατεῖς δὲ οὐκ εἰσιν, ἀλλ' ὥσπερ οἱ ἄσωτοι ἐοίκασι τοῖς ἐλευθερίοις καὶ οἱ θρασεῖς τοῖς ἀνδρείοις. τὸν αὐτὸν τρόπον καὶ οὗτοι τοῖς ἐγκρατέσι· καί εἰσιν οἷον δύσπειστοί τινες καὶ οὐκ εὐμετάπειστοι. καθόσον μὲν οὖν ἐμμενετικοί εἰσιν, ἐοίκασι τοῖς ἐγκρατέσιν· ἀλλ' οἱ μὲν ἐγκρατεῖς μεταβάλλονται ὑπὸ λόγου τινὸς καὶ πειθοῦς. οἱ δὲ ἰσχυρογνώμονες ὑπὸ μὲν λόγου οὐ μεταβάλλονται, ὑπὸ δὲ ἐπιθυμίας καὶ ἡδονῶν πολλοὶ τούτων ἄγονται. εἰσὶ δὲ ἰσχυρογνώμονες ⟨καὶ οἱ ἰδιογνώμονες⟩ καὶ οἱ ἀμαθεῖς καὶ οἱ ἄγροικοι· οἱ μὲν ἀμαθεῖς καὶ ἄγροικοι. διὰ τὸ μὴ εἰδέναι τὰς ἀρχὰς ὅθεν πεισθῆναι δυνατόν. οἱ δὲ ἰδιογνώμονες διὰ ἡδονὴν καὶ λύπην οὐ μεταπείθονται· ἥδονται γὰρ μὴ ἡττώμενοι τῶν πείθειν ἐπιχειρούντων, καὶ λυποῦνται ἐὰν ἄκυρα γένωνται τὰ αὐτῶν ὥσπερ ψηφίσματα· καὶ διὰ τοῦτο μᾶλλον ἐοίκασι τοῖς ἀκρατέσιν οἱ ἰδιογνώμονες ἢ τοῖς ἐγκρατέσιν· οὐ γὰρ λόγῳ ἀλλὰ πάθεσιν ἀκολουθοῦσιν. ὥσπερ ἐκεῖνοι. | εἰσὶ δέ τινες, οἳ ἐμμένουσι τοῖς δεδογμένοις ἀληθέσιν, 271
ἢ οὐκ ἐμμένουσι τοῖς ψευδέσι δι' ἡδονήν, οἳ οὐκ εἰσι φαῦλοι, ὅτι διὰ ἡδονὴν ἐπαινετὴν ἐμμένουσιν ἢ οὐκ ἐμμένουσιν. ὥσπερ ὁ Νεοπτόλεμος ἐποίησεν· οὐ γὰρ ἐνέμεινεν οἷς συνέθετο τῷ Ὀδυσσεῖ καὶ οὐκ ἠπάτησε τὸν Φιλοκτήτην ψευσάμενος, δι' ἡδονὴν καλὴν καὶ οὐ φαύλην· οὐ γὰρ ὁ δι' ἡδονήν τι ποιῶν ἁπλῶς, ἀκόλαστος ἢ φαῦλος ἢ ἀκρατής, ἀλλ' ὁ δι' αἰσχρὰν ἡδονὴν οὗτος ψέγεται.

Περὶ τῆς ἀκρατείας, πῶς ἔχει πρὸς τὴν σωφροσύνην καὶ τίνα τρόπον ὁ ἀκρατὴς δοκεῖ φρόνιμος ἐνίοτε εἶναι. κεφ. ιϛ´.

Ἐπεὶ δὲ ἡ ἐγκράτεια ἕξις ἐστὶν ἐπαινετή, μεσότης ἂν εἴη δύο κακιῶν, ὧν τῆς μὲν ἐλαττωθήσεται, τὴν δὲ ὑπερβαλεῖ· ἡ μὲν οὖν ἀκρασία ὑπερβάλλει τὴν ἐγκράτειαν, ἡ δὲ ἐλλείπουσα ἕξις ἀνώνυμος· ἔστι δὲ καθ' ἣν τινες ἥδονται ταῖς σωματικαῖς ἡδοναῖς ἔλαττον τοῦ δέοντος· οἳ καὶ αὐτοὶ τοῦ ὀρθοῦ λόγου διαμαρτάνουσιν. ὁ μὲν γὰρ ἀκρατὴς οὐκ ἐμμένει τῷ ὀρθῷ λόγῳ διὰ τὸ μᾶλλον ἢ προσήκει χαίρειν ταῖς ἡδοναῖς, ὁ δὲ ἐλλείπων παρὰ τὸν ὀρθὸν ποιεῖ λόγον διὰ τὸ ἔλαττον ἢ δεῖ τὰ ἡδέα ζητεῖν· ὁ δὲ ἐγκρατὴς ἐμμένει τῷ ὀρθῷ λόγῳ καὶ οὐκ ἐξίσταται αὐτοῦ οὔτε διὰ μικρὰν ἡδονὴν οὔτε διὰ μεγάλην. ἐπεὶ δὲ ἡ ἐγκράτεια τῶν ἐπαινετῶν καὶ

4 οἱ h: om. D 13. 14 καὶ οἱ ἰδιογνώμονες h: om. D 19 ἐγκρατέσιν h: ἀκρατέσιν D

σπουδαίων, ἀνάγκη τὰς παρ' ἑκάτερα ἕξεις φαύλας εἶναι καὶ τῇ ἐγκρατείᾳ ἐναντίας· ἀλλ' ὅτι ἡ ἐλλείπουσα ἕξις ἀνώνυμος καὶ ἐλάχιστα συμβαίνει· σπάνιοι γὰρ οἱ ἧττον τοῦ δέοντος χαίροντες ταῖς σωματικαῖς ἡδοναῖς· διὰ τοῦτο μόνη ἡ ἀκρασία δοκεῖ ἐναντία εἶναι, ὅτι ἡ ἠλιθιότης ὀλιγάκις εὑρί- 275 σκεται. σώφρων δὲ ὁ ἐγκρατὴς λέγεται καὶ ὁ ἀκρατὴς ἀκόλαστος, καὶ τὸ ἀνάπαλιν καθ' ὁμοιότητα· πολλὰ γὰρ ὀνομάζομεν ἑνὶ ὀνόματι διά τινα ὁμοιότητα. καὶ γὰρ περὶ τὰ αὐτά ἐστιν ὁ σώφρων καὶ ὁ ἐγκρατής, καὶ παρὰ τὸν λόγον οὐδὲν ποιοῦσιν ἀμφότεροι, εἰ καὶ τῷ σώφρονι μὲν αἱ ἐπιθυμίαι οὐ πολεμοῦσι, τῷ ἐγκρατεῖ δὲ πολεμοῦσι· καὶ ὁ μὲν σώφρων οὐδὲ ἥδεται παρὰ τὸν λόγον, ὁ δὲ ἐγκρατὴς ἥδεται μέν, οὐκ ἄγεται δὲ ὑπὸ τῶν ἡδονῶν· καὶ ὁ ἀκόλαστος δὲ καὶ ὁ ἀκρατὴς ὁμοίως ὅμοιοι μέν εἰσι, καθόσον τῶν αὐτῶν ἡδονῶν ἡττῶνται, διαφέρουσι δέ, ὅτι ὁ μὲν ἀκόλαστος οἴεται δεῖν διώκειν τὰς ἡδονάς, ὁ δὲ ἀκρατὴς οὔ. κατὰ τὸν αὐτὸν δὲ τρόπον καί τινας ἀκρατεῖς φρονίμους ὀνομάζουσι καθ' ὁμοιότητά τινα πρὸς τὴν φρόνησιν· τινὲς γὰρ τῶν ἀκρατῶν δεινοί εἰσιν· ἡ δὲ δεινότης ἔοικε τῇ φρονήσει· καὶ γὰρ οἱ δεινοὶ κατὰ τὴν γνῶσιν τοῦ δέοντος ἐοίκασι τοῖς φρονίμοις· ἀλλ' οἱ μὲν γινώσκουσι μόνον τὸ δέον, οὐ προαιροῦνται δὲ πράττειν οὐδὲ πράττουσιν· οἱ δὲ φρόνιμοι γινώσκοντες τὸ δέον καὶ πράττουσι. καὶ διὰ τοῦτο ὁ μὲν φρόνιμος σπουδαῖός ἐστιν, ὁ δὲ ἀκρατὴς κἂν δεινὸς ᾖ, φαῦλός ἐστι καὶ ψέγεται. καὶ γὰρ εἰ καὶ γινώσκει τὸ δέον, ἀλλ' οὐχ ὥσπερ ὁ φρόνιμος ἐνεργείᾳ θεωρῶν καὶ χρώμενος τῇ ἐπιστήμῃ, ἀλλὰ καθάπερ εἴρηται, ὡς ὁ καθεύδων καὶ οἰνωμένος. διὰ ταύτην δὴ τὴν ὁμοιότητα ὁ δεινὸς ἀκρατὴς φρόνιμος ὀνομάζεται καὶ ἔοικε φρονίμῳ. ἐπεὶ καὶ ὁ ἁπλῶς ἀκρατὴς οὐ | πονηρὸς καθάπαξ, ἀλλ' ἡμιπόνηρός τις· οὐδὲ 276 ἄδικος· οὐ γὰρ ἐπίβουλος. ἐπεὶ γὰρ ἑκὼν ποιεῖ τὰ φαῦλα καὶ εἰδὼς ὅτι φαῦλα καὶ ὅτι εἰς φαῦλον φέρουσι τέλος καὶ ὅτι δεῖ τὰ βελτίω ποιεῖν, κατά τι μὲν πονηρός, κατά τι δὲ οὐ πονηρός· ἡ μὲν γὰρ πρᾶξις πονηρά, ἡ δὲ κρίσις ἐπιεικής· ἡ δὲ τοῦ πονηροῦ περὶ τὰς σωματικὰς ἡδονάς, ὅς ἐστιν ὁ ἀκόλαστος, καὶ ἡ πρᾶξις πονηρὰ καὶ ἡ κρίσις· ὁ δὲ περὶ τὸ ἕτερον μόνον ἁμαρτάνει· ὁ γὰρ ἀκρατὴς ἢ τὴν ἀσθενῆ ἀκρασίαν ἐστὶν ἀκρατὴς ἢ τὴν προπετῆ· ἀμφότεροι δὲ κατὰ τὴν πρᾶξιν μόνον εἰσὶ πονηροί. ὁ μὲν γὰρ προπετὴς οὐδὲ βουλεύεται· ὁ δὲ ἀσθενὴς βουλεύεται, ὡς οὐ δεῖ ταῖς αἰσχραῖς ἐπιθυμίαις ἀκολουθεῖν· ὁ δὲ ἀκόλαστος κατ' ἄμφω διέφθαρται. διὰ τοῦτο ὁ μὲν ἀκρατὴς ἔοικε πόλει, ἣ ψηφίζεται μὲν ἅπαντα τὰ δέοντα καὶ νόμους ἔχει σπουδαίους καὶ ὑγιαίνει τοῦτο τὸ μέρος, χρῆται δὲ οὐδενί, ὥσπερ Ἀναξανδρίδης ἔσκωψεν

ἡ πόλις ἐβούλεθ' ᾗ νόμων οὐδὲν μέλει·

ὁ δὲ ἀκόλαστος ἔοικε πόλει χρωμένῃ μὲν νόμοις, πονηροῖς δὲ χρωμένῃ. πᾶσα δὲ ἐγκράτεια καὶ ἀκρασία ἐστὶ περὶ τὰς ὑπερβολὰς τῆς ἕξεως τῶν πολλῶν. ὁ μὲν γὰρ ἐγκρατὴς νικᾷ ὧν οἱ πολλοὶ ἡττῶνται, ὁ δὲ ἀκρατὴς

5 δὲ D: δὴ h   11 ὅμοιοι Mullach: ὅμοιον Dh   19 ὁ δ' ἀκρατὴς D: ἀκρατὴς δὲ h   35. 36 οὐδενί Dh et Arist. codd. LbMbOb: οὐδέν Arist. vulg.   37 ἐβούλεθ' h: ἐβουλεύετο D   μέλει h: μέλλει D   39 ἐγκράτεια h: ἀκράτεια D

ἡττᾶται ὧν οἱ πολλοὶ κρατοῦσιν. ἔστι δὲ ἡ προπετὴς ἀκρασία, ἣν οἱ μελαγχολικοὶ ἀκρατεύονται, δυσχερεστέρα ἰαθῆναι τῆς ἀσθενοῦς. καθ' ἣν βουλεύονται οἱ ἀκρατεῖς καὶ οὐκ ἐμμένουσιν. ὁμοίως δὲ καὶ οἱ φυσικῶς ἀκρατευόμενοι δυσιατότεροι τῶν δι' ἔθος ἀκρατῶν· ῥᾷον γὰρ μετακινῆσαι ἔθος ἢ φύσιν· διὰ τοῦτο γὰρ καὶ τὸ ἔθος χαλεπόν, ὅτι ἔοικε φύσει· ὥσπερ Εὔηνος λέγει

φημὶ πολυχρόνιον μελέτην ἔμεναι, φίλε, καὶ δή 277
ταύτην ἀνθρώποισι τελευτῶσαν φύσιν εἶναι.

τί μὲν οὖν ἐστιν ἐγκράτεια καὶ τί καρτερία καὶ ἀκρασία καὶ μαλακία καὶ πῶς ἔχουσιν αἱ ἕξεις αὗται πρὸς ἀλλήλας, εἴρηται.

Περὶ ἡδονῆς. κεφ. ιζ΄.

Περὶ δὲ ἡδονῆς καὶ λύπης ἤδη σκοπῶμεν· ἔστι γὰρ οἰκεῖον καὶ προσῆκον τῷ περὶ τῆς πολιτικῆς φιλοσοφοῦντι. οὗτος γάρ ἐστι τοῦ τέλους ἀρχιτέκτων, καθὼς ἐν τοῖς προειρημένοις ἐφάνη· τὸ δὲ τέλος ἐστὶ τὸ ἀγαθὸν καὶ τὸ ἄριστον, ᾧ καθάπερ κανόνι διακρίνομεν τῶν πρακτῶν τὰ ἀγαθὰ τῶν φαύλων· ἃ μὲν γὰρ πρὸς ἐκεῖνο φέρει τὸ τέλος, ἀγαθὰ νομίζομεν, ἃ δὲ τοῦ τέλους ἀπάγει, φαῦλα. ἐπεὶ τοίνυν ἡ ἡδονὴ τοῖς μὲν ἀγαθὸν δοκεῖ, τοῖς δὲ φαῦλον, ἐνίοις δὲ καὶ αὐτὸ τὸ τέλος τὸ ἄριστον, ἀκόλουθόν ἐστι τῷ πολιτικῷ ζητῆσαι περὶ αὐτῆς. ἔτι δὲ καὶ ἀναγκαῖόν ἐστιν ἐν τῇ περὶ ἀρετῶν καὶ κακιῶν πραγματείᾳ· καὶ γὰρ ἡ ἀρετὴ καὶ ἡ κακία περὶ τὰς ἡδονάς ἐστι καὶ τὰς λύπας, ὡς εἴρηται πρότερον, καὶ δέον τὸν περὶ ἀρετῶν σκοπούμενον καὶ περὶ ἡδονῆς εἰπεῖν· καὶ ὅτι τὴν εὐδαιμονίαν μεθ' ἡδονῆς εἶναί τινές φασι· διὸ καὶ τὸν μακάριον ὀνομάζουσιν ἀπὸ τοῦ χαίρειν. ῥητέον δὲ πρότερον ἃ τοῖς ἄλλοις περὶ τούτου δοκεῖ. τοῖς μὲν οὖν οὐδαμῶς δοκεῖ ἀγαθὸν εἶναι ἡ ἡδονὴ οὔτε καθ' αὑτὸ οὔτε κατὰ συμβεβηκός· οὐ γὰρ νομίζουσι δύνασθαι τὸ αὐτὸ καὶ ἀγαθὸν εἶναι καὶ ἡδονήν· τοῖς δὲ φαῦλαι μὲν αἱ πλείους δοκοῦσι τῶν ἡδονῶν, ἔνιαι δὲ ἀγαθαί· ἄλλοις δὲ ἐδόκει, εἰ καὶ πᾶσα ἡδονὴ ἀγαθόν, ἀλλ' οὐδαμῶς ἐνδέχεσθαι τὸ 278 τέλος ἡδονὴν εἶναι. τὰ μὲν οὖν δοκοῦντα περὶ τῆς ἡδονῆς ταῦτά ἐστι. ῥητέον δὲ δι' ἃ ἕκαστον ἐδόκει. οἱ μὲν οὖν λέγοντες μηδεμίαν ἡδονὴν ἀγαθὸν εἶναι οὕτως ἐπεχείρουν· πᾶσα ἡδονὴ γένεσίς ἐστιν εἰς φύσιν αἰσθητή· ἡ γὰρ εἰς τὴν φύσιν γένεσις τῶν φυτῶν οὐκ οὖσα αἰσθητή, ἡδονὴ οὐκ ἔστιν· εἰ τοίνυν ἡ ἡδονὴ γένεσις, ἡ δὲ γένεσις ἀτελές, τὸ δὲ ἀτελὲς οὐκ ἔστιν ἀγαθόν, ἡ ἡδονὴ ἄρα οὐκ ἔστιν ἀγαθόν· ἀγαθὸν γὰρ τὸ ἤδη γεγονός, οὐ τὸ γίνεσθαι· οὐ γάρ ἐστιν ἡ γένεσις ὁμογενὴς τοῖς τέλεσιν, εἰς ἃ τελευτᾷ· οὐ γὰρ ἡ οἰκοδομία ὁμογενὴς τῷ οἴκῳ. ἔτι ὁ σώφρων φεύγει τὰ φευκτά (σπουδαῖος γάρ), φεύγει δὲ τὰς ἡδονάς· ἡ ἡδονὴ ἄρα οὐκ ἔστιν ἀγαθόν. ἔτι ὁ φρόνιμος τὸ ἀγαθὸν διώκει· τὴν ἡδονὴν δὲ οὐ

1 ἔθος h: ἔθνος D 14 cf. p. 2,33 21 cf. p. 29,38 23 τινες εἶναι h
30 ante ῥητέον inserit inscriptionem κεφ. ιη΄. ὅτι οὐδεμία ἡδονὴ ἀγαθόν h: om. D recte, quod evincitur iis locis ubi caput ιη΄ affertur, velut p. 157,9 et 158,9

διώκει· τὸ γὰρ ἄλυπον διώκει, οὐ τὸ ἡδύ· οὐκ ἄρα ἡ ἡδονὴ ἀγαθόν. ἔτι ἐμπόδιον ἡ ἡδονὴ τῇ φρονήσει, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ μείζων ἡ ἡδονή· οὐδεὶς γὰρ δύναται ἐν ταῖς μεγίσταις ἡδοναῖς ὢν νοῆσαί τι. ἔτι ⟨πᾶν ἀγαθὸν τέχνης ἔργον· οὐδεμιᾶς δὲ τέχνης ἔργον ἡ ἡδονή· οὐκ ἄρα ἀγαθόν. ἔτι⟩ τὰ θηρία διώκει τὰς ἡδονὰς καὶ τὰ παιδία ἀλόγως φερόμενα· ὃ δὲ ζητεῖ τὰ ἀλόγως κινούμενα, οὐκ ἔστιν ἀγαθόν· οὐκ ἄρα ἡ ἡδονὴ ἀγαθόν. ὅτι δὲ οὐ πᾶσα ἡδονὴ ἀγαθόν, ἐδόκει διὰ τὸ ἔνια τῶν ἡδέων βλαβερὰ εἶναι καὶ νοσώδη καὶ ἡδονάς τινας αἰσχρὰς καὶ ἐπονειδίστους. | ὅτι δὲ οὐκ 279 ἔστι τὸ τέλος ἡ ἡδονή, διότι γένεσίς ἐστι καὶ κίνησίς τις, τὸ δὲ τέλος ὅρος, εἰς ὃν ἡ κίνησις· τὰ μὲν οὖν λεγόμενα σχεδὸν περὶ ἡδονῆς ταῦτά ἐστι. τούτων δὲ τὸ μὲν τῶν ἡδονῶν τὰς μὲν ἀγαθάς, τὰς δὲ φαύλας εἶναι ἀληθές, τὰ δὲ λοιπὰ ψεῦδος· καὶ πειρατέον ἐλέγχειν· καὶ πρῶτον περὶ τοῦ πρώτου λέγομεν.

Λύσις τῶν λόγων, περὶ ὧν ἡ ἡδονὴ δοκεῖ μὴ ἀγαθὸν εἶναι. κεφ. ιη΄.

Ὅτι γὰρ οὐκ ἀνάγκη διὰ τοὺς εἰρημένους λόγους μὴ εἶναι τὴν ἡδονὴν ἀγαθὸν μηδὲ τὸ ἄριστον, ἐκ τῶνδε δῆλον. ἐπεὶ γὰρ τὸ ἀγαθὸν διχῶς λέγεται, τὸ μὲν ἁπλῶς καὶ καθ᾽ αὑτὸ καὶ κυρίως, ὡς ἡ ἀρετή, τὸ δὲ οὐχ ἁπλῶς μὲν ἀγαθόν, τινὶ δὲ ἀγαθόν, ὡς τὸ λωποδυτεῖν τῷ λωποδύτῃ ἀγαθόν, ἀκόλουθόν ἐστιν ὅτι καὶ φύσις πᾶσα καὶ ἕξις καὶ πᾶσα κίνησις καὶ γένεσις, ἡ μὲν ἔσται ἁπλῶς ἀγαθή, ἡ δέ τινι. ὁμοίως καὶ ἐπὶ τοῦ κακοῦ. κινήσεις γὰρ καὶ γενέσεις καὶ ἕξεις αἱ μὲν φαῦλαι ἁπλῶς, αἱ δέ τινι, καὶ τῶν φαύλων τινί· καὶ αἱ μὲν καὶ ἀεὶ φαῦλαί τινι, αἱ δὲ κατά τινα τρόπον καὶ ὀλίγον χρόνον· ἁπλῶς μὲν φαῦλαι πᾶσα κακία· τινὶ δὲ φαῦλον ἡ σωφροσύνη τῷ ἀκολάστῳ καὶ ἀεὶ καὶ πάντα τρόπον· τινὶ δὲ φαῦλον καὶ οὐκ ἀεὶ τὸ ἀκολασταίνειν τῷ ἀκρατεῖ. τῆς γὰρ ἐπιθυμίας σβεσθείσης φαῦλον δοκεῖ, καθάπερ ⟨σὺν⟩ τῷ πάθει οὐκέτι. ἐπεὶ τοίνυν πᾶσα κίνησις καὶ γένεσις οὕτω διαιρεῖται, καὶ ἡ μὲν ἁπλῶς ἀγαθή ἐστιν ἡ δέ τινι, καὶ ἡ μὲν ἁπλῶς φαύλη ἡ δέ τινι, κίνησις δὲ καὶ ἡ ἡδονή, φανερὸν ὅτι οὐ πᾶσα ἡδονὴ φαῦλον· ἔστι γὰρ ἥδεσθαι ἐφ᾽ οἷς δεῖ, ὅταν τις ἥδηται ἐπ᾽ ἀρετῇ ἢ σοφίᾳ, καὶ | ἔστιν ἥδεσθαι ἐπὶ φαύλοις, καὶ ὅλως καθὼς καθόλου διωρισάμεθα. 280 ἔτι τοῦ ἀγαθοῦ τὸ μέν ἐστιν ἕξις, ὥσπερ ὁ ἔχων δικαιοσύνης ἕξιν· τὸ δὲ ἐνέργεια, ὥσπερ ὁ ποιῶν· ἡ δὲ ἐνέργεια τὴν ἐλλείπουσαν ἕξιν ἀναπληροῖ τῆς ἐνεργείας. σώζεται δὲ καὶ ἡ φυσικὴ ἕξις· ὥσπερ ἡ ὑγίεια ἔγκειται ⟨μέν⟩, σώζεται ⟨δὲ⟩ διὰ τῶν ὑγιεινῶν σιτίων. αὕτη δὲ ἡ ἐνέργεια ἡ σώζουσα τὴν ἕξιν, ὁποτέραν ἄν τις εἴποι, ἡδεῖα μέν, οὐ καθ᾽ αὑτὸ δέ, ἀλλὰ κατὰ συμβεβηκός. οὐ γὰρ αὐτὸ τὸ ἀναπληροῦν τὸ ἐνδέον

3. 4 πᾶν ἀγαθὸν — ἀγαθόν. ἔτι (5) h: om. D 13 λέγομεν D: λέγωμεν h 15 ιη D: ιθ΄ h 27 σὺν h: om. D 28 ἀγαθή ἐστιν — ἁπλῶς (29) om. h 29 ἡ tertium om. h 30 ἥδηται D: ἥδεται h 32 διορισάμεθα D 35 μὲν et δὲ h: om. D

τῆς ἕξεως αὕτη ἐστὶν ἡ ἡδονή, ἀλλὰ τούτῳ ἕπεται ἡδονή. εἰ γὰρ τοῦτο ἦν ἡ ἡδονή, ἀναπλήρωσις τῆς φυσικῆς ἕξεως ἢ τῆς ἐλλιπούσης, καὶ πᾶσα ἂν ἡ ἡδονή· νῦν δὲ οὐχ οὕτως ἔχει· οὐκ ἄρα τοῦτό ἐστιν ἡδονή, γένεσις εἰς φύσιν αἰσθητή· τοῦτο γάρ ἐστιν ἡ ἀναπλήρωσις τοῦ φυσικῶς ἐνδέοντος· καὶ οὕτω λύεται τὸ ἐπιχείρημα τῶν συναγόντων μηδεμίαν ἡδονὴν ἀγαθὸν εἶναι. ὅτι δὲ οὐ πᾶσα ἡδονὴ ἀναπλήρωσίς ἐστι, δῆλον ἀπὸ τοῦ καὶ ἄνευ λύπης καὶ ἐπιθυμίας ἡδονὰς εἶναι, τὴν δὲ τοιαύτην ἀναπλήρωσιν ἄνευ τούτων οὐκ εἶναι δύνασθαι· αἱ γὰρ ἐν τῇ θεωρίᾳ τῶν ἐπιστημῶν ἡδοναὶ ἄνευ ἐνδείας εἰσὶ καὶ λύπης. ἐπειδὰν γὰρ ἡ μήπω παροῦσα ἐπιστήμη ἐγγένηται τῇ ψυχῇ, ἡδονὴν μὲν ἐποίησε τῷ παρεῖναι, λύπην δὲ οὐδεμίαν ἀποῦσα δίδωσι, ἐπεὶ οὐδὲ ἔνδειά ἐστιν ἡ ἀπουσία τῆς ἐπιστήμης· οὐ γὰρ ἦν ὅτε παρῆν ἡ ἐπιστήμη, νῦν δὲ ἀπώλετο· καὶ σωματικαὶ δὲ ἡδοναί εἰσιν οὕτως ἔχουσαι ἄνευ ἐνδείας καὶ λύπης. καὶ γὰρ οὐ μόνον ἐνδεεῖς ὄντες τροφῆς ἡδόμεθα τρεφόμενοι, ἀλλὰ καὶ μετὰ τὸ πληρῶσαι τὸ ἐλλεῖπον ἔστιν οἷς ἡδόμεθα· οὐ γὰρ τοῖς αὐτοῖς χαίρομεν ἐνδεεῖς ὄντες καὶ πεπληρωμένοι, ἀλλὰ πληρωθέντες μὲν | ἡδόμεθα τοῖς κυρίως ἡδέσι καὶ πᾶσιν ἡδονὴν 281 φέρει, πρὶν δὲ πληρωθῆναι τοῖς τυχοῦσι καὶ τοῖς ἐναντίοις πολλάκις χαίρομεν· ὅθεν φαίνεται, καὶ ὅτι τῶν ἡδονῶν αἱ μέν εἰσιν ἁπλῶς, αἱ δέ τισιν· ὡς γὰρ ἔχουσι τὰ ἡδέα, τὸν αὐτὸν τρόπον καὶ αἱ ἡδοναὶ αἱ ἀπὸ τούτων. ὅτι μὲν οὖν οὐ πᾶσα ἡδονὴ ἀναπλήρωσίς ἐστι φυσική, δέδεικται. καὶ μὴν οὐδὲ πᾶσα ἀναπλήρωσις ἡδονή· τῆς γὰρ ὑγιείας πλήρωσις, ἥτις φυσική ἐστιν ἕξις διὰ τῆς διαίτης γινομένη, οὐκ ἔστιν ἡδεῖα· οὐκ ἄρα ὀρθῶς ἔχει λέγειν τὴν ἡδονήν, ὅτι ἐστὶ γένεσις εἰς φύσιν αἰσθητή. καὶ διὰ τοῦτο οὐκ ἀνάγκη ἀπὸ τούτων τῶν λόγων μὴ εἶναι τὴν ἡδονὴν ἀγαθόν.

Λύσις τοῦ λόγου ὅθεν ἡ ἡδονὴ δοκεῖ μὴ τὸ ἄριστον εἶναι. κεφ. ιθ'.

Καὶ οἱ λέγοντες δὲ τὴν ἡδονὴν μὴ εἶναι αὐτὸ τὸ τέλος τὸ ἄριστον, οὐκ ἀναγκαίως συλλογίζονται· εἰ γὰρ οὐ δύναται ἡ ἡδονὴ τέλος εἶναι, ἀνάγκη ἀεὶ ἕτερόν τι βέλτιον αὐτῆς εἶναι, τὸ τέλος δηλονότι· τὸ γὰρ τέλος παντός ἐστι βέλτιον· αὐτὸ γάρ ἐστι τὸ ἄριστον καὶ τὸ βέλτιστον. οὐκ ἀνάγκη δέ· οὐ γάρ ἐστι γένεσις ἡ ἡδονή, ἵνα ἐξ ἀνάγκης βέλτιον αὐτῆς ᾖ τὸ τέλος τῆς γενέσεως, οὐδὲ ἀεὶ ἐν τῇ γενέσει θεωρεῖται, ἀλλὰ ἐνέργειά ἐστι καὶ τέλος· θεωρεῖται δὲ οὐκ ἐν τῇ συστάσει τῶν ἕξεων, οἷον, φέρε εἰπεῖν, ὅταν τὰ δίκαιά τις ποιῇ καὶ τὴν ἕξιν τῆς δικαιοσύνης ἐν τῇ ψυχῇ συντιθῇ, οὔπω δίκαιος ὤν, ἀλλ' ἐν τῇ χρήσει τῆς ἕξεως, ὅταν τις δίκαιος γενόμενος ἔπειτα χρῆται τῇ ἕξει τῆς δικαιοσύνης. διὰ τοῦτο οὐδὲ πάσης ἡδονῆς ἐστι τέλος, ἀλλ' ἔνιαι αὐ|ταί εἰσι τέλος. καὶ γὰρ τῶν ἐνεργειῶν 282 ὅσαι μὲν εἰς τελείωσιν ἄγουσι φύσεως, οὐκ αὐταί εἰσι τέλος, ὥσπερ ἡ καθ' ἕξιν ἰατρικὴν ἐνέργεια τέλος ἔχει τὴν ὑγίειαν· ὅσαι δὲ οὐκ ἄγουσιν εἰς

2 ἡ om. h   3 ἡ om. h   9 λύπην D   16 an καὶ ἃ πᾶσιν scribendum?   26 ιθ' D: κ' h

φυσικὴν τελείωσιν. ἀλλ᾽ αὐταί εἰσιν ἡ φυσικὴ τελείωσις. δῆλον ὡς οὐκ ἔχουσιν ἄλλο τέλος. ἀλλὰ ἄλλων αὐταί εἰσι τέλη· ὥσπερ εἴ τις κατὰ τὴν τελείαν ἕξιν τῆς ἀρετῆς ἐνεργεῖ. ἡ γὰρ τοιαύτη ἐνέργεια τέλος ἐστὶν ἄλλων, οὐκ αὐτή ἐστι πρὸς ἄλλο τεταγμένη τέλος· ὅθεν καὶ ἡ ἡδονή, ἐνέργεια οὖσα, οὐ πᾶσα τέλος ἔχει· ἐνέργεια γάρ ἐστι τῆς κατὰ φύσιν ἕξεως. διὸ οὐ καλῶς ἔχει αἰσθητὴν γένεσιν εἶναι λέγειν τὴν ἡδονήν. ἀλλὰ ἐνέργειαν τῆς κατὰ φύσιν ἕξεως λεκτέον εἶναι τὴν ἡδονήν· ἀντὶ δὲ τοῦ αἰσθητήν, ἀνεμπόδιστον· καὶ ἔσται ἡδονὴ ἐνέργεια τῆς κατὰ φύσιν ἕξεως ἀνεμπόδιστος. δέδεικται δὲ ἐν τῷ ⟨ιη´⟩ κεφαλαίῳ μὴ πᾶσαν ἡδονὴν γένεσιν εἶναι εἰς φύσιν· ὥστε ἐλλιπής ἐστιν ὁ τοιοῦτος ὁρισμός· ἔτι δὲ οὐδὲ πᾶσα αἰσθητή ἐστιν. ἡ γὰρ ἐν τῷ θεωρεῖν ἡδονὴ οὐκ ἔστιν αἰσθητή· ἡ δὲ ἐνέργεια καὶ τὴν γένεσιν ἔχει τὴν αἰσθητήν· καὶ οὐδεμία ἡδονή ἐστιν, ἥτις οὐκ ἔστιν ἀνεμπόδιστος· τὸ δὲ κατὰ φύσιν πᾶσαν ἕξιν περιέχει φυσικήν τε καὶ ἐθιστήν. καὶ γὰρ καὶ ἡ ἐθιστὴ ἕξις κατὰ φύσιν ἐστί· πεφύκαμεν γὰρ πρὸς τὰς τοιαύτας ἕξεις καὶ διὰ τοῦτο κτώμεθα· ὁ γοῦν ἐνεργῶν κατά τινα ἕξιν ἀνεμποδίστως ἥδεται· καὶ τοῦτό ἐστιν ἡ ἡδονή. γένεσις δὲ ἔδοξέ τισιν εἶναι ἡ ἡδονή, ὅτι ᾤοντα τὴν ἡδονὴν εἶναι τὸ κυρίως ἀγαθὸν καὶ τὸ ἄριστον· τὸ δὲ κυρίως ἀγαθὸν ἐνέργειαν εἶναι· ἐνέργειαν δὲ καὶ γένεσιν μηδὲν ἀλλήλων διαφέρειν. τὸ δὲ οὐχ οὕτως ἔχει· οὐ γὰρ ταὐτόν ἐστι γένεσις ἐνεργείᾳ· γένεσις μὲν γάρ ἐστιν ἡ ἀπὸ | τοῦ μὴ ὄντος 283 ἐπὶ τὸ εἶναι ὁδὸς τῆς ἕξεως· ἐνέργεια δέ, ἥτις ἐστὶ τὸ ἄριστον, ἡ μετὰ τὴν ἀνάληψιν τῆς ἕξεως, κατ᾽ αὐτὴν τὴν τελείαν ἕξιν ἐνέργεια.

Λύσις τοῦ ἐπιχειρήματος, ὅθεν ἐδόκει μὴ πᾶσαν ἡδονὴν ἀγαθὸν εἶναι, καὶ ἔτι δι᾽ ὧν δοκεῖ φαύλη εἶναι· καὶ ἀπόδειξις, ὅτι ἀνάγκη τὸ ἄριστον ἡδονὴν εἶναι. κεφ. κ´.

Οὐδὲ φαύλην δὲ εἶναι ἀνάγκη τὴν ἡδονήν, ὅτι ἔνια ἡδέα νοσώδη. εἰ γὰρ τοῦτο, ἔσονται καὶ τὰ ὑγιεινὰ φαῦλα, ὅτι τινὰ ὑγιεινὰ ἐμποδὼν ἵσταται τῷ πλουτεῖν, ὅτι πολλῶν χρημάτων εἰσὶν ἀναλωτικά· ἀλλ᾽ οὐ φαῦλα διὰ τοῦτο· οὐ γὰρ τὸ ἐναντιούμενον ὁπωσοῦν ἄλλῳ τινὶ ἀγαθῷ φαῦλον· ἐπεὶ καὶ τὸ θεωρεῖν βλάπτει ποτὲ εἰς ὑγίειαν, καὶ οὐ διὰ τοῦτο φαῦλον· οὐκ ἄρα οὐδὲ ἡ ἡδονὴ φαῦλον, ὅτι τινὰ ἡδέα νοσώδη. καὶ μὴν οὐδὲ ὅτι ἐμποδίζουσιν ἔνιαι τῶν ἡδονῶν τῇ φρονήσει καὶ τῇ θεωρίᾳ, διὰ τοῦτο φαῦλον ἡ ἡδονή. οὐ γὰρ ἡ ἡδονὴ τῆς φρονήσεως τῇ φρονήσει ἐνοχλεῖ, οὐδὲ ἡ ἡδονὴ τῆς τέχνης τῇ τέχνῃ, ἀλλὰ μᾶλλον αὔξει ἑκάστην ἕξιν ἡ οἰκεία ἡδονή· ἀλλὰ αἱ ἐμποδίζουσαι ἡδοναὶ τὰς ἕξεις ἀλλότριαί εἰσι, καὶ ὡς μὴ προσήκουσαι ἐνοχλοῦσι· τοῦτο δὲ οὐκ ἔστι φαυλότητος σημεῖον. ἐπεὶ καὶ τῇ ὑγιείᾳ ἡ θεωρία ἐνοχλεῖ, καθὼς εἴρηται, ὅτι οὐκ ἔστι προσήκουσα ἐνέργεια τῇ ὑγιείᾳ· ἀλλ᾽ οὐ διὰ τοῦτο φαῦλον ἡ θεωρία. καὶ μὴν οὐδὲ ὅτι οὐκ ἔστιν ἔργον τέχνης οὐδεμιᾶς, διὰ τοῦτο φαῦλον· οὕτω γὰρ

2 ἄλλων h: ἀλλήλων D 9 ιη´ h: om. D 12 γένεσιν h: αἴσθησιν D 25 κ D: $\overline{κα}$ h 29 ἄλλῳ h: ἄλλο D

ἂν πᾶσα ἐνέργεια φαῦλον ἂν ἦν. οὐδεμία γὰρ ἐνέργεια τέχνης ἐστὶν ἀποτέλεσμα, | ἀλλὰ τὴν μὲν δύναμιν ἡ τέχνη, ἡ δὲ δύναμις προάγει τὴν 284 ἐνέργειαν· ἡ μὲν γὰρ περὶ τὴν κυβερνητικὴν τέχνη αἰτία ἐστὶ τοῦ δύνασθαι κυβερνᾶν. τὸ δὲ δύνασθαι κυβερνᾶν αἴτιόν ἐστι τῆς κατὰ τὴν κυβερνητικὴν ἐνεργείας. καίτοι καὶ ἡ ἡδονὴ γίνεται τινος τέχνης πολλάκις· ἡ γὰρ μυρεψικὴ καὶ ἡ ὀψοποιητικὴ τέχναι εἰσὶν ἡδονῆς ποιητικαί. ὅτι δὲ οἱ σώφρονες καὶ οἱ φρόνιμοι φεύγουσι τὴν ἡδονὴν καὶ τὸν ἄλυπον διώκουσι βίον, οἱ δὲ παῖδες καὶ τὰ θηρία διώκουσι τὰς ἡδονάς. λύεται τοῖς ἐν τῷ ιη' ⟨κεφαλαίῳ⟩ εἰρημένοις. ἐπεὶ γὰρ τῶν ἡδονῶν αἱ μέν εἰσιν ἁπλῶς ἀγαθαί, αἱ δὲ οὐχ ἁπλῶς ἀγαθαί, τὰς μὲν μὴ ἁπλῶς ἀγαθὰς τὰ παιδία καὶ τὰ θηρία διώκει καὶ ὁ σώφρων φεύγει καὶ κατὰ ταύτας βούλεται μόνον ἄλυπος εἶναι καὶ ὁ φρόνιμος καὶ εἴ τις σπουδαῖος. τὰς μετ' ἐπιθυμίας καὶ λύπης, τὰς σωματικὰς (τοιαῦται γὰρ αὗται) καὶ τὰς τούτων ὑπερβολάς, περὶ ἃς ὁ ἀκόλαστος στρέφεται· διὸ ὁ σώφρων φεύγει ταύτας· τὰς δὲ ἁπλῶς ἡδονὰς ὁ σώφρων καὶ ὁ φρόνιμος διώκει, αἵ εἰσι σώφρονες ἡδοναί· αἵ εἰσιν αἱ τῶν ἐπαινετῶν ἕξεων ἐνέργειαι, οἷον σωφροσύνης ἢ δικαιοσύνης ἢ θεωρίας. ἐπεὶ δὲ καὶ λύπη ἡ μέν ἐστιν ἀγαθόν, ἡ δὲ φαῦλον καὶ φευκτόν, καὶ τῆς φευκτῆς ἡ μὲν καθ' αὑτό ἐστι φευκτή, ὡς ἡ ἐπὶ ἀρετῇ λύπη, ἡ δὲ πῄ, ὡς ἡ ἐπὶ ζημίᾳ τινὶ λύπη, ἥτις φευκτή ἐστι κατά τι, ὅτι ἐμποδίζει τῇ θεωρίᾳ, φανερὸν ὅτι ἀνάγκη πᾶσα τὸ ἐναντίον τῇ λύπῃ τὴν ἡδονήν, τὴν μὲν ἁπλῶς φευκτὴν εἶναι, τὴν δὲ πῄ· ἀνάγκη γὰρ τῷ ἁπλῶς κακῷ ἁπλῶς ἀγαθὸν εἶναι ἐναντίον, καὶ τῷ πὴ κακῷ τὸ | πὴ ἀγαθόν· οὐ γὰρ ἡ Σπευσίππου λύσις, καθ' ἣν ἐνιστάμενος λύειν 285 ἐπιχειρεῖ τόνδε τὸν λόγον, συμβαίνει τῇ ἀληθείᾳ. φησὶ γάρ, ὅτι καθάπερ τὸ μεῖζον καὶ τὸ ἔλαττον ἐναντία ἐστὶ τῷ ἴσῳ καὶ ἐπὶ τῶν ἀρετῶν τὰ παρ' ἑκάτερα ἐναντία, τὸν αὐτὸν δὴ τρόπον καὶ τῇ ἀλυπίᾳ ἀντίκειται ἡ ἡδονὴ καὶ λύπη, ἡ μὲν ὡς μεῖζον, ἡ δὲ λύπη ὡς ἔλαττον, καὶ ἔστιν ἡ μὲν ἀλυπία ἀγαθόν, ἡ δὲ ἡδονὴ καὶ ἡ λύπη κακόν· οὗτος γὰρ ὁ λόγος παντελῶς ἄδοξός ἐστιν· οὐδενὶ γὰρ ἡ ἡδονὴ κακὸν δοκεῖ· οὐδεὶς γὰρ ἂν φαίη τὴν ἡδονὴν αὐτήν, ὅπερ ἐστὶ κακὸν εἶναι. οὐδὲν δὲ κωλύει ἡδονήν εἶναι τὸ ἀγαθὸν καὶ τὸ ἄριστον, ὅτι ἔνιαι τῶν ἡδονῶν φαῦλαι· καὶ γὰρ πολλῶν φαύλων οὐσῶν ἐπιστημῶν οὐδὲν κωλύει τὸ ἄριστον εἶναι τὴν ἐπιστήμην. ἴσως δὲ οὐ μόνον δυνατὸν ἀλλὰ καὶ ἀναγκαῖον τὴν ἡδονὴν τὸ ἄριστον εἶναι καὶ τὸ αἱρετώτατον. εἰ γὰρ πάσης ἕξεώς ἐστιν ἐνέργεια, ἡ δὲ εὐδαιμονία καὶ τὸ ἄριστον ἐνέργειά ἐστιν ἕξεως ἀγαθῆς, ἢ μιᾶς τῆς ἀρίστης ἢ πασῶν, ἀνεμπόδιστος· ἡ δὲ ἡδονὴ ἐνέργειά ἐστι τῆς κατὰ φύσιν ἕξεως ἀνεμπόδιστος· ἀνάγκη δὴ τὴν εὐδαιμονίαν καὶ τὸ ἄριστον ἡδονὴν εἶναι. καὶ οὐδὲν προσίσταται τὸ τινὰς τῶν ἡδονῶν φαύλας εἶναι. ὅτι δὲ τὴν εὐδαιμονίαν ἀνάγκη ἐνέργειάν τινα εἶναι ἀνεμπόδιστον, φανερόν· δεῖ γὰρ τελείαν εἶναι· οὐδεμία δὲ ἐνέργεια ἐμποδιζομένη τελεία δύναται εἶναι·

9 κεφαλαίῳ h: om. D 11 μόνον h: μόνος D 13 καὶ τὰς σωματικὸς Arist. 14 περὶ ἃς D: περὶ ἂν h στρέφεται D: στρέφηται h 17 λύπη ed. 1617: λύπης Dh 22 τῷ h: τὸ D

διὰ τοῦτο, καθὼς ἐν τοῖς ἔμπροσθεν εἴρηται, δεῖται ὁ εὐδαίμων τῶν ἔξωθεν ἀγαθῶν, ἵνα μὴ ἐμποδίζηται ἡ ἐνέργεια αὐτοῦ. οἱ δὲ τὸν ἀνωμάλως βιοῦντα καὶ δυστυχίαις μεγάλαις περιπίπτοντα εὐδαίμονα φάσκοντες εἶναι, ἐὰν ᾖ ἀγαθός, ἢ ἑκόντες ἢ ἄκοντες οὐδὲν λέγουσι· προσδεῖται γὰρ ὁ εὐδαίμων καὶ τῶν σωματικῶν ἀγαθῶν, ὑγιείας δηλονότι 286 καὶ μακροβιότητος καὶ τῶν περὶ τὸ σῶμα τῶν ἀναγκαίων καὶ τῆς ἀπὸ τῆς τύχης ῥοπῆς. διὰ τοῦτό τινες ᾠήθησαν τὸν εὐτυχῆ ταὐτὸν εἶναι τῷ εὐδαίμονι, ὅτι ἄνευ εὐτυχίας οὐκ ἔνι καθαρῶς εὐδαιμονεῖν· οὐκ ἔστι δὲ ταὐτόν. δεῖ γὰρ σπουδαῖον εἶναι τὸν εὐδαίμονα· οὐ πάντες δὲ εὐτυχεῖς σπουδαῖοι. καὶ βλάπτει δὲ ἐνίοτε εἰς τὴν ἀρετὴν ἡ εὐτυχία, καὶ συγχεῖ τὸν σπουδαῖον, ἂν ὑπερβάλλουσα ᾖ, ἥτις οὐδὲ εὐτυχία δικαίως ἂν καλοῖτο· τὸ γὰρ εἶναι τῆς εὐτυχίας ἐστὶν ἐν τῷ συμβάλλεσθαι πρὸς εὐδαιμονίαν. ἀκολούθως δὲ καὶ ὁ ὅρος ἀπὸ τούτου λαμβάνεται καὶ διὰ τοῦτο καὶ τὸ ὄνομα. διὸ οὐκ ἂν εὐτυχία δικαίως καλοῖτο, μὴ πρὸς τὴν εὐδαιμονίαν συμβαλλομένη. φανερὸν δὴ ὅτι τὸ ἀνεμπόδιστον ἀνάγκη προσκεῖσθαι τῇ ἐνεργείᾳ τοῦ εὐδαίμονος· τοῦτο δέ ἐστιν ἡ ἡδονή, ἐνέργεια ἀνεμπόδιστος. τὶς ἄρα ἡδονή ἐστιν ἡ εὐδαιμονία· ἔτι δὲ δῆλον καὶ ἀπὸ τοῦ θηρία καὶ ἀνθρώπους καὶ πάντα τὰ αἰσθητικὰ διώκειν τὴν ἡδονήν, ὅτι τὸ ἄριστον ἡδονή ἐστι· πάντα μὲν γὰρ βοῶσιν ἀγαθὸν εἶναι τὴν ἡδονὴν καὶ ἄριστον, δι' ὧν εἰς αὐτὴν ἐπείγονται.

φήμη δ' οὔτε γε πάμπαν ἀπόλλυται, ἥντινα πολλοί
λαοὶ φημίζουσιν.

οὐ πάντα δὲ διώκουσι τὴν ἀρίστην ἡδονήν, ἐπεὶ οὐδὲ πάντα τὴν αὐτὴν ἕξιν ἔχει ἢ τὴν αὐτὴν φύσιν· πάντα δὲ ἡδονὴν διώκουσιν, εἰ καὶ τὰ μὲν ἀγαθήν, τὰ δὲ φαύλην. ἴσως δὲ οὐδὲ διώκει οὐδὲν φαύλην ἡδονήν οὐδὲ ζητεῖ οὐδὲ ἐφίεται φαύλου τινός· οὐ γὰρ ἣν οἴεται ζητεῖν, καὶ ἣν ἂν εἴποι διώκειν, ταύτην διώκει, ἀλλὰ τὴν ἀρίστην διώκει πάντα. πάντα γὰρ 287 τοῦ ἀγαθοῦ ἐφίεται φύσει, ὅτι φύσει τι θεῖον ἔγκειται πᾶσι, καὶ πρὸς τὴν ἀγαθὴν ἡδονὴν καὶ κυρίως ἅπαντα φέρεται, εἰ καὶ ἡδοναὶ κυρίως δοκοῦσιν εἶναι αἱ σωματικαὶ ἡδοναὶ διὰ τὸ πλειστάκις παραβάλλειν εἰς αὐτὰς καὶ πάντας μετέχειν αὐτῶν. διὰ τὸ μόνας οὖν ταύτας γνωρίμους εἶναι, ταύτας μόνας οἴονται εἶναι ἡδονάς· ἐπεὶ δὲ αὗται αἱ ἡδοναὶ οὐκ ἀγαθαί εἰσι κυρίως, ἔλεγον μηδεμίαν ἡδονὴν ἀγαθὸν εἶναι. φανερὸν δὲ ὅτι ἀνάγκη τὴν ἡδονὴν ἀγαθὸν εἶναι. εἰ γὰρ μὴ ἔστιν ἡ ἡδονὴ ἀγαθὸν καὶ ἡ κατ' αὐτὴν ἐνέργεια, οὐ δυνατὸν ⟨ἡδέως⟩ ζῆν τὸν εὐδαίμονα· ἀλλὰ μὴν ἀνάγκη μεθ' ἡδονῆς τὸν εὐδαίμονα ζῆν· οὐκ ἄρα δυνατὸν τὴν ἡδονὴν μὴ ἀγαθὸν εἶναι. ὅτι δὲ εἰ μεθ' ἡδονῆς ὁ εὐδαίμων ζήσεται, ἀγαθὸν ἔσται ἡ ἡδονή, δῆλον ἀπὸ τοῦ τῇ εὐδαιμονίᾳ μηδὲν παραμεμῖχθαι κακόν, ἢ μὴ κυρίως ἀγαθόν· τίνος γὰρ ἕνεκα διώκει ταύτην ὁ εὐδαίμων, εἴπερ μή ἐστιν ἀγαθόν; εἰ δὲ μήτε ἀγαθὸν μήτε κακὸν ἡ ἡδονή, οὐδὲ ἡ λύπη εἴη ἂν οὔτε ἀγαθὸν οὔτε κακόν· οὐκ ἄρα φευκτὸν ἡ λύπη. διὰ τί οὖν φεύγει αὐτὴν ὁ

1 cf. p. 21,17 14 τὴν D: om. h 18 αἰσθητικὰ D: αἰσθητὰ h 21 Hesiod. Op. 763 32. 33 καὶ κυρίως h 35 ἡδέως h: om. D

εὐδαίμων, εἴπερ μὴ ἔστι φευκτόν; οὐ γὰρ φευκτόν, εἰ μὴ κακόν· οὐ δύναται δὲ μὴ φεύγειν τὴν λύπην ὁ εὐδαίμων· ἀνάγκη γὰρ ἥδιστον εἶναι τὸν εὐδαίμονα βίον· τοῦτο δὲ οὐ δυνατόν, εἰ μὴ ἡδεῖαι εἶεν αἱ ἐνέργειαι τοῦ εὐδαίμονος· πῶς γὰρ ἂν ἥδιστος γένοιτο; εἰ δὲ μήτε κακὸν ἡ ἡδονὴ μήτε οὐκ ἀγαθόν, εἴη ἂν ἀγαθόν.

Ἀπορία διὰ τί πᾶσα λύπη φευκτόν, ἐπεὶ οὐ πᾶσα ἡδονὴ ἀγα- 288
θόν, καὶ λύσις. κεφ. κα'.

Ἀπορήσειε δ' ἄν τις, εἰ τινὲς ἡδοναὶ ἀγαθαί εἰσι καὶ αἱρεταί, τινὲς δὲ φαῦλαι, ὥσπερ αἱ σωματικαὶ καὶ περὶ ἃς ὁ ἀκόλαστος, διὰ τί πᾶσα λύπη μοχθηρά ἐστι καὶ φευκτή· δεῖ γὰρ τὴν μὲν ἐναντίαν ταῖς ἀγαθαῖς ἡδοναῖς λύπην πονηρὰν εἶναι, τὴν δὲ ταῖς φαύλαις ἐναντίαν ἀγαθήν· κακῷ γὰρ ἐναντίον ἀγαθόν· εἰ δὲ καὶ αὕτη ἡ λύπη πονηρά, δόξειεν ἂν τὰς σωματικὰς ἡδονὰς ἀγαθὸν εἶναι. πρὸς δὴ ταῦτα λέγομεν, ὅτι αἱ σωματικαὶ ἡδοναὶ ἀγαθαί εἰσιν οὕτως, ὥστε μὴ εἶναι κακαί· τὸ γὰρ μὴ κακὸν ἀγαθόν ἐστι. τοῦτο δὲ μέχρι τινός. ἀγαθαὶ γάρ εἰσι τόνδε τὸν τρόπον αἱ μὴ ὑπερβάλλουσαι· διὰ τοῦτο αἱ λῦπαι αἱ ἐναντίαι ταύταις οὔκ εἰσιν ἀγαθαί· ἐπεὶ γὰρ ἕξεις αἱ μὲν ὑπερβάλλουσι τὸ βέλτιστον καὶ τὸ δέον, αἱ δὲ οὐχ ὑπερβάλλουσιν, ὑπερβάλλουσι μὲν αἱ ἀναγκαῖαι ἕξεις, οἷον ἡ θρεπτικὴ καὶ αἱ ἄλλαι ἀναγκαῖαι καὶ ὅλως αἱ σωματικαί· ἔστι γὰρ πλέον τοῦ δέοντος αὐταῖς χρήσασθαι· οὐχ ὑπερβάλλουσι δέ, ὅσαι ἐπιτεινόμεναι οὐχ ὑπερβαίνουσι τὸ δέον, ἀλλ' ἀεὶ ἀγαθαί εἰσιν, ὥσπερ αἱ θεωρητικαὶ ἕξεις. ἐπεὶ δὲ αἱ ἡδοναὶ ταῖς ἕξεσιν ἀκολουθοῦσιν, ἀνάγκη καὶ τῶν ἡδονῶν τὰς μὲν ὑπερβάλλειν τὸ δέον, τὰς δὲ μὴ ὑπερβάλλειν. ὅσαι τοίνυν ὑπερβάλλουσι τὸ δέον φαῦλαί εἰσι, καὶ κατὰ ταύτας ὁ ἀκόλαστός ἐστι καὶ ὁ ἀκρατής· ⟨κατὰ⟩ τὰς δὲ ἐναντίας λύπας ὁ ἀκόλαστος οὐ περὶ τὰς ὑπερβολικάς ἐστιν, ἀλλὰ τὰς μὲν ὑπερβαλλούσας ἡδονὰς διώκει, τὰς δὲ μι|κρὰς λύπας φεύγει· 289
ὥστε φανερὸν ὅτι ταῖς ὑπερβαλλούσαις ἡδοναῖς αἱ ἐν τῷ ἀκολάστῳ ἀντικείμεναι λῦπαι οὐχ ὑπερβολικαί εἰσιν ἀλλὰ μέτριαι, καὶ ἃς οὐδεὶς ἂν φύγοι τῶν σπουδαίων, ὅτι οὐδὲ λῦπαί εἰσιν· ἀλλὰ τῷ διώκοντι τὴν ὑπερβολὴν τῶν ἡδονῶν ἀλγεινὸν δοκεῖ τὸ μετρίως καὶ κατὰ λόγον αὐταῖς χρήσασθαι. λύεται δὲ δὴ ἡ ἀπορία οὕτως· ταῖς μὲν συμμέτροις ἡδοναῖς αἱ ἀντικείμεναι λῦπαι οὐκ ἀγαθαί εἰσιν· αἱ γὰρ σύμμετροι σωματικαὶ ἡδοναὶ ἀγαθαί, καθόσον οὐ κακαί· αἱ δὲ ταῖς ὑπερβαλλούσαις ἀντικείμεναι μέτριαι καὶ οὐδὲ λῦπαι, καὶ διὰ τοῦτο οὐ φευκταί. ὥστε πᾶν ἀγαθὸν φευκτῷ ἐστιν ἐναντίον, καὶ ⟨αἱ⟩ φαῦλαι ἡδοναὶ ταῖς ἀγαθαῖς λύπαις εἰσὶν ἐναντίαι καὶ αἱ ἀγαθαὶ ταῖς φευκταῖς.

7 $\overline{κα}$ D: κβ h 9 καὶ om. h 15 δὲ D: γὰρ h 20. 21 ὑπερβαίνουσι D: ὑπερβάλλουσι h 25 κατὰ ed. 1617: om. Dh ὁ om. h 35 αἱ h: om. D

Διὰ τί αἱ σωματικαὶ ἡδοναὶ τῶν θεωρητικῶν αἱρετώτεραι δοκοῦσιν. κεφ. κβʹ.

Ἐπεὶ δὲ οὐ μόνον δεῖ εἰπεῖν τὸ ἀληθὲς ἀλλὰ καὶ διὰ τί δοκεῖ τὸ
ἐναντίον ψεῦδος ἀληθές· τοῦτο γὰρ συμβάλλεται πρὸς τὸ πιστεῦσαι τὴν
ἀλήθειαν· ὅταν γὰρ φανῇ ἡ αἰτία, δι' ἣν εἰκότως τὸ ψεῦδος ἀλήθεια δο- 20
κεῖ καὶ ἡ αὐτῆς ἀπάτη ἐλεγχθῇ, πιστεύειν ποιεῖ τῷ ἀληθεῖ μᾶλ-
λον· ὥστε λεκτέον διὰ τί φαίνονται αἱ σωματικαὶ ἡδοναὶ αἱρε-
τώτεραι τῶν κυρίως ἀγαθῶν ἡδονῶν. πρῶτον μὲν ὅτι ἰατρεῖαί εἰσι ταῖς
λύπαις ταῖς σωματικαῖς, καὶ ταύτας ῥαδίως ἐκκρούουσι καὶ μεγάλας οὔσας
αἱ ὑπερβάλλουσαι ἡδοναί, καὶ διὰ τοῦτο διώκονται παρὰ τὸν καιρὸν τῆς
λύπης τῆς σωματικῆς, ὅτι δοκοῦσιν ἰατρεῖαι εἶναι σφοδραὶ καὶ ῥα|δίως 290
ἀπαλλάττουσι τῆς ἐπὶ τῇ ἐνδείᾳ τῶν ἡδέων λύπης. ἔπειτα διότι διώκονται
παρὰ τῶν μὴ δυναμένων ἄλλαις ἡδοναῖς χαίρειν. πολλοὶ δὲ οἱ τοιοῦτοι·
καὶ διὰ τοῦτο τὸ ὑπ' αὐτῶν ζητούμενον ἀγαθόν τι δοκεῖ καὶ αἱρετόν· οἵ-
τινες οὐ τὰς ἐκ φύσεως ἐπιθυμίας ἐμπιπλάναι μόνον σπουδάζουσιν, ἀλλὰ
καὶ ἐπισκευαστάς τινας ἐπιθυμίας ἐπινοοῦσι καὶ δίψας τινὰς παρασκευά-
ζουσιν ἑαυτοῖς, ἵνα δύνωνται διὰ παντὸς ἥδεσθαι. τοῦτο δέ, εἰ μὲν οὐχ
ὑπερβαίνει τὸν λόγον καὶ τὸ μέτριον, οὔτε βλαβερόν ἐστιν (αἱ γὰρ σύμ-
μετροι ἡδοναὶ οὐ λυμαίνονται τῷ σώματι) καὶ ἀνεπιτίμητόν ἐστιν· εἰ δὲ 10
ὑπερβάλλουσι καὶ βλεβεραί εἰσιν αἱ διωκόμεναι ἡδοναί, φαῦλον. ἀνεπιτί-
μητον δέ ἐστι τὸ χρῆσθαι συμμέτροις ἡδοναῖς, ὅτι ἀνάγκη χρῆσθαι τὸν
ἄνθρωπον τοῖς ἡδέσι διὰ τὴν φύσιν ἀεὶ οὖσαν ἐν πόνῳ καὶ δεομένην τινὸς
ἡδονῆς ὥσπερ ἀναπαύσεως. ἀεὶ γὰρ πονεῖ τὸ ζῷον, ὥσπερ καὶ οἱ
φυσικοὶ λόγοι μαρτυροῦσι· λέγουσι γὰρ τὸ ὁρᾶν ⟨καὶ⟩ τὸ ἀκούειν
λυπηρὸν εἶναι, διὰ δὲ τὸ ἔθος οὐ τοιοῦτον δοκεῖν· διὰ τοῦτο χρεία τῷ
ἀνθρώπῳ ἡδονῆς· ᾧ δὲ οὔκ εἰσιν αἱ θεωρητικαὶ ἡδοναί, πᾶσα ἀνάγκη
ταῖς σωματικαῖς χρῆσθαι· οἱ οὖν συμμέτρως χρώμενοι καὶ ὥσπερ οὐκ 20
ἔνι διαφθεῖραι τὸ σῶμα οὐκ ἐπιτιμῶνται. ὁμοίως δὲ διώκονται αἱ ἡδοναὶ
ὑπὸ τῶν νέων καθάπερ ὑπὸ τῶν ἀκολάστων ὅσαι εἰσὶ περὶ τὸ θρεπτικόν,
τῆς φύσεως κινούσης, ἵνα αὐξηθῶσι, καὶ διάκεινται ὥσπερ οἱ οἰνωμένοι·
ἐσθίοντες γὰρ ἀεὶ καὶ πίνοντες καὶ ὑπνώττοντες ἀκμαιοτάτην ἔχουσι τὴν
περὶ ταῦτα ἐπιθυμίαν, ὥσπερ ἐκεῖνοι τὴν δίψαν. διὰ τοῦτο ἡ νεότης ἡδύ
ἐστιν, ὅτι μετ' ἐπιθυμίας ἀεὶ τῶν ἀναγκαίων ἅπτεται. τὸν ἴσον δὴ τρόπον
καὶ οἱ μελαγχολικοὶ τὴν φύσιν ἀεὶ ἐν ὀρέξει εἰσὶ σφοδρᾷ καὶ δέονται ἀεὶ 291
θεραπείας· δάκνεται γὰρ αὐτοῖς ἀεὶ τὸ σῶμα διὰ τὴν κρᾶσιν. οἱ μὲν
οὖν ζητοῦντες τὰς ἡδονὰς οὗτοί εἰσι, καὶ διὰ ταύτας τὰς αἰτίας ζητοῦσι·
καθόλου δὲ πᾶσα ἡδονὴ σωματικὴ ζητεῖται ἵνα ἐκβάλλῃ λύπην σωματικήν·
ἐκκρούει γὰρ ἡ ἡδονὴ λύπην, οὐ μόνον ἡ ἀντικειμένη αὐτῇ, οἷον ἡ ἐπὶ
τῷ θρεπτικῷ ἡδονὴ τὴν ἐπὶ τῷ θρεπτικῷ λύπην, ἀλλὰ καὶ ἑτέρα τις,

2 κβʹ D: κγʹ h 24 καὶ h: om. D 27. 28 οὐκ ἔνι D: οὐκ ἐοὶ h: οὐκ ἐς τὸ Heinsius: οὐ πρὸς τὸ Mullach 38 ἡ (ante ἡδονὴ) om. h

ἐὰν ᾖ ἰσχυρά. διὰ ταύτην τὴν αἰτίαν αἱ σωματικαὶ ἡδοναὶ διώκονται καὶ ἐντεῦθεν ἀκόλαστοι καὶ φαῦλοι γίνονται. αἱ δὲ ἡδοναὶ αἱ θεωρητικαί, ὧν οὐ προηγεῖται λύπη (οὐ γάρ, ὥσπερ ἐπὶ τῶν σωματικῶν, πρὶν ἡσθῆναι, λυπούμεθα), αἱ δὴ τοιαῦται οὐχ ὑπερβάλλουσι τὸ δέον, οὐδ' ἔστι θεωρῆσαι πλέον ἢ προσῆκεν· ἀλλὰ ἀεὶ ἐπαινεταί εἰσιν, ὅτι τὰ κατ' αὐτὰς ἡδέα φύσει εἰσὶν ἡδέα καὶ οὐ κατὰ συμβεβηκός. λέγω δὲ κατὰ συμβεβηκὸς ἡδέα τὰ ἰατρεύοντα τὰς σωματικὰς ἐνδείας καὶ λύπας, ὥσπερ τὰ σιτία· ἰατρεύει γὰρ τὴν φύσιν τοῦ πεινῶντος νοσοῦσαν τοῦτο τὸ μέρος, καὶ εἰσάγει τὸ ἐλλεῖπον, ἐπειδὰν κατὰ τὸ ἕτερον μέρος οὐκ ἐνδεὴς ᾖ οὐδὲ νόσῃ, λέγω δὴ τὸ θρεπτικόν, ἀλλ' ἔχῃ τε αὐτὸ καὶ ὑγιαίνῃ κατ' αὐτὸ καὶ ἐνεργῇ, τουτέστιν ὀρέγηται. κατὰ συμβεβηκὸς γὰρ τὰ τοιαῦτα ἡδέα ἐστίν, ὅτι διὰ τὴν ἰατρείαν συμβαίνει αὐτοῖς ἡδέσιν εἶναι· φύσει δὲ ἡδέα οὐ τὰ ἀναπληροῦντα τὴν ἔνδειαν τῆς φύσεως ἀλλὰ τὰ ποιοῦντα πρᾶξιν αὐτῆς, οἷά ἐστι τὰ θεωρητά· τελειοῦσι γὰρ τῆς ψυχῆς τὴν ἐνέργειαν. ὅτι δὲ οὐκ ἐσμὲν ἁπλοῖ οὐδὲ μόνῃ ζῶμεν τῇ ψυχῇ, διὰ τοῦτο οὐκ ἀεὶ ταὐτὰ ἡδέα ἡμῖν ἐστιν, ἐπεὶ οὐδὲ τὰ κατὰ συμβε|βηκὸς ἡδέα ἀεὶ 292 ζητοῦμεν, ἀλλὰ νῦν μὲν ταῦτα, νῦν δὲ ἐκεῖνα. ὅταν μὲν γὰρ πρὸς τὸ σῶμα ῥέπωμεν, τοῖς σωματικοῖς χαίρομεν, ἐπειδὰν δὲ ὑπὲρ τοῦτο ἴδωμεν, τὰ φύσει ἡδέα ζητοῦμεν· αἱ γὰρ τῆς ψυχῆς ἡδοναὶ ταῖς σωματικαῖς μάχονται, καὶ οἷς ἡ ψυχὴ πράττουσα χαίρει, ταῦτα τῷ σώματι παρὰ φύσιν· ὁπόταν δὲ διὰ τῆς περὶ τὴν ἀρετὴν μελέτης τῇ ψυχῇ τὸ σῶμα ἀκολουθήσῃ, τηνικαῦτα οἷς ἐνεργοῦσα ἥδεται ἡ ψυχή, οὐχ ἥδεται μὲν τὸ σῶμα, καθόσον οὐκ εἰσιν αἰσθητά, οὐκ ἀλγεῖ δέ. διὰ τοῦτο καὶ οἷς ἐστιν ἡ φύσις καθάπαξ ἁπλῆ, ἡ αὐτὴ πρᾶξις ἀεὶ ἡδίστη ἐστίν· ὁ γὰρ θεὸς ἀεὶ μίαν καὶ ἁπλῆν χαίρει ἡδονήν· καίτοι ἀκίνητός ἐστι καὶ δοκεῖ διὰ τοῦτο μὴ ἔχειν ἡδονήν. ἡ γὰρ ἡδονὴ ἐνέργειά ἐστιν, ἡ δὲ ἐνέργεια κινήσεως δοκεῖ μόνον εἶναι, ἀλλ' οὐκ ἔστιν· ἔστι γὰρ καὶ ἀκινησίας ἐνέργεια. καὶ ἡ ἡδονὴ μᾶλλον ἐν ἠρεμίᾳ ἐστὶν ἢ ἐν κινήσει. ἡ δὲ μεταβολὴ πάντων γλυκύτατον, κατὰ τὸν ποιητήν, οὐ τῇ ἀρίστῃ καὶ ἀγαθῇ φύσει ἀλλὰ τῇ συνθέτῳ διὰ τὴν ἀσθένειαν αὐτῆς καὶ τὴν πονηρίαν· ὥσπερ γὰρ ὁ πονηρὸς ἄνθρωπος εὐμετάβολος, οὕτω καὶ ἡ πονηρὰ φύσις ἀεὶ δεῖται μεταβολῆς· οὐ γὰρ ἁπλῆ οὐδὲ ἐπιεικής. περὶ μὲν οὖν ἐγκρατείας καὶ ἀκρασίας καὶ περὶ ἡδονῆς καὶ λύπης καὶ τί ἐστιν ἕκαστον αὐτῶν καὶ πῶς τὰ μὲν ἀγαθὰ τὰ δὲ κακά, εἴρηται· λοιπὸν δὲ περὶ φιλίας ἐροῦμεν.

10 νοσῇ D: νοσεῖ h   18 ἐπειδὴ vel ἐπειδὴν corr. ex ἐπειδὰν D   25 ἁπλῆν h: ἁπλῆ D   27 ἀκινησίας D: ἀκινησία h   29 cf. Eurip. Orest. 234

Περὶ φιλίας. κεφ. α΄.

Μετὰ δὲ ταῦτα περὶ φιλίας ἀκόλουθόν ἐστι διελθεῖν. ἔστι γὰρ
ἡ φιλία ἀρετή τις ἢ ἕπεται τῇ ἀρετῇ· καὶ γὰρ ἡ μεταξὺ δυσκολίας καὶ
κολακείας ἀρετή, προσλαβοῦσα τὸ στέργειν, φιλία ἐστίν, ὡς ἐν τῷ η΄ 10
κεφαλαίῳ τοῦ δ΄ βιβλίου εἴρηται· καὶ ἕπεται δὲ τῇ τελείᾳ ἀρετῇ. ἡ
γὰρ ἀληθὴς φιλία, ὡς αὐτίκα εἰρήσεται, ἐν τοῖς σπουδαίοις μόνοις εὑρί-
σκεται. διὰ ταῦτα ἐν τῇ περὶ τῶν ἀρετῶν πραγματείᾳ ἀκόλουθόν ἐστι
καὶ περὶ αὐτῆς εἰπεῖν, ἐπεὶ καὶ ἀναγκαιότατόν ἐστιν εἰς τὸν βίον. ἄνευ
γὰρ φίλων οὐδεὶς ἂν ἕλοιτο ζῆν, ἔχων τὰ λοιπὰ ἀγαθὰ πάντα·
καὶ γὰρ τοῖς πλουτοῦσι καὶ ἀρχὰς καὶ δυναστείας κεκτημένοις δοκεῖ
μάλιστα χρείαν εἶναι φίλων. τί γὰρ ὄφελος τῆς τοιαύτης εὐδαιμονίας
μὴ δυναμένοις εὐεργετεῖν; οὐκ εὐεργετοῦσι δὲ μὴ ἔχοντες φίλους· ἡ γὰρ 20
μάλιστα γινομένη εὐεργεσία καὶ ἐπαινουμένη πρὸς τοὺς φίλους ἐστίν. ἢ
πῶς ἂν ὁ εὐδαίμων ἐν τῇ εὐδαιμονίᾳ διαμεῖναι καὶ σῴζοιτο ἄνευ φίλων;
ὅσῳ γὰρ μείζων ἡ εὐδαιμονία, τοσούτῳ καὶ ἐπισφαλεστέρα. οὐ μόνον δὲ
εὐδαίμοσι χρεία φίλων ἀλλὰ καὶ δυστυχέσι καὶ πένησι· μό|νην γὰρ οἴον- 294
ται πάντες καταφυγὴν εἶναι τοὺς φίλους. οὐ μόνον δὲ τύχῃ ἀλλὰ καὶ
ἡλικίᾳ πάσῃ λυσιτελής ἐστιν ἡ φιλία· οἱ γὰρ φίλοι νέους μὲν εἰς τὸν
ὀρθὸν ὁδηγοῦσι λόγον, ἵνα μὴ δι' ἀπειρίαν τοῦ ἀγαθοῦ διαμαρτάνωσι,
πρεσβυτέρους δὲ θεραπεύουσι καὶ τὸ ἐλλεῖπον τῆς πράξεως διὰ τὴν ἀπὸ
τῆς ἡλικίας ἀσθένειαν αὐτοὶ ἀναπληροῦσι· τῶν δὲ ἐν ἀκμῇ ταῖς ἀγαθαῖς
πράξεσι προστιθέασι, καὶ βελτίω ποιοῦσι τὰ ἔργα

σύν τε δύ' ἐρχομένω·

καὶ γὰρ μετὰ τῶν φίλων καὶ νοῆσαι καὶ πρᾶξαι δυνατώτεροι γινόμεθα. 10
καὶ φύσει δὲ πρόσεστιν ἡμῖν ἡ φιλία. φύσει γὰρ τὸ γεννῶν φιλεῖ τὸ
γεννώμενον· καὶ οὐκ ἐν ἀνθρώποις μόνον, ἀλλ' ἤδη καὶ ἐν ὀρνέοις καὶ

---

1 inscriptionem libri finxi: ἠθικῶν νικομαχείων θ΄ D: Ἀριστοτέλους ἠθικῶν βιβλίον θ h   10 ἂν ἕλοιτο Dh et Arist. cod. Mb: ἕλοιτ' ἂν Arist. vulg.   12 χρείαν Dh: χρεία Mullach ex Arist.   15 διαμεῖναι Mullach: διαμείνῃ Dh   24 Homer. Il. K 224

ἐν τοῖς πλείστοις τῶν ζῴων· καὶ οὐκ ἐν γεννῶντι μόνον καὶ γεννωμένῳ, ἀλλὰ καὶ ἐν τοῖς ὁμογενέσι πρὸς ἄλληλα, μάλιστα δὲ πάντων ἐν τοῖς ἀνθρώποις· διὰ τοῦτο τοὺς φιλανθρώπους ἐπαινοῦμεν, ὡς ἀνθρώπινόν τι ποιοῦντας. ἴδοι δ' ἄν τις καὶ ἐν ταῖς πλάναις, ὡς οἰκεῖον ἅπας ἄνθρωπος ἀνθρώπῳ καὶ φίλον· οἵ τε γὰρ ἐπὶ χώρας μένοντες σὺν ἡδονῇ τὸν πλανώμενον ὑποδέχονται καὶ θεραπεύουσιν, ὅ τε πλανώμενος, εἰ συντύχοι μόνον ἀνθρώποις, μάλιστα χαίρει. καὶ τὰς πόλεις ἡ φιλία συνέστησε τὴν ἀρχὴν καὶ ἀεὶ συνέχει· καὶ οἱ καθιστάντες τὰς πόλεις νομοθέται μᾶλλον τῆς φιλίας φροντίζουσιν ἢ τῆς δικαιοσύνης· καὶ γὰρ διὰ τὴν ὁμόνοιαν ἡ δικαιοσύνη ζητεῖται· ἡ δὲ ὁμόνοια ὅμοιόν τί ἐστι τῇ φιλίᾳ, ἡ δὲ στάσις ὁμοία ἐστὶ τῇ ἔχθρᾳ, ἣν ἀεὶ τῆς πόλεως ἀπελαύνειν σπουδάζουσιν οἱ νομοθέται. ἄλλως τε. φίλων μὲν ὄντων πρὸς ἀλλήλους τῶν | πολιτῶν, οὐ χρεία τῇ πόλει δικαιοσύνης, δικαίων δὲ ὄντων, φιλίας 295 χρεία· βέλτιον γὰρ μετὰ ταύτης ὁμονοήσουσιν ἢ μετὰ τῆς δικαιοσύνης. ἔτι τὸ μάλιστα δίκαιον φιλικὸν εἶναι δοκεῖ· καὶ γὰρ ἐπειδάν τις περὶ τὸν πλησίον πάντα τὰ δίκαια διασώζῃ, κἂν αὐτόν τι δέῃ ζημιωθῆναι, φίλος ἐστίν· ὥστε μᾶλλον ζητεῖται ἡ φιλία ἢ ἡ δικαιοσύνη παρὰ τῶν νομοθετῶν, καὶ ἀναγκαῖόν ἐστι πρὸς τὸ καλῶς ὁμονοεῖν δύνασθαι. οὐ μόνον δὲ ἀναγκαῖόν ἐστι καὶ πρὸς ἄλλο φέρει ἀγαθόν, ἀλλὰ καὶ αὐτὸ καθ' ἑαυτὸ καλόν ἐστι καὶ ἐπαινετόν· τοὺς γὰρ φιλοφίλους ἐπαινοῦμεν, ἥ τε πολυφιλία δοκεῖ τῶν καλῶν ἓν εἶναι· καὶ ἔνιοί φασι μηδὲν διαφέρειν τὸν φίλον τοῦ ἀγαθοῦ ἀνδρός, ἀλλὰ τὸν αὐτὸν ἄντικρυς εἶναι.

Τίς ἡ φιλία, καὶ ὅτι τρία αὐτῆς ἐστιν εἴδη. κεφ. β'.

Τοιαύτη μὲν οὖν ἡ φιλία· διαπορεῖται δὲ περὶ αὐτῆς οὐκ ὀλίγα. πότερον ὁμοιότης ἐστὶν ἡ φιλία καὶ οἱ ὅμοιοι φίλοι, ἢ ἐναντιότης καὶ οἱ ἔχοντες ἐναντίοι. οἱ μὲν γὰρ ὁμοιότητα τιθέασιν αὐτὴν καὶ τοὺς ὁμοίους φίλους· ὅθεν τὸν ὅμοιόν φασιν ὡς τὸν ὅμοιον καὶ κολοιὸν ποτὶ κολοιὸν καὶ ὅσα τοιαῦτα· οἱ δὲ ἐναντίους τοὺς φίλους φασὶν εἶναι καὶ τὸν λόγον εἰς τὸ καθολικώτερον καὶ φυσικώτερον ἀνάγουσιν, Εὐριπίδης μὲν φάσκων

ἐρᾶν μὲν ὄμβρου γαῖαν ξηρανθεῖσαν,
ἐρᾶν δὲ σεμνὸν οὐρανὸν πληρούμενον
ὄμβρου, πεσεῖν εἰς γαῖαν,

Ἡράκλειτος δὲ λέγων τὸ ἀντίξουν συμφέρον εἶναι καὶ ἐκ | τῶν 296 διαφερόντων καλλίστην ἁρμονίαν, καὶ πάντα κατ' ἔριν γίνεσθαι· ἐξ ἐναντίας δὲ τούτοις ἀποφαίνεται περὶ τῆς φιλίας μετὰ πολλῶν ἄλλων καὶ ὁ Ἐμπεδοκλῆς, λέγων τὸ ὅμοιον τοῦ ὁμοίου ἐφίεσθαι. τὸ μὲν οὖν ἀνάγειν τὸν λόγον εἰς καθολικούς τινας καὶ φυσικοὺς λόγους καὶ ζητεῖν ἁπλῶς, πῶς τὰ ἐναντία τῶν ἐναντίων ἐφίεται καὶ τὰ ὅμοια

---

15 ἔτι δὲ τὸ h 21 ἕν τι Aristoteles 28 τοὺς om. h 29 τὸ h: τὸν D 31 Euripidis frg. 890 N. 34 Heraclit. frg. 46 Bywater

τῶν ὁμοίων, οὐκ ἔστιν οἰκεῖον τῆς παρούσης σκέψεως. ἐπισκεψώμεθα δὲ ὅσα μόνης ἔχεται τῆς ἀνθρωπίνης φύσεως, καὶ τῶν ἀνθρωπίνων ὅσα εἰς ἤθη φέρει καὶ πάθη· ταῦτα γὰρ ὕλη ἐστὶ τῇ παρούσῃ πραγματείᾳ. ζη-τητέον τοίνυν, πότερον ἐν πᾶσι γίνεται ἡ φιλία ἢ ἐν μὲν τοῖς ἀγαθοῖς γίνεται, ἐν δὲ τοῖς μοχθηροῖς οὐχ οἷόν τε γενέσθαι· καὶ πότερον πολλὰ εἴδη φιλίας ἢ ἕν· οὐ γάρ, διότι ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον ἡ φιλία, διὰ τοῦτο ἓν εἶδος αὐτῆς ἐστιν· ἐπιδέχεται γὰρ τὸ μᾶλλον καὶ ἧττον καὶ τὰ ἕτερα τῷ εἴδει· ἡ γὰρ οὐσία καὶ τὸ συμβεβηκὸς ἕτερα ὄντα τῷ εἴδει τὸ μᾶλλον καὶ ἧττον ἐπιδέχονται· οὐ γὰρ ὁμοίως εἰσὶν ὄντα· ὥστε οἱ διὰ τὸ μᾶλλον καὶ ἧττον οἰόμενοι ἓν εἶδος φιλίας εἶναι οὐχ ἱκανῷ πεπιστεύκασι σημείῳ. περὶ τούτων δὲ ἐν τοῖς ἔμπροσθεν εἴρηται. τὰ μὲν οὖν ζητούμενα ταῦτα· φανερὰ δ' ἂν γένοιντο, εἰ φανερὸς γένοιτο ὁ περὶ τοῦ φιλητοῦ λόγος· οὐ γὰρ πάντα φιλοῦμεν ἀλλ' ὅσα πέ-φυκε φιλεῖσθαι, ἅ ἐστι τὰ φιλητά· φιλητὰ δέ ἐστι ταῦτα, τὸ ἀγαθὸν τὸ ἡδὺ τὸ χρήσιμον· τὸ μὲν οὖν ἀγαθὸν καὶ τὸ ἡδὺ δι' ἑαυτὸ φιλεῖται, τὸ δὲ χρήσιμον φιλεῖται ἢ διὰ τὸ ἀγαθὸν ἢ διὰ τὴν ἡδονήν. χρήσιμον γάρ ἐστι, δι' οὗ γίνεται ἢ ἀγαθὸν ἢ ἡδονή· ὥστε τὸ μὲν ἀγαθὸν καὶ ἡ ἡδονὴ ὡς τέλη εἰσὶ φιλητά, τὸ δὲ χρήσιμον ὡς πρὸς τὸ τέλος ταττόμενον. 297
σκεψώμεθα δὲ πῶς τὸ ἀγαθὸν φιλητόν ἐστι, πότερον τὸ ἁπλῶς ἀγαθὸν ἢ τὸ τῷ φιλοῦντι ἀγαθόν· ἐνίοτε γὰρ διαφέρει ταῦτα ἀλλήλων καὶ ἄλλο μέν ἐστι τὸ ἁπλῶς καὶ κυρίως ἀγαθόν, ἄλλο δὲ τισὶ δοκεῖ ἀγαθόν· ὁμοίως δὲ καὶ τὸ ἡδὺ διαφέρει τὸ ἁπλῶς ἡδὺ καὶ τὸ τισὶν ἡδύ. πότερα γοῦν φιλητά ἐστιν; ἢ δῆλον ὅτι τὰ δοκοῦντα ἡδέα καὶ ἀγαθὰ φιλητά ἐστιν; ὁμοίως δὲ καὶ χρήσιμα φιλητά ἐστι, ἃ πρὸς τὰ δοκοῦντα ἡδέα καὶ ἀγαθὰ φέρει· καὶ οὐ πάντα τὰ δοκοῦντα ἡδέα καὶ ἀγαθά, ἀλλ' ἃ δοκεῖ αὐτοῖς ἡδέα εἶναι καὶ ἀγαθὰ καὶ χρήσιμα, ταῦτα φιλητά. ὥστε ἁπλῶς μὲν φιλητὸν τὸ ἀγαθόν ἐστι· τισὶ δὲ φιλητὸν τὸ τισὶν ἀγαθόν· φαινόμενον δὲ φιλητὸν τὸ δοκοῦν τισιν ἀγαθὸν εἶναι, ὁμοίως δὲ καὶ τὸ ἡδὺ καὶ τὸ χρήσιμον. τριῶν δὲ ὄντων τῶν φιλητῶν, δι' ἃ ἡ φίλησις γίνεται, οὐκ ἐν πᾶσι τοῖς φιλουμένοις ἤδη καὶ φιλία γίνεται· φιλοῦμεν γὰρ καὶ τὰ ἄψυχα διά τι τούτων τῶν τριῶν φιλητῶν· ἀλλ' οὐ φιλία τὸ τοιοῦτον· φιλία γάρ ἐστιν, ὅταν τις φιλῶν ἀντιφιλῆται καὶ βούληται τῷ φιλουμένῳ τὰ ἀγαθὰ καὶ αὐτῷ βουλομένῳ τῷ φιλοῦντι τὰ ἀγαθά· ὁ δὲ φιλῶν, φέρε εἰπεῖν, οἶνον οὔτε παρ' αὐτοῦ ἀντιφιλεῖται οὔτε τῷ οἴνῳ βούλεται τὰ ἀγαθά· γελοῖον γάρ· ἀλλ' εἴπερ σώζεσθαι βούλεται αὐτόν, οὐκ αὐτοῦ ἕνεκα τοῦ οἴνου ἀλλὰ δι' ἑαυτόν, ἵνα αὐτὸς ἔχῃ· τῷ δὲ φίλῳ βουλόμεθα τὰ ἀγαθὰ αὐτοῦ ἕνεκα. διὰ τοῦτο ἡ πρὸς τὰ ἄψυχα φίλησις οὐκ ἔστι φιλία. ἔτι δὲ οὐδὲ εἴ τις ἄνθρωπον φιλοίη καὶ βούλοιτο αὐτῷ τὰ ἀγαθά, τὸ τοιοῦτον ἀνάγκη φιλίαν εἶναι· δεῖ γὰρ καὶ ἀντι|φιλεῖσθαι 298
ὁμοίως· εἰ δὲ μή, οὐ φίλος ἐστὶν ἀλλ' εὔνους τις λέγεται. συμβαίνει δέ τινας λανθάνοντας ἀλλήλους φιλεῖν ὑπολαβόντας ἀγαθούς τινας καὶ

4 ἡ φιλία om. h 17 ἡ om. h 20 τῷ om. h 32 φιλία μὲν γάρ h ἀντιφι-λῆται h: ἀντιφιλεῖται D 33 βουλομένῳ h: φιλουμένῳ D

χρησίμους εἶναι καὶ ἐπιεικεῖς καὶ βούλεσθαι ἀλλήλοις τὰ ἀγαθά· τούτους δὴ κυρίως μὲν φίλους οὐκ ἄν τις εἴποι, ὅτι οὐκ ἴσασι φιλούμενοι οὐδὲ ὡς ἔχουσι πρὸς ἀλλήλους, εὔνους δὲ ἀλλήλοις εἴποι τις ἄν. οὔτε τοίνυν ἡ τῶν ἀψύχων φίλησις φιλία ἐστὶν οὔτε ἡ τῶν ἀνθρώπων, ὅταν τινὸς ἐλλείπῃ τῶν εἰρημένων, ἀλλὰ φιλία ἐστίν, ὅταν ἀλλήλοις εὐνοῶσιν ἢ διὰ τὸ ἀγαθὸν ἢ διὰ τὸ ἡδὺ ἢ διὰ τὸ χρήσιμον, καὶ βούλωνται ἀλλήλοις τὰ ἀγαθά, καὶ οὐ λανθάνωσιν ἀλλήλους φιλοῦντες. ὅ τι μὲν οὖν ἐστι φιλία εἴρηται· φανερὸν δὲ ἐκ τῶν εἰρημένων ὅτι καὶ τρία εἴδη φιλίας· ἐπεὶ γὰρ τρία ἐστὶ τὰ δι' ἃ γίνεται ἡ φιλία, τὸ ἡδὺ τὸ ἀγαθὸν τὸ χρήσιμον, καὶ διαφέρουσι ταῦτα ἀλλήλων τῷ εἴδει, ἰσαρίθμως τοῖς φιλητοῖς ⟨καὶ ἡ φιλία⟩. καθ' ἕκαστον γὰρ τῶν φιλητῶν δυνατὸν φιλίαν γενέσθαι, ἤτοι φίλησιν μὴ λανθάνουσαν καὶ ἀντιφίλησιν. ἔτι δὲ καὶ βούλησιν ἀλλήλοις τῶν ἀγαθῶν· καθόσον γάρ τι φιλοῦμεν, βουλόμεθα ἐκείνῳ τὸ ἀγαθόν. τρία ἄρα εἴδη φιλίας, κατὰ τὸ ἀγαθὸν κατὰ τὸ ἡδὺ καὶ κατὰ τὸ χρήσιμον.

Περὶ τῆς διὰ τὸ χρήσιμον φιλίας καὶ τῆς διὰ τὴν ἡδονήν, ὅτι ἀτελεῖς εἰσιν αἱ τοιαῦται φιλίαι. κεφ. γ'.

Ζητητέον δὲ περὶ ἑκάστου εἴδους. οἱ μὲν οὖν διὰ τὸ χρήσιμον φιλοῦντες ἀλλήλους οὐκ αὐτοὺς καθ' ἑαυτοὺς ἀλλήλους φιλοῦσιν ἀλλὰ διὰ τὸ ἀγαθὸν ἢ τὸ ἡδύ, πρὸς | ὃ χρήσιμοί εἰσι, καὶ φιλοῦσιν ἕως ἂν 299 ἔρχηταί τι αὐτοῖς παρ' ἀλλήλων ἀγαθόν· ὁμοίως δὲ καὶ οἱ δι' ἡδονὴν ἀλλήλους φιλοῦντες οὐ καθ' ἑαυτοὺς φιλοῦσιν· οὐ γὰρ ἁπλῶς ὅτι ἡδεῖς εἰσι διὰ τοῦτο φιλοῦσιν, ἀλλ' ὅτι αὐτοῖς ἡδεῖς εἰσιν, εἰ γὰρ ἄλλοις ἡδεῖς ἦσαν, οὐκ ἂν ἐφίλουν· οἵ τε δὴ διὰ τὸ χρήσιμον φιλοῦντες καὶ οἱ διὰ τὸ ἡδὺ οὐχ ἁπλῶς διὰ τὸ ἀγαθὸν ἢ τὸ ἡδὺ ἀλλὰ διὰ τὸ αὐτοῖς ἀγαθὸν καὶ ἡδὺ στέργουσι, καὶ οὐ διότι ὁ φιλούμενος αὐτὸς τοιοῦτός ἐστι διὰ τοῦτο φιλοῦσιν, ἀλλ' ὅτι αὐτοῖς ἡδύς ἐστι καὶ χρήσιμος. ὥστε δῆλον, ὅτι αἱ φιλίαι αὗται κατὰ συμβεβηκός εἰσιν· οὐ διὰ τοῦτο γὰρ φιλεῖται ὁ φιλούμενος, ὅτι τοιόσδε τίς ἐστιν αὐτός, ἀλλὰ διότι πορίζει ὁ μὲν ἀγαθόν, ὁ δὲ ἡδονήν. καὶ εὐδιάλυτοι δέ εἰσιν αἱ τοιαῦται φιλίαι· οἱ γὰρ ἡδεῖς καὶ χρήσιμοι οὐκ ἀεί εἰσιν ἡδεῖς καὶ χρήσιμοι· ἄλλοτε γὰρ ἄλλοις ἡδόμεθα καὶ ἄλλοτε ἄλλο ἐστὶ τὸ χρήσιμον. μὴ παραμένοντος οὖν τοῦ αἰτίου τῆς φιλίας καὶ αὐτὴ οὐ δύναται παραμένειν ἀλλὰ διαλύεται, ὡς οὖσα πρὸς ἐκεῖνα καὶ ταῦτα ἔχουσα τέλη. ἡ δὲ τοιαύτη φιλία, ἡ εὐμετάβολος, μάλιστα δοκεῖ γίνεσθαι ἐν τοῖς πρεσβύταις· οὐ γὰρ τὸ ἡδὺ οἱ τηλικοῦτοι διώκουσιν οὔτε σφόδρα οὔτε συνεχῶς· καὶ διὰ τοῦτο καὶ ἐλλείπουσι τῆς καθ' ἡδονὴν φιλίας, τὸ ὠφέλιμον δὲ ἀεὶ μόνον ζητοῦντες κατὰ τὸ χρήσιμόν εἰσι φίλοι. καὶ οὐχ οἱ πρεσβῦται μόνον ἀλλὰ καὶ τῶν νέων ὅσοι οὐ τὴν ἡδονὴν ἀλλὰ τὸ ὠφέλιμον ζητοῦσιν· οἱ τοιοῦτοι δὲ οὐδὲ πάνυ συζῶσι μετ' ἀλλήλων· ἐνίοτε γὰρ οὐδὲ ἥδονται ἀλλήλοις· τηνικαῦτα γὰρ ἥδονται

7 λανθάνωσιν h: λανθάνουσιν D   10. 11 καὶ ἡ φιλία h: om. D   24 ἀλλὰ—ἡδὺ (25) om. h

μόνον ἀλλήλοις, ὅτε ὠφέλιμοι γίνονται ἢ ἐλπίδας παρέχουσιν ὠφελείας, τὸν δὲ ἄλλον χρόνον οὐκέτι· οὐκ ὄντες δὲ ἀλλήλοις ἡδεῖς οὐδὲ δύνανται | συνοικεῖν. τοιαύτην δέ φασιν εἶναι καὶ τὴν ξενικὴν φιλίαν· καὶ αὕτη γὰρ 300 διὰ τὸ χρήσιμον συνέστηκεν. ἡ δὲ φιλία τῶν νέων ὡς ἐπὶ τὸ πλεῖστον δι' ἡδονήν ἐστι. κατὰ πάθος γὰρ οὗτοι ζῶσι καὶ μάλιστα διώκουσι τὸ ἡδύ, καὶ οὐ τὴν μέλλουσαν ὠφέλειαν ἀλλὰ τὴν παροῦσαν ἡδονήν· αἰσθήσει γὰρ μάλιστα ζῶντες τῷ παρόντι χαίρουσι, καὶ ὃ τὴν αἴσθησιν θέλγει. τῆς ἡλικίας δὲ μεταπιπτούσης καὶ τὰ ἡδέα γίνεται ἕτερα· διὸ ταχέως γίνονται φίλοι καὶ παύονται· μεταπίπτοντος γὰρ τοῦ ἡδέος καὶ ἡ φιλία μεταπίπτει· μεταπίπτει δὲ τὸ τοιοῦτον ἡδὺ ταχέως, ὥστε καὶ ἡ φιλία. καὶ ἐρωτικοὶ δὲ οἱ νέοι κατὰ πάθος καὶ ἡδονὴν ζῶντες· τὸ γὰρ πλεῖστον τῆς ἐρωτικῆς κατὰ πάθος καὶ ἡδονήν· διὸ φιλοῦσι, καὶ ταχέως παύονται φιλοῦντες πολλάκις τῆς αὐτῆς ἡμέρας μεταπίπτοντες, ὅτι οὐ λογισμῷ καὶ κρίσει τινὶ φιλοῦσιν ἀλλὰ πάθει φερόμενοι. συνημερεύειν δὲ καὶ συζῆν οὗτοι βούλονται ἀλλήλοις· ἐντεῦθεν γὰρ καὶ ἡ ἀρχὴ τῆς φιλίας αὐτοῖς γίνεται καὶ ἡ ἡδονὴ τὴν συνοίκησιν ἀπαιτεῖ. ἡ μὲν οὖν καθ' ἡδονὴν καὶ κατὰ τὸ χρήσιμον φιλία τοιαύτη ἐστίν, ἀτελής, καὶ οὐ καθ' αὑτὸ ἀλλὰ κατὰ συμβεβηκός.

Περὶ τῆς διὰ τὸ ἀγαθὸν φιλίας, ὅτι αὕτη ἐστὶν ἡ τελεία φιλία. κεφ. δ'.

Ἡ δὲ διὰ τὸ ἀγαθὸν φιλία ἡ τῶν ἀγαθῶν καὶ κατ' ἀρετὴν ὁμοίων τελεία ἐστὶ καὶ καθ' αὑτό. βούλονται γὰρ ἀλλήλοις οὗτοι τὰ ἀγαθά, ὅτι αὐτοὶ ἀγαθοί εἰσιν, οὐ δι' ἄλλο ἀλλὰ καθ' ἑαυτούς· οἱ δὲ βουλόμενοι τὰ ἀγαθὰ τοῖς φίλοις οὐχ ἑαυτῶν ἕνεκα ἀλλὰ τῶν φίλων, οὗτοί | εἰσιν οἱ 301 μάλιστα φίλοι· δι' αὐτοὺς γὰρ τοὺς φίλους φιλοῦσι καὶ βούλονται αὐτοῖς τὰ ἀγαθά, καὶ οὐ δι' ἄλλο καὶ κατὰ συμβεβηκός. ἡ τοιαύτη δὲ φιλία καὶ βεβαία ἐστὶ καὶ μόνιμος· διαμένει γὰρ ἕως ἂν ἀγαθοὶ ὦσιν οἱ φίλοι καὶ σπουδαῖοι καὶ ἀγαθοῖς χαίρωσιν· ἡ γὰρ ἀρετὴ μόνιμόν ἐστι· καὶ ἔστιν ἑκάτερος αὐτῶν καὶ καθ' ἑαυτὸν ἁπλῶς ἀγαθὸς καὶ τῷ φίλῳ ἀγαθός· οἱ γὰρ ἀγαθοὶ καὶ καθ' ἑαυτοὺς ἀγαθοί εἰσι καὶ ἀλλήλοις. ὁμοίως δὲ καὶ ὠφέλιμοί εἰσι καὶ ἡδεῖς· οἱ γὰρ καθ' ἑαυτοὺς καὶ ἁπλῶς ἀγαθοὶ καὶ ἀλλήλοις ἡδεῖς εἰσιν. ἕκαστος γὰρ χαίρει ταῖς ἑαυτοῦ πράξεσι καὶ διὰ τοῦτο ἥδεται καὶ ταῖς τῶν ἄλλων, ὅταν ὅμοιαι ὦσι ταῖς αὐτοῦ πράξεσιν ἢ αἱ αὐταί· αἱ δὲ τῶν σπουδαίων καὶ ἀγαθῶν πράξεις αἱ αὐταὶ καὶ ὅμοιαί εἰσιν, ὥστε φανερόν, ὅτι οἱ σπουδαῖοι ἡδεῖς εἰσι καὶ ἑαυτοῖς καὶ ἀλλήλοις. διὰ τοῦτο ἡ τοιαύτη φιλία μόνιμός ἐστιν. ἃ γὰρ ἰδίᾳ αἱ ἄλλαι ἔχουσι φιλίαι, καὶ ὧν ἐστι χρεία τοῖς φίλοις, ταῦτα πάντα μόνη αὕτη ἡ φιλία συνείληφεν ἐν ἑαυτῇ· καὶ γὰρ καὶ τὸ ἀγαθὸν ἔχει καὶ τὸ ἡδὺ καὶ τὸ χρήσιμον· τῷ γὰρ ἀγαθῷ καὶ τὸ ἡδὺ ἕπεται καὶ τὸ ὠφέλιμον· καὶ ἔστι τὸ τοιοῦτον ἀγα-

1 μόνον om. h 7 ὃ h: ᾧ corr. ex ὃ D 21 ὁμοίων D: ὁμοίως h

θὸν οὐ καθ' ἑαυτὸ μόνον ἀγαθὸν ἀλλὰ καὶ τῷ φιλοῦντι· καὶ ἡδὺ καὶ ὠφέλιμον ὁμοίως οὐ καθ' ἑαυτὸ μόνον ἀλλὰ καὶ τῷ φιλοῦντι· καὶ ἡ ὁμοιότης δὲ ποιεῖ τοῖς τοιούτοις φίλοις τὴν ἡδονήν· καὶ αὕτη μάλιστα ἡ φιλία τὴν ἡδονὴν ἔχει καὶ τὸ ὠφέλιμον. καὶ καθ' ὁμοιότητα ταύτης αἱ ἄλλαι φιλίαι ὀνομάζονται· αὕτη γάρ ἐστιν ἡ ἀρίστη φιλία· καὶ τὰ ταύτην ποιοῦντα ταῦτά ἐστι τὰ μάλιστα καὶ κυρίως φιλητά. σπανίας δὲ εἰκὸς τὰς τοιαύτας φιλίας εἶναι· ὀλίγοι γὰρ οἱ οὕτως | ἀγαθοί. οὐ μόνον δὲ 302
ἀρετῆς δεῖται ἡ τοιαύτη φιλία καὶ τρόπων ἀγαθῶν ἀλλὰ καὶ χρόνου καὶ συνηθείας· κατὰ τὴν παροιμίαν γὰρ οὐκ ἔστιν εἰδῆσαι ἀλλήλους πρὶν τοὺς λεγομένους ἅλας συναναλῶσαι οὐδὲ δυνατὸν ἀποδέξασθαι καὶ φιλῆσαι ἀλλήλους, πρὶν ἑκάτερος ἑκατέρῳ φανῇ φιλητὸς καὶ αὐτὸς φιλεῖν πιστευθῇ. οἱ δὲ ταχέως τὰ φιλικὰ ποιοῦντες πρὸς ἀλλήλους βούλονται μὲν φίλοι εἶναι, οὐκ εἰσὶ δέ, εἰ μὴ τῷ μακρῷ χρόνῳ καὶ τῇ συνηθείᾳ φιλητοὶ γένοιντο ἀλλήλοις καὶ πιστεύσαιεν φιλούμενοι. βούλησις μὲν οὖν φιλίας τάχιστα γίνεται, φιλία δὲ οὔ· αὕτη μὲν οὖν ἡ φιλία τελεία ἐστὶ καὶ κατὰ τὸν χρόνον καὶ κατὰ τὰ ἄλλα, καθὼς εἴρηται· καὶ κατὰ πάντα τὰ φιλητὰ γίνεται. καὶ ὅμοια ἐστὶν ἑκατέρῳ παρ' ἑκατέρου, ὅπερ δεῖ τοῖς φίλοις ὑπάρχειν· καὶ γὰρ ὅμοιοί εἰσιν ἑκάτεροι ὄντες σπουδαῖοι, καὶ ὁμοίως εἰσὶν ἡδεῖς ἀλλήλοις καὶ φιλητοί.

Ὅτι αἱ ἀτελεῖς φιλίαι καθ' ὁμοιότητα τῆς τελείας φιλίας λέγονται. κεφ. ε'.

Ἡ δὲ διὰ τὴν ἡδονὴν φιλία καὶ ἡ διὰ τὸ χρήσιμον ὁμοίωμα ταύτης ἔχουσι τῆς φιλίας. τὸ γὰρ κυρίως ἡδὺ καὶ χρήσιμον τὸ ἀγαθόν ἐστι· καὶ ἡδεῖς καὶ χρήσιμοι μάλιστα ἀλλήλοις οἱ ἀγαθοί. καὶ ἐν τούτοις δὲ τοῖς καθ' ὁμοιότητα λεγομένοις αἱ φιλίαι παραμένουσιν, ὅταν τὸ αὐτὸ ἀλλήλοις παρέχωσιν, οἷον εἰ χρήσιμός ἐστιν ἑκάτερος ἑκατέρῳ ἢ ἡδύς, καὶ μὴ ὁ μὲν χρήσιμός ἐστιν ὁ δὲ ἡδύς. οὐ μόνον δὲ δεῖ τὸ αὐτὸ παρέχειν ἀλλήλοις ἀλλὰ καὶ ἀπὸ τοῦ αὐτοῦ, | εἴ γε μέλλουσιν ἐν τῇ φιλίᾳ παραμένειν, 303
οἷον εἰ παρέχουσιν ἀλλήλοις ἡδονήν, ἀπὸ τῶν αὐτῶν παρέξουσι τρόπων· ὥσπερ οἱ εὐτράπελοι τῇ εὐτραπελίᾳ χαριζόμενοι ἀλλήλοις, καὶ οὐχ ὥσπερ ἐραστὴς καὶ ἐρώμενος· οὗτοι γὰρ ἡδονὴν μὲν παρέχουσιν ἀλλήλοις, ἀλλ' οὐ τὸν αὐτὸν τρόπον, ἀλλ' ὁ μὲν ἐραστὴς ἥδεται τῇ ὄψει τοῦ ἐρωμένου, ὁ δὲ θεραπευόμενος ὑπὸ τοῦ ἐραστοῦ. ληγούσης δὲ τῆς ὥρας ἐνίοτε καὶ ἡ φιλία λήγει· ἡ γὰρ ἡδονή, δι' ἣν ἡ φιλία, παύεται· οὔτε γὰρ ὁ ἐραστὴς ἥδεται τῇ ὄψει τοῦ ἐρωμένου οὔτε ὁ ἐρώμενος θεραπεύεται· πολλοὶ δὲ τῶν τοιούτων καὶ διαμένουσιν ἐν τῇ φιλίᾳ, ἐὰν ἐκ τῆς συνηθείας τὰ ἀλλήλων ἤθη στέρξωσιν ὅμοια ἔχοντες. οἱ δὲ μὴ τὸ αὐτὸ παρέχοντες ἀλλήλοις, ἀλλ' ὁ μὲν ἡδονὴν ὁ δὲ τὸ χρήσιμον, οὔτε διαμένουσιν

---

7 τὰς om. h 16 καὶ tertium om. h 17 ὅμοια D: ὁμοίως h 20 φιλίας h: φιλίαι D 26 μὴ om. h 34 ὁ om. h

ἐν τῇ φιλίᾳ, καὶ ὅτε φιλοῦσιν ἀλλήλους, ἧττον φιλοῦσιν· ὅλως δὲ οἱ διὰ τὸ χρήσιμον ὄντες φίλοι, παυομένου τοῦ συμφέροντος, καὶ αὐτοὶ παύονται φιλοῦντες καὶ διαλύονται· οὐ γὰρ ἀλλήλων ἦσαν φίλοι ἀλλὰ τοῦ λυσιτελοῦς. ταύτας μὲν οὖν τὰς φιλίας, τήν τε διὰ τὴν ἡδονὴν καὶ διὰ τὸ χρήσιμον, καὶ φαύλους ἐνδέχεται ἔχειν καὶ φαῦλον καὶ ἐπιεικῆ· φιλεῖ γὰρ καὶ φαῦλος φαῦλον διὰ ταῦτα καὶ φαῦλος ἐπιεικῆ καὶ 20 ἐπιεικὴς φαῦλον καὶ μέσος τις ἑκάτερον αὐτῶν· ἔστι γὰρ καὶ τῷ ἐπιεικεῖ τοῦ φαύλου χρεία πολλάκις. δυνατὸν γὰρ ναύαρχόν τινα ἀγαθὸν ἢ στρατηγὸν ἄριστον μὴ πάνυ τοὺς τρόπους ἀγαθὸν εἶναι, ὧν χρείαν ἔχειν τὸν σπουδαῖον οὐδὲν κωλύει. καὶ ἥδεσθαι δὲ σπουδαῖον φαύλοις οὐκ ἔστιν ἀδύνατον. εἰσὶ γὰρ οἳ τοὺς μὲν τρόπους ἀπᾴδουσι, διαλεγόμενοι δὲ καὶ φιλοσοφοῦντες καὶ τῷ δεινοί τινες εἶναι τῆς ἀληθείας κατα|στοχαζόμενοι 304 καὶ τοῦ ἀγαθοῦ τοῖς σπουδαίοις ἡδεῖς γίνονται· οἱ μὲν οὖν οὕτω φιλούμενοι οὐ δι' ἑαυτοὺς φιλοῦνται ἀλλ' ἢ διὰ τὴν ἡδονὴν ἢ διὰ τὸ χρήσιμον. μόνοι δὲ οἱ ἀγαθοὶ ὑπὸ τῶν ἀγαθῶν αὐτοὶ δι' ἑαυτοὺς φιλοῦνται, καὶ ἡ τοιαύτη φιλία ἀδιάβλητός ἐστιν, ὅτι πολλῷ δοκιμάζεται χρόνῳ καὶ συνηθείᾳ τελείᾳ. περὶ δὲ τῶν οὕτω δοκιμασθέντων οὐ ῥᾴδιον τὰ χείρω πιστεῦσαι τὸν δοκιμάσαντα. ἐν ταύτῃ δέ ἐστι τῇ φιλίᾳ καὶ τὸ πιστεύειν ἀλλήλοις καὶ θαρρεῖν περὶ τῶν μεγίστων καὶ τὸ μηδέποτ' ἂν ἀδικῆσαι καὶ ὅσα ἄλλα ζητεῖται παρὰ τῶν ὡς ἀληθῶς φιλεῖν ἑλομένων· ἐν δὲ ταῖς 10 ἑτέραις οὐδὲν κωλύει καὶ διαβάλλεσθαι πρὸς ἀλλήλους καὶ ἀδικεῖν ἀλλήλους μὴ τὴν ἰσότητα σῴζοντας καὶ τἄλλα πάσχειν. ὅθεν οὐδὲ φίλοι εἰσὶν οἱ τοιοῦτοι κυρίως, ἀλλ' ἐπεὶ εἰώθασιν οἱ ἄνθρωποι καὶ τοὺς τοιούτους φίλους ὀνομάζειν ἢ διὰ τὴν χρείαν, ὥσπερ αἱ πόλεις τοὺς συμμάχους ὀνομάζουσι φίλους, ἢ δι' ἡδονήν, ὥσπερ οἱ ἐν συνηθείᾳ παῖδες ἀλλήλους· διὰ τοῦτο καὶ ἡμεῖς φίλους μὲν αὐτοὺς ὀνομάζομεν, οὐ τὸν αὐτὸν δὲ τρόπον ὥσπερ τοὺς ἀγαθούς, οὐ γὰρ ὁμοειδεῖς οἰόμεθα εἶναι, ἀλλὰ καθ' ὁμοιότητά τινα φίλους ὀνομάζομεν. καὶ διὰ τοῦτο πολλὰ εἴδη φαμὲν εἶναι 20 φιλίας. καὶ ἔστι φιλία πρώτως μὲν καὶ κυρίως ἡ τῶν ἀγαθῶν, ᾗ ἀγαθοί· καθ' ὁμοιότητα δὲ αἱ λοιπαί· καὶ γὰρ καὶ τὸ ἡδύ, καθὸ ἀγαθόν τί ἐστιν, ὡς ἡδὺ συνάπτει τοὺς φιληδόνους· ἀγαθὸν γάρ τί ἐστι τοῖς φιληδέσι τὸ ἡδύ· καὶ ἀγαθῷ ἔοικεν, ὅτι αὐτοῖς ἀγαθὸν δοκεῖ· καὶ τὸ χρήσιμον ἀγαθὸν δοκεῖ τῷ χρωμένῳ· διὰ τοῦτο καθ' ὁμοιότητα τῆς ἀληθοῦς φιλίας αἱ τοιαῦται φιλίαι λέγονται. μικτὴ δὲ φιλία ἀπὸ χρησίμου καὶ | ἡδέος 305 οὐ πάνυ γίνεται, ὥστε τῶν φίλων τὸν μὲν διὰ τὸ ἡδὺ φιλεῖν, τὸν δὲ διὰ τὸ χρήσιμον· τὸ γὰρ συνάπτον τοὺς φίλους κατὰ συμβεβηκός ἐστιν ἐν αὐτοῖς· συνάπτει δὲ τοὺς φίλους τὸ τοῖς αὐτοῖς χαίρειν καὶ τὰ αὐτὰ φιλεῖν. διὰ τοῦτο γὰρ ὁ Σωκράτης φιλεῖ τὸν Πλάτωνα, ὅτι τὸν Σωκράτην ἄμφω φιλοῦσι καὶ τοῖς Σωκράτους ἀγαθοῖς ἄμφω χαίρουσιν· ἢ ὅτι τὴν ἡδονὴν ἄμφω φιλοῦσιν ἢ τὸ χρήσιμον ἄμφω. ἐπὶ δὲ τῆς μικτῆς φιλίας οὐ τῷ αὐτῷ χαίρουσιν· ὁ μὲν γὰρ ἡδεῖ, ὁ δὲ τῷ χρησίμῳ· κατὰ συμβεβηκὸς δὲ

5 post φαῦλον add. φίλον εἶναι h 16 ἀδιάβλητός D: ἀδιάλυτός h 28 τινα om. h

τὸ αὐτὸ φιλοῦσι· συγχαίρει γὰρ ἑκάτερος ἑκατέρῳ, καὶ συνεύχεται τὰ ἀγαθά· οὐ δι' αὐτὸν δέ, ἀλλὰ διὰ τὸ χρήσιμον ἢ τὸ ἡδύ. διὰ τοῦτο δὴ οὐ πάνυ ἡ τοιαύτη φιλία γίνεται, ὅτι τὸ κοινὸν κατὰ συμβεβηκός ἐστιν ἕν· τὸ δὲ κατὰ συμβεβηκὸς ἓν οὐ πάνυ συνάπτει.

Ὅτι συζῆν καὶ συνεῖναι παρέχει τοῖς φίλοις τὸ ἐνεργείᾳ φίλοις εἶναι. κεφ. ϛʹ.

Εἰς ταῦτα δὲ τὰ εἴδη τῆς φιλίας διῃρημένης, οἱ μὲν φαῦλοι ἔσονται φίλοι δι' ἡδονὴν ἢ τὸ χρήσιμον, ταύτῃ ὅμοιοι ὄντες, οἱ δ' ἀγαθοὶ δι' ἑαυτοὺς ἔσονται φίλοι· ᾗ γὰρ ἄμφω ἀγαθοί, διὰ τοῦτο φιλοῦσιν ἀλλήλους· ἐκεῖνοι μὲν οὖν ἁπλῶς φίλοι καὶ κυρίως καὶ καθ' αὑτό· οὗτοι δὲ κατὰ συμβεβηκὸς καὶ τῷ ὁμοιοῦσθαι τούτοις τὸ ὄνομα τῆς φιλίας ἔχουσιν. ὥσπερ δὲ ἐπὶ τῶν ἀρετῶν οἱ μὲν καθ' ἕξιν, οἱ δὲ κατ' ἐνέργειαν ἀγαθοὶ λέγονται (οἱ μὲν γὰρ ἕξιν ἔχουσι δικαιοσύνης, οὐκ ἐνεργοῦσι δὲ κατ' αὐτήν, ὑπὸ τῶν ἔξωθεν κωλυόμενοι, οἱ δὲ ἐνεργοῦσι καὶ τὰ δίκαια, κατὰ τὴν ἕξιν ἣν ἔλαβον τῆς δικαιοσύνης), τὸν αὐτὸν τρόπον
καὶ ἐπὶ τῆς | φιλίας συμβαίνει. οἱ μὲν γὰρ συζῶντες ἀλλήλοις χαί- 306
ρουσι τοῖς ἀλλήλων ἀγαθοῖς καὶ πορίζουσιν ἑκάτερος ἑκατέρῳ τὰ δυνατὰ ἀγαθά, οἱ δὲ καθεύδοντες ἢ κεχωρισμένοι τοῖς τόποις οὐκ ἐνεργοῦσι μὲν πρὸς ἀλλήλους τὰ φιλικά· οὕτω δὲ ἔχουσιν ὥστε ἐνεργεῖν φιλικῶς. οἱ γὰρ τόποι οὐ διαλύουσι τὴν φιλίαν ἁπλῶς, ἀλλὰ τὴν ἐνέργειαν. ἐὰν δὲ χρόνῳ πολλῷ ἡ ἀπουσία γένηται τῶν φίλων, δοκεῖ καὶ τῆς φιλίας γίνεσθαι λήθη· ὅθεν εἴρηται

πολλὰς δὴ φιλίας ἀπροσηγορία διέλυσεν.

οἱ δὲ πρεσβῦται καὶ στρυφνοὶ φαίνονται ὡς οὐ δύνανται φιλικοὶ εἶναι. βραχὺ γὰρ ἐν αὐτοῖς τὸ τῆς ἡδονῆς· ᾧ δὲ οὐκ ἔστιν ἡδονή, οὐδὲ συνεῖναι καὶ συνημερεύειν δυνατόν· οὐδεὶς γὰρ ἂν ἕλοιτο συνδιάγειν τῷ λυπηρῷ ἢ τῷ μὴ ἡδεῖ· φαίνεται γὰρ ὅτι ἡ φύσις φεύγει μὲν τὸ λυπηρόν, διώκει δὲ τὸ ἡδὺ ἀεί· ᾧ δὲ οὐ δυνατὸν συνεῖναι, τούτῳ οὐκ ἔνι φίλον γενέσθαι· ἡ γὰρ συνήθεια καὶ τὸ συνδιάγειν τὰς φιλίας ποιεῖ. οἱ γὰρ ἀποδεχόμενοι ἀλλήλους, μὴ συζῶντες δέ, εὖνοί εἰσιν ἀλλήλοις μᾶλλον ἢ φίλοι. οὐδὲν γὰρ οὕτως ἐστὶ φίλων ὡς τὸ συζῆν. οὔτε γὰρ οἱ διὰ τὸ χρήσιμον δύνανται μὴ συνοικεῖν· ἐνδεεῖς γὰρ ὄντες ἀλλήλων δέονται ἀλλήλοις χρῆσθαι, ὃ οὐ δυνατὸν ἄνευ τοῦ συνοικεῖν· οὔτε οἱ διὰ τὴν ἡδονὴν πολλῷ μᾶλλον· οὔτε οἱ κυρίως φίλοι, οἵτινές εἰσιν οἱ μακάριοι· ἀλλήλων μὲν γὰρ οὐκ εἰσὶν ἐνδεεῖς, ἡδεῖς δέ εἰσιν ἀλλήλοις. καὶ διὰ τοῦτο μὴ συνδιάγειν ἐθέλειν ἀμήχανον. οὐ γὰρ δὴ μονώτας τινὰς τοὺς μακαρίους εἶναι προσ-
ήκει, ἀλλ' ἀνάγκη μετ' ἀλ|λήλων εἶναι τοῖς αὐτοῖς χαίροντας. τοῦτο δὲ 307
τὸ τοῖς αὐτοῖς χαίρειν καὶ τὴν ἑταιρικὴν φιλίαν ποιεῖ τὴν τῶν νέων, ὅταν περὶ τὸ αὐτὸ σπουδάζωσι. μάλιστα μὲν οὖν ἐστι φιλία ἡ τῶν ἀγα-

11 ὁμοιοῦσθαι h: ὁμοιῶσθαι D 24 ὡς οἳ οὐ h

θῶν, καθάπερ πολλάκις εἴρηται. δοκεῖ γὰρ φιλητὸν μὲν καὶ αἱρετὸν τὸ ἁπλῶς καὶ κυρίως ἀγαθὸν ἢ ἡδύ· ἑκάστῳ δὲ φιλητὸν καὶ αἱρετὸν τὸ αὐτῷ ἀγαθόν· ὁ δὲ ἀγαθὸς τὸν ἀγαθὸν φιλεῖ δι' ἄμφω ταῦτα· τὸ γὰρ ἀγαθὸν αὐτοῦ καὶ ἁπλῶς καὶ κυρίως ἀγαθόν ἐστι καὶ τῷ φίλῳ ἀγαθόν ἐστιν· ὥστε ὁ ἀγαθὸς φιλητός ἐστι, καὶ κατ' ἀμφοτέρους τοὺς τρόπους· καὶ διὰ τοῦτο συζῆν ἀλλήλοις τοὺς σπουδαίους πᾶσα ἀνάγκη βούλεσθαι, χαίροντας ἀλλήλοις καὶ ὡς ὁμοίοις καὶ ὡς ἀγαθοῖς ἁπλῶς καὶ ὡς ἀλλήλοις ἀγαθοῖς.

⟨Περὶ τῆς τε φιλίας καὶ τῆς φιλήσεως. κεφ. ζ'.⟩

Ἐπεὶ δὲ ἀρετή ἐστιν ἡ φιλία, ἐν πάσῃ δὲ ἀρετῇ πάθος τι θεωρεῖται καὶ ἕξις, ζητητέον τί ἐστιν ἐν τῇ φιλίᾳ πάθος καὶ τί ἕξις. ἔοικε τοίνυν ἡ μὲν φίλησις πάθει, ἡ δὲ φιλία ἕξει· πάθος μὲν γάρ ἐστιν, ὃ καὶ μὴ προαιρουμένοις συμβαίνει, ἕξις δέ, ὃ μετὰ προαιρέσεως γίνεται καὶ καθ' ἣν μετὰ προαιρέσεως ἐνεργοῦμεν. ἡ μὲν οὖν φίλησις καὶ ἡ πρὸς τὰ ἄψυχά ἐστιν ἀγάπη, καὶ ὅλως ὅθεν οὐκ ἔστιν ἀντιφιλεῖσθαι· τὸ δὲ τοιοῦτον πάθος· οὐ γὰρ κρίναντες καὶ λογισάμενοι ἀγαπῶμεν οὐδὲ προαιρούμενοι, ἀλλ' ἐκεῖθεν κινούμενοι μόνον, ὅπερ ἐστὶ καθαρῶς πάθος· ἡ δὲ φιλία ἡ πρὸς τοὺς φιλοῦντας ἀγάπη ἐστί, ὃ πάθος ἐστὶ μετὰ προαιρέσεως. κρίνομεν 308 γὰρ ὡς δεῖ φιλεῖν τὸν φιλοῦντα, καὶ κινούμεθα οὐ μόνον ἔξωθεν ἀλλὰ καὶ ἐξ ἡμῶν αὐτῶν καὶ τοῦ λογισμοῦ· ἡ δὲ μετὰ λογισμοῦ καὶ προαιρέσεως κίνησις ἀφ' ἕξεως· ἔστιν ἄρα ἡ μὲν φίλησις πάθος, ἡ δὲ φιλία ἕξις. ἔτι οἱ φίλοι βούλονται τοῖς φιλουμένοις τὰ ἀγαθὰ αὐτῶν ἕνεκα, οὐ κατὰ πάθος ἀλλὰ καθ' ἕξιν· οὐ γὰρ ἀλόγως ἀλλὰ λογιζόμενοι τὴν αἰτίαν· τὸ δὲ βούλεσθαι τοῖς φιλουμένοις τὰ ἀγαθὰ ἐκείνων ἕνεκα ἐν τῷ λόγῳ ἐστὶ τῆς φιλίας· ἡ ἄρα φιλία ἕξις ἐστίν. ἔτι φιλεῖ τις τὸν ἀγαθὸν φίλον, ὅτι αὐτῷ ἀγαθός ἐστιν· ὁ γὰρ ἀγαθὸς φίλος γενόμενος, ἀγαθὸς γίνεται τῷ φίλῳ· ἑκάτερος οὖν φιλεῖ ἑκάτερον, ὡς ἀγαθὸν οἰκεῖον, καὶ βούλεται τὰ ἀγαθά, καὶ ἡδύς ἐστιν ὁμοίως. καὶ ὅλως τὸ ἴσον ἀνταποδίδωσι· λέγεται γὰρ φιλότης ἡ ἰσότης· ταῦτα δὲ οὐκ ἄνευ προαιρέσεως· ἡ δὲ προαίρεσις ἀφ' ἕξεως· ἡ ἄρα φιλία ἕξις ἐστίν· ἡ δὲ φίλησις ἄνευ προαιρέσεως οὖσα, καθαρῶς ἐστι πάθος.

⟨Ὅτι πολλοῖς εἶναι τελείως φίλον οὐκ ἐνδέχεται, καὶ ποῖαι τῶν ἐν ἐξουσίαις φιλίαι. κεφ. η'.⟩

Πάντα μὲν οὖν τὰ φιλικὰ καὶ ἃ προσήκει φίλοις ἐν τῇ φιλίᾳ συμβαίνει τῶν ἀγαθῶν μόνῃ· ἐν δὲ τοῖς στρυφνοῖς καὶ πρεσβυτικοῖς ἧττον γίνεται ἡ φιλία, ὅσῳ δυσκολώτεροί εἰσι καὶ ἧττον ταῖς ὁμιλίαις χαίρουσιν· ἡ γὰρ ὁμιλία καὶ τὸ συνεῖναι δοκοῦσιν εἶναι φιλίας

9 hinc capitum inscriptiones omittit D: quas posui servavit h

ποιητικά. διὰ τοῦτο νέοι μὲν ταχέως γίνονται φίλοι. πρεσβῦται δὲ οὔκ·
οὐ γὰρ δυνατὸν φίλον γενέσθαί τινα ᾧ οὐ χαίρει οὐδὲ ἥδεται συνών· τοῦτο
δὲ ἐν τοῖς πρεσβύταις οὐ πάνυ συμβαίνει· ὀλίγον γὰρ | αὐτοῖς τὸ τῆς 309
ἡδονῆς. διὰ τὰ αὐτὰ δὴ οὐδὲ οἱ στρυφνοὶ πάνυ γίνονται φίλοι ἀλλ' οἱ τοι-
οῦτοι εὖνοι μέν εἰσιν ἀλλήλοις· βούλονται γὰρ ἀλλήλοις τὰ ἀγαθὰ διὰ τὴν
χρείαν, καὶ λαμβάνουσι παρ' ἀλλήλων, ὧν ἑκάτερος ἑκατέρου δεῖται· φί-
λοι δὲ οὐ πάνυ εἰσὶ διὰ τὸ μὴ συνημερεύειν μηδὲ χαίρειν ἀλ-
λήλοις· ἃ δὴ μάλιστα εἶναι δοκεῖ φιλικὰ καὶ ποιητικὰ φιλίας. πολ-
λοῖς δὲ φίλον εἶναι τὸν σπουδαῖον κατὰ τὴν τελείαν φιλίαν οὐκ ἐνδέχεται,
ὥσπερ οὐδὲ τὸ ἐρᾶν πολλῶν ἅμα δυνατόν. ὑπερβολὴ γάρ τίς ἐστι φιλίας 10
ἡ τελεία φιλία. τὸ δὲ τοιοῦτον πρὸς ἕνα πέφυκε γίνεσθαι. τὸ γὰρ τοῖς
αὐτοῖς χαίρειν σφόδρα οὐ ῥᾴδιον ἐν πολλοῖς εἶναι· ἔτι δὲ οὐδὲ ἀγαθοὺς
καὶ σπουδαίους πολλοὺς εἶναι ῥᾴδιον. ἄλλως τε τῇ τοιαύτῃ φιλίᾳ καὶ
μακροῦ δεῖ χρόνου καὶ συνηθείας καὶ πείρας ἀκριβοῦς ἀλλήλων. τοῦτο δὲ
χαλεπόν. κατὰ δὲ τὰς ἄλλας φιλίας πολλοὺς ἐνδέχεται φιλεῖν· καὶ γὰρ
καὶ διὰ τὸ χρήσιμον πολλοῖς ἀρέσκειν ἐνδέχεταί τινα, καὶ διὰ τὴν ἡδονὴν
πολλοὺς ἐφέλκεται· πολλοὶ γὰρ οἱ τούτοις χαίροντες καὶ διὰ ταῦτα φιλοῦν-
τες, καὶ οὐδὲ πολλοῦ χρόνου δέονται πρὸς τὸ πεῖραν λαβεῖν ἀκριβῆ τῶν 20
φίλων ἀλλ' αὐτίκα διὰ τὴν χρείαν ἢ τὴν ἡδονὴν ὁμολογοῦσι φιλεῖν. ἡ
μὲν οὖν τελεία φιλία ἐστὶν ἡ διὰ τὸ ἀγαθόν, αἱ δὲ καθ' ὁμοιότητα ἡ τοῦ
χρησίμου καὶ τοῦ ἡδέος. τῶν δὲ καθ' ὁμοιότητα ἡ τοῦ ἡδέος μᾶλλον
ὁμοία ἐστὶ τῇ ἀληθινῇ φιλίᾳ, ὅταν τὰ αὐτὰ παρ' ἀλλήλων τοῖς φίλοις γί-
νηται καὶ χαίρωσιν ἀλλήλοις, ἢ τοῖς αὐτοῖς, οἷαι τῶν νέων εἰσὶν
αἱ φιλίαι. καὶ γὰρ ἐν τῇ τοῦ ἡδέος φιλίᾳ μᾶλ|λόν ἐστι τὸ ἐλευθέριον 310
ἢ ἐν τῇ τοῦ χρησίμου. ἡ γὰρ τοῦ χρησίμου ἀγοραίων τινῶν ἐστι καὶ
ἀνελευθέρων. ἔτι ἡ ἀληθὴς φιλία καὶ τοῦ ἡδέος δεῖται, τοῦ χρησίμου δὲ
οὐδαμῶς. οἱ γὰρ μακάριοι χρησίμων μὲν οὐ δέονται, ἡδέων δέ· συζῆν
μὲν γὰρ βούλονταί τισι, λυπηροῖς δὲ οὐ δύνανται συνεῖναι. τὸ γὰρ
λυπηρὸν ὀλίγον φέρουσι χρόνον. συνεχῶς δὲ οὐδεὶς ἂν ὑπομεῖναι
λυπούμενος, οὐδ' αὐτὸ τὸ ἀγαθὸν δυνήσεται φέρειν οὐδείς, εἰ λυπηρὸν αὐ-
τῷ εἴη. διὰ τοῦτο τοὺς φίλους οἱ σπουδαῖοι ἡδεῖς ζητοῦσιν εἶναι, ἀγα- 10
θοὺς ὄντας καὶ αὐτοῖς ἀγαθούς· οὕτω γὰρ αὐτοῖς ὑπάρξει ὅσα δεῖ τοῖς
φίλοις ὑπάρχειν· ἡ ἄρα καθ' ἡδονὴν φιλία μᾶλλον ἔοικε τῇ τελείᾳ φιλίᾳ
ἢ ἡ κατὰ τὸ χρήσιμον. οἱ δ' ἐν ταῖς ἐξουσίαις οὐ τοῖς αὐτοῖς χρῶν-
ται φίλοις ὡς χρησίμοις καὶ ὡς ἡδέσιν. ἄλλοι γάρ εἰσιν αὐτοῖς χρήσιμοι
καὶ ἕτεροι ἡδεῖς, ἄμφω δ' οἱ αὐτοὶ οὐ πάνυ. τὸ δ' αἴτιον, ὅτι τὸ
χρήσιμον καὶ τὸ ἡδὺ ἐν τῇ τελείᾳ φιλίᾳ ἐστίν, ἣ ἐστι τῶν σπουδαίων. οἱ
δὲ οὐ τοιούτους ζητοῦσιν. οὔτε γὰρ τοὺς δι' ἀρετὴν ἡδεῖς ζητοῦσιν οὔτε
τοὺς χρησίμους εἰς τὰ καλά. ἀλλὰ τοῖς μὲν εὐτραπέλοις χρῶνται διὰ τὴν
ἡδονήν, τοῖς δὲ δεινοῖς ὡς χρησίμοις, δυναμένοις πρᾶξαι τὸ ἐπιταχθέν· 20
ταῦτα δὲ οὐ πάνυ συνέρχονται ἐν τῷ αὐτῷ. ἡδὺς γὰρ καὶ χρήσιμος ἅμα.

---

16 καὶ prius om. h 17 an ἐφέλκεσθαι scribendum? 23 χαίρωσιν Mullach ex Arist.: χαίρουσιν Dh

καθὼς εἴρηται, ὁ σπουδαῖός ἐστιν, ὃς οὐ γίνεται φίλος ὑπερέχοντι, ἂν μὴ κατ' ἀρετὴν ὑπερέχηται καὶ ὑπὸ τὸν σπουδαῖον ἑαυτὸν τάττῃ καὶ κρείττονα ἑαυτοῦ ἡγῆται. οὕτω γὰρ ἐξισάσει ὁ σπουδαῖος τῷ κατ' ἐξουσίαν ὑπερέχοντι. ἀνάλογον ὑπερέχων καὶ ὑπερεχόμενος· ἐξισάζων δὲ ἔσται φίλος· ἂν δὲ μὴ οὕτως ἐξισά|ζῃ, οὐκ ἔσται· ἐπεὶ δὲ οἱ ἐν ἐξουσίαις οὐ πάνυ 311 τοιοῦτοι γίνονται, διὰ τοῦτο οὐδὲ φίλοι αὐτοῖς οἱ σπουδαῖοι.

⟨Περὶ τῆς ἡδείας καὶ χρησίμου φιλίας, ὅτι κατά τι φιλίαι κατά τι οὐ φιλίαι εἰσί· καὶ περὶ τῆς καθ' ὑπεροχὴν φιλίας. κεφ. θ'.⟩

Πᾶσαι μὲν οὖν αἱ εἰρημέναι φιλίαι ἐν ἰσότητί εἰσι. τὰ γὰρ αὐτὰ τοῖς φίλοις ἐξ ἀλλήλων γίνεται, καὶ τὰ αὐτὰ βούλονται ἀλλήλοις, ἢ καὶ ἕτερον ἀνθ' ἑτέρου ἀντικαταλλάττονται, ἴσον ἴσου, οἷον ἡδονὴν ἀντὶ ὠφελείας· αἵτινες ὅτι ἧττόν εἰσι τῶν ἄλλων φιλίαι καὶ ὀλιγοχρονιώτεραι, εἴρηται. τῶν δὲ φιλιῶν αἱ διὰ τὸ χρήσιμον καὶ ἡδὺ κατά τι μὲν δοκοῦσιν εἶναι φιλίαι, κατά τι δὲ οὔ· καθ' ὃ μὲν γὰρ ἐοίκασι τῇ τελείᾳ φιλίᾳ, φιλίαι εἰσί, καθ' ὃ δὲ ἀνόμοιοί εἰσι πρὸς αὐτήν, οὐκ εἰσὶ φιλίαι. ἐοίκασι μὲν γάρ, ὅτι ἡ τελεία φιλία καὶ τὸ ἀγαθὸν ἔχει καὶ τὸ χρήσιμον, οὐκ ἐοίκασι δέ, ὅτι ἡ μὲν ἀδιάβλητος καὶ μόνιμός ἐστιν, αἱ δὲ ταχέως μεταπίπτουσι καὶ ἄλλοις διαφέρουσι πολλοῖς. αὗται μὲν οὖν πᾶσαι καθ' ὁμοιότητα καὶ ἰσότητά εἰσιν. ἕτερον δὲ φιλίας εἶδος τὸ καθ' ὑπεροχήν, οἷον πατρὶ πρὸς υἱὸν καὶ ὅλως πρεσβυτέρῳ πρὸς νεώτερον, ἀνδρί τε πρὸς γυναῖκα καὶ παντὶ ἄρχοντι πρὸς ἀρχόμενον. διαφέρουσι δὲ αὗται ἀλλήλων. οὐ γὰρ ἡ αὐτὴ γονεῦσί τε πρὸς τέκνα καὶ ἄρχουσι πρὸς ἀρχομένους· ἀλλ' οὐδὲ πατρὶ πρὸς υἱὸν καὶ υἱῷ πρὸς πατέρα, οὐδ' ἀνδρὶ πρὸς γυναῖκα καὶ γυναικὶ πρὸς ἄνδρα, ὥστε οὐχ αἱ φιλίαι μόνον διαφέρουσιν ἐνταῦθα, ἀλλὰ καὶ αἱ φιλήσεις πρὸς τὰς ἀντιφιλήσεις. ἑτέρα γὰρ ἑκατέρου τούτων τῶν φίλων ἡ ἀρετὴ | καὶ 312 τὸ ἔργον, καὶ ἕτερα δι' ἃ φιλοῦσι καὶ δι' ἃ φιλοῦνται. διὰ τοῦτο καὶ αἱ φιλήσεις καὶ αἱ φιλίαι ἕτεραι. ἐν μὲν οὖν ταῖς προειρημέναις φιλίαις τὸ μόνιμον ἐποίει τὸ τὰ αὐτὰ ἑκατέρῳ τῶν φίλων παρ' ἑκατέρου γίνεσθαι· ἐνταῦθα δὲ οὐχ οὕτως· οὐ γὰρ τὰ αὐτὰ ὁ πατὴρ τὸν υἱὸν καὶ ὁ υἱὸς τὸν πατέρα ἀπαιτήσει. οὐ γὰρ δεῖ τὴν ἰσότητα τοὺς τοιούτους κατὰ ταῦτα φυλάττειν, ἀλλ' ὅταν ἐκεῖνα ἑκατέρος παρ' ἑκατέρου λαμβάνῃ, ἃ δεῖ τὸν μὲν δοῦναι τὸν δὲ λαβεῖν, μόνιμος ἡ τῶν τοιούτων καὶ ἐπιεικὴς ἔσται φιλία. καὶ τὴν φίλησιν δὲ ἀνάλογον δεῖ γίνεσθαι ἐν ταῖς καθ' ὑπεροχὴν φιλίαις· τὸν γὰρ ἀμείνω δεῖ μᾶλλον φιλεῖσθαι ἢ φιλεῖν, καὶ τὸν ὠφελιμώτερον, καὶ τῶν ἄλλων ἕκαστον ὁμοίως· δεῖ γάρ τινα γίνεσθαι καὶ ἐν τούτοις ἰσότητα· τοῦτο γὰρ τὴν φιλίαν συνέχει. γίνεται δέ πως ἰσότης, ὅταν κατ' ἀξίαν ἡ φίλησις γίνηται· καὶ τὸ δίκαιον

3 ἡγῆται Mullach: ἡγεῖται Dh 13 αἱ ed. 1617: ἡ Dh 16 φιλία om. h 22 αὗται ἀλλήλων Dh et Arist. codd. LbMbOb: αὗται καὶ ἀλλήλων Arist. vulg. τε om. Aristoteles 38 γίνηται D: γίνεται h

δὲ ἐν τῇ ἰσότητι σώζεται. ἀλλ' οὐχ ὁμοίως ἔχει τὸ ἴσον ἔν τε τοῖς δικαίοις καὶ ἐν τῇ φιλίᾳ· ἐν μὲν γὰρ τοῖς δικαίοις πρώτως μὲν ἴσον ζητεῖται τὸ κατ' ἀξίαν καὶ ἀνάλογον τοῖς δεχομένοις, δευτέρως δὲ ζητεῖται τὸ κατὰ τὴν ποσότητα ἴσον. ἐὰν γὰρ κατ' ἀξίαν καὶ ἀνάλογον γίνηται ἡ διανομή, δικαία ἐστί, κἂν σφόδρα τῷ ποσῷ διαφέρῃ, οὐδὲν κωλύει τὸν τοῦ δικαίου σώζεσθαι λόγον, εἰ δὲ κατὰ τὸ ποσὸν ἴση εἴη καὶ μὴ ἀνάλογον, οὐ δύναται εἶναι δικαία. ἐπὶ δὲ τῆς φιλίας ἀνάπαλιν· τὸ γὰρ ἴσον ἐν ταύτῃ ζητεῖται, πρῶτον μὲν κατὰ τὴν ποσότητα, δευτέρως δὲ κατὰ τὸ ἀνάλογον. ἐὰν γὰρ πολὺ διαφέρωσιν ἀλλήλων καὶ τὸ μεταξὺ διάστημα οὐκ ὀλίγον ᾖ, | σφόδρα δὲ ἅτερος θατέρου ὑπερέχῃ ἀρετῇ ἢ εὐπορίᾳ ἤ τινι ἄλλῳ, οὐκ εἰσὶ φίλοι· οὔτε γὰρ δύνανται οὔτε βούλονται. 313 φανερώτερον δὲ γίνεται ἐφ' ἡμῶν καὶ τοῦ θεοῦ· ὅτι γὰρ πλεῖστον ἡμῶν πᾶσι τοῖς ἀγαθοῖς ὑπερέχει, διὰ τοῦτο ἡ φιλία ἐνταῦθα χώραν οὐκ ἔχει· δῆλον δὲ καὶ ἐπὶ τῶν βασιλέων· οὐ γὰρ οὐδὲ τούτοις ἀξιοῦσιν εἶναι φίλοι οἱ πολὺ καταδεέστεροι, οὐδὲ τοῖς ἀρίστοις ἢ σοφωτάτοις οἱ μηδενὸς ἄξιοι. οἱ μὲν οὖν σφόδρα διαφέροντες οὐ δύνανται εἶναι φίλοι· ἐν δὲ μετρίᾳ ὑπεροχῇ δυνατόν· ἐν πόσῃ δὲ ὡρισμένως εἰπεῖν καὶ ἀκριβῆ δοῦναι λόγον οὐκ ἔνι· καὶ γὰρ πολλῶν ἀφαιρουμένων παρὰ θατέρου τῷ φίλων, ὥστε θάτερον ὑπερέχειν, συμβαίνει μὲν τὴν φιλίαν ἔτι μένειν. συμβαίνει δὲ λύεσθαι, ὅταν πολὺ γίνηται μεταξὺ τὸ διάστημα, καθάπερ ἐφ' ἡμῶν καὶ τοῦ θεοῦ. διὰ τοῦτο καὶ ἀπορεῖται, μήποτε οὐ βούλονται οἱ φίλοι τοῖς φίλοις τὰ μέγιστα τῶν ἀγαθῶν· εἰ γὰρ βούλονται, συνεύξονται αὐτοῖς καὶ θεοῖς γενέσθαι· τοῦτο δὲ λύσει τὴν φιλίαν· ὥστε εἰ βούλονται αὐτοῖς τὰ μέγιστα τῶν ἀγαθῶν, βούλονται μὴ εἶναι αὐτοῖς φίλους· τοῦτο δὲ ἐναντίον ἐστὶ τῷ λόγῳ τῆς φιλίας, ἔτι δὲ οὐδὲ αὐτοῖς ἔσονται ἀγαθοί, μὴ ὄντες φίλοι· οὐκ ἄρα συνεύξονται αὐτοῖς τὰ τοιαῦτα ἀγαθά. ῥητέον δὲ πρὸς τοῦτο, ὅτι ὁ φίλος τῷ φίλῳ συνεύχεται τὰ ἀγαθὰ ἐκείνου ἕνεκα· εἰ δὲ ἐκείνου ἕνεκα, δεῖ τὸν φίλον μένειν, καὶ αὐτῷ συμβῆναι τὰ ἀγαθά· μένοι δ' ἄν, εἰ ἄνθρωπος εἴη, καὶ μὴ θεὸς γένοιτο ἐξ ἀνθρώπου· ἀνθρώπῳ δὲ ὄντι βουλήσεται ὁ φίλος τὰ μέγιστα γενέσθαι ἀγαθά. ἴσως δὲ οὐ πάντα. καθάπερ οἱ πλείους | τῶν 314 φίλων ἔχουσιν· αὐτῷ γὰρ μάλιστα ἕκαστος βούλεται τὰ ἀγαθά.

⟨Περὶ τῆς ἐν τῷ φιλεῖν μᾶλλον ἢ ἐν τῷ φιλεῖσθαι οὔσης φιλίας. κεφ. ι'.⟩

Οἱ πολλοὶ δὲ δοκοῦσι διὰ φιλοτιμίαν βούλεσθαι μᾶλλον φιλεῖσθαι ἢ φιλεῖν· διὸ φιλοκόλακες οἱ πολλοί, καὶ ἥδονται κόλαξι συνόντες, ὅτι ὑπερέχουσιν αὐτῶν, δοκούντων εἶναι φίλων· τὸ δὲ ὑπερέχειν τῶν φίλων τοῖς φιλοτίμοις ἡδύ· καὶ γὰρ οἱ κόλακες προσποιοῦνται πάντα τῶν συνόντων ἡττᾶσθαι καὶ διὰ τοῦτο φιλεῖν μᾶλλον ἢ φιλεῖσθαι· τὸ δὲ

1 σώζεται Dh: σώζηται Mullach 5 διαφέρει h 9 ἀλλήλων om. h 38 τῶν φίλων h: τὸν φίλον D

φιλεῖσθαι ἐγγὺς εἶναι δοκεῖ τοῦ τιμᾶσθαι. οὗ δὴ οἱ πολλοὶ ἐφίενται. τὸ δὲ τιμᾶσθαι οὐ δι' ἑαυτὸ ζητοῦσιν οἱ ζητοῦντες ἀλλὰ κατὰ συμβεβηκός· δι' ἄλλο γὰρ δοκεῖ αὐτοῖς ἀγαθὸν ἡ τιμή· τοῖς μὲν πολλοῖς ὑπὸ τῶν ὑπερεχόντων τιμωμένοις διὰ τὴν ἐλπίδα· οἴονται γὰρ τυχεῖν ἂν ὧν δέονται παρὰ τῶν τιμώντων καὶ ὡς σημείῳ τῆς εὐπαθείας χαίρουσι τῇ τιμῇ· οἱ δὲ ἐπιεικέστεροι καὶ ὑπὸ τῶν ἐπιεικῶν ὀρεγόμενοι τιμᾶσθαι διὰ τοῦτο διώκουσι τὴν τιμήν, ὅτι ἐφίενται βεβαίως περὶ ἑαυτῶν τὰ ἄριστα ὑπολαμβάνειν· βεβαιοῦσι δὲ τὰς περὶ ἑαυτῶν ἀγαθὰς δόξας τῇ ψήφῳ τῶν τιμώντων· χαίρουσι δὴ τῇ τιμιότητι καὶ ἐντεῦθεν· πιστεύουσι ἑαυτοὺς ἀγαθοὺς εἶναι· τὸ μὲν οὖν τιμᾶσθαι δι' ἄλλο ζητεῖται, τὸ δὲ φιλεῖσθαι δι' ἑαυτό· καὶ γὰρ ἡδὺ καὶ φιλητόν ἐστι καθ' ἑαυτό· διὸ δόξειεν ἂν κρεῖττον εἶναι τοῦ τιμᾶσθαι. καὶ ἡ φιλία δὲ καθ' ἑαυτὴν αἱρετὴ εἶναι· ἐπεὶ γὰρ ἐν τῷ φιλεῖσθαι καὶ τῷ φιλεῖν συνίσταται, εἰ ἑκάτερον καθ' ἑαυτό ἐστιν αἱρετόν, φανερόν, ὅτι | καὶ ἡ 315
φιλία καθ' ἑαυτὴν αἱρετή ἐστιν· ἔστι δὲ οὐ μόνον τὸ φιλεῖσθαι δι' ἑαυτὸ αἱρετὸν ἀλλὰ καὶ τὸ φιλεῖν, καὶ πολλῷ μᾶλλον, ὅσῳ καὶ βέλτιον. ὅθεν καὶ ἡ φιλία ἐν τῷ φιλεῖν ἐστι μᾶλλον ἢ ἐν τῷ φιλεῖσθαι· σημεῖον δὲ αἱ μητέρες τῷ φιλεῖν χαίρουσαι καὶ παρὰ τῶν τέκνων φιλεῖσθαι οὐ ζητοῦσαι. ἔνιαι γὰρ ὑποποιοῦσιν ἄλλαις τὰ ἑαυτῶν ἢ καὶ ἄλλως διδόασιν ἐπὶ τῷ παρ' αὐτῶν τρέφεσθαι καὶ ἀγνοούμεναι οὐ φιλοῦνται· αὗται δὲ φιλοῦσι μὲν εἰδυῖαι, ἀντιφιλεῖσθαι δ' οὐ ζητοῦσιν, ἐὰν ἀμφότερα μὴ ἐνδέχηται, ἀλλ' ἱκανὸν αὐταῖς ἔοικεν εἶναι, ἐὰν ὁρῶσιν εὖ πάσχοντας τοὺς παῖδας. μᾶλλον δὲ τῆς φιλίας οὔσης ἐν τῷ φιλεῖν ἢ ἐν τῷ φιλεῖσθαι καὶ τῶν φιλοφίλων ἐπαινουμένων, φίλων ἀρετὴ τὸ φιλεῖν ἔοικεν εἶναι. ὥστε ἐν οἷς τοῦτο γίνεται κατ' ἀξίαν, οὗτοι μόνιμοι φίλοι, καὶ ἡ τῶν τοιούτων φιλία βεβαία ἐστίν. οὕτω δὲ γένοιντο ἂν καὶ οἱ ἄνισοι φίλοι, εἰ ἀξίως ἀλλήλους φιλοῦσιν· ἴσοι γὰρ ⟨ἂν⟩ ἀλλήλοις οὕτω γένοιντο· ἡ δὲ ἰσότης φιλότης.

⟨Περὶ βεβαιότητος φιλίας καὶ πόθεν τό τε φιλεῖν καὶ τὸ φιλεῖσθαι. κεφ. ια'.⟩

Αὕτη δὴ ἡ ὁμοιότης ἐν μὲν τοῖς σπουδαίοις μάλιστα καὶ κυρίως εὑρίσκεται, ἐν δὲ τοῖς φαύλοις ἀμυδρῶς, ἐν δὲ τοῖς διὰ τὸ χρήσιμον καὶ ἡδὺ μᾶλλον. οἱ μὲν γὰρ σπουδαῖοι καὶ ἑαυτοῖς ὅμοιοί εἰσιν (οὐ γὰρ εὐμετάβολοί εἰσιν οὐδὲ ἄλλοτε ἄλλοις χαίρουσιν, ἀλλὰ τοῖς σπουδαίοις ἔργοις· μόνιμος γὰρ ἡ ἀρετὴ ὅτι ἕξις ἐστί), καὶ διὰ τοῦτο καὶ ἀλλήλοις | ἀεὶ 316
ὅμοιοί εἰσι καὶ διαμένουσιν ἐν τῇ φιλίᾳ· καὶ οὔτε δέονται φαύλων οὔθ' ὑπηρετοῦσι τοιαῦτα, ἀλλ' ὡς εἰπεῖν καὶ διακωλύουσι· τῶν ἀγαθῶν γὰρ μήτ' αὐτοὺς ἁμαρτάνειν μήτε τοῖς φίλοις ἐπιτρέ-

9 καὶ om. h 10 πιστεύουσιν δὲ h 13 δὲ om. Arist. αἱρετὴ h et Arist.: αἱρετὴν ἀρετὴ D τὸ φιλεῖν D 15 δὲ D: δὴ h 26 τῶν τοιούτων Dh et Arist. codd. LbMb: τούτων Arist. vulg. 28 ἂν h: om. D

πειν ὑπηρετεῖν· οἱ δὲ μοχθηροὶ καὶ τοῦτο μοχθηροί εἰσιν, ὅτι οὐκ ἀεὶ τοῖς αὐτοῖς χαίρουσιν· ὅθεν οὔτε ἑαυτοῖς ὅμοιοί εἰσιν ἀεὶ οὔτε τοῖς φίλοις· καὶ διὰ τοῦτο ὀλίγον χρόνον μένουσιν ἐν τῇ φιλίᾳ, χαίροντες τῇ ἀλλήλων μοχθηρίᾳ. οἱ χρήσιμοι δὲ καὶ ἡδεῖς μᾶλλόν εἰσιν ἐν τῇ ὁμοιότητι· μονιμωτέρα γὰρ ἡ τοῦ χρησίμου καὶ τοῦ ἡδέος ζήτησις, καὶ διὰ τοῦτο ὅμοιοί εἰσιν ἑαυτοῖς καὶ ἀλλήλοις, τῷ τὸ χρήσιμον ἀμφοτέρους ζητεῖν ἢ τὸ ἡδύ, ἕως ἂν πορίζωσιν ἡδονὰς ἢ ὠφελείας ἀλλήλοις. αἱ μὲν οὖν ἐξ ὁμοιότητος φιλίαι τοιαῦται. δοκεῖ δὲ καὶ ἐξ ἐναντιότητος συστῆναι φιλία, ἥτις καὶ διὰ τὸ χρήσιμόν ἐστιν, οἷον εἴ τις πένης πλουσίῳ γίνοιτο φίλος, καὶ ἀμαθὴς εἰδότι· οὗ γὰρ τυγχάνει τις ἐνδεής, τούτου ἐφιέμενος ἀντιδωρεῖται ἄλλο ὃ αὐτὸς δύναται δοῦναι. εἰς ταύτην δὲ τὴν φιλίαν ἀνάγοιτο ἂν καὶ ὁ ἐραστὴς καὶ ἐρώμενος, καὶ ἡ τοῦ καλοῦ καὶ αἰσχροῦ φιλία· διὰ τοῦτο καὶ γελοῖοι δοκοῦσιν οἱ ἐρασταὶ πολλάκις, ἀξιοῦντες ὁμοίως ὑπὸ τῶν ἐρωμένων ἀντιφιλεῖσθαι, αἰσχροὶ ὄντες ὄντων καλῶν· εἰ μὲν γὰρ ὁμοίως εἰσὶ φιλητοί, τὰ εἰκότα ἀξιοῦσι καὶ δίκαιοί εἰσιν ὁμοίως φιλεῖσθαι, εἰ δὲ μή, γελοῖοι. διὰ ταῦτα δοκεῖ καὶ ἐξ ἐναντίων συνεστάναι φιλίαν, ὅτι οἱ αἰσχροὶ τῶν καλῶν ἐρῶσι καὶ οἱ πένητες τῶν πλουσίων καὶ οἱ ἀμαθεῖς τῶν ἐπιστημόνων. καὶ ἐν τῇ φύσει τὰ ξηρὰ τῶν ὑγρῶν ἐφίεται. γίνεται δὲ ἡ τοιαύτη φιλία τῶν ἐναντίων οὐ καθ' αὑτὸ ἀλλὰ κατὰ συμβεβηκός. οὐ γάρ, καθὸ φιλοῦσιν ἄλληλα, ἐναντία ἐστίν, ἀλλὰ 317 συμβέβηκεν αὐτοῖς ἐναντίοις εἶναι. καὶ γὰρ ὁ πένης ἐρᾷ τοῦ πλουσίου, ὅτι ὠφέλιμός ἐστιν αὐτῷ καὶ χρήσιμος· χρήσιμος δὲ καὶ ὠφέλιμος τῷ χρωμένῳ οὐκ ἔστιν ἐναντίος καθ' αὑτό· ἢ γὰρ ἂν πᾶς χρήσιμος τῷ χρωμένῳ ἦν ἂν ἐναντίος· οὐκ ἔστι δέ. οὐδὲ γὰρ ὁ στρατιώτης τῷ στρατηγῷ ἐναντίος, οὐδὲ ὁ διδάσκαλος τῷ μαθητῇ. καὶ ὁ ἐραστὴς δὲ τὸν ἐρώμενον φιλεῖ, ὅτι ἡδύς ἐστιν αὐτῷ· ἡδὺς δὲ ἡδομένῳ οὐκ ἔστιν ἐναντίος, ἀλλὰ συμβαίνει αὐτοῖς ἐναντίοις εἶναι. φύσει δὲ τὸ ξηρὸν ἐφίεται οὐ τοῦ ἐναντίου ὑγροῦ ἀλλὰ τοῦ μέσου· ἡ γὰρ ὄρεξις τοῦ ἀγαθοῦ ἐστιν· ἀγαθὸν δὲ τὸ μέσον. ταῦτα μὲν οὖν ἀφείσθω· καὶ γὰρ οὐ πάνυ οἰκεῖά εἰσι τῇ παρούσῃ πραγματείᾳ.

⟨Περὶ τῆς πολιτικῆς φιλίας. κεφ. ιβ'.⟩

Ἔοικε δέ, καθὼς εἴρηται πρότερον, ὅτι περὶ τὰ αὐτά ἐστιν ἥ τε φιλία καὶ τὸ δίκαιον. καὶ γὰρ τὸ δίκαιον ἐν ταῖς πρὸς ἀλλήλους τῶν ἀνθρώπων κοινωνίαις ζητεῖται, ἐν ταύταις δὲ καὶ ἡ φιλία γίνεται. καὶ γὰρ καὶ σύμπλοι καὶ στρατιῶται καὶ ὅλως οἱ πράξεών τινων καὶ ἐπιτηδευμάτων κοινωνοῦντες ἀλλήλοις καὶ τὰ δίκαια φυλάττειν πρὸς ἀλλήλους ζητοῦσι, καὶ φίλοι εἰσὶν ἀλλήλοις καὶ καθόσον δὲ κοινωνοῦσι, κατὰ τοσοῦτον καὶ φιλοῦσιν ἀλλήλους καὶ τὰ δίκαια πρὸς ἀλλήλους ποιοῦσιν. ὅθεν καὶ ἡ

10 ἐνδεὴς ὢν Aristoteles 17 οἱ πένητες τῶν πλουσίων Heinsius: οἱ πλούσιοι τῶν πενήτων Dh 19 ἐφίεται D: ἐφίενται h 24 γὰρ om. h 27 ἐναντίους h

παροιμία φησὶ "κοινὰ τὰ τῶν φίλων" ὀρθῶς· ἐν κοινωνίᾳ γὰρ ἡ φιλία. διαφέρουσι δὲ αἱ κοινωνίαι. ἀδελφοῖς μὲν γὰρ καὶ ἑταίροις πάντα κοινά, τοῖς δὲ ἄλλοις οὐ πάντα ἀλλ' ἔνια ὡρισμένα· καὶ | τούτων τοῖς 318 μὲν πλείω, τοῖς δὲ ἐλάττω. ἀναλόγως δὲ ταῖς κοινωνίαις καὶ αἱ φιλίαι ἔχουσιν· αἱ μὲν γὰρ μᾶλλον, αἱ δὲ ἧττον γίνονται, ταῖς κοινωνίαις ἀκολουθοῦσαι. ὁμοίως καὶ τὰ δίκαια ταῖς φιλίαις ἀναλογοῦσιν· οὐ γὰρ τὰ αὐτὰ δίκαια ἀδελφοῖς πρὸς ἀλλήλους καὶ πατρὶ πρὸς υἱὸν ἢ πολίταις ἢ ἑταίροις πρὸς ἀλλήλους, ἀλλ' ἕτερα· καὶ μᾶλλον καὶ ἧττον γίνεται ταῖς φιλίαις ἀκολουθοῦντα. οὐ γὰρ ὁμοίως ἄδικον χρήματα ἀποστερῆσαι ἑταῖρον καὶ πολίτην καὶ μὴ βοηθῆσαι δεομένῳ ἀδελφῷ καὶ ὀθνείῳ καὶ πατάξαι πατέρα καὶ ὀντινοῦν ἄλλον. αὔξεσθαι γὰρ πέφυκεν ἅμα τῇ φιλίᾳ καὶ τὸ δίκαιον, ὡς ἐν τοῖς αὐτοῖς ὄντα καὶ ἐπ' ἴσον διήκοντα· καὶ τὸν φίλτερον δεινότερον ἀδικεῖν καὶ τὸν μᾶλλον κοινωνοῦντα καὶ φιλοῦντα. ἢ πρὸς ὃν ἧττων ἡ κοινωνία καὶ ἡ φιλία γίνεται. πᾶσαι δὲ κοινωνίαι, ἐν αἷς ἐστιν ἡ φιλία καὶ τὸ δίκαιον, μέρη εἰσὶ τῆς πολιτικῆς· ἡ γὰρ πολιτικὴ κοινωνία ἐστὶ τοῦ συμφέροντος ἕνεκα, δι' ὃ καὶ συνέστη τὴν ἀρχὴν ἡ πολιτεία καὶ μένει. πᾶσα δὲ κοινωνία τοῦ συμφέροντός ἐστιν ἕνεκα, ἡ μὲν τοῦδε τοῦ συμφέροντος ἡ δὲ ἐκείνου· διὰ γὰρ τῶν κοινωνιῶν τὰ συμφέροντα πορίζομεν ἑαυτοῖς, καὶ διὰ ταῦτα ἀλλήλοις κοινωνοῦμεν, ἵνα πορισώμεθά τι τῶν εἰς τὸν βίον. τούτου δὴ τοῦ κοινῇ συμφέροντος καὶ οἱ νομοθέται στοχάζονται. καὶ δίκαιόν φασιν εἶναι τὸ κοινῇ συμφέρον. αἱ μὲν οὖν ἄλλαι, καὶ αἱ ὅλαι καὶ τὰ μέρη αὐτῶν, τοῦ συμφέροντος ἐφίενται, οἷον πλωτῆρες μὲν τοῦ κατὰ τὸν πλοῦν συμφέροντος, οἷον χρημάτων ἢ ἄλλου τινός, συστρατιῶται δὲ τοῦ κατὰ τὸν πόλεμον συμφέροντος ὀρέγονται, οἷον χρημάτων | ἢ νίκης ἢ πό- 319 λεως· ὁμοίως δὲ καὶ φυλέται καὶ δημόται. τινὲς δὲ τῶν κοινωνιῶν τοῦ ἡδέος ἐφίενται καὶ δι' ἡδονὴν δοκοῦσι γίνεσθαι, ὥσπερ ἡ τῶν θιασωτῶν κοινωνία καὶ ἡ τῶν ἐρανιστῶν. ἡ μὲν γὰρ θυσίας ἕνεκα γίνεται, ἡ δὲ συνουσίας, ἃ καὶ ἄμφω τοῦ ἡδέος ἐστὶ μᾶλλον. καὶ αὗται δὲ μέρη εἰσὶ τῆς πολιτικῆς· τάττονται γὰρ καὶ αὗται πρὸς τὸ κοινῇ συμφέρον ὑπὸ τῆς πολιτικῆς. καὶ γὰρ οὐ μόνον, ὃ νῦν ἐστι συμφέρον, ζητεῖ ἀλλὰ καὶ ὃ νῦν μὲν οὐ συμφέρει, συνοίσει δέ, καὶ τοῦτο διώκει· οὐ γὰρ τοῦ παρόντος μόνον συμφέροντος ἐφίεται, ἀλλὰ τοῦ μέχρι βίου· διὰ τοῦτο θυσίας τε εἰσήγαγε καὶ συνόδους καὶ συνουσίας μεθ' ἡδονῆς καὶ πόνων ἀναπαύσεις. μετὰ γὰρ τὰς τῶν καρπῶν συγκομιδὰς αἵ τε σύνοδοι ἐγίνοντο καὶ αἱ θυσίαι, ἀπαρχαί τινες οὖσαι· μάλιστα γὰρ ἐν τούτοις ἐσχόλαζον τοῖς καιροῖς· διὰ δὴ τούτων τῶν κοινωνιῶν τό τε θεῖον ἵλεων αὐτοῖς ἐγίνετο, ὃ συνοίσειν ἐδόκει, καὶ αὐτοὶ ἀναπαυόμενοι νεαροὶ τῶν ὑπὲρ τοῦ συμφέροντος πόνων ἥπτοντο. διὰ τοῦτο φαίνεται, ὅτι πᾶσα κοινωνία καὶ ⟨ἡ⟩ ἡδέος ἕνεκα γινομένη καὶ ἡ τοῦ συμφέροντος τὸ συμφέρον ἔσχατον ἔχει τέλος,

1 τὰ τῶν Dh et Arist. cod. Mb: τὰ Arist. vulg. 23 τοῦ κατὰ τὸν πλοῦν συμφέροντος D: τοῦ κατὰ τὸν πλοῦν τοῦ συμφέροντος h 39 ἡ ante ἡδέος ed. 1617: om. Dh, sed praetulerim ἡ τοῦ ἡδέος

καὶ διὰ τοῦτο πᾶσαι μέρη εἰσὶ τῆς πολιτικῆς. ταύταις δὲ ταῖς κοινωνίαις καὶ αἱ φιλίαι ἀκολουθήσουσι, καὶ ὥσπερ αἱ κοινωνίαι, οὕτω καὶ αἱ φιλίαι διαιρεθήσονται, καὶ τοιαῦται ἔσονται αἱ φιλίαι οἷαι αἱ κοινωνίαι.

⟨Περὶ τῶν τριῶν τῆς πολιτείας εἰδῶν. κεφ. ιγ'.⟩

Ῥητέον δὲ ἔτι περὶ τῆς πολιτικῆς. ταύτης δὴ τρία εἰσὶν εἴδη, βασιλεία ἀριστοκρατία καὶ τιμοκρατία, ἣν καὶ πολιτείαν εἰώθασιν οἱ πλεῖστοι καλεῖν, ἥτις ἐστὶν ἀπὸ | τῶν τιμημάτων· διδόντες γὰρ χρήματα τὸ ἄρχειν 320 λαμβάνουσι· διὰ τοῦτο τιμοκρατικὴν οἰκεῖόν ἐστι καλεῖν. τούτων δὲ τῶν πολιτειῶν βελτίστη μὲν ἡ βασιλεία, χειρίστη δὲ ἡ τιμοκρατία. αὗται μὲν οὖν αἱ πολιτεῖαι, αἱ δὲ παρεκβάσεις καὶ οἷον φθοραὶ τῶν πολιτειῶν, τῆς μὲν βασιλείας ἡ τυραννίς· ἄμφω γὰρ μοναρχίαι, διαφέρουσι δὲ πλεῖστον· ὁ μὲν γὰρ τύραννος τὸ ἑαυτοῦ συμφέρον σκοπεῖ, ὁ δὲ βασιλεὺς τὸ τῶν ἀρχομένων· οὐ γάρ ἐστι βασιλεὺς ὁ μὴ αὐτὸς ἑαυτῷ ἀρκῶν καὶ πᾶσι τοῖς ἀγαθοῖς ὑπερέχων· ὁ γὰρ τοιοῦτος οὐ δεηθήσεται τὰ τῶν ἀρχομένων εἰς ἑαυτὸν ἕλκειν. διὰ τοῦτο τὰ μὲν ὠφέλιμα αὐτῷ οὐ προσκοπεῖ πολιτευόμενος καὶ τὰ κοινὰ πράττων, μόνα δὲ τὰ τῶν ἀρχομένων· οὐ γὰρ ἀπὸ τῶν κοινῶν ἀλλ' οἴκοθεν πορίζει τὰ συμφέροντα ἑαυτῷ. ὁ δὲ μὴ οὕτως ἔχων κληρωτὸς μᾶλλον ἄν τις εἴη ἢ βασιλεύς. ἔστι τοίνυν ἡ τυραννὶς ἐναντία τῇ βασιλείᾳ· ὁ γὰρ τύραννος τὸ ἑαυτοῦ ἀγαθὸν διώκει, καὶ πολὺ μᾶλλον ἢ ὁ κληρωτός· καὶ φανερωτέρα ἡ διαφορὰ ἡ πρὸς τὸν βασιλέα, ὅτι καὶ χείρων. διὰ τοῦτο καὶ ἐναντίον ἐστὶ τῇ βασιλείᾳ ἡ τυραννίς, ὅτι τὸ μὲν βέλτιστον, τὸ δὲ κάκιστον· τὸ γὰρ κάκιστον ἐναντίον τῷ βελτίστῳ. μεταβαίνει τοίνυν ἡ πολιτεία ἐκ βασιλείας εἰς τυραννίδα· φαυλότης γάρ ἐστι μοναρχίας ἡ τυραννίς, καὶ ὁ μοχθηρὸς βασιλεὺς τύραννος γίνεται. τῆς μὲν οὖν βασιλείας παρέκβασις ἡ τυραννίς, τῆς δὲ ἀριστοκρατίας ἡ ὀλιγαρχία, ὅταν οἱ ταύτην πολιτευόμενοι τὴν πολιτείαν νέμωσι τὰ τῆς πόλεως ἑαυτοῖς παρὰ τὴν ἀξίαν καὶ πάντα ἢ τὰ πλεῖστα· οἳ καὶ τὰς ἀρχὰς τῆς πόλεως τοῖς αὐτοῖς ἀεὶ διδόασι διοικεῖν, ἵνα συνήθεις αὐτοῖς γενόμενοι δι' αὐτῶν | καρποῦσθαι 321 δύνωνται τὰ κοινά. ὅθεν συμβαίνει ὀλίγους τινὰς ἐπὶ τῶν πραγμάτων εἶναι, καὶ μοχθηροὺς ἀντὶ τῶν ἐπιεικεστάτων. τῆς δὲ τιμοκρατίας παρέκβασις ἡ δημοκρατία· σύνοροι γάρ εἰσιν αὗται· πλήθους γὰρ βούλεται καὶ ἡ τιμοκρατία εἶναι, καὶ ἴσοι πάντες οἱ ἐν τῷ τιμήματι. ἥκιστα δὲ μοχθηρά ἐστιν ἡ δημοκρατία· μικρὸν γὰρ ὑπερβαίνει τὸ τῆς τιμοκρατίας εἶδος· κοινωνεῖ γὰρ αὐτῇ μᾶλλον ἢ διαφέρει· τῷ τιμήματι μὲν γὰρ διαφέρει, κοινωνεῖ δὲ κατά τε τὴν ἰσότητα (ἴσοι γὰρ πάντες οἱ ἐν τῷ τιμήματι) καὶ κατὰ τὸ πλῆθος.

---

5 ἔτι D: ἐστι h 9 πολιτειῶν ed. 1809: πολιτικῶν Dh 12 ἑαυτῷ Aristoteles
34 μοχθηρά D: μοχθηρία h: μοχθηρόν Aristoteles

⟨Περὶ τῶν ὁμοιωμάτων τούτων τῶν εἰδῶν. κεφ. ιδʹ.⟩

Τὰ μὲν οὖν εἴδη τῆς πολιτικῆς εἰς ταῦτα μεταβάλλουσι μάλιστα· τὸ ἐλάχιστον γὰρ ἑκάστη τῶν εἰρημένων πολιτειῶν εἰς τὴν ἀντικειμένην αὐτῇ μεταβάλλει καὶ εἰς ταύτην ῥᾷστα μεταβαίνει. εἰσὶ δὲ καὶ ἐν τῇ οἰκονομικῇ ὁμοιώματα αὐτῶν καὶ οἷον παραδείγματα· ἐν γὰρ ταῖς οἰκίαις καὶ βασιλείας εἰκόνα ἴδοι τις ἂν καὶ ἀριστοκρατίας καὶ τῶν ἄλλων. ἡ μὲν γὰρ πατρὸς πρὸς υἱοὺς κοινωνία βασιλείας ἔχει σχῆμα· τῶν τέκνων γὰρ τῷ πατρὶ μέλει· ἐντεῦθεν δὲ καὶ Ὅμηρος τὸν Δία πατέρα προσαγορεύει. πατρικὴ γὰρ ἀρχὴ βούλεται ἡ βασιλεία εἶναι, ἣν οἱ Πέρσαι ὑπερβαίνοντες τυραννίδα ποιοῦσι, τῶν γὰρ υἱῶν ὡς δούλων ἄρχουσι. τυραννὶς δὲ ἡ τῶν δούλων ἀρχή· τὸ γὰρ τοῦ δεσπότου συμφέρον ζητεῖται ἀεὶ παρὰ τῶν δούλων· ἔστι δὴ ἡ τοιαύτη τῶν τέκνων ἀρχὴ ἡμαρτημένη· ἡ δὲ βασιλείᾳ ἐοικυῖα τοῦ δέοντος ἔχεται· δεῖ γάρ, ἐπεὶ υἱὸς διαφέρει δούλου καὶ | τὰς ἀρχὰς αὐτῶν διαφόρους εἶναι. 322 ἡ μὲν οὖν πατρὸς πρὸς υἱοὺς κοινωνία τῇ βασιλείᾳ ἔοικεν· ἀριστοκρατίᾳ δὲ ἡ τοῦ ἀνδρὸς πρὸς τὴν γυναῖκα. κατ' ἀξίαν γὰρ καὶ ὡς βελτίων ὁ ἀνὴρ ἄρχει· καὶ ἔσται δὴ ἀριστοκρατία, ὅταν ἃ μὲν προσήκει ἀνδρί, ἑαυτῷ ἀποδιδῷ ὁ ἀνήρ, ἃ δὲ γυναιξὶν ἁρμόζει, τῇ γυναικὶ παραχωρῇ. ὑπερβήσεται δὲ τὴν ἀριστοκρατίαν ἡ τοιαύτη κοινωνία καὶ εἰς ὀλιγαρχίαν μεταβαλεῖ, ὅταν ὁ ἀνὴρ ἁπάντων κυριεύῃ· παρὰ τὴν ἀξίαν γὰρ αὐτὸ ποιεῖ καὶ οὐχ ᾗ ἀμείνων. ἐνίοτε δὲ ἄρχουσιν αἱ γυναῖκες, ὅταν ἐπίκληροι ὦσι καὶ διὰ τοῦτο πλούτῳ καὶ δυνάμει τῶν ἀνδρῶν ὑπερέχωσιν· οὐ γὰρ γίνεται ἡ τοιαύτη ἀρχὴ δι' ἀρετήν, ἀλλὰ καθάπερ ἐν ταῖς ὀλιγαρχίαις διὰ πλοῦτον καὶ δύναμιν. τοιαύτη μὲν οὖν ἡ ἐν οἰκίᾳ ἀριστοκρατία καὶ ὀλιγαρχία. τιμοκρατία δὲ ἡ τῶν ἀδελφῶν κοινωνία· ἴσοι γάρ, πλὴν ἐφ' ὅσον ταῖς ἡλικίαις διαλλάττουσι· διόπερ, ἂν πολὺ ταῖς ἡλικίαις διαφέρωσιν, οὐκέτι ἀδελφικὴ γίνεται ἡ φιλία, ἀλλὰ πατρικῇ τινι ἔοικε πρὸς παῖδας. δημοκρατία δὲ μάλιστα μὲν ἐν ταῖς ἀδεσπότοις τῶν οἰκήσεων γίνεται· ἐνταῦθα γὰρ πάντες ἐξ ἴσου· γίνεται δὲ καὶ ἐν αἷς ὁ ἄρχων ἀσθενὴς καὶ διὰ τοῦτο ἕκαστος ἑαυτοῦ ἐξουσιάζει.

⟨Περὶ τῆς καθ' ἑκάστην τῶν πολιτειῶν φιλίας. κεφ. ιεʹ.⟩

Αὗται μὲν οὖν αἵ τε ἐν τῇ πολιτικῇ καὶ ἐν οἰκονομικῇ κοινωνίαι· πάσαις δὲ ταύταις ταῖς κοινωνίαις φαίνεται ἡ φιλία ἀκολουθοῦσα καὶ ἐπὶ τοσοῦτον ἐφ' ὅσον καὶ τὸ δίκαιον. τῇ μὲν οὖν βασιλικῇ κοινωνίᾳ ὑπεροχικὴ φιλία, εἰ ὁ βασιλεὺς ὑπερέχει ταῖς εὐεργεσίαις καὶ εὖ ποιεῖ τοὺς 323 βασιλευομένους καὶ ἐπιμελεῖται αὐτῶν ἀγαθὸς ὤν, ἵν' εὖ πράττωσιν,

7 υἱοὺς Dh: υἱεῖς Aristoteles   12 ἡ om. h   27 διαφέρωσιν D: διαφέρουσιν h
32 τῇ om. h

ὥσπερ νομεὺς προβάτων· ὅθεν καὶ Ὅμηρος τὸν Ἀγαμέμνονα ποιμένα προσαγορεύει λαῶν. τοιαύτη δὲ καὶ ἡ πατρικὴ φιλία· ὑπεροχικὴ γάρ ἐστι καὶ αὐτή, διαφέρει δὲ τῷ μεγέθει τῶν εὐεργετημάτων· μείζω γὰρ ὁ πατὴρ εὐεργετεῖ. αἴτιος γὰρ τῷ παιδὶ τοῦ εἶναι, ὃ μέγιστον ἁπάντων δοκεῖ, καὶ ἔτι τροφῆς καὶ παιδείας. καὶ τοῖς προγόνοις δὲ ταῦτα ἀπονέμεται· φύσει γὰρ ἀρχικὸν ὅ τε πατὴρ τῶν υἱῶν καὶ ὁ πρόγονος τῶν ἐγγόνων καὶ βασιλεὺς βασιλευομένων. εἰσὶ δὲ πᾶσαι αἱ τοιαῦται φιλίαι ἐν ὑπεροχῇ· διὸ καὶ τιμῶνται οἱ γονεῖς, καὶ τὸ δίκαιον δὲ ἀκολούθως τῇ φιλίᾳ οὐ τὸ αὐτὸ ἀλλ' ἐν ὑπεροχῇ. τὸ γὰρ πρὸς πατέρα δίκαιον ὑπερέχει τοῦ πρὸς υἱόν· τὸ γὰρ κατ' ἀξίαν ἀποδοῦναι δεῖ. διὰ τοῦτο καὶ ἡ φιλία συνίσταται. οὐ τῇ βασιλικῇ δὲ μόνον κοινωνίᾳ ἡ ὑπεροχικὴ φιλία ἀκολουθεῖ ἀλλὰ καὶ τῇ ἀριστοκρατικῇ. πρὸς γὰρ τὸν ἀμείνω μείζων γίνεται ἡ φίλησις· τοιαύτη δὲ καὶ ἡ τοῦ ἀνδρὸς πρὸς γυναῖκα φιλία. ἡ γὰρ τοιαύτη κοινωνία ἀριστοκρατία ἐστὶν ἐν οἰκίᾳ· κατὰ τὴν ἀρετὴν γὰρ ὁ ἀνὴρ ἄρχει, καὶ τῷ ἀμείνονι δεῖ πλέον ἀπονέμειν φιλήσεως. ὁμοίως δὲ καὶ τὸ δίκαιον κἀνταῦθα ἐν ὑπεροχῇ. τῇ δὲ τιμοκρατικῇ κοινωνίᾳ, οἵα ἐστὶ καὶ ἡ τῶν ἀδελφῶν, ἡ ἑταιρικὴ φιλία ἀκολουθεῖ, ἥτις ἐν ἰσότητί ἐστιν. οἱ γὰρ ἑταῖροι ἴσοι καὶ ἡλικιῶται· οἱ δὲ τοιοῦτοι ὁμομαθεῖς καὶ ὁμοήθεις ὡς ἐπὶ τὸ πολύ, οἷοί εἰσι καὶ οἱ ἐν τιμοκρατικῇ· ἴσοι γὰρ οἱ πολῖται βούλονται καὶ ἐπιεικεῖς εἶναι καὶ ἄρχουσιν ἕκαστος ἐξ ἴσου καὶ ἄρχονται ἐν τῷ μέρει· ἐξ ἴσου δὴ καὶ ἡ 324 φιλία καὶ τὸ δίκαιον. ταῖς μὲν οὖν ὑγιέσι πολιτείαις καὶ κοινωνίαις οὕτως ἡ φιλία ἀκολουθεῖ καὶ τὸ δίκαιον. ταῖς δὲ παρεκβάσεσι τῶν κοινωνιῶν ὥσπερ καὶ τὸ δίκαιον ἐπὶ μικρόν ἐστιν, οὕτω καὶ ἡ φιλία. ἐπεὶ δὲ τῶν παρεκβάσεων χειρίστη ἐστὶν ἡ τυραννίς, διὰ τοῦτο οὐδαμῶς ἐν αὐτῇ φιλία εὑρίσκεται ἢ πάνυ μικρόν. ἐν οἷς γὰρ μηδὲν κοινωνόν ἐστι τῷ ἄρχοντι καὶ ἀρχομένῳ, οὐδὲ φιλία· οὐδὲ γὰρ οὐδὲ δίκαιον· ἀλλ' ὥσπερ ὁ τεχνίτης ἔχει πρὸς τὸ ὄργανον καὶ ἡ ψυχὴ πρὸς τὸ σῶμα, οὕτω καὶ δεσπότης ἔσται πρὸς δοῦλον καὶ τύραννος πρὸς ἀρχόμενον· ὠφελεῖται μὲν γὰρ τό τε ὄργανον ὑπὸ τοῦ τεχνίτου καὶ τὸ σῶμα ὑπὸ τῆς ψυχῆς, φιλία δὲ πρὸς αὐτὰ οὐκ ἔστιν· οὐ γὰρ πρὸς τὰ ἄψυχα φιλία δύναται εἶναι· οὐδὲ δίκαιόν τι πρὸς αὐτά ἐστιν ἀπὸ τῶν χρωμένων, ὥσπερ οὐδὲ πρὸς βοῦν ἢ πρὸς κύνα. τὸν αὐτὸν δὴ τρόπον οὐδὲ πρὸς δοῦλόν ἐστι φιλία δεσπότου ἢ πρὸς ἀρχομένους τυράννῳ, καθόσον εἰσὶ δοῦλοι· οὐδὲν γὰρ κοινὸν δεσπόταις καὶ δούλοις· ὁ γὰρ δοῦλος ἔμψυχον ὄργανον καὶ τὸ ὄργανον ἄψυχος δοῦλος· ᾗ μὲν οὖν δοῦλος, οὐκ ἔστι φιλία πρὸς αὐτόν, ᾗ δὲ ἄνθρωπος, δύναται εἶναι. δοκεῖ γὰρ εἶναί τι δίκαιον παντὶ ἀνθρώπῳ πρὸς πάντα ἄνθρωπον τὸν δυνάμενον κοινωνῆσαι νόμων τινῶν καὶ θεσμῶν· ἡ γὰρ κοινωνία τῶν νόμων τὸ πρὸς ἀλλήλους ποιεῖ δίκαιον, ἡ δὲ κατὰ τὸ δίκαιον κοινωνία καὶ τὴν φιλίαν εἰσάγει. ἔσται τοίνυν τυράννῳ

1 Homer. Il. B 243 al. 7 δὲ D: δὴ h 19 ὁμομαθεῖς ut Arist. cod. Ob: ὁμοπαθεῖς Arist. vulg. 27 καὶ ἀρχομένῳ Dh et Arist. cod. KbOb: καὶ τῷ ἀρχομένῳ Arist. vulg.

πρὸς ἀρχομένους φιλία, καθόσον εἰσὶν ἄνθρωποι· διὰ τοῦτο ἀμυδρόν τι ἐνταῦθα καὶ τὸ δίκαιον καὶ ἡ φιλία. | ἐν δὲ τῇ δημοκρατίᾳ ἐπὶ πλεῖστον· 325 πολλὰ γὰρ τὰ κοινὰ ἴσοις οὖσιν.

⟨Περὶ ἑταιρικῆς φιλίας καὶ συγγενικῆς καὶ οἰκονομικῆς. κεφ. ιϛʹ.⟩

Πᾶσα μὲν οὖν φιλία ἐν κοινωνίᾳ ἐστί, καθάπερ εἴρηται· μόνη δὲ ἡ συγγενικὴ καὶ ἑταιρικὴ φιλία οὐ δοκοῦσιν ἐν κοινωνίᾳ εἶναι. κοινωνικαὶ γάρ εἰσι φιλίαι αἱ καθ' ὁμολογίαν καὶ συνθήκην τινὰ συνιστάμεναι, οἷαί εἰσιν αἱ φυλετικαὶ καὶ συμπλοϊκαὶ καὶ ὅσαι τοιαῦται, εἰς ταύτας δὲ τάξειεν ἄν τις καὶ τὴν ξενικήν. ἡ δὲ συγγενικὴ φιλία καὶ ἡ ἑταιρικὴ οὐ καθ' ὁμολογίαν ἢ συνθήκην τινὰ συνίστανται, ἀλλὰ τοὺς μὲν ἡ φύσις συνέδησε, τοὺς δὲ τὸ τυχεῖν ἡλικιώτας εἶναι καὶ περὶ τὰ αὐτὰ ἐπιτηδεύματα σπουδάζειν. ῥητέον δὴ περὶ τῆς συγγενικῆς. ἔστι δὴ πολυειδὴς ἡ συγγενικὴ φιλία καὶ τῆς πατρικῆς πᾶσα ἐξήρτηται· διὰ γὰρ τὴν πρὸς τὸν κοινὸν πατέρα ἢ πρόγονον οἰκειότητα οἵ τε ἀδελφοὶ καὶ οἱ ἄλλως συγγενεῖς ἀλλήλους φιλοῦσιν. οἱ γονεῖς μὲν γὰρ στέργουσι τὰ τέκνα ὡς ἑαυτῶν τι ὄντα, τὰ δὲ τέκνα τοὺς γονεῖς ὡς ἀπ' ἐκείνων τι ὄντα, ἀδελφοὶ δὲ ἀδελφοὺς τῷ ἐκ τῶν αὐτῶν πεφυκέναι. μᾶλλον δὲ ἴσασιν οἱ γονεῖς τὰ τέκνα, ὅτι ἐξ αὐτῶν εἰσιν ἢ τὰ γεννηθέντα, ὅτι ἐκ τούτων· καὶ μᾶλλον συνῳκείωται τὸ αἴτιον καὶ τὸ γεννῶν τῷ γεννηθέντι ἢ τῷ ποιηθέντι, ἢ τὸ γεννώμενον τῷ ποιήσαντι καὶ τὸ γεννηθὲν τῷ γεννήσαντι· τὸ γὰρ ἔκ τινος οἰκεῖον τῷ ἐξ οὗ ἐστιν, ὥσπερ ὀδοὺς ἢ θρὶξ τῷ ἔχοντι οἰκεῖόν ἐστι, τριχὶ δὲ καὶ ὀδόντι οὐκ ἔστιν οἰκεῖον ὁ ἔχων. ἢ τοίνυν οὐδαμῶς ἐστιν οἰκεῖον τῷ | αἰτιατῷ τὸ αἴτιον καὶ τῷ ἔκ τινος τὸ ἐξ οὗ, 326 οὐδέ τινα σχέσιν ἔχει πρὸς αὐτό, ἢ εἰ ἔχει, ἐλάττω ἔχει ἢ ἐκεῖνο πρὸς αὐτὸ ἔχει· καὶ τὰ τέκνα δὴ τοὺς γονεῖς ἧττον φιλοῦσιν ἢ ὑπ' ἐκείνων φιλοῦνται. ἔτι δὲ καὶ ἀπὸ τοῦ χρόνου φανερόν· οἱ μὲν γὰρ εὐθὺς γενόμενα στέργουσι, τὰ τέκνα δὲ αὐτοὺς χρόνῳ ὕστερον μετὰ τὸ λαβεῖν σύνεσιν ἢ αἴσθησιν· διὰ τοῦτο καὶ αἱ μητέρες μᾶλλον φιλοῦσι τὰ τέκνα ἢ οἱ πατέρες, ὅτι πρότερον αὐτὰ στέργουσι. γονεῖς μὲν οὖν τὰ τέκνα φιλοῦσιν ὡς ἑαυτούς (τὰ γὰρ ἐξ αὐτῶν οἷον ἄλλοι αὐτοί, τῷ χωρὶς εἶναι μόνῳ διαφέροντες), τέκνα δὲ φιλοῦσι γονεῖς, ὡς ἀπ' ἐκείνων πεφυκότα, ἀδελφοὶ δὲ ἀλλήλους τῷ ἐκ τῶν αὐτῶν πεφυκέναι. ἡ γὰρ πρὸς τοὺς γονεῖς ταυτότης καὶ αὐτοῖς ταυτότητα ποιεῖ πρὸς ἀλλήλους, ὥσπερ τοὺς κλάδους ἡ τῆς ῥίζης ταυτότης συνάπτει· διό φασι ταὐτὸν αἷμα καὶ ῥίζαν καὶ τὰ τοιαῦτα· ἔστι γὰρ ἑκάτερον ταὐτὸ καὶ ἓν ἐν πολλοῖς καὶ διῃρημένοις. μέγα δὲ πρὸς φιλίαν καὶ τὸ συντραφῆναι καὶ ἥλικας εἶναι· ἧλιξ γὰρ ἥλικα φιλεῖ, καὶ οἱ συνήθεις ἑταῖροι· διὸ καὶ ἡ ἀδελφικὴ τῇ ἑταιρικῇ ὁμοιοῦται. ἀνεψιοὶ δὲ καὶ οἱ λοιποὶ

14 οἱ post καὶ om. h   16 τι om. h   23 τῷ (prius) h: τὸ D   28 αἱ om. h
31 μόνῳ D: μόνον h   35 ἓν om. h

συγγενεῖς ἐκ τῶν ἀδελφῶν συνῳκείωνται· τῷ γὰρ ἀπὸ τῶν αὐτῶν 20
εἶναι καὶ αὐτοὶ οἱ αὐτοί πως ἀλλήλοις εἰσίν. γίνονται δὲ οἱ μὲν οἰκειότεροι τῶν συγγενῶν, οἱ δ' ἀλλοτριώτεροι τῷ σύνεγγυς ἢ πόρρω τὸν ἀρχηγὸν εἶναι τοῦ γένους· οἷς γὰρ πόρρωθεν ἡ κοινωνία, ἀμυδρὰ γίνεται, τῷ προϊέναι ἐλαττουμένη. ἔστι δὲ ἡ μὲν τῶν τέκνων πρὸς τοὺς γονεῖς φιλία καὶ τῶν ἀνθρώπων πρὸς τὸν θεὸν ὡς πρὸς ἀγαθὸν καὶ ὑπερέχον (εὐεργέται γάρ εἰσι τὰ μέγιστα εὐεργετοῦντες, | τὸ εἶναι καὶ τρα- 327
φῆναι καὶ παιδευθῆναι), ἡ δὲ τῶν συγγενῶν πρὸς ἀλλήλους ἐν ἰσότητι· ἔχει δὲ καὶ τὸ ἡδὺ καὶ τὸ χρήσιμον ἡ τοιαύτη φιλία μᾶλλον ἢ ἡ τῶν ἀλλοτρίων κατὰ γένος, ὅσῳ καὶ κοινότερος ὁ βίος ἐστὶν αὐτοῖς κατὰ πλείονα κοινωνοῦσιν ἀλλήλοις. μάλιστα δὲ ἡ ἀδελφικὴ φιλία· συμβαίνει γὰρ αὐτῇ πάντα, ἃ καὶ τῇ ἑταιρικῇ καὶ μᾶλλον αὐτῇ ἢ ἐκείνῃ· καὶ διὰ τοῦτο εἰ ἐπιεικεῖς εἶεν οἱ ἀδελφοὶ καὶ ὅμοιοι, μᾶλλον φιλήσουσιν ἀλλήλους ἢ οἱ ἑταῖροι· οἰκειότεροι γάρ εἰσιν ἀλλήλοις καὶ ὁμοιότεροι καὶ ἐκ γενετῆς ἀλλήλους στέργουσι καὶ ὁμοηθέστεροί εἰσιν. ὅτι καὶ ἐκ τῶν αὐτῶν ἔφυσαν 10
καὶ ὁμοίως ἐπαιδεύθησαν· καὶ ἡ κατὰ τὸν χρόνον δοκιμασία μείζων ἐνταῦθα καὶ βεβαιοτέρα. ἡ μὲν οὖν μεγίστη ἐν ταῖς συγγενικαῖς φιλία ἡ ἀδελφική ἐστιν, αἱ δὲ ἄλλαι ἀνάλογον ἔχουσι τῇ κατὰ γένος οἰκειότητι. ἀνδρὶ δὲ καὶ γυναικὶ φιλία δοκεῖ κατὰ φύσιν ὑπάρχειν. ἄνθρωπος γὰρ τῇ φύσει τεκνοποιητικὸν μᾶλλον ἢ πολιτικόν, ὅσῳ πρότερον καὶ ἀναγκαιότερον οἰκία πόλεως καὶ ὅσῳ κοινότερον ζῴοις τεκνοποιία ἢ πολιτεία. τὸ μὲν γὰρ πᾶσι ζῴοις ἔνεστιν, ἡ δὲ πολιτεία μόνοις τοῖς ἀνθρώποις. τοῖς μὲν οὖν ἄλλοις ζῴοις ἐπὶ τοσοῦτον μόνον ἡ κοινωνία 20
ἐστίν, ἐφ' ὅσον ἔνι τεκνοποιῆσαι, τοῖς δὲ ἀνθρώποις οὐ τῆς τεκνοποιίας χάριν μόνον ἡ κοινωνία ἐστὶν ἀλλὰ καὶ τῶν εἰς τὸν βίον· εὐθὺς γὰρ διῄρηται αὐτῶν τὰ ἔργα καὶ ἄλλα τὰ ἔργα τοῦ ἀνδρὸς καὶ ἕτερα γυναικός· ἐπαρκοῦσιν οὖν ἀλλήλοις εἰς τὸ κοινὸν τιθέντες τὰ ἴδια. διὰ ταῦτα καὶ τὸ χρήσιμον καὶ τὸ ἡδὺ ἐν ταύτῃ τῇ φιλίᾳ εἶναι δοκεῖ· εἴη δ' ἂν καὶ τὸ ἀγαθὸν καὶ ἡ ἀρετή, εἰ ἐπιεικεῖς εἶεν· ἔστι γὰρ ἑκατέρου ἀρετή· καὶ εἰ | σπουδαῖος εἴη ἑκάτερος τὴν προσήκουσαν ἀρετήν, 328
χαίροιεν ἂν καὶ διὰ τοῦτο ἀλλήλοις. σύνδεσμος δὲ τῇ τοιαύτῃ φιλίᾳ καὶ τὰ τέκνα δοκεῖ εἶναι· διὸ θᾶττον οἱ ἄτεκνοι διαλύονται· τὰ γὰρ τέκνα κοινὸν ἀγαθὸν ἀμφοῖν· τὸ δὲ κοινὸν συνέχει τὰ κοινωνοῦντα.

⟨Περὶ τῶν ἐν τῇ κατὰ τὸ χρήσιμον φιλίᾳ ἐγκλημάτων. κεφ. ιζ'.⟩

Πῶς δὲ συμβιωτέον ἀνδρὶ πρὸς γυναῖκα καὶ ἀδελφῷ πρὸς ἀδελφὸν καὶ ὅλως φίλῳ πρὸς φίλον ταὐτόν ἐστι τῷ πῶς δίκαιον. ἕπεται γὰρ 10
πάσῃ κοινωνίᾳ ἀναλόγως τῇ φιλίᾳ καὶ τὸ δίκαιον, ὥσπερ εἴρηται πολλάκις· καὶ οὐ ταὐτὸν φαίνεται εἶναι δίκαιον φίλῳ πρὸς φίλον καὶ τὸν ὀθνεῖον ἢ τὸν ἀδελφὸν ἢ τὸν ἑταῖρον καὶ τὸν συμφοιτητήν. τριῶν δὴ οὐσῶν τῶν φιλιῶν, διὰ τὸ ἀγαθὸν διὰ τὸ ἡδὺ καὶ διὰ τὸ χρήσιμον, καὶ καθ' ἑκάστην τῶν μὲν ἐν ἰσότητι φίλων ὄντων, τῶν δὲ καθ' ὑπεροχήν (καὶ γὰρ γίνονται

φίλοι καὶ οἱ ὅμοιοι ἢ κατὰ τὸ ἀγαθὸν ἢ κατὰ τὸ ἡδὺ ἢ κατὰ τὸ χρήσιμον [γίνονται φίλοι] καὶ ἀμείνους χείροσι), τοὺς ἴσους μὲν κατ' ἰσότητα δεῖ φιλεῖν καὶ τὰ ἄλλα πάντα ἰσάζειν. τοὺς δὲ ἀνίσους ἀναλόγως τῇ ὑπεροχῇ καὶ τῇ ἐλλείψει φιλεῖν καὶ φιλεῖσθαι. μόνῃ δὲ ἐν τῇ κατὰ τὸ χρήσιμον φιλίᾳ ἢ ταύτῃ μάλιστα τὰ ἐγκλήματα καὶ αἱ μέμψεις τῶν φίλων γίνονται πρὸς ἀλλήλους εἰκότως. οἱ μὲν γὰρ δι' ἀρετὴν φίλοι ὄντες εὖ ποιεῖν ἀλλήλους προθυμοῦνται· τοῦτο γὰρ ἀρετῆς καὶ φιλίας· πρὸς τοῦτο δὲ τῶν φίλων ἁμιλλωμένων οὐκ ἔστιν ἐγκλήματα οὐδὲ μάχαι· τὸν γὰρ φιλοῦντα καὶ εὖ ποιοῦντα | οὐδεὶς 329 δυσχεραίνει, ἀλλ' ἐὰν ᾖ χαρίεις, ἀμείβεται καὶ αὐτὸς εὖ ποιῶν· ὁ δὲ ταῖς εὐεργεσίαις τὸν ἕτερον ὑπερβάλλων, τυγχάνων οὗ ἐφίεται, οὐκ ἂν ἐγκαλοίη τῷ φίλῳ· ἐφίεται γὰρ ἑκάτερος τοῦ ἀγαθοῦ καὶ τοῦ εὖ ποιεῖν. οὐδὲ δὴ οἱ δι' ἡδονὴν φιλοῦντες πάνυ δυσχεραίνειν ἀλλήλους δύνανται. ἅμα γὰρ ἀμφοῖν γίνεται οὗ ὀρέγονται, εἰ τῷ συνδιάγειν χαίρουσι. γελοῖος γὰρ ἂν εἴη ὁ ἐγκαλῶν τῷ μὴ τέρποντι φίλῳ, ἐξὸν συνδιάγοντα τέρπεσθαι· οὔτε τοίνυν ἡ διὰ τὸ ἀγαθὸν φιλία ἐγκλήματα ἔχει καὶ μέμψεις οὔτε ἡ δι' ἡδονήν, μόνη δὲ ἡ διὰ τὸ χρήσιμον ἐγκληματική ἐστιν. ἐπ' ὠφελείᾳ γὰρ χρώμενοι ἀλλήλοις ἀεὶ τοῦ πλείονος δέονται καὶ ἔλαττον ἔχειν οἴονται τοῦ προσήκοντος καὶ μέμφονται, ὅτι οὐχ ὅσων δέονται τοσούτων τυγχάνουσιν, ἄξιοι ὄντες τυγχάνειν· οἱ γὰρ εὖ ποιοῦντες οὐ δύνανται ἐπαρκεῖν αὐτοῖς τοσαῦτα ὅσων δέονται· ἀεὶ γὰρ οἱ εὖ πάσχοντες πλειόνων δέονται, ἤπερ εὖ ποιεῖν οἱ εὐεργέται δύνανται. ἔοικε δέ, ὅτι καθάπερ τὸ δίκαιον διττόν ἐστι (τὸ μὲν ἄγραφον, τὸ δὲ κατὰ νόμον), οὕτω καὶ τῆς κατὰ τὸ χρήσιμον φιλίας τὸ μὲν ἠθικόν ἐστι, τὸ δὲ νομικόν. νομικὸν μὲν χρήσιμον, ὅταν τίς τινι διδῷ, ἐφ' ᾧ λάβοι τι ῥητὸν καὶ ὡρισμένον, ἠθικὸν δέ, ὅταν τίς τινι ὡς φίλῳ δωρῆται, κομίζεσθαι δὲ ἀξιοῖ τὸ ἴσον ἢ πλέον, οὐ ῥητὸν οὐδὲ ὡρισμένον· κατ' ἄμφω δὲ τὰ χρήσιμα ταῖς φιλίαις ἐγκλήματα καὶ μέμψεις ἀκολουθοῦσι. μάλιστα δὲ ὅταν τῶν φίλων ὁ μὲν τὸ νόμιμον χρήσιμον εἰσάγῃ, ὁ δὲ τὸ ἠθικόν· οἱ τοιοῦτοι γὰρ ταχέως διαλύονται. εἰ γὰρ ὁ μὲν εἰς χρήματα ὠφελεῖ καὶ ἀξιοῖ ὁμοίως | ὠφελεῖσθαι καὶ το- 330 σαῦτα λαβεῖν ὅσα δέδωκεν, ὁ δὲ ἄλλην τινὰ ὠφέλειαν ὠφελεῖ, οὐ δύνανται ἐν τῇ φιλίᾳ μένειν. ἔστι δὲ καὶ τοῦ νομίμου χρησίμου τὸ μὲν πάντῃ ἀγοραῖον, τὸ δὲ ἐλευθεριώτερον· τὸ μὲν γὰρ μὴ δοῦναι εἰ μὴ αὐτίκα εἴη λαβεῖν, ἐκ χειρὸς εἰς χεῖρα, πάντῃ ἀγοραῖον, τὸ δὲ δόντα ἀναβαλέσθαι τὴν λῆψιν, ἐλευθεριώτερον. καὶ τοῦτο δὲ καθ' ὁμολογίαν γίνεται, τί ἀντὶ τίνος ὀφείλει (ὡρισμένον γὰρ τὸ ὀφείλημα καὶ οὐκ ἀμφίλογον), ἡ δὲ ἀναβολὴ τῆς κομιδῆς ἐλευθεριώτερόν πως καὶ φιλικώτερον ποιεῖ τὸ συνάλλαγμα· διὸ παρ' ἐνίοις τούτων οὐκ εἰσὶ δίκαι οὐδὲ δικάζονται ἀλλήλοις περὶ τῶν

---

2 γίνονται φίλοι seclusi τοὺς δὲ ἴσους h 4 τῇ (ante ἐλλείψει) om. h 10 ἀμείβεται Dh et Arist. cod. N^b: ἀμύνεται Arist. vulg. 15 post ἐξὸν add. ἄλλῳ ed. 1697 16 οὔτε Mullach: οὔτε τε Dh 24 τὸ μὲν γὰρ ἄγραφον h 25 φιλίας h: ὠφελείας D 35 ἀναβαλέσθαι h: ἀναβάλλεσθαι D

χρεῶν ἀλλ' οἴονται δεῖν στέργειν τοὺς κατὰ πίστιν συναλλάξαντας. ὁ δὲ κατὰ τὸ ἠθικὸν χρήσιμον ὠφελῶν οὐκ ἐπὶ ῥητοῖς ἀλλ' ὡς φίλῳ δωρεῖταί τι ἢ ἄλλην τινὰ ὠφέλειαν ὠφελεῖ, κομίζεσθαι δὲ ἀξιοῖ τὸ ἴσον ἢ πλέον, ὡς οὐ δεδωκὼς ἀλλὰ χρήσας· μὴ λαβὼν δὲ οὐχ ὥσπερ χρήσας οὕτως ἐγκαλεῖ τῷ μὴ δόντι ἀλλ' ὡς φίλῳ. τοῦτο δὲ συμβαίνει διὰ τὸ βούλεσθαι μὲν πάντας ἢ τοὺς πλείστους τὰ καλά, προαιρεῖσθαι δὲ τὰ ὠφέλιμα. τὸ δὲ εὖ ποιεῖν, μὴ ἵνα ἀντιπάθῃ, καλόν, ὠφέλιμον δὲ τὸ εὐεργετεῖσθαι· διὰ τοῦτο τὸ μὲν ὠφέλιμον ζητοῦσι, μὴ τυχόντες δὲ βούλονται καλοὶ δοκεῖν. τοὺς δὲ τοιούτους φίλους καὶ ἵνα εὖ πάθωσιν εὖ ποιοῦντας πάσῃ σπουδῇ εὖ ποιητέον τοὺς δυναμένους, καὶ τὴν ἀξίαν εὐεργεσίαν ἀποδοτέον. οὐ γὰρ ἕλκειν δεῖ βίᾳ πρὸς τὴν ἀληθῆ φιλίαν μὴ βουλομένους, ἀλλὰ δυσχεραίνειν, ὅτι ἔλαθον εὖ παθόντες ὑφ' οὗ οὐκ ἔδει, οὐ γὰρ ὑπὸ φίλου, καὶ ζητεῖν ὅπως ἑκόντες ἀποτρίψωνται τὰς αἰσχρὰς εὐεργεσίας, ἃς | ἄκοντες ἐδέξαντο τῷ ἀγνοεῖν 331 τὸν εὐεργετοῦντα. ἀποτρίψονται δέ, εἰ μὲν δύνανται, καὶ αὐτοὶ ἀποδόντες καὶ καθάπερ ἐπὶ ῥητοῖς εὐθὺς διαλυθέντες, εἰ δὲ μὴ δύνανται τηνικαῦτα, ὁμολογήσαντες δυνηθέντες ἦ μὴν εὐθὺς ἀποδώσειν, εἰ δὲ πάντως ἀδυνάτως ἔχουσιν ἀμείψασθαι, οὐδὲ οἱ δόντες ἀπαιτήσουσιν οὐδὲν παρ' αὐτῶν· ὥστε εἰ δύνανται, ἀποδοτέον εὐθύς· πρὶν δὲ εὐεργετηθῆναι, σκεπτέον ἕκαστον, ὑπὸ τίνος εὐεργετεῖται καὶ ἐπὶ τίνι, ὡς ἂν εἰδείη, εἰ δεῖ δέξασθαι ἢ μή.

⟨Περὶ μέτρου ἀποδόσεως ἐν τῇ χρησίμῳ καὶ ἔτι περὶ τῶν ἐν τῇ καθ' ὑπεροχὴν φιλίᾳ μέμψεων. κεφ. ιη'.⟩

Ἐν δὲ ταῖς πρὸς ἀλλήλους τῶν φίλων ἀμοιβαῖς ἀπορία ἐστίν. ἐπεὶ γὰρ ἀπὸ μεγάλων εὐεργεσιῶν μικραὶ ὠφέλειαι γίνονται τοῖς εὐεργετουμένοις καὶ ἀπὸ μικρῶν μεγάλαι πολλάκις (ἐνδέχεται γὰρ πολλὰ ποιήσαντα καὶ ἀναλώσαντα μικρὰ τὸν φίλον ὠφελῆσαι, καὶ τὸ ἀνάπαλιν), πότερον ἀμειβομένους τὴν ὠφέλειαν δεῖ σκοπεῖν ἢ τῆς εὐεργεσίας τὸ μέτρον. καὶ γὰρ οἱ μὲν εὖ παθόντες τοιαῦτά φασι λαβεῖν παρὰ τῶν εὐεργετῶν, ἃ μικρὰ ἦν ἐκείνοις δοῦναι καὶ ἐξῆν παρ' ἑτέρων λαβεῖν, τούτῳ κατασμικρύνοντες τὰς εὐεργεσίας, οἱ δὲ εὖ ποιήσαντες τὸ ἀνάπαλιν τὰ μέγιστα ὧν εἶχον εὐεργετῆσαι λέγουσι καὶ ἃ παρ' ἄλλων οὐκ ἦν λαβεῖν, καὶ ἐν κινδύνοις καὶ χρείαις κινδύνων ἐγγύς· ἀμφισβητεῖται δή, ποτέρῳ δεῖ μετρεῖν τὴν ἀμοιβὴν τῇ τοῦ παθόντος εὖ ὠφελείᾳ ἢ τῇ τοῦ δράσαντος εὐεργεσίᾳ. ἔστι δὲ οὐχ ὁμοίως ἐπὶ πάσης φιλίας, ἀλλ' ἐπὶ μὲν τῆς διὰ τὸ χρήσιμον φιλίας ἡ ἀμοιβὴ ἀναλογήσει τῇ τοῦ εὖ παθόντος ὠφελείᾳ 332 ἢ καὶ ὑπερβαλεῖ ταύτην· οὕτω γὰρ κάλλιον. καὶ γὰρ οὗτός ἐστιν ὁ δεόμενος καὶ ἐπαρκεῖ αὐτῷ ὡς κομιούμενος τὴν ἴσην· τοσαύτη οὖν γεγένηται ἐπικουρία ὅσον ὠφελήθη ἢ καὶ πλέον· ὅλως δὲ τῇ ὠφελείᾳ ἑαυ-

20 εἰδείη Mullach: εἰδοίη Dh 33 ἐν D: om. h ποτέρῳ Dh: πότερον Mullach

τοῦ μετρεῖν ἄξιον τὴν ἀμοιβήν, ὅτι διὰ ταύτην φίλος ἐστίν· ἐπὶ δὲ τῆς δι' ἀρετὴν φιλίας οὔτε ἐγκλήματά εἰσιν ὥσπερ ἐπὶ ταύτης, ἑκατέρου βουλομένου τὰς εὐεργεσίας ἕλκειν ἐπὶ τὸ ὠφέλιμον ἑαυτῷ, οὔτε τῇ ὠφελείᾳ τῶν εὖ πασχόντων αἱ ἀμοιβαὶ μετροῦνται ἀλλὰ τῇ προαιρέσει τῶν εὖ ποιούντων· τῆς ἀρετῆς γὰρ καὶ τοῦ ἤθους ἐν τῇ προαιρέσει τὸ κύριον· ἐπεὶ τοίνυν διὰ τὴν ἀρετὴν ἀλλήλους φιλοῦσι καὶ τὰς ἀμοιβὰς τῇ προαιρέσει μετρήσουσι, διὰ τοῦτο παντὸς ἐγκλήματος καθαρά ἐστιν ἡ τοιαύτη φιλία, αἱ δὲ ἄλλαι ἀεὶ ἐν ἐγκλήμασίν εἰσιν, οἵα ἐστὶ καὶ ἡ καθ' ὑπεροχήν, ὅταν ὁ μείζων τὸν ἐλάττω φιλῇ ἢ ⟨ὁ⟩ ὠφελιμώτερος τὸν ἧττον ὠφέλιμον· ἀξιοῖ γὰρ ὁ ὑπερέχων πλέον ἔχειν, ὁ μέν, ὅτι βελτίων, ὁ δέ, ὅτι ὠφελιμώτερος. εἰ γὰρ ἑκάτερος, φησί, τῶν φίλων κατὰ τὴν δύναμιν εἰσενέγκοι, καὶ οὐ κατ' ἀξίαν λήψεται, λειτουργία τις ἔσται ἡ φιλία· διὰ τοῦτό φασι δεῖν οὐχ ὁμοίων τυγχάνειν τῶν ἐκ τῆς φιλίας ἀλλὰ μειζόνων· ἀξιοῦσι γάρ, καθάπερ οἱ κατ' ἐμπορίαν συνεισφέροντες χρήματα οἱ πλέον εἰσενεγκόντες τοῦ κέρδους πλέον ἔχουσιν, οὕτω καὶ ἐπὶ τῆς φιλίας ἔχειν· καὶ ταῦτα μὲν οἱ ὑπερέχοντες, οἱ δὲ ὑπερεχόμενοι οὐ ταὐτά φασι προσήκειν τοῖς ὑπερέχουσι φίλοις, ἀλλὰ τὸ ἀνάπαλιν· φίλου γὰρ ἀγαθοῦ εἶναι τὸ ἐπαρκεῖν τοῖς ἐνδεέσι· τί γάρ, φασίν, | ὄφελος σπουδαίῳ, ἢ δυνάστῃ φίλον 333 εἶναι, μηδέν γε μέλλοντα ἀπολαύειν τῶν τοῦ φίλου ἀγαθῶν; οὕτω δὲ ἐγκαλοῦντες ἀλλήλοις καὶ ἀξιοῦντες ἑκάτερος πλέον ἔχειν ῥᾷστα διαλύονται. ἔοικε δὲ ὀρθῶς καὶ ἑκάτερος ἀξιοῦν· δεῖ γὰρ ἑκατέρῳ τὸ πλέον νέμειν ἐκ τῆς φιλίας, οὐ τοῦ αὐτοῦ δέ, ἀλλὰ τῷ μὲν ὑπερέχοντι δεῖ πλέον νέμειν τιμῆς, τῷ δὲ ἐνδεεῖ πλέον ἀποδιδόναι ὧν δεῖται. τῆς μὲν γὰρ ἀρετῆς καὶ εὐεργεσίας ἡ τιμὴ γέρας, τῆς δὲ ἐνδείας ἐπικουρία τὸ κέρδος ἢ ἄλλο ὁτιοῦν, οὗ ἐνδεής ἐστι. τὸν ἴσον δὲ τρόπον καὶ ἐν ταῖς πολιτείαις φαίνεται ἔχον· ἀποδίδοται γὰρ ἀεὶ τοῖς εὐεργέταις ἡ τιμή· οὐ γὰρ τιμᾶται ὁ μηδὲν ἀγαθὸν τῷ κοινῷ πορίζων· τὸ κοινὸν γὰρ δίδοται τῷ τὸ κοινὸν εὐεργετοῦντι· ἡ τιμὴ δὲ κοινόν. οὐ γάρ ἐστιν ἅμα χρηματίζεσθαι ἀπὸ τῶν κοινῶν καὶ τιμᾶσθαι, ἀλλ' ὁ ἐνδεὴς τοῦ κοινοῦ χρήματα μὲν λαμβάνει, τιμᾶται δὲ οὐδαμῶς· οὐδεὶς γὰρ δέχεται κατ' ἄμφω ἐλαττοῦσθαι καὶ κατὰ τὴν τιμὴν καὶ κατὰ τὰ χρήματα, ἀλλὰ τὸ ἕτερον διδοὺς τὸ ἕτερον λήψεται. διὰ τοῦτο τῷ μὲν περὶ χρήματα ἐλαττουμένῳ ὑπὲρ τοῦ κοινοῦ τὴν τιμὴν νέμουσι, τῷ δὲ δωροδόκῳ χρήματα· τὸ κατ' ἀξίαν γὰρ ἐπανισοῖ καὶ σῴζει τὴν φιλίαν, καθάπερ εἴρηται. τοῦτον δὴ τὸν τρόπον καὶ τοῖς ἀνίσοις φίλοις ὁμιλητέον, καὶ τῷ εἰς χρήματα ὠφελουμένῳ ἢ εἰς ἀρετὴν τιμὴν ἀνταποδοτέον τῷ ὠφελοῦντι· ἀνταποδώσει δὲ τὸ ἐνδεχόμενον. τὸ δυνατὸν γὰρ ἡ φιλία ἐπιζητεῖ, οὐ τὸ κατ' ἀξίαν. οὐ γὰρ δύνανται πάντες τὰ κατ' ἀξίαν ὧν ὀφείλουσιν ἀποδιδόναι· οὐ γὰρ δυνατὸν ἐπὶ πάντων τὸ κατ' ἀξίαν | εὑρεῖν, ὥσπερ ἐν ταῖς πρὸς τοὺς θεοὺς καὶ γονέας 334

9 ὁ inserui   14. 15 εἰσενεγκόντες τοῦ κέρδους om. h   19 ἀπολαύειν D: ἀπολαβεῖν h   24 καὶ εὐεργεσίας Dh et Arist. cod. Mb: καὶ τῆς εὐεργεσίας Arist. vulg.   37 ὠφελοῦντι D: τελοῦντι h

τιμαῖς οὐδεὶς τὴν ἀξίαν ἀποδοῦναι δύναται· ὁ δὲ θεραπεύων κατὰ τὴν δύναμιν καὶ ὅσον ἔξεστιν ἐπιεικὴς εἶναι δοκεῖ. διὰ τοῦτο δοκεῖ μὴ ἐξεῖναι υἱῷ πατέρα ἀπείπασθαι καὶ μὴ ὑπακοῦσαι περὶ ὁτιοῦν ἀξιοῦντα (ἀεὶ γὰρ ὀφείλει καὶ διὰ τοῦτο ἀνταποδοτέον ἀεί· οὐδὲν γὰρ ἄξιον ὧν εὐεργετήθη δέδρακε πρὸς τὸν πατέρα), τῷ πατρὶ δὲ ἀπείπασθαι τὸν υἱόν· ἔξεστι γὰρ τοῖς εὐεργέταις τοὺς ὀφείλοντας ἀποπέμψασθαι. ἴσως δὲ οὐδεὶς πατὴρ ἀφίσταται τοῦ υἱοῦ, εἰ μὴ ὑπερβαλλόντως εἴη μοχθηρός· ἥ τε γὰρ φυσικὴ φιλία εἰς τοῦτο ἐπείγει καὶ ἅμα ἀνθρώπινόν ἐστι τὴν ἐπικουρίαν μὴ διωθεῖσθαι· τῷ δὲ υἱῷ μοχθηρῷ ὄντι μισητόν, ἢ οὐ λίαν σπουδάζεται τῷ πατρὶ ἐπαρκεῖν· οἱ γὰρ πολλοὶ εὖ πάσχειν βούλονται, τὸ δὲ εὖ ποιεῖν φεύγουσιν ὡς ἀλυσιτελές. περὶ μὲν οὖν τούτων ἐπὶ τοσοῦτον εἰρήσθω.

---

3 ὁτουοῦν h 10 βούλονται — ποιεῖν bis D

⟨Ποῖα τὰ τὴν φιλίαν σώζοντα. κεφ. α΄.⟩

Λέγωμεν δὲ ἔτι περὶ φιλίας καὶ ὧν δεῖ προσθῶμεν τοῖς εἰρημένοις. ἐν μὲν οὖν ταῖς κατ᾽ ἰσότητα φιλίαις τὰ ἴσα ἀνταποδοτέον ἀλλήλοις τοὺς φίλους, ἐν δὲ ταῖς ἀνομοιοειδέσι φιλίαις, καθὼς εἴρηται, τὸ ἀνάλογον· ἡ γὰρ ἀναλογία ἰσάζει τοὺς φίλους ἐν ταῖς πολιτικαῖς κοινωνίαις. ὁ γὰρ σκυτοτόμος ἀντὶ τῶν ὑποδημάτων οὐχ ὑποδήματα ἀλλὰ τὸ κατ᾽ ἀξίαν καὶ τὸ ἀνάλογον λήψεται, ὡς ἐν τῷ πέμπτῳ βιβλίῳ διὰ πλειόνων εἴρηται· ὁμοίως δὲ καὶ ὁ ὑφάντης καὶ οἱ ὅμοιοι· τοῦτο γὰρ σώζει τὰς πολιτικὰς κοινωνίας, τὸ ἀναλόγως διδόναι καὶ λαμβάνειν, ὧν ἕκαστος ἢ δεῖται ἢ εὐπορεῖ. ἀλλ᾽ ἐν μὲν ταῖς πολιτικαῖς κοινωνίαις ἐστὶ κοινὸν μέτρον καὶ τὸ νόμισμα, πρὸς ὃ πάντα ἀναφέρεται, καὶ ᾧ τὰς δόσεις καὶ τὰς λήψεις μετροῦμεν, ἐν δὲ ταῖς ἠθικαῖς τε καὶ φιλικαῖς οὐκ ἔστιν ᾧ μετρῆσαι δυνατὸν τὰ ἀνομοιοειδῆ. καὶ διὰ τοῦτο ἐν ἐγκλήμασιν ἀεί εἰσιν αἱ τοιαῦται κοινωνίαι, οἷα ἐστὶν ἡ ἐρωτική. καὶ γὰρ ἐνίοτε μὲν ὁ ἐραστὴς ἐγκαλεῖ τῷ ἐρωμένῳ, ὅτι ὑπερφιλῶν οὐκ ἀντιφιλεῖται, οὐκ ἄξιος ὢν φιλεῖσθαι, | εἰ οὕτως ἔτυχε, πολλάκις δὲ ὁ ἐρώμενος τῷ ἐρῶντι μέμφεται, 336 ὅτι πρότερον ἐπαγγειλάμενος πάντα ⟨νῦν οὐθὲν ἐπιτελεῖ. συμβαίνει δὲ τὰ τοιαῦτα, ὅταν ὁ μὲν δι᾽ ἡδονὴν ἐρῶν, ὁ δὲ⟩ διὰ τὸ χρήσιμον, εἶτα μήτε οὗτος πάνυ ἡδὺς ᾖ μήτε ἐκεῖνος χρήσιμος· διὰ ταῦτα γὰρ τῆς φιλίας οὔσης, ἐπειδὰν μὴ παρῶσι, διάλυσις γίνεται. οὐ γὰρ ἀλλήλους ἔστεργον ἀλλὰ τὰ ἀλλήλων, ἃ μὴ ὄντα μόνιμα καὶ τὴν φιλίαν συναπόλλυσιν· οἱ δὲ ἀλλήλους στέργοντες καὶ τὰ ἀλλήλων ἤθη, οἷοί εἰσιν οἱ σπουδαῖοι, μόνιμοί εἰσιν ἐν τῇ φιλίᾳ. φιλοῦσι γὰρ ἀλλήλους δι᾽ αὐτοὺς καὶ δι᾽ οὐδὲν ἄλλο· αὐτοὶ δὲ μένοντες ἐφ᾽ ἑαυτῶν καὶ τὴν φιλίαν διασώζουσι. διαφέρονται δὲ οἱ ἀνομοιοειδεῖς φίλοι, καὶ ὅταν ἕτερα γίνηται αὐτοῖς παρὰ τῶν φίλων καὶ μὴ ὧν ὀρέγονται. ὅμοιον γὰρ τῷ μηδὲν γίνεσθαι,

1 inscriptionem finxi: om. D, ubi in margine βιβλίον ι̅: Ἀριστοτέλους ἠθικῶν βιβλίον ι̅ h 3 ἔτι δὲ λέγωμεν h 8 cf. p. 95,36 11 καὶ om. h 17 δὲ D: δὴ h 18 νῦν — ὁ δὲ (19) h: om. D 26 γίνηται h: γένηται D

ὅταν οὗ ἐφίεται μὴ τυγχάνῃ, ὥσπερ ὁ τῷ κιθαρῳδῷ ἐπαγγειλάμενος,
ὅσῳ ἄμεινον ᾄσειε τοσούτῳ πλεῖον δώσειν, εἰς ἕω δὲ ἀπαιτοῦντι
τὰς ὑποσχέσεις, ἀνθ' ἡδονῆς ἡδονὴν ἀποδεδωκέναι ἔφη. εἰ μὲν
οὖν ἑκάτερος ἡδονὴν ἐβούλετο λαβεῖν, ἱκανῶς ἂν εἶχεν ἡ κοινωνία, εἰ
δὲ ὁ μὲν τέρψιν ἐζήτει, ὁ δὲ κέρδος, καὶ ὁ μὲν ὃ ἐζήτει ἔλαβεν, ὁ δὲ
μή, οὐκ ἂν εἴη τὸ κατὰ τὴν κοινωνίαν καλῶς· ὧν γὰρ ἕκαστος 20
δεῖται, τούτων ἕνεκα δίδωσιν ἃ τυγχάνει κεκτημένος αὐτός.

⟨Περὶ τοῦ τίνος ἐστὶν ἐν τῇ ἄνευ διομολογίας γινομένῃ εὐεργεσίᾳ τὴν ἀμοιβὴν τάττειν καὶ ἔτι περὶ τῆς κατ' ἀρετὴν καὶ τῆς κατὰ τὸ χρήσιμον φιλίας, ἐν ᾗ διομολογία οὐ γίνεται. κεφ. β'.⟩

Ἐν μὲν οὖν ταῖς ἀνομοίοις φιλίαις τὸ ἀνάλογον καὶ κατ' ἀξίαν ζη-
τεῖται· ἀπορία δέ ἐστι, πότερος κύριος | τάττειν ἀξίαν ἀμοιβήν, ὁ προϊέ- 337
μενος ἢ ὁ λαμβάνων. ὁ γὰρ προϊέμενος ἔοικεν ἐπιτρέπειν τῷ λαμβάνοντι
τάξαι τὴν ἀξίαν ἀμοιβήν, ὥσπερ ὁ Πρωταγόρας ἐποίει· τοὺς γὰρ φοιτητὰς
τῆς διδασκαλίας τὸν μισθὸν οὐκ αὐτὸς ὁριζόμενος ἀπῄτει, ἀλλ' αὐτοὺς
ἐκέλευε τιμᾶν ὅσου νομίζουσιν ἄξια μεμαθηκέναι, καὶ τοσοῦτον ἐλάμβανεν.
ἐν ταῖς τοιαύταις δὲ κοινωνίαις ἔνιοι ταῖς ἀναλόγοις ἀμοιβαῖς ἀρκοῦνται
καὶ ἀγαπῶσι τοῖς Ἡσιόδου

μισθὸς δ' ἀνδρὶ ἄρκιος εἴη·

οἱ δὲ ἀγοραῖοι καὶ κατ' ἐμπορίαν ταῖς κοινωνίαις χρώμενοι πλείω ζη- 10
τοῦσιν, οἳ καὶ προλαβόντες ἐνίοτε τἀργύριον καὶ αὐτίκα δώσειν ἐπαγγειλά-
μενοι οὐκ ἀποδιδόασιν, οὐδὲ ποιοῦσιν οὐδὲν ὧν ἔφασαν· καὶ ἐγκαλοῦνται
δικαίως, ὅτι τὰ ἔργα ταῖς ἐπαγγελίαις ὑπερβάλλουσι· διὰ τοῦτο καὶ οἱ
σοφισταὶ οὐ διδάσκουσι πρὶν μισθὸν λαβεῖν τῆς διδασκαλίας διὰ τὸ μηδένα
ἂν δοῦναι ἀργύριον ὧν μεμάθηκεν ἕνεκα, ὅτι φαῦλα· ἐπαγγελλόμενοι δὲ
μεγάλα διδάξειν, λαμβάνουσι μὲν τὸν μισθόν, διδάσκουσι δὲ τὰ φαυλότατα·
οὗτοι μὲν οὖν ὧν ἔλαβον τὸν μισθὸν μὴ ποιοῦντες εἰκότως ἐν
ἐγκλήμασίν εἰσιν. ἐν αἷς δὲ κοινωνίαις οὐ γίνεται διομολογία τῆς 20
ἀμοιβῆς ἢ τῆς ὑπουργίας, οἱ μὲν ὠφελοῦντες τοὺς φίλους δι' αὐτούς, καὶ
προϊέμενοι τὰ ἑαυτῶν τῶν φίλων ἕνεκα, οἷοί εἰσιν οἱ σπουδαῖοι, εἴρηται
ὅτι ἀνέγκλητοι. τοιαύτη γὰρ ἡ κατ' ἀρετὴν φιλία· τὴν ἀμοι-
βήν τε ποιητέον κατὰ τὴν προαίρεσιν· αὕτη γὰρ τοῦ φίλου καὶ
τῆς ἀρετῆς, ὡς ἐν τοῖς προειρημένοις ἐδείχθη. τοιαύτη δέ ἐστι καὶ ἡ
κατὰ φιλοσοφίαν κοινωνία· ὁ γὰρ διδάσκαλος τῆς φιλοσοφίας τὸν μαθητὴν
οὐ χρήματα | ἀπαιτεῖ ἢ τιμὴν ὡρισμένως, ἐπεὶ μηδέ ἐστιν ἄξιόν τι τῆς 338
φιλοσοφίας οὔτε ἐν χρήμασιν οὔτε ἐν τιμῇ, ἀλλὰ τὴν προαίρεσιν σκοπεῖ·
ἔργον δὲ καὶ ἀμοιβὴν ἱκανὸν ἡγεῖται τὸ ἐνδεχόμενον, καθάπερ καὶ τὸ
πρὸς θεοὺς καὶ πρὸς γονεῖς ἔχει δίκαιον. οἱ μὲν οὖν τοῖς φίλοις χαριζό-

2 ὅσῳ D: ὅσον h τοσούτῳ πλεῖον h: τοσοῦτο πλείων D 14 ὁ om. h 19 cf. Hesiodi Opp. 368 35 ἐπεὶ om. h 36 οὔτε ἐν h: ἄτε D

μενοι δι' αὐτοὺς οὕτω μετροῦσι τὴν ἀξίαν τῶν ἀμοιβῶν. οἱ δὲ ἐπί τινι
ἢ διὰ χρήσιμον ἢ διὰ ἡδονὴν οὕτω δώσουσι καὶ λήψονται τὴν ἀμοιβήν,
ὡς ἀμφοτέροις δοκεῖ ἄξιον εἶναι. οὕτω γὰρ ἂν γένοιτο καθαρὰν ἐγκλημά-
των τὴν κοινωνίαν γενέσθαι. εἰ δὲ μὴ συμβαίνει τοῦτο, μηδὲ δύνανται 10
καὶ ἄμφω κρίνειν τὴν προσήκουσαν ἀμοιβὴν ἀλλὰ ἢ ὁ ἕτερος μόνον ἢ
μηδέτερος, ἀνάγκη κατὰ τὴν κρίσιν τοῦ δεχομένου τὰς εὐεργεσίας τὰς
ἀμοιβὰς γίνεσθαι. εἰ γὰρ ὁ μὲν ἀντὶ τοσούτων τοσαῦτα διδόναι βούλε-
σθαι λέγοι, ὁ δὲ ἐπὶ τούτοις παρέχοι, ὁ μὲν ἃ δοῦναι συνέθετο δώσει,
καὶ ἀμείψεται ἢ ἡδονὴν ἢ ἄλλην τινὰ ὠφέλειαν ἀποδούς, ὁ δὲ οὐκ ἐγκα-
λέσει, λαβὼν ἃ λαβεῖν ἔκρινεν ἄξιον εἶναι· τοῦτο δὲ οὐ μόνον ἀναγκαῖόν
ἐστι καὶ τὴν κοινωνίαν ἀπαλλάττει πραγμάτων, ἀλλὰ καὶ δίκαιον. εἰ γάρ
τις ὧν βούλεται τύχοι, οὐκ ἀδικεῖται· διὰ τοῦτο καὶ ἐν τοῖς ὠνίοις οὕτω 20
φαίνεται γινόμενον· ὁ γὰρ ὠνούμενος τάττει τὴν τιμὴν καὶ μετρεῖ τῇ
ἑαυτοῦ ὠφελείᾳ ἢ τῇ ἡδονῇ, καὶ τοσούτου ἄξιον εἶναι λέγει τὸ ζητού-
μενον ὤνιον. καὶ νόμος δὲ παρά τισι κεῖται τῶν ἑκουσίων συμβολαίων
δίκας μὴ εἶναι μηδὲ ζητεῖν δικαστὴν ἕτερον ἐν ταῖς τοιαύταις κοινωνίαις
μηδὲ νόμους ἑτέρους, ἀλλ' ᾧ τις ἐπίστευσε καὶ κεκοινώνηκε τῶν αὐτοῦ
καὶ ταῖς συνθήκαις χρησάμενον διαλύεσθαι. δικαιότερον γὰρ οἴονται
κρίνειν | τὸν ἐπιτραπέντα ἐξ ἀρχῆς τάξαι τὴν ἀμοιβὴν ἢ τὸν ἐπιτρέψαντα· 339
ὁ μὲν γὰρ ἐπιτρέψας τῷ δεχομένῳ ψηφίσεται· περὶ τῶν ἑαυτοῦ δὲ οὐδεὶς
ἀξιόπιστός ἐστι κριτής. ὡς γὰρ ἐπὶ τὸ πλεῖστον τὰ οἰκεῖα καὶ ἃ δίδωσιν
ἕκαστος πολλοῦ ἄξια νομίζει· ὁ δὲ ἐπιτραπεὶς τάξαι τὴν ἀμοιβὴν ὧν
δέχεται εὐεργεσιῶν, ἐὰν ὕστερον πράγματα αὐτῷ παρέχῃ ὁ κοινωνήσας
τῶν ἑαυτοῦ ὡς οὐκ ἀξίως ἀμειψαμένῳ, δύναται κρίνειν ὀρθῶς, χρησάμενος
ταῖς ἐξ ἀρχῆς συνθήκαις, ἃς οὗτός τε διωμολόγησε, κἀκεῖνος συνέθετο·
οὐ γὰρ ὅσου νῦν ἄξια νομίζει μετὰ τὸ λαβεῖν, τοσαῦτα παρέξει, ἀλλ' 10
ὅσων ἐτίμα μήπω λαβών.

⟨Τίνα τίσιν ἀποδοτέον. κεφ. γ'⟩

Καὶ ταῦτα μὲν εἰς τοσοῦτον. ζητητέον δὲ κἀκεῖνο, πότερον τοῖς τι-
μιωτάτοις καὶ φιλτάτοις πάντα ἀποδοτέον καὶ πειστέον, ἢ ἔστιν ἃ τοῖς
ἧττον τιμίοις καὶ φιλουμένοις μᾶλλον ἀποδώσομεν ἢ τοῖς τιμιωτάτοις καὶ
φιλτάτοις, οἷον τῷ πατρὶ πάντα πειστέον, ὅ τι ἂν καὶ ἡνίκα κελεύοι, ἢ
οὐκ ἀεί, ἀλλὰ κάμνοντα μὲν ἰατρῷ πειστέον, πολεμοῦντα δὲ στρατηγικῷ· 20
καὶ στρατηγὸν χειροτονεῖν ἄξιον οὐ τὸν φίλον ἢ τὸν πατέρα ἀλλὰ τὸν
πολεμικόν· ὁμοίως δὲ δεῖ ὑπηρετεῖν ποτέρῳ μᾶλλον, τῷ φίλῳ ἢ τῷ
σπουδαίῳ, καὶ χάριν δοῦναι τῷ ἑταίρῳ ἢ τῷ εὐεργέτῃ, καὶ ᾧ τυγχάνομεν
ὀφείλοντες, ἐάν γε ἀμφοτέρους εὖ ποιῆσαι οὐκ ἐνδέχηται. ταῦτα μὲν οὖν
πάντα κατὰ μέρος καὶ ἀκριβῶς διορίσασθαι οὐ ῥᾴδιον· πολλὰς γὰρ καὶ
παντοίας ἔχει διαφορὰς καὶ | ποικίλως διαφέρουσιν ἀλλήλων καὶ 340

---

9 ἀποδιδοὺς h   34 χειρωτονεῖν D   37 ἀμφοτέρους D: ἀμφοτέροις h

μεγέθει καὶ μικρότητι καὶ τῷ καλῷ καὶ τῷ ἀναγκαίῳ. οὐ γὰρ ὁμοίως πάντα μικρὰ ἢ μεγάλα ἢ καλὰ ἢ ἀναγκαῖά εἰσιν, ἀλλ' ἐνίοτε τὸ θεραπεύειν τὸν φίλον ἀναγκαιότερον δοκεῖ τοῦ τὸν σπουδαῖον θεραπεύειν, ἐνίοτε δὲ τὸν εὐεργέτην κάλλιον εὖ ποιεῖν ἢ τὸν φίλον καὶ τὸ ἀνάπαλιν· διὰ τοῦτο λόγον ἀκριβῆ περὶ τούτων ἑκάστου δοῦναι οὐ δυνατόν. τοῦτο δὲ φανερόν, ὅτι οὐ πάντα τῷ αὐτῷ ἀποδοτέον, ἀλλὰ τὰς μὲν εὐεργεσίας ἀνταποδιδόναι δικαιότερον ὡς ἐπὶ τὸ πολὺ μᾶλλον ἢ χαρίζεσθαι τοῖς ἑταίροις, καθάπερ δάνειον τῷ χρήσαντι μᾶλλον δοτέον ἢ τῷ ἑταίρῳ. ὡς ἐπὶ τὸ πολὺ δὲ λέγω, ὅτι συμβαίνει καὶ τὸ ἀνάπαλιν δικαιότερον εἶναι, οἷον τῷ λυτρωθέντι παρὰ λῃστῶν, πότερον τὸν λυσάμενον ἀντιλυτρωτέον, κἂν ὁστισοῦν ᾖ, ἢ μὴ ἑαλωκότι μέν, ἀπαιτοῦντι δὲ αὐτῷ ἀποδοτέον, ἢ λυτρωτέον τὸν πατέρα; δόξειε γὰρ ἂν καὶ ἑαυτοῦ μᾶλλον τὸν πατέρα· διὰ τοῦτο εἴρηται, καθόλου μὲν καὶ ὡς ἐπὶ τὸ πολὺ ἀνταποδοτέον τὸ ὀφείλημα μᾶλλον ἢ χαριστέον τῷ φιλουμένῳ. ἐὰν δὲ τὸ χαρίσασθαι τοῖς φίλοις οὕτω σφόδρα ἀναγκαῖον ἢ καὶ καλόν, ὡς ὑπερβάλλειν τὸ πρὸς τοὺς εὐεργέτας δίκαιον, πρὸς τοῦτο ἀποκλιτέον· ἐπεὶ οὐδὲ ἀεὶ δίκαιόν ἐστι τὸν εὐεργέτην ἀμείψασθαι, εἰ μοχθηρὸς εἴη ὁ εὐεργέτης, οἷον εἴ τις ἀγαθῷ δεδάνεικε μοχθηρός, οὐ γὰρ ὁ ἀγαθὸς δανείσει τῷ μοχθηρῷ· ὁ μὲν γὰρ εἰδώς, ὅτι λήψεται παρὰ τοῦ ἀγαθοῦ, δεδάνεικεν, ὁ δὲ ἀγαθὸς οὐκ ἐλπίζων ἀπολήψεσθαι οὐκ ἀδικεῖ μὴ δανείζων. εἴτε τοίνυν ἀληθῆ περὶ τοῦ | μοχθηροῦ νομίζει ὁ ἀγαθός, ὡς καὶ τοῦτο μοχθηρὸς ἔσται, καὶ οὐκ ἀποδώσει, εἰκότα ποιεῖ μὴ δανείζων, εἴτε μὴ οὕτως ἔχει, οἴεται δέ, καὶ διὰ τοῦτο οὐκ ἀμείβεται τοῖς ἴσοις, καὶ οὕτως οὐ πόρρω ποιεῖ τοῦ δικαίου. οὐ γάρ ἐστι δίκαιον, ἃ δίδωσιν ὁ φαῦλος τῷ σπουδαίῳ, ταῦτα καὶ παρ' ἐκείνου λαμβάνειν· οὐ γάρ ἐστιν ἴσον τὸ παρὰ τοῦ φαύλου τῷ παρὰ τοῦ ἀγαθοῦ, ὅταν τὸ αὐτὸ γίνηται παρ' ἀλλήλων ἀμφοτέροις· μεῖζον γὰρ γίνεται τῷ ἀξιώματι τοῦ διδόντος· διὰ τοῦτο εἴρηται, ὅτι οὐκ ἀεὶ τοῖς εὐεργέταις μᾶλλον ἀνταποδοτέον ἢ χαριστέον τοῖς φίλοις. ὃ γὰρ πολλάκις εἶπον ἐν τοῖς ἔμπροσθεν, οἱ περὶ τῶν παθῶν καὶ τῶν πράξεων λόγοι τοῖς πάθεσι καὶ ταῖς πράξεσιν ἀκολουθοῦσιν, ἄλλοτε ἄλλως ἔχοντες ὥσπερ ἐκεῖνα· καὶ ὡρισμένους περὶ ἑκάστου καὶ ἀκριβεῖς ἀποδοῦναι οὐ δυνατόν. ὅτι μὲν οὖν οὐ ταὐτὰ πᾶσιν ἀποδοτέον, οὐδὲ τῷ πατρὶ πάντα, καθάπερ οὐδὲ τῷ Διὶ πάντα θύομεν, φανερόν. ἐπεὶ δὲ ἄλλα μὲν ὀφείλομεν τοῖς γονεῦσιν, ἕτερα δὲ τοῖς ἀδελφοῖς, καὶ ἄλλα τοῖς εὐεργέταις ἢ ἑταίροις, ἀπονεμητέον ἑκάστοις τὰ οἰκεῖα καὶ τὰ ἁρμόζοντα. ταῦτα δὴ καὶ ποιοῦντες φαίνονται σχεδὸν πάντες· εἰς γάμους μὲν γὰρ καλοῦσιν οὐ τοὺς εὐεργέτας ἢ τοὺς ἑταίρους ἀλλὰ τοὺς συγγενεῖς· τούτοις γὰρ κοινὸν τὸ γένος καὶ αἱ περὶ τοῦτο δὴ πράξεις· καὶ εἰς τὰ κήδη δὲ μάλιστα οἴονται δεῖν τοὺς συγγενεῖς ἀπαντᾶν τῶν αὐτῶν ἕνεκα. δόξειε δ' ἂν τοῖς μὲν γονεῦσι τροφὴν ἐπαρκεῖν, καὶ τούτοις μᾶλλον ἢ ἑαυτοῖς· τὸ γὰρ εἶναι δεῖ συντηρεῖν τοῖς γονεῦσιν, ὅθεν ἐστὶν 341

1 τῷ ante ἀναγκαίῳ Dh et Arist. cod. Mb: om. Arist. vulg. 27 γίνηται D: γίνεται h 34 ὀφείλομεν D: ὠφείλομεν h 36 καὶ om. h

αὐτοῖς τὸ εἶναι· καὶ τιμὴν δὲ ἀπονεμητέον αὐτοῖς καθάπερ θεοῖς· οὐ πᾶσαν δὲ τιμὴν καὶ παντοίαν· | οὐ γὰρ τὴν αὐτὴν πατρὶ καὶ μητρί. 342 οὐδὲ ἀμφοτέροις τὴν τοῦ σοφοῦ τιμὴν ἀποδοτέον ἢ τὴν τοῦ στρατηγοῦ, ἣν δηλαδὴ τιμῶμεν τὸν σοφὸν ἢ τὸν στρατηγόν, ἀλλὰ τὴν πατρικὴν μὲν τῷ πατρί, τῇ δὲ μητρὶ τὴν προσήκουσαν. ἀπονεμητέον δὲ καὶ παντὶ πρεσβυτέρῳ τιμὴν τὴν καθ᾽ ἡλικίαν, οἵαν δηλονότι προσήκει νέον ἀποδοῦναι γέροντι, ὑπαναστάσει καὶ κατακλίσει καὶ τοῖς τοιούτοις· ἑταίροις δὲ καὶ ἀδελφοῖς ἀποδοτέον παρρησίαν καὶ κοινότητα, καὶ συγγενέσι καὶ φυλέταις καὶ πολίταις καὶ τοῖς λοιποῖς ἅπασι· καὶ πειρατέον τὸ οἰκεῖον ἀπονέμειν ἑκάστῳ, θεωροῦντα τὴν ἑκάστου πρὸς αὐτὸν οἰκειότητα ἢ χρῆσιν ἢ τὴν ἀρετήν, καὶ τούτοις μετροῦντα τὰς πρὸς αὐτοὺς τιμὰς καὶ κοινωνίας. τῶν μὲν οὖν ὁμογενῶν ῥᾴων ἡ κρίσις· τοῖς γὰρ συγγενέσιν ἢ πολίταις ἢ φυλέταις ἢ καὶ ἄλλως ὁμοτρόποις, ἃ δεῖ ἀποδιδόναι, ῥᾳδίως ἐπιγνωσόμεθα· τοῖς δὲ ἀλλοτρίοις καὶ διαφέρουσιν εὑρεῖν ἃ δεῖ ἀπονέμειν, ἐργωδέστερον. οὐ μὴν διὰ τοῦτο ἀποστατέον τῶν εἰκότων, ἀλλ᾽ ὡς ἐνδέχεται διοριστέον περὶ ἑκάστου, καὶ περὶ πάντας τὰ ⟨κατὰ τὸ δέον⟩ γιγνόμενα τηρητέον.

⟨Περὶ τοῦ διαλύεσθαι τὰς φιλίας ἢ μή. κεφ. δ΄.⟩

Ἔτι δὲ κἀκεῖνο ζητητέον ἐστίν, εἰ δεῖ διαλύεσθαι τὰς φιλίας ἢ μή· ἔχει γὰρ ἀπορίαν, εἰ δέον ἐστὶν ἐνίοτε τοῦ φίλου στέργοντος ἔτι καὶ φιλοῦντος, αὐτόν τινα παύεσθαι τῆς φιλίας. λέγομεν τοίνυν, ὅτι πρὸς μὲν τοὺς διὰ τὸ χρήσιμον ἢ ἡδὺ φιλουμένους, ὅταν μηκέτι ταῦτ᾽ ἔχωσιν, οὐδὲν ἄτοπον | διαλύεσθαι· τοῦ ἡδέος γὰρ ἢ τοῦ χρησίμου διαλιπόντος, 343 ὧν ἦσαν φίλοι, εὔλογον μὴ φιλεῖν· ὅταν δὲ οἱ διὰ τὸ χρήσιμον ἢ ἡδὺ φιλοῦντες προσποιῶνται διὰ τὸ ἦθος φιλεῖν καὶ τοῦ ἀγαθοῦ ἕνεκα, καὶ διὰ τοῦτο διαλυόμενοι ἐλέγχωνται, ἀδικοῦσι καὶ δικαίως ἐν ἐγκλήμασίν εἰσιν. ὅπερ γὰρ ἐν ἀρχῇ εἴπομεν, ἐγκλημάτων αἱ τοιαῦται φιλίαι γέμουσιν, ὅταν μὴ διὰ τὸ αὐτὸ καὶ ὁμοίως φιλῶνται καὶ φιλῶσιν ἀλλήλους, μηδὲ οἴωνται φιλεῖσθαι ὥσπερ φιλοῦνται, ἀλλὰ ἀπατῶνται. τηνικαῦτα γὰρ ἐλεγχομένης τῆς ἀπάτης ἐγκαλοῦσιν ἀλλήλοις. ὅταν μὲν οὖν διαψευσθῇ τις καὶ ὑπολάβῃ φιλεῖσθαι διὰ τὸ ἦθος, μηδὲν τοιοῦτον ἐκείνου πράττοντος ἢ λέγοντος, ὃ προσήκει τῷ διὰ τὸ ἦθος φιλοῦντι, ἑαυτὸν ἂν αἰτιῷτο δικαίως· ὅταν δὲ ὑπὸ τῆς ἐκείνου προσποιήσεως ἀπατηθῇ, δίκαιον ἐγκαλεῖν τῷ ἀπατήσαντι, καὶ μᾶλλον ἢ τοῖς τὸ νόμισμα κιβδηλεύουσιν, ὅσῳ περὶ τὰ τιμιώτερα ἡ κακουργία. τοῖς μὲν οὖν διὰ τὸ χρήσιμον καὶ ἡδὺ φίλοις οὕτω δικαίως συμβαίνει διαλύεσθαι. εἰ δέ τις διὰ τὸ ἦθος φιλεῖ καὶ ὡς ἀγαθὸν ἀποδέχεται, γένοιτο δὲ μοχθηρός, ἢ καὶ δοκεῖ τῷ φιλοῦντι, ἆρα φιλητέον ἔτι ἢ διαλυτέον; ῥητέον δή, ὅτι οὐδὲ δυνατόν ἐστι τὸν μὴ ἀγαθὸν δοκοῦντα φιλητὸν εἶναι·

16 κατὰ τὸ δέον om. D   24 εὔλογον h et Arist.: εὔκολον D   29 οἴωνται h: οἴονται D   35 ὅσῳ h: ὅσο D

τὸ γὰρ φιλητὸν ἀγαθόν, ⟨τὸ δὲ πονηρὸν⟩ οὐδὲ δίκαιον· φιλοπόνηρον γὰρ οὐ χρή τινα εἶναι οὐδ' ὁμοιοῦσθαι φαύλῳ· εἰ δὲ φιλεῖ, πᾶσα ἀνάγκη ὁμοιοῦσθαι· εἴρηται γάρ, ὅτι τὸ ὅμοιον τῷ ὁμοίῳ φίλον. ἆρ' οὖν εὐθὺς διαλυτέον; ἢ οὐ πᾶσιν εὐθὺς διαλύεσθαι χρὴ ἀλλὰ τοῖς ἀνιάτοις δι' ὑπερβολὴν μοχθηρίας; τοῖς δὲ ἰάσιμα νοσοῦσι καὶ δυναμένοις ἐπανόρθωσιν δέξασθαι, οὐ | διαλυτέον, ἀλλὰ δεῖ βοηθῆσαι πάσῃ σπουδῇ καὶ τὸ ἦθος 344 ἐπανορθῶσαι καὶ σῶσαι αὐτοῖς τὴν ἀρετὴν μᾶλλον ἢ τὴν οὐσίαν· ἐπεὶ βέλτιον τῆς οὐσίας ἡ ἀρετὴ καὶ τὸ εἰς ταύτην βοηθεῖν τοῖς φίλοις φιλικώτερον ἢ τὸν πλοῦτον διασώσασθαι· εἰ δὲ πενίαν ἀπελαύνειν δεῖ τῆς τοῦ φίλου οἰκίας τὸν δυνάμενον, πόσῳ δικαιότερον τὴν ἀρετὴν ἐπανάγειν, ἄλλως ⟨τε καὶ⟩ οἰκειότερον ⟨ὄν⟩, ὅτι διὰ τὴν ἀρετήν εἰσι φίλοι· τὸ μὲν οὖν βέλτιον. τὸ καὶ μοχθηρὸν γενόμενον τὸν φίλον φιλεῖν ἔτι καὶ ζητεῖν ἐπανορθοῦν, εἰ δέ τις εὐθὺς διαλύοιτο, οὐ δοκεῖ ποιεῖν ἔξω λόγου· οὐ γὰρ τῷ μοχθηρῷ φίλος ἦν ἀλλὰ τῷ ἀγαθῷ· τὸν δὲ ἀγαθὸν μηκέτι ὄντα μὴ φιλῶν οὐδένα ἀδικεῖ· τὸν τοίνυν ἀγαθὸν ἀλλοιωθέντα ἀδυνατῶν ἀνασῶσαι ἀφίσταται τῆς πρὸς αὐτὸν φιλίας· εἰ μὲν οὖν ὁ φίλος ἐξ ἀγαθοῦ πονηρὸς γένοιτο, οὕτω χρηστέον τῇ διαλύσει. εἰ δὲ τῶν φίλων ὁ μὲν ἐπιεικέστερος ἑαυτοῦ γένοιτο καὶ πολὺ διαλλάττοι τῇ ἀρετῇ, ὁ δὲ ὡς εἶχε μένοι, ἆρα χρηστέον τὸν σπουδαῖον τῷ μὴ τοιούτῳ, ἢ οὐκ ἐνδέχεται. ἀλλὰ διαλυτέον; ἐν μεγάλῃ δὲ διαστάσει μάλιστα δῆλον γίνεται. εἰ γὰρ δύο παίδων φίλων ὄντων, διὰ τὴν ἡλικίαν καὶ τὸ διατριβῶν καὶ παιδιᾶς κοινωνεῖν, ὁ μὲν εἰς ἄνδρας ἐλθὼν σπουδαῖος γένοιτο καὶ ἀνὴρ εἴη τοῖς ὅλοις, ὁ δὲ νεαρὸν ἔτι μένοι τὸ ἦθος ἔχων, πῶς ἂν εἶεν φίλοι. μήτε τοῖς αὐτοῖς ἀρεσκόμενοι μήτε τοῖς αὐτοῖς χαίροντες ἢ λυπούμενοι: οὐδὲ γὰρ χαριεῖται οὐδέτερος οὐδετέρῳ· οὐδὲ γὰρ ἔχει ὃ ποιήσας ἡδίω ποιήσει τὸν φίλον· ἔτι δὲ οὐδὲ συζῆν δυνήσονται, ὧν χωρὶς οὐκ ἔνι φιλίαν συστῆναι, καθὼς εἴρηται. | ἆρ' οὖν οὕτω πρὸς αὐτὸν διακεῖσθαι δεῖ τὸν 345 σπουδαῖον, ὥσπερ εἰ μηδέποτε γέγονε φίλος, ἢ δεῖ μνείαν ἔχειν τῆς γενομένης συνηθείας, καὶ καθάπερ φίλοις μᾶλλον ἢ ὀθνείοις οἰόμεθα δεῖν χαρίζεσθαι, οὕτω καὶ τοῖς ποτὲ γενομένοις φίλοις πλέον δεῖ νέμειν, ἢ οἷς οὐδέποτε ἐχρησάμεθα; δοκεῖ τοίνυν ὀφείλεσθαί τι αὐτοῖς διὰ τὴν προγενομένην φιλίαν, ἐὰν μὴ δι' ὑπερβολὴν μοχθηρίας ἡ διάλυσις γένηται.

⟨Περὶ φιλικῶν ἔργων καὶ ὅτι φίλος ὁμοίως εἰς ἑαυτόν τε καὶ τὸν φίλον, φαῦλος δὲ οὔτε εἰς ἑαυτόν πως οὔτ' εἰς ἄλλον φιλικῶς διάκειται. κεφ. ε'.⟩

Καὶ οὕτω μὲν γίνοιντο ἂν ἐπικαίρως αἱ τῶν φιλιῶν διαλύσεις. ἔτι δὲ περὶ αὐτῆς τῆς φιλίας λέγωμεν. τὰ τοίνυν φιλικὰ καὶ ἐν οἷς ἡ φιλία συνί-

---

1 τὸ δὲ πονηρὸν h: om. D οὐδὲ Mullach: οὔτε Dh 11 τε καὶ et ὂν om. D
32 προγενομένην Dh et Arist. codd. $K^b M^b$: προγεγενημένην Arist. vulg.

σταται δοκοῦσιν ὥσπερ κανόνα τινὰ ἔχειν καὶ ἀρχὴν τὰ παρ' ἑκάστου ἑαυ-
τῷ ὀφειλόμενα· ταὐτὰ γὰρ ζητοῦσι παρ' ἀλλήλων οἱ φίλοι, ἃ καὶ παρ'
ἑαυτῶν. καὶ διὰ τοῦτο φίλον ὁρίζονται εἶναι τὸν βουλόμενον τὰ ἀγαθὰ
τῷ φίλῳ καὶ πράττοντα ἐκείνου ἕνεκα ἢ τὸν βουλόμενον εἶναι καὶ
ζῆν τὸν φίλον αὐτοῦ χάριν, ὅπερ αἱ μητέρες πρὸς τὰ τέκνα
πεπόνθασι· βούλονται γὰρ τὰ τέκνα ζῆν καὶ εὖ πράττειν αὐτῶν ἕνεκα
τῶν τέκνων, ἐπεὶ καὶ μὴ φιλούμεναι πολλάκις ὑπὸ τῶν τέκνων ἢ μηδὲ
γιγνωσκόμεναι τὰ ἀγαθὰ καὶ τὴν εὐδαιμονίαν αὐτοῖς συνεύχονται· τοῦτο δὲ
πάσχουσι καὶ τῶν φίλων οἱ προσκεκρουκότες μὲν καὶ περιοφθέντες, μέ-
νοντες δὲ αὐτοὶ ἐν τῷ φιλεῖν· βούλονται γὰρ τοῖς φίλοις πάντα τὰ ἀγαθά,
μηδὲν ἐλπίζοντες κοινωνήσειν αὐτοί, ἀλλὰ αὐτῶν ἕνεκα· ἔτι ⟨δὲ⟩ φίλον |
ὁρίζονται εἶναι καὶ τὸν συναλγοῦντα καὶ συγχαίροντα τῷ φίλῳ· 346
ὅπερ καὶ αὐτὸ μάλιστα περὶ τὰς μητέρας συμβαίνει. ἀπὸ τούτων δὲ καὶ
ὁ τῆς φιλίας ὁρισμός· ἀπὸ γὰρ τοῦ ὁρισμοῦ τῶν ἐχόντων καὶ ὁ ὁρισμὸς
τῆς ἕξεως λαμβάνεται· ὁ γὰρ ὁρισμὸς τοῦ σώφρονος τὸν τῆς σωφροσύνης
ὁρισμὸν παρέχει· οὗτοι μὲν οὖν οἱ τῆς φιλίας καὶ τῶν φίλων ὁρισμοί·
ἐλήφθησαν δὲ ἀπὸ τῶν ὀφειλομένων παρ' ἑκάστου πρὸς ἑαυτόν, καθὼς
εἴρηται. καὶ γὰρ ὁ ἐπιεικὴς ταῦτα πάντα πρὸς ἑαυτόν ἐστιν, ἅπερ ὁ ἀλη-
θὴς φίλος πρὸς τὸν φίλον· καὶ ὁ φίλος ἑαυτῷ μάλιστα ὁ ἐπιεικής ἐστι,
καὶ ὃς οἴεται ἐπιεικὴς εἶναι. εἰ δὲ μὴ πάντες, καὶ οἱ φαῦλοι τὰ φιλικὰ
ἀπονέμουσιν ἑαυτοῖς, οὐδὲν προσίσταται τῷ λόγῳ. καὶ γὰρ ἃ οἱ σπουδαῖοι
καὶ ἐπιεικεῖς ποιοῦσι, ταὐτά εἰσι τὰ διαφέροντα τοῖς ἀνθρώποις καὶ τῇ
κοινῇ φύσει· καὶ γὰρ μέτρον ἐστὶν ἡ ἀρετὴ καὶ ὁ σπουδαῖος τῶν ἀνθρω-
πίνων παθῶν καὶ τῶν πράξεων· ἃ δὲ ὁ φαῦλος ζητεῖ, οὐκ εἰς τὴν κοινὴν
ἀνάγεται φύσιν· τὴν γὰρ περὶ ταῦτα ψῆφον οὐκ ἀπὸ τῶν νοσούντων ἀλλ'
ἀπὸ τῶν ὑγιαινόντων ληψόμεθα. ὅτι δὲ ὁ ἐπιεικὴς τὰ φιλικὰ ἑαυτῷ πάντα
ἀπονέμει, δῆλον. οὗτος γὰρ ὁμογνωμονεῖ ἑαυτῷ καὶ τῶν αὐτῶν
ὀρέγεται κατά τε ⟨τὴν⟩ λογικὴν ψυχὴν καὶ κατὰ τὴν ἄλογον· καὶ οὐ
καθάπερ ὁ ἀκρατὴς τἀναντία ζητεῖ, καὶ τὸ παθητικὸν αὐτῷ τῷ λογιστικῷ
πολεμεῖ. καὶ βούλεται δὴ ὁ σπουδαῖος τὰ ἀγαθὰ ἑαυτῷ, τά τε κυρίως
ἀγαθά, ὅσα εἰς ἀρετὴν φέρει καὶ τὰ φαινόμενα ἀγαθὰ καὶ αὐτῇ τῇ ἀρετῇ
βοηθοῦντα, καὶ βούλεται ἑαυτῷ ἀγαθὰ ἑαυτοῦ ἕνεκα· ὁ γὰρ φαῦλος οὐχ
ἑαυτοῦ ἕνεκα. τὸ γὰρ διανοητικόν ἐστι τὸ ἀνθρώπινον εἶναι, οὗ ἕνεκα ὁ
μὲν σπουδαῖος πάντα ποιεῖ | καὶ τὰ ἀγαθὰ πάντα ζητεῖ, ὁ δὲ φαῦλος 347
οὐδέν. οὐ γὰρ τὴν θεωρίαν ὁ φαῦλος ἔχει τέλος τῶν ἑαυτοῦ πράξεων
ἀλλὰ τὴν ἡδονὴν τὴν φαύλην· ὅθεν οὐ βούλεται τὰ ἀγαθὰ ἑαυτῷ ἑαυτοῦ
ἕνεκα. ἔτι δὲ καὶ ζῆν βούλεται ἑαυτὸν ὁ σπουδαῖος καὶ σώζεσθαι, καὶ
μάλιστα κατὰ τὸ διανοητικόν· καὶ πάντα πράττει, ἃ οἴεται ἀγαθὰ εἶναι
ἑαυτῷ καὶ ἃ πρὸς τὸ ζῆν φέρει καὶ τὸ σώζεσθαι. τῶν δὲ ἄλλων οἱ μὲν

2 καὶ om. h 3 ἑαυτῶν D: ἑαυτῷ h: ἑαυτοῦ Mullach post ὁρίζονται add. ἐκεῖνον h 11 δὲ h: om. D 14 γὰρ om. h 15 τῆς ἕξεως—ὁρισμὸς om. h 16 παρέχει h: περιέχει D 22 ante τοῖς et ante τῇ add. ἐν Mullach 28 τὴν inserui 29 ἀκρατὴς D: ἀκριτὴς h: ἄκριτος Mullach 31 αὐτῇ h: αὐτὰ D

μὴ πάνυ ἐκτετραμμένοι τοῦ ὀρθοῦ, ἀλλ' οὕτως ἔχοντες ὥστε δύνασθαι οἴεσθαι ἐπιεικεῖς εἶναι τὰ δοκοῦντα ἀγαθὰ καὶ αὐτοὶ ζητοῦσι καὶ βούλονται ἑαυτοῖς καὶ ζῆν καὶ σώζεσθαι· οὕτω δὲ ἔχουσιν, ὅτι τρόπον τινὰ ἐοίκασι τοῖς σπουδαίοις. οἱ δὲ σφόδρα φαῦλοι καὶ ἀνοσιουργοὶ οὐδὲν τούτων ἔχουσιν· οὔτε γὰρ τὰ δοκοῦντα ἀγαθὰ διώκουσιν, ἀλλὰ ἄλλα μὲν βούλονται, ἑτέρων δὲ ἐπιθυμοῦσιν, οἷοί εἰσιν οἱ ἀκρατεῖς, καὶ εἰσὶ δὲ οἳ διὰ δειλίαν καὶ ἀργίαν ἀφίστανται τοῦ πράττειν, ἃ οἴονται ἑαυτοῖς βέλτιστα εἶναι· οὔτε τοίνυν τὰ δοκοῦντα ἀγαθὰ διώκουσιν. οὔτε βούλονται ἑαυτοῖς τὸ ζῆν καὶ σώζεσθαι· ἔνιοι γὰρ τῷ πολλὰ καὶ δεινὰ πρᾶξαι μισηθέντες διὰ μοχθηρίας ὑπερβολὴν φεύγουσι τὸ ζῆν καὶ ἀναιροῦσιν ἑαυτούς. ὁ δὲ σπουδαῖος βούλεται ἑαυτῷ ζῆν· ἀγαθὸν γὰρ τῷ σπουδαίῳ τὸ εἶναι· τὴν γὰρ θεωρητικὴν διώκει ζωὴν ⟨καὶ⟩ τὴν ἑαυτοῦ οὐσίαν συνιστάναι ζητεῖ· ἐν γὰρ τῷ νοεῖν ἡ ἑκάστου οὐσία συνίσταται ἢ ἐν τούτῳ μάλιστα. ὃς δὲ τῷ ἀλόγῳ βούλεται τὸ εἶναι καὶ σώζεσθαι καὶ ἑαυτῷ βούλεται τὰ ἀγαθὰ τοῦ οἰκείου εἶναι παρατραπέντι, οὐχ ἑαυτῷ βούλεται τὰ ἀγαθὰ ἀλλ' ἐκείνῳ εἰς ὃ μετεβλήθη· καὶ ἕκαστος δὲ ἑαυτῷ βούλεται γενέσθαι τὰ ἀγαθά, οἰόμενος μένειν ὅπερ ἐστίν· εἰ δὲ συνίδοι ἑαυτὸν ἄλλον γενόμενον, οὐκ ἂν ἕλοιτο πάντα τὰ ἀγαθὰ ἔχειν ἐκεῖνο τὸ γενόμενον· οὐδὲν γὰρ διαφέρει 348 ἄλλῳ τινὶ βούλεσθαι τὰ ἀγαθὰ ἢ ἑαυτῷ μεταβληθέντι. οὐδεὶς δὲ ἀγαπᾷ, ἐὰν ἄλλῳ τινὶ γένηται τὰ ἀγαθά· καὶ γὰρ τῷ θεῷ πάντα πρόσεστι τὰ ἀγαθά, ἀλλ' ἔστιν αὐτὸς ὅ τι ποτέ ἐστι. διὰ τοῦτο οὐκ ἀγαπῶμεν, ἀλλ' ἡμῖν αὐτοῖς ἢ τοῖς φίλοις συνευχόμεθα τὰ ἀγαθά, ὅτι ἡμῶν τί εἰσι καὶ οἱ φίλοι. καὶ μὴν καὶ συνδιάγειν ἑαυτῷ μόνος ὁ σπουδαῖος βούλεται, ὅτι αὐτάρκης ἐστὶ καὶ ἡδύς ἐστιν ἑαυτῷ· ἥδεται γὰρ ὧν τε ἔπραξε μεμνημένος ἐφ' ἑαυτοῦ καὶ ἐλπίζων ἔτι ποιήσειν ἀγαθὰ καὶ ἀγαθοῖς ἐντεύξεσθαι, καὶ γενναίων εὐπορεῖ θεωρημάτων τῇ διανοίᾳ· ταῦτα δὴ πάντα ἥδιστον αὐτὸν ἑαυτῷ ποιεῖ, καὶ ἥδεται κατὰ σχολὴν αὐτὸς ἑαυτῷ συνὼν καὶ συνδιάγων. οἱ δὲ μοχθηροὶ ζητοῦσι μεθ' ὧν συνημερεύσουσιν, ἑαυτοὺς δὲ φεύγουσιν· ἀναμιμνήσκονται γὰρ καθ' ἑαυτοὺς ὄντες πολλῶν καὶ δυσχερῶν, καὶ τοιαῦτα ἕτερα ἐλπίζουσιν, ὧν μεθ' ἑτέρων ὄντες ἐπιλανθάνονται. ἔτι δὲ συναλγεῖ καὶ συνήδεται ἑαυτῷ μάλιστα ὁ σπουδαῖος, ὅτι τὰ αὐτὰ βούλεται καὶ τῶν αὐτῶν ἐπιθυμεῖ, καὶ οὐ μάχεται τὸ λογικὸν τῷ παθητικῷ· καὶ διὰ τοῦτο τὸ αὐτὸ ἀεὶ λυπηρόν ἐστιν αὐτῷ καὶ τὸ αὐτὸ ἡδύ· ἀμεταμέλητος γάρ, ὡς εἰπεῖν. οἱ δὲ μοχθηροὶ οὐκέτι· οὐδὲν γὰρ φιλητὸν ἔχοντες οὐδὲν φιλικὸν πάσχουσι πρὸς ἑαυτούς· διὰ τοῦτο οὐδὲ συγχαίρουσιν ἑαυτοῖς οὐδὲ συναλγοῦσι· στασιάζει γὰρ αὐτῶν ἡ ψυχὴ καὶ πολεμεῖ τῷ λογικῷ τὸ ἄλογον· καὶ τὸ μὲν ἄλογον ἀλγεῖ τῶν μοχθηρῶν ἀπεχόμενον, τηνικαῦτα δὲ οὐ συναλγεῖ τὸ λογικὸν ἀλλὰ χαίρει, καὶ τὸ ἀνάπαλιν· καὶ ὅλως τὸ μὲν δεῦρο τὸ | δὲ ἐκεῖσε ἕλκει, καθάπερ 349

6 ἀκρατεῖς scripsi ex Aristotele: ἐγκρατεῖς Dh 12 καὶ addidi τὴν—ζητεῖ om. h συνιστάναι scripsi: συνεστάναι D 17 μένειν Mullach: μένων Dh 18 γενόμενον Mullach: γινόμενον Dh 34 ἀμεταμέλητος D et Arist. vulg.: ἀμετάβολος h: ἀμετάβλητος Arist. cod. Mb 39 ὅλως h: ὅλος D

διασπῶντα· εἰ δὲ μὴ οἷόν τε κατὰ ταὐτὸν καὶ λυπεῖσθαι καὶ ἥδεσθαι, ἀλλὰ μετὰ μικρόν γε λυπεῖται, ὅτι πρότερον ἥδετο· οὐ γὰρ ἐβούλετο τὴν τοιαύτην αὐτῷ γενέσθαι ἡδονήν. μεταμελείας γὰρ οἱ φαῦλοι γέμουσι. φαίνεται τοίνυν ὅτι οὐδὲ πρὸς ἑαυτὸν φιλικός ἐστιν ὁ μοχθηρός, ὅτι οὐδὲν φιλητὸν ἔχει. εἰ δὲ τὸ οὕτως ἔχειν λίαν ἐστὶν ἄθλιον, φευκτέον τὴν μοχθηρίαν πάσῃ σπουδῇ καὶ πειρατέον ἐπιεικῆ καὶ σπουδαῖον ἕκαστον εἶναι· οὕτω γὰρ ἂν καὶ πρὸς ἑαυτὸν φιλικῶς ἔχοι καὶ ἑτέρων γένοιτο φίλος. ἐπεὶ τοίνυν, ἅπερ ὁ ἐπιεικὴς ἑαυτῷ ἀπονέμει, ταῦτα δεῖ καὶ τῷ φίλῳ ἀπονέμειν (δεῖ γὰρ πρὸς τὸν φίλον ἔχειν ὥσπερ πρὸς ἑαυτόν· ὁ γὰρ φίλος ἄλλος αὐτός), φανερόν, ὅτι ἅπερ ὁ ἐπιεικὴς ἑαυτῷ βούλεται καὶ ἀπονέμει. ταῦτά εἰσι τὰ φιλικὰ καὶ ἐν τούτοις ἡ φιλία συνίσταται. τὸ δὲ ζητεῖν πότερον φιλία ἐστὶν ἡ πρὸς ἑαυτὸν ἑκάστου ἀγάπη ἢ μή, ἀφείσθω ἐπὶ τοῦ παρόντος· ἡ γὰρ φιλία δύο ἢ τριῶν, ὡς δῆλον ἐκ τῶν εἰρημένων. καὶ εἴ τις καὶ τὰ πρὸς ἑαυτὸν φιλίαν καλεῖ, εἴη ἂν φιλία καθόσον ἐστὶν αὐτὸς πρὸς ἑαυτὸν διαφέρων καὶ τῷ λογιστικῷ τὸ παθητικὸν σπένδεται. καὶ διότι δὲ ἡ ὑπερβολὴ τῆς φιλίας ἔοικε τῇ ἑκάστου πρὸς ἑαυτὸν ἀγάπῃ, καὶ αὐτὴ καλοῖτο ἂν φιλία.

⟨Περὶ εὐνοίας. κεφ. ϛʹ.⟩

Ἡ δὲ εὔνοια φιλίᾳ μὲν ἔοικεν, οὐ μὴν ἔστι γε φιλία. καὶ γὰρ εὐνοοῦμεν καὶ οἷς οὐκ ἐσμὲν φίλοι· καὶ γίνεται εὔνοια καὶ πρὸς ἀγνῶτας καὶ λανθάνουσα τὸν φιλούμενον· φιλία δὲ οὐκέτι, καθὼς καὶ πρότερον 350 διὰ πλειόνων εἴρηται. οὔτε τοίνυν φιλία ἐστὶν ἡ εὔνοια καὶ οὐδὲ φίλησις ἔοικεν εἶναι. καὶ γὰρ ἡ μὲν φίλησις ὁρμήν τινα καὶ κίνησιν εἰς τὸ φιλούμενον ἔχει καὶ ὄρεξιν αὐτοῦ καὶ ζητεῖ ὁ φιλῶν ἀεὶ τὸ φιλούμενον· ἡ δὲ εὔνοια οὐ τοιαύτη. οἱ γὰρ εὖνοι βούλονται μὲν τὰ ἀγαθὰ οἷς εἰσιν εὖνοι, συνεῖναι δὲ οὐ πάνυ ζητοῦσιν· ἔτι δὲ ἡ μὲν φίλησις μετὰ συνηθείας, χρόνῳ γάρ τινι καὶ συνηθείᾳ ἡ φίλησις γίνεται, ἡ δὲ εὔνοια ἀθρόον, ὡς εἰπεῖν, οἷς ἐπιγίνεται συμβαίνει· καθάπερ οἱ θεώμενοι πρὸς τοὺς ἀγωνιζομένους διατίθενται. εὖνοι γὰρ γίνονται πρὸς αὐτοὺς εὐθὺς νικῶντας ὁρῶντες καὶ συνθέλουσιν αὐτοῖς τὰ ἀγαθά, συμπράξαιεν δ᾽ ἂν οὐδέν· οὐ γὰρ φίλησιν ἔχουσιν εἰς αὐτούς, χρόνῳ τινὶ καὶ συνηθείᾳ στέρξαντες, ἀλλ᾽ ἅμα τε εἶδον καὶ ἥσθησαν αὐτοῖς· καὶ διὰ τοῦτο ἐπιπολαίως στέργουσιν, ὅπερ ἐστὶν ἡ εὔνοια. φαίνεται τοίνυν ἀρχὴ φιλίας ἡ εὔνοια εἶναι, καθάπερ τοῦ ἐρᾶν ἀρχὴ γίνεται ἡ διὰ τῆς ὄψεως ἡδονή· καὶ ὥσπερ οὐ δυνατὸν ἐρᾶν μὴ πρότερον ἡσθέντα τῷ εἴδει τοῦ ἐρωμένου, δυνατὸν δὲ ἡδόμενον μὴ ἐρᾶν (τότε γάρ τις ἐρᾷ ὅταν καὶ ἀπόντα ποθῇ καὶ τῆς παρουσίας ἐπιθυμῇ), οὕτω δὴ καὶ φίλους οὐχ οἷόν τε εἶναι μὴ εὔνους γενομένους· εὔνους δὲ μὴ φίλους εἶναι δυνατόν. οἱ γὰρ εὖνοι βούλονται μὲν τὰ ἀγαθὰ οἷς εἰσιν εὖνοι, συμπράξαιεν δ᾽ ἂν οὐδέν, οὐδ᾽ ὀχληθεῖεν

20 ἀγνῶτας D: ἀγνῶτα h 21 cf. p. 166,2

ὑπὲρ αὐτῶν. διὰ τοῦτο μεταφορικῶς τις καλέσειεν ἂν αὐτὴν ἀργὴν φιλίαν· χρονιζομένη γὰρ καὶ εἰς συνήθειαν ἀφικνουμένη φιλία γίνεται. φιλία δὲ οὐχ ἡ διὰ τὸ χρήσιμον ἢ τὸ ἡδύ, ἀλλὰ τοῦ ἀγαθοῦ ἕνεκα. εὔ- 351
νους γάρ τίς τινι γίνεται δι' ἀρετὴν καὶ ἐπιείκειαν, ὅταν αὐτῷ καλὸς εἶναι δόξῃ ἢ ἀνδρεῖος ἤ τι τοιοῦτον, ὁ δὲ διὰ τὸ ἡδὺ καὶ χρήσιμον βουλόμενός τινα εὐπραγεῖν οὐκ ἐκείνῳ ἐστὶν εὔνους ἀλλ' ἑαυτῷ, καθάπερ οὐδὲ φίλος ἐστὶν ὁ τοιοῦτος. ὁμοίως δὲ οὐδ' ὁ διότι ἔλαβε βουλόμενος τῷ εὐεργέτῃ τὰ ἀγαθὰ εὔνους ἂν εἴη κυρίως, ἀλλὰ τὰ δίκαια δρῶν καὶ ἀποδιδοὺς τῷ εὐεργέτῃ τὴν χάριν ὧν εὖ πέπονθεν αὐτός. οὐ τῇ ἐκείνου ἀρετῇ ἀλλὰ τῷ ἑαυτοῦ ἀγαθῷ φαίνεται χαίρων. ἔστι τοίνυν ἡ εὔνοια οὔτε φιλία οὔτε φίλησις ἀλλὰ φιλίας ἀρχή, χρόνον δὲ καὶ συνήθειαν καὶ τἆλλα φιλικὰ προσλαβοῦσα φιλία γίνεται ἡ διὰ τὸ ἀγαθὸν καὶ τὴν ἀρετήν.

⟨Περὶ ὁμονοίας. κεφ. ζ'.⟩

Ἡ δὲ ὁμόνοια φιλικόν τι καὶ αὐτή ἐστι καὶ τῇ φιλίᾳ ἀκολουθεῖ. ἔστι δὲ ὁμόνοια οὐ τὸ τὰ αὐτὰ δοξάζειν, οἷον ὁμοδοξία τις· ἡ μὲν γὰρ ὁμοδοξία γένοιτο ἂν καὶ τοῖς ἀγνοοῦσιν ἀλλήλους· οὐδὲν γὰρ κωλύει περὶ τῶν αὐτῶν τὰ αὐτὰ δοξάζειν καὶ ἐπιστήμην ἔχειν τῶν αὐτῶν τὴν αὐτὴν μηδὲ εἰδότας ἀλλήλους· ἡ δὲ ὁμόνοια τῶν ἐν κοινωνίᾳ τινὶ καὶ φιλίᾳ ὄντων ἐστί. καὶ γὰρ τὰς πόλεις ὁμονοεῖν φασιν, ὅταν περὶ τῶν συμφερόντων ὁμογνωμονῶσι καὶ τὰ αὐτὰ ⟨προαιρῶνται⟩ καὶ πράττωσι τὰ κοινῇ δόξαντα. ἔστι τοίνυν ὁμόνοια τῶν φίλων ὁμογνωμοσύνη, οὐκ ἐν τοῖς θεωρητοῖς ἀλλ' ἐν τοῖς πρακτοῖς καὶ τούτων τοῖς ἀξιολόγοις καὶ ἐν μεγέθει τινὶ οὖσι. περὶ γὰρ τῶν ἐν τῷ βίῳ μι|κρῶν οὐ λέγονται ὁμονοεῖν 352
ἀλλήλοις οὔτε πόλις οὔτε φίλοι, οἷον οἴκοι μένειν ἢ βαδίζειν εἰς ἀγορὰν ἢ τόδε εἰπεῖν ἢ δρᾶσαι, δι' ὧν οὔτε ὠφέλειά τις μεγάλη οὔτε βλάβη ἀκολουθεῖ· περὶ τούτων γὰρ καὶ τῶν τοιούτων οὐ λέγονται ὁμόνοιαν ἔχειν ἀλλὰ τῶν μεγάλων καὶ συμφερόντων ἢ τοῖς φίλοις ἀμφοῖν ἢ τῇ πόλει κοινῇ, οἷον ὅταν πάσῃ τῇ πόλει κοινῇ δοκῇ τοὺς ἄρχοντας μὴ κληρωτοὺς εἶναι διαδοχῇ τινι κτωμένους τὴν ἀρχὴν ἀλλὰ αἱρετούς. ἢ συμμαχεῖν Λακεδαιμονίοις ἢ ἄλλο ὁτιοῦν, ὅπερ ἀξιόλογόν τε καὶ τῇ πόλει πάσῃ διαφέρει. καὶ τοὺς φίλους ὁμοίως ὁμονοεῖν λέγομεν, ὅταν τὸν αὐτὸν ἕλωνται βίον καὶ τὰ μέγιστα τῶν ἐν τῷ βίῳ. καὶ ἀμφοῖν ἢ πρὸς βλάβην ἢ πρὸς ὠφέλειαν φέροντα ἀμφότεροι ὁμοίως ἢ φεύγωσιν ἢ διώκωσιν. οὐ γὰρ τὰ αὐτὰ δεῖ ζητεῖν μόνον τοὺς ὁμονοήσοντας ἀλλήλοις ἀλλὰ καὶ ὁμοίως τοῖς ὅλοις, οἷον εἰ δοκεῖ τοῖς φίλοις ἀμφοῖν ἡγεμόνα βίου θατέρῳ τὸν ἕτερον γενέσθαι, βούλοιντο δὲ οὐ τὸν αὐτὸν ἀλλ' ἑκάτερος ἑαυτόν. τηνικαῦτα γὰρ τὸ αὐτὸ μὲν ζητοῦσιν, ἀλλ' οὐκ ἐν τῷ αὐτῷ ἀλλ' ἑαυτῷ ἑκάτερος, ὅπερ οὐκ ἔστιν ὁμονοεῖν. καὶ ἐν ταῖς πόλεσι δὲ ὁμονοήσουσιν ἐν ταῖς ἀρχαι-

---

1 καλέσειεν D: καλέσοιεν h ἀργὴν D: ἀρχὴν h 7 οὐδ' ὁ διότι D: οὐ διότι h
15 τίς· ἡ μὲν γὰρ ὁμοδοξία bis D 20 προαιρῶνται ex Aristotele addidi 33 φεύγωσιν ἢ διώκωσιν D: φεύγουσιν ἢ διώκουσιν h

ρεσίαις, ὅταν τὸν αὐτὸν ἕλωνται πάντες ἄρχειν ἢ τοὺς ἀρίστους πάντες καὶ
μὴ ἑαυτὸν ἕκαστος, καθάπερ Εὐριπίδης ἐν ταῖς Φοινίσσαις ἐποίησεν· οὕτω
γὰρ οὐ τὸ πᾶσιν ἀρέσκον γίνεται· τὸ δὲ οὐκ ἔστιν ὁμόνοια, ἀλλ' ὅταν
τύχωσι πάντες οὗ ἐφίενται, τηνικαῦτα ὁμονοοῦσιν. ἔστι τοίνυν ἡ ὁμόνοια
πολιτική τις φιλία καὶ οὕτω λέγεται· καὶ γὰρ περὶ τὰ πρακτὰ καὶ τὰ
συμφέροντά ἐστι | καὶ πρὸς τὸν βίον ἀνήκοντα· ταῦτα δὲ τῆς πολιτικῆς. 353
ἔστι δὲ ἐν τοῖς ἐπιεικέσιν ἡ ὁμόνοια· οὗτοι γὰρ καὶ ἑαυτοῖς ὁμονο-
οῦσι καὶ ἀλλήλοις ἐπὶ τῶν αὐτῶν ὄντες, ὡς εἰπεῖν· τῶν τοιούτων
γὰρ ἵσταται τὰ βουλήματα καὶ μένει καὶ οὐ μεταρρεῖ καθάπερ εὔριπος,
βούλονταί τε τὰ δίκαια καὶ τὰ συμφέροντα, τούτων δὲ καὶ κοινῇ
ἐφίενται. τοὺς δὲ φαύλους οὐχ οἷόν τε ὁμονοεῖν πλὴν ἐπὶ μι-
κρόν, καθάπερ καὶ φίλοι βέβαιοι οὐ δύνανται εἶναι πλεονεξίας ἐφιέμενοι
καὶ μεῖζον ἔχειν ἑκάτερος ἑκατέρου ζητοῦντες ἐν τοῖς συμφέρουσιν· ἐν γὰρ
τοῖς πόνοις καὶ ἐν ταῖς ὑπὲρ ἀλλήλων λειτουργίαις ἀεὶ ζητοῦσι τὸ ἔλαττον
ἔχειν, καὶ ἑαυτὸν ἑκάτερος ἄξιον νομίζων ὀλίγα μὲν πονεῖν, μεγάλα δὲ
ὠφελεῖσθαι, τὸν ἕτερον εὐθύνει, περὶ τῶν λειτουργιῶν ἀκριβολογούμενος
καὶ κωλύων τῶν συμφερόντων ἀπολαύειν, ὅσον ἐθέλει, ὡς μεγάλα, φαύλων
ἀπονάμενον πόνων· διὰ τοῦτο μὴ τηροῦντες τὸ κοινὸν ἀλλ' ἑκάτερος τὸ
ἑαυτοῦ, τάχιστα διαλύονται· τὸ γὰρ συνάπτον διασπῶσιν, ὅπερ ἐστὶ τὸ
κοινὸν καὶ ἡ ὁμόνοια· τοῦ συνάπτοντος δὲ διαλυθέντος οὐ δύνανται συνημ-
μένοι εἶναι. συμβαίνει τοίνυν αὐτοῖς στασιάζειν, ἀπαιτοῦσι μὲν παρ' ἀλ-
λήλων τὰ φιλικά, αὐτοῖς δὲ οὐ βουλομένοις τὰ δίκαια ποιεῖν· ὅθεν ἐν τοῖς
φαύλοις οὐ δυνατὸν ὁμόνοιαν εἶναι ἀλλ' ἐν τοῖς ἐπιεικέσι μόνοις.

⟨Περὶ εὐεργεσίας. κεφ. η΄.⟩

Ἐκεῖνο δὲ ζητητέον, ἀνθ' ὅτου τοὺς εὖ πάσχοντας οἱ εὐεργέται φι-
λοῦσι μᾶλλον ἢ ὑπ' ἐκείνων φιλοῦνται· καὶ | γὰρ ὡς παράλογον γινό- 354
μενον ἐπιζητεῖται. οἱ μὲν οὖν πολλοὶ διὰ τοῦτό φασι φιλεῖν μᾶλλον
τοὺς εὐεργέτας, δι' ὃ καὶ οἱ δανεισταὶ φιλοῦσιν οἷς ἐδάνεισαν, μὴ φιλού-
μενοι ὑπὸ τῶν ὀφειλόντων· οἱ μὲν γὰρ χρήσαντες βούλονται τοῖς ὀφείλουσι
τὴν σωτηρίαν καὶ πάντα τρόπον βοηθοῦσιν, ἵνα αὐτοῖς τὰ χρήματα ἐπα-
νέλθῃ, οἱ δὲ ὀφείλοντες οἷς ὀφείλουσιν οὐκέτι· βούλοιντο γὰρ ἂν αὐτοὺς μὴ
εἶναι, ὡς ἄμεινον οὕτω πράξοντες τοῦ δανείου λυθέντος· τὸν αὐτὸν δὴ τρό-
πον φασὶ καὶ ἐπὶ τούτων, τοὺς μὲν εὐεργέτας βούλεσθαι εἶναι καὶ σώζε-
σθαι τοὺς εὖ παθόντας, ὡς οὕτω κομιουμένους τὰς ἀμοιβάς, τοὺς δὲ εὖ
παθόντας οὐ σφόδρα φιλεῖν τὴν τῶν εὐεργετῶν σωτηρίαν· οὐ γὰρ οὕτως
ἐπιμελὲς τοῖς ἀνθρώποις τὸ ἀνταποδοῦναι ὡς τὸ ἀπολαβεῖν. ἡ μὲν οὖν
δοκοῦσα τοῖς πολλοῖς αἰτία αὕτη ἐστί, καὶ ταῦτα προήχθησαν νομίζειν πρὸς
τοὺς ἀγνώμονας καὶ πονηροὺς ἀποβλέποντες τῶν ἀνθρώπων καί, ὅ φησιν
Ἐπίχαρμος, ἐκ πονηροῦ θεώμενοι. ἔοικε δὲ ἀνθρωπικὸν τὸ τοιοῦτον εἶναι·
ἀμνήμονες γὰρ οἱ πολλοί, καὶ μᾶλλον εὖ πάσχειν ἢ ποιεῖν ἐφί-

17 μεγάλα D: μεγάλων h

ενται. δόξειε δ' ἂν φυσικώτερον εἶναι τὸ αἴτιον καὶ οὐχ ὅμοιον τῷ περὶ τοὺς δανείσαντας. ἐν μὲν γὰρ τοῖς εὐεργέταις καὶ τοῖς εὖ πάσχουσι φίλησίς ἐστιν, ἐν δὲ τοῖς δανειζομένοις καὶ δανεισταῖς οὐ φίλησις· οὐ γὰρ φιλεῖ ὁ δανείσας τὸν ὀφείλοντα ἀλλ' αὐτὸ τοῦτο μόνον σώζεσθαι αὐτὸν βούλεται τῆς κομιδῆς ἕνεκα καὶ ἵνα τὸ δάνειον ἀπολάβῃ· οἱ δ' εὖ πεποιηκότες φιλοῦσι καὶ ἀγαπῶσι τοὺς εὖ πεπονθότας, κἂν μὴ ὦσι χρήσιμοι μηδὲ δύνωνται γενέσθαι. τοῦτο δὲ καὶ ἐπὶ τῶν τεχνιτῶν συμβέβηκε· πᾶς γὰρ τὸ οἰκεῖον ἔργον ἀγαπᾷ μᾶλλον ἢ ἀγα|πη- 355
θείη ἂν ὑπὸ τοῦ ἔργου ἐμψύχου γενομένου· μάλιστα δὲ τοῦτο περὶ τοὺς ποιητὰς συμβαίνει· ὑπεραγαπῶσι γὰρ οὗτοι τὰ οἰκεῖα ποιήματα στέργοντες ὥσπερ τέκνα. τοιοῦτο δὲ ἔοικεν εἶναι καὶ τὸ τῶν εὐεργετῶν· οἱ γὰρ εὖ πάσχοντες ὑπ' αὐτῶν κατὰ τοῦτο ἔργα αὐτῶν εἰσι καὶ διὰ τοῦτο ἀγαπῶσι μᾶλλον αὐτοὺς ἢ τὰ ἔργα αὐτοὺς ἀγαπᾷ. τούτου δὲ αἴτιον, ὅτι τὸ μὲν εἶναι πᾶσιν αἱρετὸν καὶ φιλητόν· ἐσμὲν δὲ κυρίως ὅταν ἐνεργείᾳ ὦμεν· ἐσμὲν δὲ ἐνεργείᾳ ἐν τῷ ζῆν καὶ πράττειν· ὁ δὲ πράττων ἐνεργείᾳ ἐστὶν ἐν τῷ ἔργῳ. ἡ γὰρ οἰκοδομικὴ ὁ λόγος ἐστὶ τῆς οἰκοδομίας, ὃς ἐνεργείᾳ ἐστὶν ἐν τῇ οἰκίᾳ· καὶ ἔστιν αὐτὴ ἡ οἰκία, καθὸ οἰκία, ὁ τεχνίτης ἐνεργείᾳ, καθὸ τεχνίτης· ὁμοίως καὶ πᾶς ἐνεργῶν ἐνεργείᾳ ἐστὶ τὸ ἔργον αὐτοῦ. εἰ τοίνυν φυσικὸν μὲν ἐφίεσθαι τοῦ εἶναι, τὸ εἶναι δέ ἐστιν ἐν τῷ πράττειν, τὸ ἔργον δέ ἐστιν αὐτὸς ὁ πράττων ἐνεργείᾳ, φανερὸν ὅτι καθόσον ζητεῖ τις τὸ ἑαυτοῦ εἶναι, κατὰ τοσοῦτον ζητεῖ καὶ τὸ ἔργον εἶναι· φύσει δέ τις φιλεῖ ἑαυτὸν καὶ βούλεται εἶναι· φύσει ἄρα φιλεῖ τις τὸ ἑαυτοῦ ἔργον. ἐπεὶ δὲ μάλιστά τις φιλεῖ ἑαυτόν, μάλιστα φιλεῖ ἕκαστος τὸ ἑαυτοῦ ἔργον καὶ τὸν εὐεργετούμενον, καθόσον ἔργον ἐστὶν αὐτοῦ, μάλιστα φιλήσει· καὶ διὰ τοῦτο καὶ μᾶλλον ἢ τὸν εὐεργέτην· ἡ γὰρ μεγίστη φίλησίς ἐστιν, ᾗ τις ἑαυτόν φιλεῖ· ἔτι δὲ καὶ ὅτι ὁ μὲν εὐεργέτης ἑαυτοῦ γίνεται βελτίων εὐεργετῶν καὶ ἀγαθὸν αὐτῷ ἐστι τὸ εὐεργετεῖν καὶ διὰ τοῦτο χαίρει τῷ εὖ πάσχοντι, ὅτι ἐν αὐτῷ θεωρεῖ τὸ ἑαυτοῦ ἀγαθόν. ὁ δὲ εὖ πάσχων οὐ γίνεται βελτίων ἑαυτοῦ τῷ πάσχειν, οὐδὲ ἐν τῷ εὐεργέτῃ ἔχει τι ἀγαθόν. βελτίων γάρ τις δύναται γενέσθαι ἐξ ὧν αὐτὸς ποιεῖ· ἐν τῷ ἐνεργεῖν γάρ ἐστι τὸ ἀνθρώπινον | ἀγα- 356
θόν, ὥσπερ ἐν τοῖς ἔμπροσθεν εἴρηται. διὰ τοῦτο εἴ τί ἐστιν ἡδὺ τῷ εὖ πάσχοντι παρὰ τῷ εὐεργέτῃ, οὐκ ἀγαθόν ἐστιν αὐτοῦ ἀλλὰ συμφέρον· τὸ δὲ συμφέρον οὐχ οὕτως ἡδὺ καὶ φιλητόν ἐστιν ὡς τὸ ἀγαθόν· τὸ γὰρ ἀγαθὸν τέλος ἐστὶ τοῦ συμφέροντος καὶ διὰ τὸ ἀγαθὸν καὶ τὸ συμφέρον φιλητόν ἐστι καὶ ἡδύ· μᾶλλον ἄρα φιλεῖ ὁ εὐεργέτης τὸν εὖ πάσχοντα ἢ ὑπ' ἐκείνου φιλεῖται. ἔτι τοῦ ἀγαθοῦ ἡδεῖά ἐστι καὶ ἡ ἐνέργεια καὶ ἡ ἐλπὶς καὶ ἡ μνήμη, ἐνέργεια μὲν παρόντος καὶ γινομένου, ἐλπὶς δὲ μέλλοντος, μνήμη δὲ παρεληλυθότος. ἥδιον δὲ παρὸν τὸ ἀγαθὸν ἢ μέλλον καὶ παρεληλυθός· ἔστι δὲ ὁ μὲν εὐεργετηθεὶς παρὸν ἀγαθὸν τοῦ εὐεργετηκότος· μένει γὰρ τὸ ἀγαθὸν καὶ πολυχρόνιόν ἐστιν, ὃ ἐν τῷ εὖ παθόντι ὁ εὐερ-

16 ὁ D: ὃ h 17 ὃς om. h 23. 24 καὶ μάλιστα h 26 φιλεῖ ἑαυτόν h 28 τὸ h: τῳ D

γέτης θεωρεῖ· τοῦ δὲ εὖ παθόντος τὸ ἀγαθὸν οὔτε μένει (καὶ γὰρ χρή-
σιμον ἦν καὶ ἅμα τῇ χρήσει παρελήλυθεν), οὔτε ἀγαθόν ἐστι κυρίως· καὶ
διὰ τοῦτο εἰ καὶ ἄμφω παρῆσαν, ἥδιον ἂν ἦν τὸ τοῦ εὐεργέτου ἀγαθόν,
εἴτε καὶ ἄμφω παρῆλθον, ἡδίων ἂν ἦν ἡ μνήμη τοῦ εὐεργέτου ἢ τοῦ εὐ-
εργετουμένου, καθόσον ἡ τοῦ ἀγαθοῦ μνήμη ἡδίστη ἐστὶ μάλιστα, ἡ δὲ
τοῦ χρησίμου οὐ πάνυ ἢ ἧττον. εἰ γὰρ ἡ προσδοκία τῶν χρησίμων ἀνά-
παλιν ἔχει καὶ ἡδίων ἐστὶ τῆς μνήμης παρεληλυθότων ἀγαθῶν, φαίνεται
τοίνυν καὶ διὰ ταῦτα μᾶλλον φιλεῖν τὸν εὐεργέτην τὸν εὖ πάσχοντα ἢ ὑπ'
ἐκείνου φιλεῖσθαι. ἔτι ἡ μὲν φίλησις ἐνεργείᾳ ἔοικε, τὸ δὲ φιλεῖσθαι πά-
θει· τοῖς τοίνυν ἐνεργοῦσι τὰ φιλικά, δηλονότι τοῖς εὐεργέταις, μᾶλλον
προσήκει τὸ φιλεῖν ἢ τοῖς πάσχουσιν. ἔτι τὰ πόνῳ κτηθέντα στέργομεν
μᾶλλον καὶ φιλοῦμεν τῶν ῥᾳδίως κατορθωθέντων· ὅθεν καὶ τὰ χρήματα
οἱ κτησάμε|νοι τῶν διαδεξαμένων μᾶλλον φιλοῦσιν· ἔστι δὲ ἄπονον μὲν 357
τὸ εὖ πάσχειν, ἐργῶδες δὲ τὸ εὖ ποιεῖν· ἔστι δὲ τὸ μὲν ⟨εὖ⟩ πάσχειν ἐν
τῷ εὐεργετουμένῳ, τὸ δὲ εὖ ποιεῖν ἐν τῷ εὐεργέτῃ· καὶ διὰ τοῦτο ὁ εὐ-
εργετούμενος μᾶλλον ἢ ὁ εὐεργέτης φιλεῖται. καὶ διὰ τοῦτο καὶ αἱ μη-
τέρες φιλοτεκνότεραι μᾶλλον, ὅτι πόνῳ γεννῶσιν, ἢ οἱ παῖδες φιλομήτορες
τῷ μηδὲν ὑπὲρ τοῦ τεχθῆναι ποιῆσαι· καὶ μᾶλλον ἴσασιν αἱ μητέρες, ὅτι
ἐξ ἐκείνων οἱ παῖδες ἢ οἱ παῖδες, ὅτι αὐταὶ παρήγαγον εἰς τὸν βίον. ταῦτα
δὲ δόξειεν ἂν εἶναι καὶ τοῖς εὐεργέταις οἰκεῖα. καὶ γὰρ οὐ μόνον ἐπίπονόν
τι ποιοῦσιν ὑπὲρ τῶν εὖ πασχόντων ἀλλὰ καὶ μᾶλλον ἴσασιν ὅτι εὐεργε-
τοῦσιν ἢ ἐκεῖνοι γινώσκουσιν ὅτι ὑπὸ τούτων εὐεργετοῦνται. καὶ γὰρ ἐν-
δέχεται τὸν εὖ ποιοῦντα οὐκ αὐτὸν οἴκοθεν ἀλλ' ἑτέρῳ ὑπηρετούμενον
εὐεργετεῖν καὶ διὰ τοῦτο μὴ αὐτὸν εἶναι τὸν εὐεργέτην· ἢ αὐτὸν μὲν οἴ-
κοθεν εὐεργετεῖν, οὐκ αὐτοῦ δὲ ἕνεκα τοῦ εὖ πάσχοντος ἀλλ' ἑαυτοῦ καὶ
διὰ τὸ χρήσιμον· ταῦτα δὲ ποιεῖ τὸν εὖ πάσχοντα μὴ πάνυ βεβαίως τὸν
εὐεργετοῦντα γινώσκειν· τὸν μέντοι εὐεργέτην οὐδὲν κωλύει τὸν εὖ πά-
σχοντα γινώσκειν, ὅτι ἑαυτὸν ἀκριβῶς γινώσκει, ὅτι εὐεργέτης ἐστὶν ἀλη-
θῶς. διὰ ταῦτα ὁ εὖ ποιῶν τὸν εὖ πάσχοντα φιλεῖ μᾶλλον ἢ ὑπ' ἐκείνου
φιλεῖται.

⟨Περὶ τῆς φιλαυτίας. κεφ. θ'.⟩

Καὶ ταῦτα μὲν εἰς τοσοῦσον. ζητητέον δὲ κἀκεῖνο, πότερον ἑαυτὸν
δεῖ φιλεῖν μάλιστα ἢ ἄλλον τινά. δοκεῖ γὰρ τὸ ἑαυτὸν μάλιστα φιλεῖν
οὐκ ἀγαθῶν ἀνδρῶν | εἶναι καὶ διὰ τοῦτο ἐπιτιμῶνται οἱ ἑαυτοὺς μά- 358
λιστα ἀγαπῶντες καὶ ὡς ἐν αἰσχρῷ φίλαυτοι ἀποκαλοῦνται· ἔτι δὲ καὶ
ὅτι ὁ μὲν φαῦλος δοκεῖ πάντα πράττειν ἑαυτοῦ χάριν, καὶ τοσούτῳ μᾶλλον
ὅσῳ φαυλότερος· καὶ ἐγκαλεῖται διὰ τοῦτο, ὅτι οὐδὲν τῶν ἰδίων πλέον

3 εἰ Dh: εἴ γε Mullach 4. 5 τοῦ εὐεργέτου ἢ τοῦ εὐεργετουμένου Mullach: τοῦ εὐεργετουμένου ἢ τοῦ εὐεργέτου Dh 14 εὖ (ante πάσχειν) ins. Mullach: om. Dh
26 πάσχοντα h: πα reliquis in versus fine omissis D 37 ὅσο D φαυλότεροι h

ἐπιζητεῖ ἀλλ' ἑαυτοῦ χάριν πάντα ποιεῖ· ὁ δὲ ἐπιεικὴς διὰ τὸ καλὸν πάντα πράττει καὶ τοσούτῳ μᾶλλον ὅσῳ βελτίων καὶ ἐπιεικέστερος καὶ διὰ τὸν φίλον καὶ ἵνα δῷ τοῖς ἄλλοις τυχεῖν, ὧν δέονται, παρίησι τὰ ἑαυτοῦ· διὰ ταῦτα μὲν οὖν δοκεῖ μὴ δεῖν μάλιστα πάντων φιλεῖν ἑαυτόν. τούτοις δὲ τὰ ἔργα διαφωνεῖ, καὶ οὐκ ἀλόγως. φασὶ γὰρ δέον εἶναι μάλιστα φιλεῖν τὸν μάλιστα φίλον, μάλιστα δὲ φίλος ὁ σώζων πάντα τὰ φιλικὰ περὶ τὸν φιλούμενον· φιλικὰ δέ ἐστι τὸ βούλεσθαι τὰ ἀγαθὰ τῷ φίλῳ ἐκείνου ἕνεκα, καὶ εἰ μηδεὶς εἴσεται τοῦτο, καὶ τὸ συζῆν μάλιστα ζητεῖν καὶ τὸ συναλγεῖν καὶ συγχαίρειν· ταῦτα δὲ πάντα αὐτός τις ἑαυτῷ ἀπονέμει, καὶ ἀπὸ τῶν πρὸς ἑαυτὸν καὶ τὰ πρὸς τοὺς φίλους ἐλήφθη, καθὼς ἐν τῷ δ' εἴρηται κεφαλαίῳ. τούτοις δὲ καὶ αἱ παροιμίαι πᾶσαι μαρτυροῦσι. τοὺς γὰρ σφόδρα φίλους δηλοῦντες "μία ψυχή" φασιν· ἔτι δὲ καὶ τὸ "κοινὰ τὰ τῶν φίλων" εἰς τοῦτο φέρει καὶ "ἰσότης φιλότης" καὶ "γόνυ κνήμης ἔγγιον". εἰ γὰρ τὸ κοινὸν καὶ ἡ ἰσότης καὶ τὸ ἔγγιστα φιλία, τί γένοιτ' ἂν ἑκάστῳ φιλικώτερον ἑαυτοῦ; μάλιστα ἄρα φίλος αὐτὸς ἑαυτῷ. εἰ δὲ τὸν μάλιστα φίλον μάλιστα δεῖ φιλεῖν, ἑαυτὸν δεῖ μάλιστα φιλεῖν. οὕτω τοίνυν ἀμφοτέρων μὲν λόγων ἀληθῶν εἶναι δοκούντων, εἰκότως ἀπορεῖται ποτέρῳ δέον ἀκολουθεῖν. εὑρή|σομεν δὲ διελόντες καὶ διορισάμενοι, ἐφ' ὅσον καὶ πῶς 359
ἑκάτερος ἀληθεύει. εἰ γὰρ λάβοιμεν τὴν τοῦ φιλαύτου σημασίαν, ὃ βούλεται παρ' ἑκατέρῳ τῶν λόγων, δῆλον τὸ ζητούμενον γένοιτ' ἄν. ὁ μὲν οὖν πρῶτος λόγος αὐτὸ φιλαύτους καλεῖ οὐ τοὺς ἑαυτοὺς φιλοῦντας ἁπλῶς ἀλλὰ τοὺς ζητοῦντας ἑαυτοῖς ἀπονέμειν τὸ πλέον, οὐκ ἐν τῷ ἀγαθῷ καὶ τῇ ἀρετῇ ἀλλ' ἐν χρήμασι καὶ τιμαῖς καὶ ταῖς σωματικαῖς ἡδοναῖς· τούτων γὰρ οἱ πολλοὶ ὀρέγονται, καὶ ἐσπουδάκασι περὶ αὐτὰ ὡς ἄριστα ὄντα, διὸ καὶ περιμάχητά ἐστιν. οἱ δὴ περὶ ταῦτα πλεονέκται χαρίζονται ταῖς ἐπιθυμίαις καὶ ὅλως τοῖς πάθεσι καὶ τῷ ἀλόγῳ τῆς ψυχῆς· τοιοῦτοι δ' εἰσὶν οἱ πολλοί· διὰ τοῦτο καὶ τούτοις ἡ προσηγορία γέγονε. τοῖς γὰρ ὡς ἐπὶ τὸ πλεῖστον γινομένοις τὰ ὀνόματα τίθεται· τὰ δὲ σπάνια οὐδὲ σφόδρα ὀνομάζονται· καὶ γὰρ τούτων ἔνια οὐδὲ γινώσκονται. εἰσὶ δὲ οἱ μὲν φαῦλοι καὶ τὰ δοκοῦντα ἀγαθὰ ἑαυτοῖς ἀπονέμοντες πολλοί, οἱ δὲ σπουδαῖοι σπάνιοι. διὰ τοῦτο τοὺς πολλοὺς [ὀνομάζουσι] φαύλους ὄντας καὶ φιλαύτους ἀποκαλοῦσιν· οἱ δὴ οὕτω φίλαυτοι καὶ δικαίως ἐγκαλοῦνται. ὅτι δὲ τοὺς φαύλως ἔχοντας περὶ τὰς ἐπιθυμίας φιλαύτους οἱ πολλοὶ καλοῦσιν, οὐκ ἄδηλον. εἰ γάρ τις ἀεὶ σπουδάζει τὰ δίκαια πράττειν αὐτὸς μάλιστα πάντων ἢ τὰ σώφρονα ἢ ὁποιαοῦν ἄλλα τῶν κατὰ τὰς ἀρετὰς καὶ ὅλως ἀεὶ τὸ καλὸν ἑαυτῷ περιποιοῖτο, οὐδεὶς αὐτὸν ἐρεῖ φίλαυτον οὐδὲ ψέξει. ὁ μὲν οὖν πρῶτος λόγος φίλαυτον ὀνομάζει τὸν φαύλως ἑαυτὸν φιλοῦντα καὶ διὰ τοῦτο ἀληθής ἐστιν· οὐ γὰρ δεῖ τοῦτον τὸν τρόπον φιλεῖν ἑαυτόν· ὁ δὲ δεύτερος τὸν σπουδαῖον καὶ τὴν ἀρετὴν καὶ τὸ ἀγαθὸν πε|ριποιούμενον 360
ἑαυτῷ μάλιστά φησι φιλεῖν ἑαυτόν. ὃς καὶ φίλαυτος δόξειεν ἂν εἶναι μάλ-

2 τοσοῦτο D 10 δ' h: lacuna D 32 ὀνομάζουσι D: om. h 35 σπουδάζει Dh et Arist. codd. $L^b M^b O^b$: σπουδάζοι Arist. vulg.

λον εἰκότως· ἑαυτῷ γὰρ χαρίζεται· τῷ γὰρ κυριωτάτῳ ἑαυτοῦ, τῷ διανοητικῷ, τὰ κάλλιστα καὶ μάλιστα ἀποδίδωσιν ἀγαθά. ὁ δὲ τῷ κυριωτάτῳ ἑαυτοῦ χαριζόμενος, οὗτος μάλιστα χαρίζεται ἑαυτῷ. καὶ γὰρ ὥσπερ πόλις ἐστὶ μάλιστα τὸ κυριώτατον τῆς πόλεως καὶ οἱ ἄριστοι τῶν πολιτῶν, οὕτω καὶ ἄνθρωπός ἐστι μάλιστα τὸ κυριώτατον τῶν ἐν τῷ ἀνθρώπῳ. διὰ τοῦτο καὶ φίλαυτος μάλιστα ὁ τοῦτο ἀγαπῶν καὶ τούτῳ χαριζόμενος· ἐπεὶ καὶ ἐγκρατής τις ἢ ἀκρατὴς λέγεται οὐ τῷ ἁπλῶς κρατεῖν ἢ κρατεῖσθαι ἀλλὰ τῷ τὸν νοῦν ἢ ἄρχειν τῶν παθῶν ἢ ἄρχεσθαι· ὥστε τοῦ μὲν νοῦ κρατοῦντος αὐτός τις λέγεται κρατεῖν, τῶν δὲ παθῶν κρατούντων οὐκ αὐτὸς κρατεῖν ἀλλὰ μᾶλλον κρατεῖσθαι. ὅθεν φανερόν, ὅτι αὐτός τίς ἐστι μάλιστα ἕκαστος τὸ αὑτοῦ διανοητικόν· καὶ ὁ τὸ ἑαυτοῦ διανοητικὸν ἀγαπῶν καὶ πάντα τρόπον αὐτῷ χαριζόμενος φίλαυτος εἰκότως ἂν λέγοιτο καθ' ἕτερον εἶδος τοῦ ὀνειδιζομένου, καὶ διαφέρων τοσοῦτον, ὅσον τὸ κατὰ λόγον ζῆν τοῦ κατὰ πάθος καὶ ἡ τοῦ ἀγαθοῦ ὄρεξις τῆς φαύλης ἐπιθυμίας. ἐπεὶ τοίνυν τοὺς σπουδαίους καὶ ἐπιεικεῖς ἐπαινοῦσι καὶ ἀποδέχονται πάντες, δεῖ δὲ πάντας ἐπιεικεῖς εἶναι (καὶ γὰρ πάντων εἰς τὸ καλὸν ἁμιλλωμένων καὶ διατεινομένων τὰ κάλλιστα πράττειν, πάντα ἀπαντήσειν τὰ ἀγαθά, καὶ κοινῇ πᾶσι καὶ ἰδίᾳ ἑκάστῳ), φανερὸν ὅτι δέον ἐστὶ τὸν μὲν ἀγαθὸν φίλαυτον εἶναι. καὶ γὰρ αὐτός τε ἑαυτὸν ὠφελήσει τὰ καλὰ πράττων καὶ τοὺς ἄλλους ἐπὶ τὰ ἴσα κινήσει· τὸν δὲ μοχθηρὸν οὐκέτι. φιλῶν | γὰρ καὶ χαριζόμενος ἑαυτῷ βλάψει καὶ ἑαυτὸν 361 καὶ τοὺς πέλας, πάθεσιν ἑπόμενος φαύλοις· ἐπεὶ παρὰ μὲν τῷ σπουδαίῳ ταὐτόν ἐστιν ὃ πράττει καὶ ὃ πράττειν προσήκει· καὶ γὰρ πᾶς μὲν ⟨ἀνὴρ ἀγαθὸς ὁ νοῦς αὐτοῦ ἐστιν· ὁ⟩ νοῦς ⟨δὲ⟩ αἱρεῖται τὸ βέλτιστον ἑαυτῷ· οἱ δὲ πειθαρχοῦσι καὶ ἀκολουθοῦσι τῷ νῷ· παρὰ δὲ τοῖς φαύλοις τὸ δέον καὶ ὃ ποιοῦσι διαφωνεῖ· καὶ διὰ τοῦτο τοὺς μὲν οὐ δεῖ φιλαύτους εἶναι, τοὺς δὲ ἑαυτοὺς μάλιστα προσήκει φιλεῖν. οὕτω μὲν οὖν ὁ ἀληθὴς διώρισται λόγος. λυτέον δὲ καὶ τὸν πρῶτον λόγον, δι' ὃν ἐδόκει τὸν ἀγαθὸν μὴ εἶναι φίλαυτον, ὅτι τῶν μὲν ἑαυτοῦ ἀμελεῖ, ζητεῖ δὲ τὰ τῶν φίλων καὶ τῆς πατρίδος ἀγαθά, ὑπὲρ ὧν καὶ ἀποθνήσκει δεῆσαν. ὅτι μὲν οὖν τοιοῦτός ἐστιν ὁ σπουδαῖος, ἀληθές ἐστιν. οὐ μὴν διὰ τοῦτο ῥητέον αὐτὸν μὴ μάλιστα φίλαυτον εἶναι· δι' αὐτὰ μὲν οὖν φαίνεται φίλαυτος εἶναι. καὶ γὰρ ἀντὶ μεγάλων μικρὰ προΐεται, καὶ τὰ μικρὰ ῥίπτων τὰ μέγιστα τῶν ἀγαθῶν ἑαυτῷ περιποιεῖται· τοῖς μὲν γὰρ φίλοις καὶ τῇ πατρίδι χρήματα καὶ τιμὰς καὶ τοιαῦτα παρέχει, ἑαυτῷ δὲ τὸ ἀγαθὸν καὶ καλὸν καὶ χρηστὸν καὶ φιλόπολιν εἶναι καὶ τὰ τοιαῦτα, ὧν ἐκεῖνα πάντα ἐλάττω· καὶ ὅταν δὲ ὑπὲρ τῶν φίλων καὶ τῆς πόλεως ἀποθάνῃ καὶ τὴν ἑαυτοῦ πρόηται ζωήν, μείζω ἐκέρδανεν ἢ προήκατο. αἱρεῖται γὰρ ὀλίγον ⟨χρόνον⟩

9 τις h: τι D 18 ἀπαντήσειν Dh: ἀπαντήσει Mullach 22 ἐπεὶ τὰ παρὰ h τῷ σπουδαίῳ h: τοῖς σπουδαίοις D 23 πράττει D: πράττουσι h πράττειν δὲ προσήκει h ἀνὴρ—ἐστιν· ὁ (24) Heinsius suppl. ex coni.: om. Dh 24 δὲ prius Heinsius suppl. ex coni.: om. Dh 27 οὖν om. h 35 καλὸν καὶ ἀγαθὸν h 38 χρόνον om. D

ἡσθῆναι σφόδρα τὴν ἀγαθὴν καὶ ἐπαινετὴν ἡδονὴν ἢ πολλὴν ἠρέμα· καὶ βέλτιον αὐτῷ εἶναι ἡγεῖται τὸν βίον μικρὸν ὄντα μεγάλων γέμειν κατορθωμάτων, ἢ μακρὸν βιώσαντα μὴ οὕτως ἐπαινετὸν εἶναι, καὶ μίαν πρᾶξιν ποιῆσαι καλὴν καὶ μεγάλην ἢ πολλὰς καὶ μικράς. ταῦτα γὰρ ἐκείνων καλλίω. καὶ πράξεις δὲ σπουδαίας ἐνίοτε προΐεται | τῷ φίλῳ, καὶ ἐξὸν αὐτὸν πράττειν, ἐκείνῳ τῆς φιλοτιμίας παραχωρεῖ, καὶ τηνικαῦτα δὲ τὸ μεῖζον ἀγαθὸν ἑαυτῷ ἀπονέμει· κάλλιον γὰρ τοῦ αὐτὸν πρᾶξαι τὸ αἴτιον τοῦ καλοῦ τῷ φίλῳ γενέσθαι. διὰ ταῦτα δὴ εἰκότως δοκεῖ σπουδαῖος εἶναι ἀντὶ πάντων αἱρούμενος τὸ καλὸν καὶ τὸ πλέον ζητῶν ἐν τοῖς ἀγαθοῖς καὶ σπουδαίοις. φαίνεται τοίνυν μάλιστα ἑαυτὸν φιλῶν ὁ σπουδαῖος καὶ ἑαυτῷ τοῦ καλοῦ τὸ πλέον ἑκάστοτε νέμων. οὕτω μὲν οὖν δεῖ φίλαυτον εἶναι, καθάπερ εἴρηται, ὡς δὲ οἱ πολλοί, οὐ χρή· ὅπως μὲν οὖν δεῖ μάλιστα φιλεῖν ἑαυτόν, ἐπὶ τοσοῦτον εἰρήσθω. 362

⟨Ὅτι καὶ εὐδαίμων φίλων σπουδαίων δεήσει. κεφ. ι΄.⟩

Ἀμφισβητεῖται δὲ καὶ περὶ τῶν εὐδαιμόνων, εἰ δεήσει φίλων αὐτοῖς ἢ μή. φασὶ γὰρ μὴ χρείαν εἶναι τοῖς μακαρίοις καὶ αὐτάρκεσιν· αὐτάρκεις γὰρ ὄντες καὶ πάντα ἔχοντες τὰ ἀγαθά, πῶς ἂν ἄλλων δέοιντο; καὶ γὰρ οἱ φίλοι δέονται τῶν φίλων καὶ καρποῦνται δι' ἐκείνων ἃ δι' ἑαυτῶν οὐ δύνανται κτᾶσθαι· καὶ γὰρ ὁ φίλος ἄλλος αὐτός. ἐπεὶ δὲ αὐτοῖς οἱ εὐδαίμονες ἀρκοῦσιν, οὐ χρείαν ἔχουσι φίλων, διὰ τοῦτό φασιν

ὅταν ὁ δαίμων εὖ διδῷ, τί δεῖ φίλων;

διὰ ταῦτα μὲν οὖν δοκεῖ μὴ χρείαν εἶναι τοῖς εὐδαίμοσι φίλων. καθ' ἕτερον δὲ λόγον ἄτοπον ἔοικεν εἶναι τὸ πάντα ἀπονέμοντας τὰ ἀγαθὰ τῷ εὐδαίμονι φίλους μὴ ἀποδιδόναι, | ὃ τῶν ἐκτὸς ἀγαθῶν τὸ 363 μέγιστον εἶναι δοκεῖ, ἄλλως τε καὶ ὅτι τὸ μὲν εὐεργετεῖν ἀναγκαῖόν ἐστι πρὸς τὴν εὐδαιμονίαν, ἡ δὲ καλλίστη καὶ μάλιστα ἐπαινουμένη εὐεργεσία πρὸς τοὺς φίλους ἐστίν· ὥστε δεῖ φίλων τοῖς εὐδαίμοσιν, ἐπεὶ χρεία τὴν ἀρίστην εὐεργεσίαν εὐεργετεῖν. μάλιστα γὰρ φίλῳ προσήκει τὸ εὖ ποιεῖν καὶ τὸ εὖ πάσχειν· καὶ κάλλιον εὐεργετεῖν φίλους ἢ ὀθνείους καὶ ἀγνῶτας καὶ μηδὲν προσήκοντας οὔτε τῶν ἠθῶν ἕνεκα οὔτε τῆς πολιτείας. διὰ ταῦτα δὴ φαίνεται δεῖσθαι φίλων τὸν εὐδαίμονα, καὶ τούτου ἕνεκα καὶ ζητεῖται, πότερον ἐν εὐτυχίαις χρεία φίλων μᾶλλον ἢ ἐν ἀτυχίαις. δεῖ γὰρ καὶ ἀτυχοῦντι φίλων βοηθούντων καὶ ἐπανορθούντων αὐτῷ τὴν τύχην καὶ τῷ εὐτυχοῦντι, ἵνα εὐεργετεῖν δύνηται. ἔτι δὲ ἄτοπον κἀκεῖνο, τὸν μονώτην καὶ ἑαυτῷ μόνῳ ζῶντα μακάριον οἴεσθαι· ἡ μὲν γὰρ εὐδαιμονία αἱρετόν, τὸ δὲ μονώτης εἶναι οὐδεὶς ἂν ἕλοιτο· οὐδεὶς γὰρ βούλεται καθ' ἑαυτὸν πάντα ἔχειν τὰ ἀγαθά· πολιτικὸν γὰρ ὁ ἄνθρωπος καὶ φύσει ὀρέγεται μετὰ ἄλλων ζῆν. ταῦτα δὲ ὑπάρχει καὶ τῷ εὐδαίμονι καὶ συζῆν

2 γέμειν h: νέμειν D 9 καὶ ante σπουδαίοις D: om. h 11 μὲν οὖν δεῖ h et Arist. cod. Lb: δὴ D: δεῖ post εἶναι Arist. vulg. 21 Euripid. Orest. 667

βούλεται· τὰ γὰρ φύσει ἀγαθὰ καὶ αὐτὸς ἔχει· εἰ δὲ συζῆν ἀνάγκη τὸν εὐδαίμονα, φανερὸν ὅτι τοῖς βελτίστοις τῶν ἀνθρώπων καὶ οἰκειοτάτοις· οἳ δέ εἰσιν οἱ φίλοι καὶ οἱ ἐπιεικεῖς, μεθ' ὧν βέλτιον καὶ ἥδιον συνημερεύειν ἢ μετὰ ὀθνείων καὶ τῶν τυχόντων· δεῖ ἄρα τῷ εὐδαίμονι φίλων. λυτέον δὲ τοὺς πρώτους λόγους, δι' οὓς ἐδόκει μὴ δεῖν φίλων τοῖς μακαρίοις· καὶ ῥητέον τί λέγουσι καὶ πῇ ἀληθεύουσι. λέγομεν τοίνυν, ὅτι οἱ πολλοὶ φίλους οἴονται τοὺς χρησίμους εἶναι καὶ οὐ διὰ τὸ ἀγαθὸν ἀλλὰ διὰ τὴν χρείαν ἀγα|πωμένους καὶ ἔτι τοὺς διὰ τὴν ἡδονήν· 364
τούτων δὲ ὁ εὐδαίμων οὐ δεῖται, τοῦ μὲν χρησίμου, ὅτι πάντα ἔχει τὰ ἀγαθά, τοῦ δὲ ἡδέος, ὅτι ἡδὺς ὁ βίος αὐτῷ καὶ οὐ δεῖται τῆς ἔξωθεν ἡδονῆς. οὐ δεόμενος δὲ τῶν τοιούτων φίλων οὐ δοκεῖ δεῖσθαι φίλων, τῶν ὡς ἀληθῶς φίλων, ὅσοι διὰ τὴν ἀρετὴν φιλοῦνται καὶ τὸ ἀγαθόν. τοῦτο δὲ οὐκ ἔστιν ἀληθές· καὶ δῆλον ἐκεῖθεν. καθάπερ γὰρ ἐν ἀρχῇ εἴρηται, ἡ εὐδαιμονία ἐνέργειά ἐστιν. ἡ δὲ ἐνέργεια φανερὸν ὅτι γίνεται καὶ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει, καὶ οὐ γέγονε καὶ ὑπάρχει ἤδη καθάπερ τι κτῆμα· συνίσταται μὲν οὖν ἡ εὐδαιμονία ἐν τῷ ζῆν καὶ πράττειν. ⟨τὸ γὰρ ζῆν κατ' ἀρετὴν καὶ πράττειν⟩ τὰ σπουδαῖα εὐδαιμονεῖν ἐστιν. ἐπεὶ δὲ ἡ τοιαύτη ἐνέργεια ἡδεῖά ἐστι τῷ σπουδαίῳ, ὅτι τε ἀγαθὴ καὶ ἡδεῖα καθ' ἑαυτήν, ὡς ἐν ἀρχῇ εἴρηται, καὶ ὅτι οἰκεία αὐτῷ, τὸ ἄρα θεωρεῖν τὴν τοιαύτην ἐνέργειαν ἥδιστόν ἐστι τῷ εὐδαίμονι· θεωρεῖν δὲ τὰ τοῦ πέλας δυνάμεθα μᾶλλον ἢ τὰ οἰκεῖα καὶ τὰς ἐκείνων πράξεις ἢ τὰς ἡμετέρας· ὁ ἄρα εὐδαίμων μάλιστα θεωρήσει τὰς τοῦ φίλου πράξεις, καὶ ἀγαθαῖς δὲ οὔσαις ἡσθήσεται μάλιστα. εἰ δὲ ἀνάγκη τὴν ἀγαθὴν ἡδονὴν ἥδεσθαι τὸν εὐδαίμονα, φανερὸν ὅτι χρεία τῷ εὐδαίμονι φίλων τοιούτων, εἴπερ θεωρεῖν αἱρεῖται πράξεις ἐπιεικεῖς καὶ οἰκείας, οἷαί εἰσιν αἱ τοῦ ἀγαθοῦ φίλου ὄντος. ἔτι δὲ πάντες οἴονται ἡδίστην τὴν τοῦ εὐδαίμονος ζωήν. ἡ δὲ ζωὴ τοῦ εὐδαίμονός ἐστι τὸ κατ' ἀρετὴν ἐνεργεῖν, τὸ δὲ ἐνεργεῖν συνεχῶς μεθ' ἑτέρων μὲν ῥᾴδιον, καθ' ἑαυτὸν δὲ χαλεπόν· ὅθεν χαλεπὸς ὁ μονώτης βίος· τὸ δὲ ῥᾴδιον | ἥδιον τοῦ δυσχεροῦς· τὸ 365
ἥδιον δὲ μᾶλλον προσήκει τῷ μακαρίῳ. καὶ ἅμα ἡ ἐνέργεια συνεχεστέρα αὐτῷ ἔσται, ἡδεῖα οὖσα· τοῦτο δὲ τῷ μακαρίῳ προσήκει συνεχῶς κατ' ἀρετὴν ἐνεργεῖν. τοῦτο δὲ αὖθις μείζω αὐτῷ ποιήσει τὴν ἡδονήν· ἥδεται γὰρ ὁ σπουδαῖος ταῖς κατ' ἀρετὴν πράξεσιν ᾗ σπουδαῖος, ταῖς δὲ ἀπὸ κακίας δυσχεραίνει· καθάπερ ὁ μουσικὸς τοῖς καλοῖς μέλεσιν ἥδεται, ἐπὶ δὲ τοῖς φαύλοις λυπεῖται. οὐ μόνον δὲ τὴν οὖσαν ἕξιν συνεχέστερον ἐνεργήσει ὁ σπουδαῖος ἀπὸ τοῦ σπουδαίοις συζῆν, ἀλλὰ καὶ τὴν μὴ οὖσαν κτήσεται, ἢ ἃς ἔχει ἄμεινον ἕξει· γένοιτο γὰρ ἂν ἐπίδοσις ἀρετῆς ἀπὸ τοῦ συζῆν τοῖς ἀγαθοῖς, καθάπερ καὶ Θέογνίς φησι· δεῖ ἄρα τῷ εὐδαίμονι φίλων. ἔτι δὲ καὶ ὧδε δῆλον ἔσται φυσικώτερον τὸν λόγον ἐπισκοποῦσι. σκεψώμεθα γὰρ οὐκ ἀπὸ τῶν ἰδίᾳ προσόντων τῷ εὐδαίμονι ἀλλὰ ἀπὸ τῶν κοινῇ πᾶσι. τὸ μὲν οὖν ζῆν πᾶσι τοῖς ζῴοις

17 τὸ γὰρ ζῆν — πράττειν h: om. D   29 χαλεπὸς h: χαλεπὸν D   38 cf. Theogn. v. 35

φύσει ἐστὶν ἡδύ· τὸ δὲ ζῆν ὁρίζονται εἶναι ἐν μὲν τοῖς ἀλόγοις δύναμιν αἰσθήσεως, ἐν δὲ τοῖς ἀνθρώποις δύναμιν αἰσθήσεως ἢ νοήσεως. ἡ δὲ δύναμις διὰ τὴν ἐνέργειάν ἐστι καὶ τὸ κύριον ἐν τῇ ἐνεργείᾳ· εἰ τοίνυν τὸ δύνασθαι αἰσθάνεσθαι ἢ νοεῖν ζῆν ἐστι, πολλῷ μᾶλλον αὐτὸ τὸ αἰσθάνεσθαι ἢ νοεῖν ἐνεργείᾳ. τὸ ἄρα αἰσθάνεσθαι ἢ νοεῖν ἐνεργείᾳ αὐτό ἐστι τὸ ζῆν, τὸ δὲ ζῆν ἡδύ τέ ἐστι καθ' ἑαυτὸ καὶ ἀγαθόν, μάλιστα μέν, ὅτι ὡρισμένον τί ἐστι τὸ ζῆν. τὸ δὲ ὡρισμένον τῆς τοῦ ἀγαθοῦ φύσεως, καθάπερ καὶ Πυθαγορείοις ἐδόκει· καὶ γὰρ ἔταττον ἐν τῇ τοῦ ἀγαθοῦ συστοιχίᾳ τὸ ὡρισμένον. ἔπειτα καὶ ὅτι πάντα τοῦ ζῆν ἐφίεται· οὗ δὲ πάντα | ἐφίεται, ἀγαθόν ἐστι καθ' ἑαυτὸ καὶ ἡδύ· λέγω δὲ ζωὴν οὐ 366 τὴν μοχθηρὰν καὶ μυρίων γέμουσαν συμφορῶν· ἀόριστοι γὰρ αἱ τοιαῦται, καθάπερ καὶ τὰ ταύτῃ συμβαίνοντα· λεχθήσεται δὲ περὶ αὐτῶν ἐν οἷς περὶ ἡδονῆς ἐροῦμεν. ἐπεὶ τοίνυν τὸ μὲν ζῆν καθ' ἑαυτὸ ἀγαθόν ἐστι καὶ ἡδύ, χαίρει δέ τις καὶ ἥδεται ὁρῶν ἐν ἑαυτῷ ἀγαθόν τι καὶ ἡδύ, χαίρομεν ἄρα καὶ ἡδόμεθα αἰσθανόμενοι ὅτι ζῶμεν. καὶ γὰρ αἰσθανόμεθα ὅτι ζῶμεν, ὥσπερ ὁρῶντες αἰσθανόμεθα ὅτι ὁρῶμεν καὶ ἀκούοντες ὅτι ἀκούομεν καὶ βαδίζοντες ὅτι βαδίζομεν, καὶ νοοῦντες καὶ αἰσθανόμενοι γινώσκομεν ὅτι νοοῦμεν καὶ αἰσθανόμεθα. τὸ δὲ νοεῖν καὶ αἰσθάνεσθαι τοῦτό ἐστι τὸ εἶναι τῶν αἰσθανομένων καὶ νοούντων· νοοῦμεν ἄρα ὅτι ἐσμέν, καὶ ὅλως ἔστι τις ἐν ἡμῖν δύναμις, ᾗ γινώσκομεν ὅτι ἐνεργοῦμεν καὶ ζῶμεν. εἰ δὲ τὸ ζῆν ἀγαθόν, τὸ δὲ συνειδέναι τινὰ ἑαυτῷ ἀγαθὸν ἡδὺ καθ' ἑαυτό ἐστι, τὸ ἄρα εἰδέναι ὅτι ζῶμεν, ἡδύ ἐστιν. ἐπεὶ τοίνυν τὰ φύσει ἀγαθὰ καὶ ἡδέα ⟨καὶ τῷ σπουδαίῳ ἀγαθά εἰσι καὶ ἡδέα⟩, ἡσθήσεται μὲν ζῶν ὁ σπουδαῖος, καὶ μάλιστα τῶν ἄλλων οὗτος, καθόσον ἡ αὐτοῦ ζωὴ αἱρετωτέρα ἐστὶ καὶ ἡδίων καὶ μακαρία. ἡσθήσεται δὲ γινώσκων ὅτι ζῇ· τὸ δὲ ζῆν ἐστι τὸ νοεῖν· ἥδεται ἄρα ὁ σπουδαῖος γινώσκων ὅτι νοεῖ. οὕτω δὲ πρὸς τὸν φίλον ὡς πρὸς ἑαυτὸν ὁ σπουδαῖος ἔχει, ἕτερος γὰρ αὐτὸς ὁ φίλος ἐστίν· οὐκοῦν φανερόν, ὅτι καθάπερ τὸ αὐτὸν εἶναι καὶ ζῆν αἱρετόν ἐστιν αὐτῷ καὶ ἡδύ, οὕτω καὶ τὸ τοῦ φίλου εἶναι ζητεῖ, τουτέστι τὸ τὸν φίλον νοεῖν· τὸ γὰρ εἶναι καὶ ζῆν τὸ νοεῖν ἐστιν. ὥσπερ δὲ χαίρει γινώσκων ὅτι νοεῖ, οὕτως ἡδύ ἐστιν αὐτῷ καὶ αἱρετὸν τὸ γινώσκειν ὅτι ὁ φίλος νοεῖ· τὸ δὲ γινώσκειν τὸν φίλον ὅτι νοεῖ, | τότε ἐστὶν ἐνεργείᾳ, 367 ὅταν αὐτὰ γινώσκῃ ἃ νοεῖ, οὐχ ἁπλῶς ὅτι διανοεῖται. τοῦτο δὲ γίνοιτ' ἂν ἐν τῷ ζῆν μετ' ἀλλήλων καὶ κοινωνεῖν λόγων καὶ διανοίας· τοῦτον γὰρ τὸν τρόπον συζῆν οἱ ἄνθρωποι λέγονται· οὐ γὰρ τὸ ἐν τῷ αὐτῷ εἶναι συζῆν ἐστι, καθάπερ ἐπὶ τῶν βοσκημάτων τὸ ἐν τῷ αὐτῷ νέμεσθαι. τὸ ἄρα συνεῖναι τοῖς φίλοις αἱρετόν ἐστι τῷ σπουδαίῳ καὶ ἡδύ· ὃ δέ ἐστιν αὐτῷ αἱρετόν, τοῦτο δεῖ ὑπάρχειν αὐτῷ· εἰ δὲ μή, ἐνδεὴς ἔσται τοῦτο τὸ μέρος, ὃ ἐναντίον ἐστὶ τῇ εὐδαιμονίᾳ. δεήσει ἄρα τῷ εὐδαιμονήσοντι φίλων σπουδαίων.

6 τὸ ζῆν D: τῷ ζῆν h 23 καὶ τῷ — ἡδέα h: om. D

⟨Περὶ φίλων ἀριθμοῦ. κεφ. ια΄.⟩

Ἐπεὶ δὲ χρεία τῷ εὐδαίμονι φίλων, ζητητέον πότερον πλείστους φίλους ὡς ἔνι μάλιστα ποιητέον αὐτόν, ἢ καθάπερ ἐπὶ τῆς ξενίας εἴρηται καλῶς καὶ ἁρμοδίως, ὡς οὐ δεῖ μήτ' ἄξεινον εἶναι μήτε πολύξεινον οὕτω καὶ ἐπὶ τῶν φίλων εἰκός ἐστι μήτ' ἄφιλον εἶναι μήτε πολύφιλον. λέγομεν τοίνυν ἐκεῖνο, ὅτι τριχῶς τῆς φιλίας διαιρουμένης καὶ τῆς μὲν διὰ τὸ χρήσιμον οὔσης, τῆς δὲ δι' ἡδονήν, τῆς δὲ τοῦ ἀγαθοῦ ἕνεκα καὶ τῆς ἀρετῆς, τῶν μὲν διὰ τὸ χρήσιμον ἢ τὴν ἡδονὴν φίλων ὀλίγων ἂν γένοιτο χρεία, μάλιστα τῶν μὲν διὰ τὸ χρήσιμον, ὅτι ὀλίγοις ἄν τις ἀρκέσειεν ἃ χρήζουσι βοηθεῖν, καὶ τὸ πολλοὺς θεραπεύειν ἐπίπονον, μάλιστα εἰ τύχοιεν περίεργοί τινες ὄντες καὶ ζητοῦντες θεραπεύεσθαι περιττῶς, τῶν δὲ διὰ τὴν ἡδονήν, ὅτι ὀλίγης ἡδονῆς χρεία τῷ βίῳ καὶ ἀνέσεως, καθάπερ ἐν εὐωχίᾳ τοῦ ἡδύσματος, | τῶν δὲ σπουδαίων καὶ διὰ τὴν ἀρετὴν καὶ τὸ 368 ἀγαθὸν φιλούντων πλειόνων μὲν τῷ εὐδαίμονι δεήσει. πλὴν ἔσται τι καὶ αὐτῶν μέτρον. καθάπερ γὰρ πόλεώς ἐστι μέτρον καὶ οὔτε ἐκ δέκα ἀνθρώπων γένοιτ' ἂν πόλις οὔτε ἐκ δέκα μυριάδων (οὐ γὰρ ἂν ἔτι πόλις ἡ τοιαύτη ἂν εἴη συνοικία), οὕτω δεῖ καὶ τοὺς φίλους ὡρίσθαι καὶ μέτρον αὐτοῖς εἶναι. καὶ ὥσπερ ἐπὶ τῆς πόλεως οὐ τὸ ποσὸν ὥρισται καὶ ἀριθμὸς ῥητός ἐστι τοῦ πλήθους τοῦ πόλει προσήκοντος, ἀλλὰ τοῦ ὑπερβάλλοντος ἀριθμοῦ τὸ τῆς πόλεως μέτρον καὶ τοῦ ἐλλείποντος ὡρισμένων, τὰ μεταξὺ ποσὰ μέτρον εἶναί φαμεν πόλεως, οἷον οὔτε οἱ χίλιοι πόλις ἂν εἴη οὔτε αἱ δέκα μυριάδες, ἀλλὰ τὰ μεταξύ, οὕτω καὶ ἐπὶ τῶν φίλων οὐκ ἔνι λαβεῖν ἀριθμὸν ὡρισμένον ἀλλ' εἶεν ἂν τοσοῦτοι ὅσοις δύναταί τις συζῆν. τοῦτο γὰρ ἐδόκει φιλικώτατον εἶναι. ὅτι γὰρ οὐχ οἷόν τε πλείστοις συζῆν καὶ διανέμειν ἑαυτόν, φανερόν. δεῖ δὲ καὶ συνημερεύειν τοῖς φίλοις· πλείστοις δὲ οὖσιν ἐργῶδες μάλιστα· καὶ μὴν καὶ συναλγεῖν δεῖ καὶ συγχαίρειν οἰκείως· καὶ τοῦτο δὲ χαλεπόν, εἰ πολλοῖς τις χρήσαιτο φίλοις. πολλῶν γὰρ ὄντων οἱ μὲν χαίρουσιν, οἱ δὲ ἄχθονται κατὰ ταὐτόν· καὶ δέον τὸν φίλον ἐπιμερίζειν ἑαυτὸν ἑκατέροις· τὸ δὲ ἐπίπονον. ἴσως οὖν εὖ ἔχει μὴ ζητεῖν σφόδρα πολυφιλώτατον εἶναι ἀλλὰ τοσούτους παραδέχεσθαι φίλους, ὅσοις δυνάμεθα συζῆν καὶ συνημερεύειν καὶ συναλγεῖν καὶ συγχαίρειν. οὕτω δὲ χρῆσθαι πολλοῖς οὐκ ἐνδέχεται διὰ τοῦτο, οὐδὲ κατὰ τὴν ἐρωτικὴν φιλίαν πολλῶν ἐνδέχεται φίλον εἶναι. ἡ γὰρ ἐρωτικὴ φιλίας ἐστὶν ὑπερβολή, καὶ διὰ τοῦτο πρὸς ἕνα δύναται γίνεσθαι· τὸν ἴσον δὲ τρόπον καὶ ἐπὶ τῆς κατ' ἀρετὴν φι|λίας πολλοὺς 369 σφόδρα φιλεῖν καὶ τὰ φιλικὰ πάντα σώζειν περὶ αὐτοὺς οὐκ ἐνδέχεται. ὀλίγοις δὲ οὕτω χρήσασθαι δυνατόν. τούτοις δὲ τοῖς λόγοις καὶ τὰ πράγματα μαρτυρεῖ· οὐ γὰρ γίνονται φίλοι πολλοὶ κατὰ τὴν ἑταιρικὴν φιλίαν. ἀλλ' αἱ μάλιστα ὑμνούμεναι ἑταιρικαὶ φιλίαι ἐν δυσὶ γενέσθαι λέγονται. οἱ

13 καὶ prius om. D   20. 21 ὡρισμένου h   23 τοσοῦτοι D: τοσοῦτον h
33 φίλον h: φίλων D   35 δὲ D: δὴ h

δὲ πολύφιλοι καὶ πᾶσιν οἰκείως ἐντυγχάνοντες καὶ ἃ δεῖ ἑκάστῳ τῶν πολιτῶν καὶ ἔργοις καὶ λόγοις ἀποδιδόναι δοκοῦντες οὐδενὶ φίλοι εἰσὶ τὴν ἀκριβῆ καὶ ἀληθῆ φιλίαν, ἀλλὰ φίλοι ἂν λέγοιντο τὴν λεγομένην πολιτικὴν φιλίαν. τούτων δὲ οἱ μὲν ἄρεσκοί εἰσι, πάντα τοῖς συνοῦσι χαριζόμενοι, περὶ ὧν ἐν τοῖς ἔμπροσθεν εἴρηται, οἱ δὲ ἐπιεικεῖς εἰσι καὶ πρὸς ἀλήθειαν σύνεισι καὶ τὸ ἀγαθόν, οἳ καὶ φίλοι καλοῦνται διὰ τὴν πρὸς ⟨τὴν⟩ φιλίαν ὁμοιότητα καί εἰσι μεταξὺ τῶν τε ἀρέσκων καὶ τῶν δυσκόλων ἐπαινετοί, ἀμφοτέρων ψεκτῶν, καθὼς ἐν τῷ ὀγδόῳ κεφαλαίῳ τοῦ τετάρτου βιβλίου διείληπται. τοιούτους μὲν οὖν φίλους πολλοὺς ἄν τις εὕροι, τοὺς δὲ κυρίως φίλους ἀγαπητὸν καὶ ὀλίγους εὑρεῖν.

⟨Πότερον ἐν εὐτυχίαις φίλων μᾶλλον δεῖ ἢ ἐν ἀτυχίαις καὶ ὅτι τὸ συζῆν ἰδιαίτατον ἔργον ἐν φιλίαις σπουδαίων τε καὶ φαύλων. κεφ. ιβʹ.⟩

Ἐπεὶ δὲ δεῖ φίλων τοῖς τε εὐδαίμοσι καὶ τοῖς δυστυχέσι, ζητητέον ποτέροις μᾶλλον δεήσει τῶν φίλων. οἵ τε γὰρ ἀτυχοῦντες δέονται τῆς παρὰ τῶν φίλων ἐπικουρίας, οἵ τε εὐδαίμονες οἷς συζήσουσι καὶ οὓς εὖ ποιήσουσιν· ἐθέλουσι γὰρ εὖ ποιεῖν καὶ ἀναγκαῖον αὐτοῖς ἐστιν εἰς τὴν εὐδαιμονίαν. | ἔστι δὲ τρόπον μέν τινα τῷ δυστυχεῖ χρεία φίλων μᾶλλον ἢ 370
τῷ σπουδαίῳ, κατὰ ἄλλον δὲ τρόπον τῷ εὖ πράττοντι μᾶλλον, τὸ μὲν διὰ τὸ ἀναγκαῖον, τὸ δὲ διὰ τὸ καλόν· τῷ μὲν γὰρ δυστυχεῖ ἀναγκαιότερον οἱ φίλοι ἢ τῷ εὐδαίμονι, τῷ εὐδαίμονι δὲ κάλλιον ἢ τῷ κακῶς πράττοντι· διὰ τοῦτο ἐν μὲν ταῖς ἀτυχίαις οὐ τοσοῦτον δεῖ φίλων σπουδαίων ὅσον ὠφελίμων καὶ χρησίμων, ἐν δὲ ταῖς εὐτυχίαις οὐδαμῶς χρησίμων ἀλλὰ ἀγαθῶν μόνον· τοὺς γὰρ ἐπιεικεῖς οἱ εὐδαίμονες ζητοῦσι καὶ τούτους βούλονται μᾶλλον εὐεργετεῖν καὶ μετὰ τούτων διάγειν. ἔστι γὰρ καὶ ἡ παρουσία αὐτὴ τῶν φίλων ἡδεῖα, καὶ ἐν ταῖς εὐτυχίαις. κουφίζονται γὰρ οἱ λυπούμενοι συναλγούντων αὐτοῖς τῶν φίλων. διὰ τοῦτο καὶ ἀπορήσειεν ἄν τις, ἀνθ' ὅτου κουφίζονται τῷ συναλγοῦντας τοὺς φίλους ὁρᾶν· δοκεῖ γὰρ ὥσπερ βάρος μεριζόμενον καὶ πρὸς τοὺς φίλους κουφίζεσθαι. τὸ δὲ οὐκ ἔστιν· ἀλλ' ἡ ἐπὶ τῇ παρουσίᾳ τῶν φίλων ἡδονὴ καὶ τὸ τοὺς συναλγοῦντας ὁρᾶν ἡδὺ ὂν ἐλάττω ποιεῖ τὴν λύπην· ἡδονὴ γὰρ λύπην ἐλαύνει· εἰ μὲν οὖν διὰ ταῦτα ἢ δι' ἄλλο τι κουφίζονται, ἀφείσθω ζητεῖν ἐπὶ τοῦ παρόντος· ὅτι δὲ ῥᾴους γίνονται οἱ λυπούμενοι διὰ τὴν παρουσίαν τῶν φίλων, φανερόν ἐστι. ἔοικε δὲ μὴ καθαρῶς χαίρειν αὐτοὺς τοῖς συναλγοῦσι τῶν φίλων μηδὲ ἄμικτον αὐτοῖς εἶναι τὴν τοιαύτην ἡδονήν, ἀλλὰ καὶ ἀλγεῖν ἐν τῷ μέρει. αὐτὸ μὲν γὰρ τὸ ὁρᾶν τοὺς φίλους ἡδύ, μάλιστα τοῖς ἀτυχοῦσι, καί τις αὐτῷ γίνεται ἐπικουρία πρὸς τὸ μὴ λυπεῖσθαι. παραμυθητικὸν γὰρ ὁ φίλος καὶ ὁρώμενος καὶ λέγων, ἐὰν ᾖ ἐπι|δέξιος· γινώσκει γὰρ τὸν τοῦ φίλου 371

2 λόγοις καὶ ἔργοις h 6 τὴν alterum h: om. D 26 καὶ ἐν ταῖς εὐτυχίαις Dh: cf. varias Arist. lectiones

τρόπον, καὶ οἷς χαίρει καὶ οἷς λυπεῖται. καὶ δύναται παραμυθήσασθαι ῥαδίως. κατὰ τοῦτον μὲν οὖν τὸν τρόπον ἡδεῖά ἐστιν ἡ παρουσία τῶν φίλων. τὸ δὲ λυπούμενον αἰσθάνεσθαι τὸν φίλον ἐπὶ ταῖς ἑαυτοῦ ἀτυχίαις λυπηρὰν ποιεῖ τηνικαῦτα τὴν συνουσίαν τῶν φίλων· πᾶς γὰρ λυπηρὸν ἡγεῖται τὸ λύπης αἴτιος γενέσθαι τοῖς φίλοις. διὰ τοῦτο οἱ μὲν ἀνδρώδεις τὴν φύσιν εὐλαβοῦνται συλλυπεῖσθαι τοὺς φίλους αὐτοῖς, κἂν μὴ μεγάλη μὲν ἡ παραμυθία ᾖ καὶ ἐπὶ μεγίσταις συμφοραῖς, μικρὰ δὲ ἡ λύπη, ἣν συναλγοῦσιν αὐτοῖς, οὐκ ἀνέχονται κοινωνεῖν τοῖς φίλοις τῶν κακῶν, ὅλως τε τοὺς συνθρηνοῦντας οὐ προσίενται διὰ τὸ μηδὲ αὐτοὶ θρηνητικοὶ εἶναι ἀλλὰ γενναίως ἔχειν πρὸς τὰ λυπηρά. γύναια δὲ καὶ οἱ γυναικώδεις τῶν ἀνδρῶν τοῖς στενάζουσι χαίρουσι καὶ φιλοῦσιν ὡς φίλους καὶ συναλγοῦντας· δεῖ δὲ οὐ τούτους ἀλλὰ τοὺς ἀνδρικοὺς μιμεῖσθαι· ἐν ἅπασι γὰρ προσήκει τὰ βελτίω διώκειν. οὕτω μὲν οὖν τοῖς δυστυχοῦσιν οἱ φίλοι βοηθοῦσιν. ἡ δὲ ἐν ταῖς εὐτυχίαις παρουσία τῶν φίλων διπλῶς ἡδεῖά ἐστιν, ὅτι τε ἡδίστη ἐστὶν ἡ μετὰ τῶν φίλων διατριβή, καθόσον εἰσὶ φίλοι, καὶ ὅτι βλέπουσι χαίροντας τοῖς αὐτῶν ἀγαθοῖς. ὃ τῆς μεγίστης εὐνοίας τεκμήριόν ἐστιν. ἐπεὶ τοίνυν κοινωνοῦντες μὲν τοῖς φίλοις τῶν συμφορῶν λυποῦμεν, μεταδιδόντες δὲ τῆς εὐδαιμονίας εὐφραίνομεν, δόξειεν ἂν δέον εἶναι προθύμως μὲν καλεῖν αὐτοὺς εἰς τὰς εὐτυχίας, εἰς δὲ τὰς ἀτυχίας ὀκνοῦντα. τὸ μὲν γὰρ εὐεργετεῖν καλόν, μεταδιδόναι δὲ τῶν κακῶν ὡς ἥκιστα δεῖ. διὰ τοῦτο καὶ ὁ τραγῳδός φησιν "ἅλις ἐγὼ δυστυχῶν·" | οὐδὲ γὰρ δεῖ τοὺς φίλους τῶν 372
οἰκείων ἀναπιμπλάναι κακῶν· τηνικαῦτα δὲ παρακλητέον τοὺς φίλους ἐπὶ τὸ συναλγεῖν, ὅταν μέλλωσιν ὀλίγα ὀχληθέντες μεγάλα τοὺς λυπουμένους ὠφελήσειν. αὐτοὺς μέντοι τοὺς φίλους τὸ ἀνάπαλιν ἁρμόζει ποιεῖν πρὸς τοὺς ἐν συμφοραῖς, ἔξω συμφορῶν ὄντας. ἰέναι γὰρ δεῖ πρὸς μὲν τοὺς ἀτυχοῦντας ἀκλήτους καὶ προθύμους· φίλου γὰρ τὸ εὖ ποιεῖν, καὶ μάλιστα τοὺς ἐν χρείᾳ καὶ μήπω ἀξιώσαντας (τοῦτο γὰρ ἀμφοτέροις, καὶ τῷ διδόντι καὶ τῷ λαμβάνοντι, καὶ κάλλιον καὶ ἥδιον), εἰς δὲ τὰς εὐτυχίας ἰέναι μέν, ἀλλὰ πρὸς μὲν τὸ συνεργεῖν καὶ βοηθεῖν τοῖς φίλοις τὴν εὐτυχίαν προθύμως ἔχειν, πρὸς δὲ τὸ κοινωνεῖν τῆς εὐπαθείας αὐτοῖς σχολαιότερον· οὐ γὰρ καλὸν τὸ προθυμεῖσθαι ὠφελεῖσθαι· προθυμουμένους δὲ ⟨καὶ⟩ ἐπειγομένους τοὺς φίλους ὠφελεῖν ἴσως οὐ δεῖ διωθεῖσθαι καὶ ἀποσείεσθαι τὴν εὐεργεσίαν, μὴ καὶ δόξωσι πρὸς τοὺς φίλους ἀηδῶς ἔχειν. τοῦτο γὰρ ἐνίοτε συμβαίνει. φανερὸν δή ἐστιν ἐκ τῶν εἰρημένων, ὅτι τοῖς φίλοις αἱρετώτατόν ἐστι τὸ ζῆν μετ' ἀλλήλων. καὶ καθάπερ τοῖς ἐρῶσιν ἀγαπητότατόν ἐστι τὸ ἀλλήλους ὁρᾶν καὶ μᾶλλον αἱροῦνται κατὰ ταύτην τὴν αἴσθησιν συνεῖναι ἀλλήλοις ἢ κατὰ τὰς ἄλλας, ὡς διὰ ταύτης τῆς αἰσθήσεως καὶ γινομένου τοῦ ἔρωτος ἐξ ἀρχῆς καὶ συνισταμένου, οὕτω καὶ τοῖς φίλοις τῶν ἄλλων φιλικῶν μάλιστα πάντων αἱρετώτατόν ἐστι τὸ συζῆν. κοινωνία γάρ ἐστι τὸ συζῆν καὶ κοινωνιῶν ἡ τελειοτάτη, ἡ δὲ φιλία ἐν τῇ κοινωνίᾳ ἔχει τὸ εἶναι· κοινωνία γὰρ ἡ φιλία, | ἄλλως 373

22 δυστυχῶν h: δυστυχῶ D 33 καὶ h: om. D 42 κοινωνίᾳ ἔχει τὸ εἶναι bis D

τε καὶ ὅτι τὸ αἰσθάνεσθαί τινα ἑαυτοῦ αἱρετώτατόν ἐστιν, ὡς ἐν τοῖς ἔμπροσθεν εἴρηται· πρὸς δὲ τὸν φίλον οὕτως ἔχει ὡς πρὸς ἑαυτόν, ὥστε καὶ τὸ αἰσθάνεσθαι τοῦ φίλου αἱρετὸν ἂν εἴη μάλιστα πάντων. αἰσθάνοιτο δ' ἄν τις ἐνεργείᾳ τοῦ φίλου συνὼν καὶ συζῶν καὶ συνδιάγων αὐτῷ· ὥστε εἰκότως ἐφίενται συζῆν ἀλλήλοις οἱ φίλοι. διὰ τοῦτο καὶ ἕκαστος ὃ νομίζει εἶναι τὴν ἀνθρωπίνην ἐνέργειαν καὶ οὗ ἕνεκα αἱρεῖται τὸ ζῆν καὶ ὃν ἀνθρώπινον ἡγεῖται βίον, ἐν τούτῳ μετὰ τῶν φίλων βούλεται ζῆν καὶ διάγειν. καὶ οἱ μὲν συμπίνειν οἴονται δεῖν φίλους, οἱ δὲ συγκυβεύειν, οἱ δὲ συνθηρεύειν καὶ συγγυμνάζεσθαι, ὅτι ταῦτα αὐτοῖς τίμια εἶναι δοκεῖ, καὶ δεῖν τούτων κοινωνοὺς ἔχειν τοὺς φίλους· ἕτεροι δὲ συμφιλοσοφοῦσι καὶ ἄλλοι ἄλλων ἐνεργειῶν καὶ βίων κοινωνοῦσι τοῖς φίλοις, καὶ ὅλως ἕκαστοι ἐν τούτῳ συνημερεύειν βούλονται τοῖς φίλοις, ὅ τι περ μάλιστα ἀγαπῶσι τῶν ἐν βίῳ. συζῆν γὰρ βουλόμενοι μετὰ τῶν φίλων ταῦτα ποιοῦσι καὶ τούτων κοινωνοῦσιν ἃ καὶ ἀμφοτέροις ἡδέα ἐστίν. οὕτω γὰρ συζῆν δυνατόν. γίνεται οὖν ἡ μὲν τῶν φαύλων φιλία μοχθηρὰ καὶ κοινωνοῦσιν ἀλλήλοις τῶν φαύλων καὶ ἡ φιλία αὐτοῖς οὐχ ἕστηκεν· ἀβέβαιοι γάρ εἰσι· καὶ χείρους δὲ γίνονται ἑαυτῶν, ὁμοιούμενοι ἀλλήλοις καὶ παρακαλοῦντες ἀλλήλους ἐπὶ τὰ φαῦλα. ἡ δὲ τῶν ἐπιεικῶν φιλία ἐπιεικής ἐστι καὶ βεβαία, συναυξανομένη ἀεὶ ταῖς ὁμιλίαις· δοκοῦσι δὲ καὶ βελτίους γίνεσθαι ταῖς ἀγαθαῖς ἐνεργείαις, διορθοῦντες ἀλλήλους· ἀπομάττονται γὰρ παρ' ἀλλήλων τὰ παρ' ἑκατέρῳ ἀγαθά, δι' ἃ φιλοῦσιν ἀλλήλους. διὰ τοῦτο καὶ ποιητής τίς φησιν

ἐσθλῶν μὲν ἀπ' ἐσθλά.

καὶ ⟨γὰρ⟩ ἀπὸ μὲν τῶν ἀγαθῶν | ἀγαθά, ἀπὸ δὲ τῶν φαύλων φαῦλα 374
καρπούμεθα. περὶ μὲν οὖν φιλίας ἐπὶ τοσοῦτον εἰρήσθω. ἑπόμενον δ' ἂν εἴη διελθεῖν περὶ ἡδονῆς.

---

1 ἐν τοῖς ἔμπροσθεν] p. 204,5 23 Theogn. v. 35 24 γὰρ om. D: add. h

⟨ΤΟΥ ΑΥΤΟΥ ΠΑΡΑΦΡΑΣΙΣ ΕΙΣ ΤΟ Κ̄⟩

Περὶ ἡδονῆς. κεφ. α'.

Μετὰ δὲ ταῦτα περὶ ἡδονῆς ἀκόλουθόν ἐστι διελθεῖν τελεώτερον·
καὶ γὰρ συμπέφυκέ πως καὶ συνῳκειωμένη τῷ γένει ἡμῶν. διὰ τοῦτο 10
καὶ παιδαγωγοῦντες τοὺς νέους ἄγομεν ἡδονῇ καὶ λύπῃ, διὰ μὲν τῆς
λύπης ἀπάγοντες τῶν φαύλων, διὰ δὲ τῆς ἡδονῆς εἰς τὸ ἀγαθὸν προτρε-
πόμενοι· ὅθεν δῆλον, ὅτι φύσει τὴν μὲν λύπην φεύγομεν, τὴν δὲ ἡδονὴν
διώκομεν. ἐπεὶ δὲ περὶ τῶν ἀνθρωπίνων παθῶν καὶ πράξεων ὁ λόγος
ἡμῖν, καὶ περὶ τῆς ἡδονῆς διαλαβεῖν εἰκὸς ἂν εἴη καὶ πρέπον τῇ πραγμα-
τείᾳ. φαίνεται δέ, ὅτι οὐ μικρὰ συλλαμβάνεται πρὸς τὴν κτῆσιν τῆς 20
ἠθικῆς ἀρετῆς τὸ χαίρειν οἷς χαίρειν προσήκει καὶ μισεῖν ἃ δέον ἐστὶ
μισεῖν. ταῦτα γὰρ συμπαρεκτείνεται τῷ ἀνθρωπίνῳ βίῳ· καὶ τοῖς μὲν
χαίρομεν, τοῖς δὲ λυπούμεθα· καὶ μεγάλην ῥοπὴν ἔχει πρὸς τὴν ἀρετὴν
καὶ τὸν εὐδαίμονα βίον | εὖ καὶ καλῶς καὶ κατὰ τὸν ὀρθὸν γινόμενα 375
λόγον. περὶ δὲ τῶν τοιούτων μὴ λέγειν ἥκιστα ἂν δόξειεν εἰκὸς εἶναι.
ἐπεὶ μηδὲ ἁπλοῦς μηδὲ προφανὴς ὁ περὶ τῆς ἡδονῆς λόγος, ὥστε μὴ
δεῖσθαι πολλῶν καὶ σπουδαίων λόγων. ἀλλ' οὕτω πολλήν τινα τὴν ἀμφι-
σβήτησιν ἔχει, ὥστε οἱ μὲν αὐτὸ τὸ ἔσχατον ἀγαθὸν τὴν ἡδονὴν εἶναί
φασιν, οἱ δὲ οὐδ' ἀγαθὸν ἁπλῶς ἀλλ' ἐξ ἐναντίας κομιδῇ φαῦλον. καὶ
τῶν λεγόντων φαῦλον ἡδονὴν οἱ μὲν καὶ αὐτοὶ φρονοῦσιν οὕτως ἔχειν καὶ
πεπεισμένοι εἰσὶ φαῦλον αὐτὴν εἶναι, οἱ δὲ φρονοῦσι μὲν ἀγαθόν τινα 10
ἡδονὴν εἶναι, τοὺς ἄλλους δὲ ἐθέλουσι πείθειν φαῦλον ἁπλῶς ἅπασαν εἶναι,
νομίζοντες οὕτως βέλτιον εἶναι τῷ βίῳ καὶ λυσιτελέστερον τοῖς ἀνθρώποις
τὴν ἡδονὴν οἴεσθαι φαῦλον εἶναι· φύσει γὰρ πάντας ἀνθρώπους εἰς αὐτὴν
ῥέποντας δέον εἶναί φασιν εἰς τοὐναντίον ἕλκειν καὶ δι' ὧν ἔξεστι καθάπαξ
τῶν ἡδονῶν ἀπάγειν, ἵνα δυνηθῶσιν εἰς τὸ μέσον ἐλθεῖν καὶ ὡς δεῖ
πρὸς τὴν ἡδονὴν ἔχειν. ταῦτα δὲ οὐ καλῶς λέγουσιν· οὐ γὰρ οὕτω
δυνήσονται τοὺς πολλοὺς τῶν φαύλων ἀπαγαγεῖν ἡδονῶν. τὰ γὰρ ἀνθρώ-

1 inscriptionem finxi: ἀριστοτέλους ἠθικῶν νικομαχείων δέκατον D: Ἀριστοτέλους ἠθικῶν βιβλίον Ζ h   21 ἀγαθόν D: ἀγαθήν h

πινα πάθη καὶ ἃ δρῶσι πιστότερά εἰσι τῶν περὶ αὐτὰ λόγων. ὅταν τοίνυν οἷς μὲν λέγουσι τὴν ἡδονὴν ψέγωσι, δι' ὧν δὲ ποιοῦσι καὶ πάσχουσιν ἐπαινῶσιν, ἑαυτοῖς ἀντιλέγοντες, ὑπὸ τῶν ἀκουόντων καὶ ὁρώντων καταγελῶνται· καὶ τοῖς λόγοις οὐδὲν μᾶλλον ὤνησαν τοὺς πολλούς, ὑπὸ τῶν πραγμάτων ἐλεγχομένοις. ὁ γὰρ ψέγων τὴν ἡδονὴν ὀφθείς ποτε ἐφιέμενος αὐτῆς ἀποκλίνειν δοκεῖ πρὸς αὐτὴν καὶ ἀγαθὸν ἡγεῖσθαι· καὶ οὕτω δόξαν ἐντίθησι τοῖς ὁρῶσιν οὐ τινὰ ἡδονὴν ἀγαθὸν εἶναι ἀλλ' ἁπλῶς ἅπασαν ἐπαινεῖσθαι. τὸ γὰρ | διορίζειν καὶ διαιρεῖν καὶ τὸ μὲν 376 ἀγαθὸν εἶναι κρίνειν, ἐνδέχεσθαι δὲ ἄλλην φαύλην εἶναι, οὐκ ἔστι τῶν πολλῶν· ἀλλ' ἅμα τε εἶδον τὸν νοῦν ἔχοντα ἡδονῇ τινι χαίροντα καὶ πᾶσαν ἡδονὴν ἀγαθὸν καὶ αἱρετὸν ᾠήθησαν εἶναι, καὶ οὕτως οὐ μόνον ἃ ἐβούλοντο οὐκ ἔπεισαν ἀλλὰ καὶ τὴν ἀλήθειαν προσαπώλεσαν. ὅθεν φανερόν, ὅτι οἱ ἀληθεῖς λόγοι οὐ μόνον πρὸς τὴν γνῶσιν χρησιμώτατοί εἰσι, πλάνης καθαίροντες ἁπάσης, ἀλλὰ καὶ τῷ βίῳ λυσιτελοῦσι· πιστεύονται γὰρ τοῖς ἔργοις ἀκολουθοῦντες.

⟨Η τοῦ Εὐδόξου περὶ ἡδονῆς ὑπόληψις καὶ Πλάτωνος καὶ ἑτέρων· καὶ ἔτι ὅτι ἀγαθὸν ἡ ἡδονὴ καὶ οὐ πᾶσα αἱρετή· καὶ λύσις τῶν ἐναντίων λόγων. κεφ. β'.⟩

Περὶ μὲν τούτων ἅλις· λέγωμεν δὲ περὶ ἡδονῆς. καὶ πρῶτον ἐκθησόμεθα τὰς τῶν παλαιῶν περὶ αὐτῆς δόξας. ὁ μὲν οὖν Εὔδοξος αὐτὸ τὸ ἔσχατον ἀγαθὸν ᾤετο τὴν ἡδονὴν εἶναι, διότι πάντα ἑώρα τῆς ἡδονῆς ἐφιέμενα καὶ λογικὰ καὶ ἄλογα· οὗ δὲ πάντα ἐφίεται, τοῦτό ἐστι τὸ πάντων ὑπερέχον τῶν ἀγαθῶν· ᾤετο γὰρ ἀγαθὸν μὲν ἑκάστῳ εἶναι ἰδίως ὃ ἕκαστον ζητεῖ. καθάπερ καὶ τροφὴν ἕκαστον διώκει τὴν αὐτῷ ἀγαθὴν καὶ λυσιτελῆ· πᾶσι δὲ κοινῶς ἀγαθὸν οὗ πάντα κοινῶς ἐφίενται καὶ πορίζειν βούλονται ἑαυτοῖς· ὃ δὲ πᾶσίν ἐστιν ἁπλῶς ἀγαθὸν καὶ οὗ πάντα ἐφίεται, τοῦτο εἶναι τὸ ἔσχατον ἀγαθόν. ταῦτα μὲν οὖν Εὔδοξος ἀπεφαίνετο περὶ τῆς ἡδονῆς. ἐ π ι σ τ ε ύ ο ν τ ο δὲ οἱ λόγοι διὰ τὴν ἐν τῷ ἤθει τοῦ λέγοντος ἀρετὴν μᾶλλον ἢ δι' ἑαυτούς· σώ|φρων γὰρ ὢν διαφερόν- 377 τως, οὐχ ὡς φίλος τῆς ἡδονῆς ἐδόκει ταῦτα λέγειν ἀλλὰ τῷ σφόδρα τῆς ἀληθείας φροντίζειν. ἔτι δὲ καὶ ἐκ τοῦ ἐναντίου τῇ ἡδονῇ τῆς λύπης φανερὸν ᾤετο εἶναι· τὴν γὰρ λύπην πάντα φεύγοντα, τὴν ἡδονὴν ἀνάγκην εἶναι πάντα διώκειν· ὃ δὲ πάντα διώκει, τοῦτο εἶναι τὸ ἀγαθόν. ἔτι καὶ οὕτως ἐπεχείρει λέγων· μάλιστα αἱρετὸν εἶναι ὃ δι' ἑαυτὸ αἱρετόν ἐστι καὶ ὃ μὴ δι' ἕτερον μηδ' ἑτέρου χάριν αἱρούμεθα· τοιοῦτον δὲ φανερῶς τὴν ἡδονὴν εἶναι· καὶ γὰρ οὐδεὶς ἐρωτᾷ τίνος ἕνεκα τὴν ἡδονὴν βουλόμεθα ἀλλὰ περὶ μὲν τῶν ἄλλων ἐρωτώμεθα, οἷον, φέρε εἰπεῖν, τίνος ἕνεκα τὰ χρήματα ἢ ἡ τιμή, περὶ δὲ τῆς ἡδονῆς οὐκέτι· οὐδεὶς γὰρ δώσει

---

1 ἃ δρῶσι h: τὰ τοῖς ὁρῶσι D 14 πλάνης h: πάσης D 24 ἕκαστον D: ἕκαστος h
33 διώκει D: διώκειν h

τέλος τῆς ἡδονῆς. ἀνθ' ὅτου βούλεται ἥδεσθαι ἀλλὰ αὐτὴν αἱρεῖται καθ' ἑαυτήν, ὡς καθ' ἑαυτὴν οὖσαν· ἐπεὶ δὲ τὸ καθ' ἑαυτὸ αἱρετὸν τὸ τέλος ἐστὶ τὸ ἔσχατον καὶ τὸ ἀγαθὸν αὐτό, διὰ τοῦτο συνῆγε τὴν ἡδονὴν τὸ ἔσχατον ἀγαθὸν εἶναι. ἔτι δὲ καὶ ἐκεῖθεν δῆλον εἶναι ᾤετο τὸ προκείμενον· προστιθεμένη γὰρ ἡ ἡδονὴ τῶν ἀγαθῶν ὁτῳοῦν, αἱρετώτερον ποιεῖ καὶ ἐφετὸν μᾶλλον· ἡ γὰρ σωφροσύνη τὴν ἡδονὴν προσλαβοῦσα ἢ ἡ δικαιοσύνη ἡδίων ἔσται καὶ αἱρετωτέρα ἑαυτῆς· ὃ δὲ προστιθέμενον παντὶ ἀγαθῷ βέλτιον δύναται ποιεῖν, τοῦτο ἐνόμιζεν εἶναι τὸ ἔσχατον ἀγαθόν. ἔχει δὲ οὐχ οὕτως. ὃ γὰρ προστιθέμενον ἀγαθῷ βέλτιον δύναται ποιεῖν, φαίνεται ὅτι ἀγαθόν ἐστιν· οὐκ ἀνάγκη δὲ αὐτὸ εἶναι τὸ ἔσχατον ἀγαθὸν ἢ ἑτέρου ὁτουοῦν βέλτιον· πᾶν γὰρ ἀγαθὸν ἑτέρῳ προστεθὲν ἀγαθῷ αἱρετώτερον ποιεῖ· μεῖζον γὰρ τὸ ὅλον τοῦ μέρους ἐπὶ παντός. καὶ ἃ μὲν ἐδόκει τῷ Εὐδόξῳ περὶ ἡδονῆς, ταῦτα. | Πλάτων δὲ οὐκ εἶναι ἔφασκεν 378 αὐτὴν τὸ ἔσχατον ἀγαθὸν ἀπὸ τῶν αὐτῶν ἐπιχειρῶν λόγων ὅθεν Εὔδοξος ἐπειρᾶτο τὸ ἔσχατον ἀγαθὸν τὴν ἡδονὴν ἀποφαίνειν. ἐπεὶ γὰρ οὐκ ἔστι, φησίν, ἀγαθὸν ἔσχατον, οὗ ἐνδέχεται μεῖζον γενέσθαι· αὐτὸ γὰρ εἰκὸς εἶναι τὸ μέγιστον ἀγαθόν· ᾧ ἄρα ἀγαθῷ ἄλλο ἀγαθὸν προστεθὲν μεῖζον ἐποίησε καὶ αἱρετώτερον, τοῦτο οὐκ ἔστι τὸ ἔσχατον ἀγαθόν· οὐ γάρ ἐστι τὸ μέγιστον ἀγαθόν, οὗ μεῖζον ἄλλο δύναται γενέσθαι· ἡ δὲ ἡδονὴ τοιαύτη· ὁ γὰρ ἡδὺς βίος φρόνησιν ἢ σωφροσύνην προσλαβὼν ἡδίων γίνεται καὶ αἱρετώτερος· ἔστιν ἄρα τι βέλτιον τῆς ἡδονῆς· οὐκ ἄρα ἡ ἡδονή ἐστι τὸ ἔσχατον ἀγαθόν, ἀλλὰ ἀγαθόν τί ἐστι τοιοῦτον, οἷα ἀγαθά εἰσιν αἱ ἀρεταὶ καὶ αἱ ἐπιστῆμαι καὶ τἆλλα, ὧν καὶ ἡμεῖς κοινωνοῦμεν. τοῦτο γὰρ καὶ ζητοῦμεν ἐπὶ τοῦ παρόντος δεῖξαι, τούτων τῶν ἀγαθῶν ἕν τι εἶναι τὴν ἡδονήν. ἕτεροι δὲ ἐνιστάμενοι πρὸς τοὺς τοῦ Εὐδόξου λόγους ἔφασκον μὴ εἶναι ἀγαθόν, οὗ πάντα ἐφίεται· λέγουσι δὲ οὐδέν. ἐκεῖνο γάρ φαμεν ἀληθὲς εἶναι, ὃ πᾶσι δοκεῖ ἀληθές· ὁ δὲ ταύτην ἀναιρῶν τὴν κοινὴν δόξαν καὶ τὴν ἐκεῖθεν ἀποσειόμενος πίστιν πῶς ἂν δύναιτο πιστότερα λέγειν; ὅτι δὲ ἀγαθόν ἐστιν οὗ πάντα ἐφίεται, πᾶσι τοῖς ἐν αἰσθήσει δοκεῖ· δι' ὧν γὰρ εἰς αὐτὸ φέρονται διώκουσιν· ὡς ἄρα ἀγαθὸν νομίζουσιν εἶναι. εἰ μὲν γὰρ τὰ ἀνόητα μόνον ὠρέγοντο αὐτοῦ, αὐτοῖς ἂν ἦν ἀγαθὸν μόνον. καὶ ἡ ψῆφος οὐκ ἂν ἦν βεβαία τῶν ἀνοήτων, οὐδ' ἂν ἐδόκει ἀγαθὸν ἀληθῶς εἶναι· ὅταν δὲ καὶ τὰ ἀνόητα καὶ τὰ φρόνιμα κοινῇ πάντα νομίζωσιν ἀγαθὸν εἶναι, δι' ὧν ζητοῦσιν αὐτό, τί ἔτι κωλύει ἀγαθὸν ἀληθῶς εἶναι; καὶ γὰρ καὶ | ἐν τοῖς ἀνοήτοις ἔστι τι φυσικὸν ἀγαθὸν τὴν φαυλότητα 379 αὐτῶν ὑπερβαῖνον, δι' ὃ τῷ ἀγαθῷ οἰκειούμενα ὡς οἰκείου ἤδη ὀρέγονται. καὶ πρὸς μὲν τὸν πρῶτον τοῦ Εὐδόξου λόγον ταύτην κομίζουσι τὴν ἔνστασιν, πρὸς δὲ τὸν δεύτερον, ὃς ἐκ τοῦ ἐναντίου ἐστὶν εἰλημμένος, ἐκείνην οὐκ ἀνάγκη φασίν, εἰ ἡ λύπη κακόν ἐστι, τὴν ἡδονὴν ἀγαθὸν εἶναι· οὐ γὰρ εἴ τι κακόν, τὸ ἐναντίον αὐτῷ ἀγαθόν· ἔστι γὰρ ἐναντίον κακὸν κακῷ· ἡ γὰρ ἠλιθιότης τῇ ἀκολασίᾳ ἐναντίον ἐστίν, ἀμφοτέρων οὐσῶν κα-

30 διώκουσιν h: δοκοῦσιν D   32 οὐδ' ἂν h: οὐκ ἂν D

κῶν, καὶ ἀμφότερα τῇ σωφροσύνῃ. ταῦτα μὲν οὖν καλῶς λέγουσιν. οὐ μὴν ἐπί γε τῆς ἡδονῆς ἀληθεύουσιν. εἰ γὰρ ἄμφω κακὰ ἦν, καὶ ἡ ἡδονὴ καὶ ἡ λύπη, ἦν ἂν καὶ ἄμφω φευκτά· καθάπερ εἰ καὶ ἄμφω ἦσαν ἀγαθά, ἦν ἂν ἀμφότερα αἱρετά, ἢ εἰ μήτε ἀγαθὰ μήτε φευκτά, οὐδὲ αἱρετὰ ὁμοίως ἀμφότερα· νῦν δὲ τὴν μὲν λύπην φεύγομεν ὡς κακόν, τὴν δὲ ἡδονὴν αἱρούμεθα ὡς ἀγαθόν· ὅθεν φανερόν, ὅτι ὡς κακὸν ἀγαθῷ ἡ λύπη τῇ ἡδονῇ ἀντίκειται. ἕτεροι δὲ λέγουσι μὴ εἶναι τὴν ἡδονὴν ἀγαθόν, ὅτι οὐκ ἔστι ποιότης, οὐδὲν λέγοντες ἀναγκαῖον· οὐδὲ γὰρ αἱ ἐνέργειαι τῶν ἀρετῶν ποιότητές εἰσιν. οὐδὲ εὐδαιμονία ποιότης ἐστίν· ἐνέργεια γάρ ἐστιν· ἀλλ' ὅμως οὐδὲν κωλύει ἀγαθὰ ταῦτα εἶναι. ἔτι δὲ καὶ ὅτι οὐκ ἔστιν ὡρισμένον τι ἡ ἡδονή, τὸ δὲ ἀγαθὸν ὡρισμένον, διὰ τοῦτο μὴ εἶναι τὴν ἡδονὴν ἀγαθόν· ἀόριστον δὲ ἔλεγον εἶναι τὴν ἡδονήν, ὅτι οὐκ ἔστιν ἡ αὐτὴ ἀλλ' ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον. εἰ μὲν οὖν ἐν αὐτῇ τῇ ἡδονῇ τὸ μᾶλλον καὶ τὸ ἧττον ἐθεωρεῖτο, ἦν ἂν ἀληθὴς ὁ λόγος αὐτοῖς· νῦν δὲ ἡ ἐπίτασις καὶ ἡ ἄνεσις ἐν τῷ ἥδεσθαι γίνεται, | ὅτι οἱ ἡδόμενοι μᾶλλον καὶ ἧττον 380 ἥδονται· τοῦτο δὲ καὶ ἐν ταῖς ἀρεταῖς συμβαῖνον φαίνεται· δίκαιοι γάρ εἰσι μᾶλλον καὶ ἧττον καὶ ἀνδρεῖοι, καὶ δικαιοπραγεῖν καὶ σωφρονεῖν μᾶλλον καὶ ἧττον ἔστιν, ἀλλ' οὐ διὰ τοῦτο ἀόριστοί εἰσιν αἱ ἀρεταί· τὸν αὐτὸν δὴ τρόπον καὶ ἡ ἡδονὴ αὐτὴ μὲν καθ' ἑαυτὴν οὐκ ἔστιν ἀόριστος, ἐν δὲ τοῖς ἡδομένοις τὴν ἐπίτασιν καὶ τὴν ἄνεσιν ἐπιδέχεται, ὅτι οὐκ ἔστιν ἀμιγὴς λύπης ἐν πᾶσιν, οὐδὲ ὁμοίως· καθάπερ καὶ ἐπὶ τῆς ὑγιείας συμβαίνει· καὶ γὰρ αὐτὴ ὡρισμένη οὖσα ἐν τοῖς ὑγιαίνουσιν ἐπιτείνεται καὶ ἀνίεται· οὐ γὰρ ἡ αὐτὴ συμμετρία ἐν πᾶσίν ἐστιν, οὐδὲ ἐν τῷ αὐτῷ μία τις ἀεί, ἀλλὰ μεταβάλλει ποτὲ μὲν ἐπὶ τὸ μεῖζον, ποτὲ δὲ ἐπὶ τὸ ἔλαττον, καὶ νῦν μὲν καθαρῶς ὑγιαίνει τινὶ τὸ σῶμα, νῦν δὲ ἔνεστί τι καὶ νόσου. τοιοῦτον δὴ καὶ περὶ τὴν ἡδονὴν ἐνδέχεται εἶναι. ἔτι δὲ καὶ ἐκεῖθεν συνῆγον τὴν ἡδονὴν μὴ εἶναι ἀγαθόν· ἡ ἡδονὴ κίνησίς τις καὶ γένεσίς ἐστι· κίνησις δὲ καὶ γένεσις ἀτελῆ· τὸ δὲ ἀτελὲς οὐκ ἔστιν ἀγαθόν· τὸ γὰρ ἀγαθὸν τέλειον· ἡ ἡδονὴ ἄρα οὐκ ἔστιν ἀγαθόν. ἔστι δὲ αὐτοῖς ἡ ἐλάττων πρότασις ψευδής· οὔτε γὰρ κίνησις οὔτε γένεσίς ἐστιν ἡ ἡδονή. ὅτι μὲν οὖν οὐκ ἔστι κίνησις, δῆλον ἐκεῖθεν. πάσῃ μὲν γὰρ κινήσει δοκεῖ οἰκεῖον εἶναι τάχος καὶ βραδυτής· καὶ εἰ μὴ αὐτή τις πρὸς ἑαυτὴν βραδεῖα ἢ ταχεῖα φαίνεται τῷ τάχιον ἑαυτῶν καὶ βράδιον κινεῖσθαι τὰ κινούμενα, οἷά ἐστι τὰ ἀνωμάλως κινούμενα, ἀλλὰ πρὸς ἄλλο γοῦν θεωρούμενα ταχέως ἢ βραδέως κινεῖσθαι λέγονται· καθάπερ ἡ τοῦ οὐρανοῦ κίνησις ὁμαλὴ μέν ἐστι καθ' ἑαυτήν, πρὸς δὲ τὴν ⟨τῶν⟩ ἀστέρων θεωρουμένη κίνησιν, ταχεῖα λέγεται. πάσῃ μὲν οὖν κινήσει τὸ τάχος καὶ ἡ 381 βραδυτὴς οἰκεῖόν ἐστι. τῇ δὲ ἡδονῇ οὐ προσήκει· ἡ ἡδονὴ ἄρα οὐκ ἔστι κίνησις. ὅτι δὲ οὐκ ἔστιν ἐν τῇ ἡδονῇ ταῦτα, δῆλον. ἡσθῆναι μὲν γὰρ λέγεταί τις ταχέως ὥσπερ ὀργισθῆναι διὰ τὸ ἐν ὀλίγῳ χρόνῳ πρὸς τὸ

6 ἀγαθῷ h: ἀγαθὸν D   τῇ om. h   14 τὸ om. h   15 οἱ om. h   36 τῶν h: om. D

ἥδεσθαι ἀπὸ τοῦ μὴ ἥδεσθαι κινηθῆναι, ἥδεσθαι δὲ ταχέως ἢ βραδέως οὐκέτι, οὔτε πρὸς ἑαυτόν, καθάπερ τὰ ἀνωμάλως κινούμενα, οὔτε πρὸς ἄλλο, καθάπερ τὰ ὁμαλά. τὸ δὲ βαδίζειν καὶ αὔξεσθαι καὶ ἀλλοιοῦσθαι καὶ πάντα ὅσα κινήσεώς ἐστι μετὰ τῆς ταχυτῆτος θεωροῦνται καὶ τῆς βραδυτῆτος. μεταβάλλειν μὲν γὰρ λέγεταί τις εἰς τὴν ἡδονὴν ταχέως ἢ βραδέως, ⟨ἐνεργεῖν δὲ κατ᾽ αὐτὴν ταχέως ἢ βραδέως⟩ οὐκ ἔστιν. ὅρος γάρ ἐστι κινήσεως ἡ ἡδονὴ καὶ ἠρεμία τις καὶ οὐ δήπου αὐτὴ δύναται κίνησις εἶναι. ὅτι μὲν οὖν οὐκ ἔστι κίνησις ἡ ἡδονὴ δῆλον. ἔτι δὲ οὐδὲ γένεσίς ἐστιν· εἰ γὰρ ἡ ἡδονὴ γένεσις, ἡ λύπη ἂν εἴη φθορά, καὶ ἔσται ὧν ἡ ἡδονὴ γένεσις, τούτων ἡ λύπη φθορά· οὐ γὰρ τοῦ τυχόντος φθειρομένου τὸ τυχὸν γίνεται, ἀλλ᾽ ἐξ οὗ γίνεταί τι, εἰς τοῦτο καὶ διαλύεσθαι πέφυκεν. ἐπεὶ δὲ λέγουσι τὴν λύπην ἔνδειαν εἶναι τοῦ κατὰ φύσιν, εἴη ἂν ἡ ἡδονὴ τοῦ κατὰ φύσιν ἀναπλήρωσις· ταῦτα δὲ σωματικά ἐστι τὰ πάθη. εἰ δή ἐστιν ἡ ἡδονὴ τοῦ κατὰ φύσιν ἀναπλήρωσις, ἐν ᾧ ἡ ἀναπλήρωσις, τοῦτο ἂν καὶ ἔχοι τὴν ἡδονήν, καὶ ἥδεσθαι δύναται· τὸ σῶμα ἄρα ἥδεται, καὶ ἐν τούτῳ ἡ ἡδονή. τοῦτο δὲ οὐκ ἔστιν ἀληθές· τὸ γὰρ ἥδεσθαι τῆς ψυχῆς εἶναι δοκεῖ. οὐκ ἄρα ἡ ἡδονὴ γένεσίς τις καὶ ἀναπλήρωσίς ἐστιν, ἀλλὰ ἕπεται τῇ ἀναπληρώσει, καθάπερ καὶ τῇ ἐνδείᾳ ἡ λύπη· γινομένης μὲν γὰρ ἀναπληρώσεως ἡδόμεθα, τεμνόμενοι δὲ λυπούμεθα. | [382] δοκεῖ δὲ γενέσθαι αὕτη ἡ δόξα ἀπὸ τῶν σωματικῶν καὶ τῶν περὶ τὴν τροφὴν λυπῶν καὶ ἡδονῶν· ἐνδεεῖς γὰρ γεγονότες καὶ προλυπηθέντες ἡδόμεθα τῇ ἀναπληρώσει. τοῦτο δὲ οὐ περὶ πάσας συμβαίνει τὰς ἡδονάς. ἄλυποι γάρ εἰσιν αἵ τε μαθηματικαὶ καὶ αἱ ἐν ταῖς αἰσθήσεσι· καὶ γάρ καὶ αἱ κατὰ τὴν ἀκοὴν ἡδοναὶ καὶ κατὰ τὴν ὄσφρησιν καὶ κατὰ τὴν ὅρασιν μηδεμιᾶς προηγησαμένης λύπης γίνονται καὶ οὐκ ἔστιν οὐδεμία αὐτῶν ἐνδείας ἀναπλήρωσις. ἔτι δὲ καὶ ἐλπίδες καὶ μνῆμαι τῶν ἀγαθῶν ἥδισταί εἰσιν· αἱ δὴ κατὰ ταύτας ἡδοναὶ τίνος εἰσὶ γενέσεις; οὐδενὸς γὰρ ἔνδεια ἐν αὐτοῖς προηγήσατο, οὗ γένοιτ᾽ ἂν ἀναπλήρωσις· ὅθεν φανερόν, ὅτι οὐκ ἔστιν ἡ ἡδονὴ γένεσις. ἕτεροι δὲ ἀξιοῦσι μὴ εἶναι τὴν ἡδονὴν ἀγαθόν, προφέροντες τὰς ἐπονειδίστους τῶν ἡδονῶν. πρὸς οὓς ἐκεῖνο λέγομεν, ὅτι οὐκ ἔστι ταῦτα ἡδέα, ἃ τοῖς φαύλοις ἡδέα δοκεῖ· οὐ γὰρ εἰ τοῖς κακῶς διακειμένοις ἡδέα ταῦτά ἐστιν, οἰητέον ἤδη αὐτὰ καὶ ἡδέα ἁπλῶς εἶναι, ἀλλὰ τούτοις μόνον ἡδέα· καθάπερ οὐδὲ τὰ τοῖς κάμνουσιν ὑγιεινὰ ἢ γλυκέα ἢ πικρὰ ἁπλῶς ὑγιεινὰ ἢ γλυκέα ἀλλὰ αὐτοῖς· ἐπεὶ οὐδὲ λευκὰ ἁπλῶς τὰ φαινόμενα τοῖς ὀφθαλμιῶσι λευκά· φανερὸν δή, ὅτι οὐδὲ ἀπὸ τούτων τῶν λόγων δόξειεν ἂν ἡ ἡδονὴ μὴ ἀγαθὸν εἶναι. μάλιστα μὲν γάρ, ὅτι οὔκ εἰσιν ἡδοναὶ αἱ παρὰ τοῖς μοχθηροῖς ἡδοναί· ἔπειτα, εἰ καὶ ταύτας ἡδονὰς εἶναι δώσομεν, ἀλλ᾽ οὐκ ἀνάγκη διὰ τοῦτο τὴν ἡδονὴν ἁπλῶς φαύλην εἶναι· οὐ γὰρ μία ἐστὶν ἡ ἡδονὴ τῷ εἴδει ἀλλὰ πολλαί. καὶ οὐδὲν κωλύει τὰς μὲν φαύλας εἶναι, τὰς δὲ ἀγαθάς·

6 ἐνεργεῖν — βραδέως h: om. D 14 ἡ ἀναπλήρωσις Dh et Arist. cod. Lb: ἀναπλήρωσις Arist. vulg. 39 τοῦτο h: τὸ D

ἕτεραι γὰρ αἱ ἀπὸ τῶν καλῶν | καὶ ἐπαινετῶν ἡδοναὶ καὶ ἄλλαι αἱ ἀπὸ 383
τῶν αἰσχρῶν· καὶ αἱ μὲν ἀγαθαὶ αἱ δὲ φευκταί, ὥσπερ τὸ πλουτεῖν ἢ ὑγιαίνειν· ἔστι γὰρ πλουτεῖν καλῶς κτώμενον ὅθεν ⟨οὐδεὶς⟩ ἀδικεῖται. καὶ ἔστιν αἰσχρῶς πλουτεῖν, προδόντα τὴν ἑαυτοῦ ἢ ἐξανδραποδισάμενον τοὺς οἰκείους· καὶ ἔστιν ὑγιαίνειν καλῶς ἀνθρωπικῇ διαίτῃ χρώμενον καὶ κακῶς, ὅταν οὐχ ὅθεν δεῖ κτησώμεθα τὴν ὑγίειαν· καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. τὸν αὐτὸν δὴ τρόπον ἐπὶ τῶν ἡδονῶν. καὶ ὅλως ἕτεραί εἰσι τῷ εἴδει. καὶ οὐκ ἔστιν ἡσθῆναι τὴν τοῦ μουσικοῦ ἡδονὴν μὴ ὄντα μουσικόν, ἢ τὴν τοῦ δικαίου μὴ ὄντα δίκαιον· ὅθεν φανερόν, ὅτι ἄλλη ἐστὶ τῷ εἴδει ἡ τοῦ μουσικοῦ ἡδονὴ καὶ ἄλλη ἡ τοῦ δικαίου· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. οὐ τοίνυν εἰ ἡ τῶν φαύλων ἡδονὴ κακόν, ἤδη ἁπλῶς ἡ ἡδονὴ φευκτόν ἐστιν. ἔτι δὲ καὶ ἀπὸ τῆς διαφορᾶς τοῦ κόλακος καὶ τοῦ φίλου τὴν ἡδονὴν ἐδόκει μὴ εἶναι ἀγαθόν. ὁ μὲν γὰρ κόλαξ ψέγεται, ὅτι πρὸς ἡδονὴν ὁμιλεῖ, ὁ δὲ φίλος ἐπαινεῖται, ὅτι μὴ πρὸς ἡδονὴν ἀλλὰ πρὸς ἀλήθειαν καὶ τὸ ἀγαθόν. ὅθεν δοκεῖ συνάγεσθαι, τὴν ἡδονὴν ἐπονείδιστον εἶναι. οὐ τοῦτο δὲ ἀπὸ τούτων συνάγεται, ἀλλὰ μᾶλλον ὅτι διάφοροί εἰσι τῷ εἴδει αἱ ἡδοναί· καὶ ἡ μὲν ἐπαινεῖται, ἡ δὲ ἐπονείδιστός ἐστιν. ὅτι γὰρ καὶ ὁ φίλος ἡδύς ἐστιν καὶ ἡδονὴν ἔχει τῷ φίλῳ, τίς ἀγνοεῖ; φανερὸν τοίνυν, ὅτι ἡδονή ἐστι τοῖς συνοῦσι παρ' ἑκατέρου. καὶ ἡ μὲν τοῦ κόλακος διαβάλλεται, ἐπαινεῖται δὲ ἡ τοῦ φίλου. ἔτι δὲ καὶ ἐκεῖθεν ἐπονείδιστον εἶναι ἐδόκει ἡ ἡδονή. καὶ γὰρ οὐδεὶς ἂν ἕλοιτο νοῦν ἔχων ἥδεσθαι διὰ βίου τὴν τῶν παιδίων ἡδονὴν διανοούμενος καὶ χαίρων, ὥσπερ ἐκεῖνα.
οὐδ' ἄλλο τι | αἰσχρὸν ποιεῖν, ἵνα ἥδοιτο διὰ βίου· διὰ τοῦτο δὲ οὐδεμία 384
ἀνάγκη τὴν ἡδονὴν φαῦλον εἶναι. οὐ γὰρ φεύγει ὁ νοῦν ἔχων τὴν παιδικὴν ζωὴν καὶ τὸ αἰσχρὰ πράττειν διὰ τὴν ἐκεῖθεν ἡδονήν, ἀλλὰ αὐτὰ δι' ἑαυτά, ὅτι φευκτά εἰσιν. ἐπεὶ καὶ πολλὰ πρὸς ἡδονὴν φέροντα διώκομεν οὐ διὰ τὴν ἡδονήν, ἀλλ' ὅτι αὐτὰ δι' ἑαυτά εἰσιν αἱρετά· τὸ γὰρ ὁρᾶν καὶ μνημονεύειν καὶ εἰδέναι καὶ τὰς ἀρετὰς ἔχειν ἑλοίμεθα ἄν, καὶ εἰ μηδεμίαν ἐπιφέροι ἡδονήν· εἰ δ' ἐξ ἀνάγκης ἕπονται τούτοις ἡδοναί, οὐδὲν διαφέρει· βουλοίμεθα γὰρ ἂν ταῦτα ἡμῖν αὐτοῖς, καὶ εἰ μηδεμία γένοιτ' ἂν ἀπ' αὐτῶν ἡδονή· ὅτι μὲν οὖν οὐ πᾶσα ἡδονὴ αἱρετὸν καὶ ἀγαθόν, καὶ ὅτι εἰσί τινες αἱρεταὶ καθ' ἑαυτὰς διαφέρουσαι τῷ εἴδει τῶν φαύλων ἢ ταῖς αἰτίαις ὅθεν γίνονται, δῆλον ἔοικεν εἶναι.

⟨Περὶ τοῦ ὅτι οὐκ ἔστι κίνησις ἡ ἡδονή. κεφ. γ'.

Τὰ μὲν οὖν λεγόμενα περὶ ἡδονῆς καὶ λύπης ταῦτά ἐστιν· ζητοῦμεν δὲ ἤδη περὶ αὐτῆς τί ἐστιν ἢ ποῖόν τι· τοῦτο δὲ γένοιτ' ἂν καταφανὲς ἄνωθεν ἀναλαβοῦσι τὸν λόγον. ἔστι τοίνυν ἡ ἡδονὴ τελεία καὶ καθάπερ ἡ ὅρασις καθ' ὁντιναοῦν χρόνον τελεία ἐστί, καὶ οὐκ ἔστι λαβεῖν μέρος

3 οὐδεὶς h: om. D 4 post ἑαυτοῦ add. πατρίδα ed. 1617: om. Dh 32 αἱρεταὶ Mullach: ἀρεταὶ Dh

τοῦ ἐν τῷ ὁρᾶν χρόνου καθ' ὃν γίνεται, ἀλλ' ἐν τῷ ὅλῳ· ἐν γὰρ ἑκάστῳ μέρει ἀτελής ἐστιν ἡ κίνησις καὶ ἑτέρα τῷ εἴδει· τὰ γὰρ μέρη τῆς κινήσεως διαφέρουσι καὶ τῆς ὅλης κινήσεως καὶ ἀλλήλων, ὥσπερ ἐπὶ τῆς οἰκοδομίας· τῆς γὰρ ὅλης ποιήσεως, φέρε εἰπεῖν, τοῦ ναοῦ ἑτέρα ἡ τῶν λίθων σύνθεσις καὶ ἄλλη ἡ τῶν κιόνων κατασκευή, καὶ διαφέρουσι πρός τε ἀλλήλας | καὶ πρὸς τὴν ὅλην οἰκοδομίαν· ἡ μὲν γὰρ τελεία· καὶ γὰρ 385 οὐδενὸς ἐλλείπει τῶν δεόντων· ἡ δὲ τῆς κρηπῖδος καὶ τοῦ τριγλύφου ἀτελής· μέρους γὰρ οἰκοδόμησις ἑκατέρα. τῷ εἴδει οὖν διαφέρουσι, καὶ ὅλως οὐκ ἔστιν ἐν ὁτῳοῦν χρόνου μέρει, δηλονότι τοῦ κατὰ κίνησιν χρόνου, τελείαν λαβεῖν κίνησιν· κατὰ τὸ εἶδος ὃ ζητεῖται ἐν τῇ τελείᾳ κινήσει, ἀλλ' ἐν τῷ ὅλῳ χρόνῳ ἡ τελεία κίνησις ἀποτελεῖται. ὁμοίως δὲ ἔχει καὶ ἐπὶ βαδίσεως καὶ τῶν λοιπῶν κινήσεων. καὶ γὰρ ἡ φορὰ διάφορα εἴδη κινήσεως περιέχει. καὶ γὰρ ἅλσις καὶ πτῆσις καὶ βάδισις πᾶσαι φοραὶ μέν εἰσι, διαφέρουσι δὲ ἀλλήλων κατ' εἶδος· οὐ τοῦτο δὲ μόνον. ἀλλὰ καὶ ἐν ἑκάστῃ τῶν φορῶν τούτων διάφορα εἴδη γίνεται βαδίσεως. οἱ γὰρ ὅροι διάφοροι, τὸ πόθεν καὶ ποῖ· τῶν ὅρων δὲ διαφόρων ὄντων, διάφορα καὶ τὰ εἴδη τῆς βαδίσεως· τῆς γὰρ ἐν τῷ σταδίῳ βαδίσεως τὸ μέρος διαφόρους ἔχει τοὺς ὅρους πρὸς τὴν ὅλην βάδισιν· καὶ οὐ μόνον πρὸς τὴν ὅλην, ἀλλὰ καὶ πρὸς τὰ λοιπὰ μέρη. εἰ γὰρ εἴη ἡ βάδισις ὅλη ἀπὸ τοῦ α' ἐπὶ τὸ ε', ἡ ἀπὸ τοῦ α' ἐπὶ τὸ γ' διάφορος ἂν εἴη κατὰ τοὺς ὅρους τῆς τε ὅλης καὶ τῆς ἀπὸ τοῦ γ' ἐπὶ τὸ δ' καὶ τῆς ἀπὸ τοῦ δ' ἐπὶ τὸ ζ' καὶ ἔτι τῆς ἀπὸ τοῦ ζ' ἐπὶ τὸ ε'. διαφόρων δὲ ὄντων τῶν ὅρων, καὶ αὐταὶ διάφοροι ἂν εἶεν τῷ εἴδει. εἰ γὰρ καὶ γραμμὴν ἑκάστη βάδισις διεπορεύετο, τὴν αὐτὴν οὖσαν τῷ εἴδει, ⟨* * *⟩ ἀλλ' ἐπεὶ ἑκάστη γραμμὴ ἐν τόπῳ ἐστίν, οἱ δὲ τόποι διάφοροι, διὰ τοῦτο διάφοροί εἰσιν αἱ κινήσεις. τοὺς μὲν οὖν ἀκριβεῖς περὶ κινήσεως λόγους ἐν ἄλλοις ἐποιησάμεθα. τοῦτο δὲ μόνον ἐνταῦθα εἰπεῖν ἀναγκαῖον, ὅτι οὐκ ἐν παντὶ χρόνῳ τελεία ἐστὶν ἡ κίνησις ἀλλ' ἐν τῷ ὅλῳ. αἱ δὲ ἐν τοῖς μέρεσι τοῦ ὅλου χρόνου κινήσεις ἀτελεῖς εἰσι καὶ διαφέρουσιν ἀλλήλων τῷ εἴδει, εἴπερ οἱ ὅροι τῆς 386 κινήσεως τὸ πόθεν καὶ ποῖ τὴν κίνησιν εἰδοποιοῦσι. τῆς δὲ ἡδονῆς τὸ εἶδος ἐν ὁτῳοῦν χρόνῳ τέλειόν ἐστι. φανερὸν τοίνυν, ὅτι ἡ ἡδονὴ καὶ ἡ κίνησις ἕτεραί εἰσιν ἀλλήλων· καὶ ἡ μὲν ἡδονὴ ὅλον τι καὶ τέλειον ἐστιν. ἡ δὲ κίνησις οὐκ ἐν παντὶ χρόνῳ τελεία, καὶ ὅτι κίνησιν μὲν ἄνευ χρόνου οὐκ ἐνδέχεται εἶναι, ἡδονὴν δὲ δυνατόν. καὶ γὰρ ἐν μὲν τῷ νῦν καὶ τῷ ἀτόμῳ οὐ δυνατὸν κινηθῆναι, ἡσθῆναι δὲ δυνατὸν ὅλην καὶ τελείαν ἡδονήν. ἐκ τούτων δὲ δῆλον, ὅτι οὐ μόνον οὐκ ἔστι κίνησις ἡ ἡδονὴ ἀλλ' οὐδὲ γένεσις. οὐ γὰρ πάντων ἁπλῶς γένεσίς ἐστιν ἀλλὰ τῶν μεριστῶν καὶ μὴ ὅλων. ἐπεὶ μηδὲ ὁράσεώς ἐστι γένεσις οὐδὲ στιγμῆς οὐδὲ μονάδος· ὅτι ὅλον τι ἕκαστον αὐτῶν ἐστι καὶ οὐ μεριστὸν οὐδὲ ἐν χρόνῳ ἀπὸ τοῦ ἀτελοῦς ἐπὶ τὸ τέλειον ἔρχεται, ἀλλ' ἐν ὁτῳοῦν χρόνῳ ὅλον τι καὶ τέλειον

5 σύνθεσις scripsi ex Arist.: σύνεσις Dh   9 χρόνου h: χρόνῳ D   23 καὶ seclusit Mullach   23. 24 διεπορεύετο Mullach: διαπορεύεται Dh   24 [illegible] suppl. Heinsius   32 καὶ τέλειον D: πρὸς τέλειον h   39 ἐν om. h

ἕκαστον αὐτῶν ἐστιν. ἥ τε γὰρ μονὰς οὐ τὸ μὲν τελεία ἐστί, τὸ δὲ ἀτε-
λής, καὶ τῷ χρόνῳ τελειοῦται, οὔτε ἡ στιγμή· τό τε ὁρᾶν ἐν παντὶ μέρει
τοῦ χρόνου. καθ' ὃν ὁρῶμεν. τέλειόν ἐστι· καὶ ὅλως πάσης αἰσθήσεως
ἐνέργεια πρὸς τὸ οἰκεῖον αἰσθητὸν ἐνεργούσης τελεία ἐστὶν ἐν παντὶ μέρει
τοῦ χρόνου.

⟨Περὶ τοῦ ὅτι πᾶσαν ἐνέργειαν τελειοῖ ἡ ἡδονή. κεφ. δ'.⟩

Ἕπεται δὲ ταῖς ἐνεργείαις τῆς αἰσθήσεως καὶ τῆς διανοίας ἡ ἡδονή,
καὶ μάλιστα ὅταν ὑγιαίνουσαι τελειοτάτην προβάλλωνται τὴν ἐνέργειαν, καὶ
περὶ τὸ κάλλιστον ἐνεργῶσιν ἡ μὲν αἴσθησις τῶν αἰσθητῶν, ἡ δὲ διάνοια
τῶν διανοητῶν. τηνικαῦτα γὰρ μάλιστα καὶ τελείως ἐνεργεῖ ⟨ἡ ἐνέργεια 387
ἢ⟩ ἡ ἐνεργοῦσα ἕξις. οὐδὲν ⟨γὰρ⟩ διαφέρει ταύτην ἐνεργεῖν εἰπεῖν ἢ ἐκεί-
νην· ἐπειδὰν γὰρ ὑγιῶς τε καὶ τελείως ὁρῶμεν καὶ τὸ κάλλιστον ὁρῶμεν
τῶν ὁρατῶν. τελειοτάτη γίνεται ἡ ἐνέργεια· ὁμοίως καὶ ἐπὶ τῆς διανοίας
καὶ τῶν ἄλλων αἰσθήσεων· ἡ δὲ τελειοτάτη καὶ ἡδίστη. ὅτι δὲ γίνεται
κατὰ τὴν διάνοιαν ἡδονὴ καὶ καθ' ἑκάστην αἴσθησιν. φανερόν· φαμὲν γὰρ
διανοήματα ἡδέα εἶναι καὶ θεωρήμασι χαίρομεν καὶ ὁράμασιν ἡδόμεθα καὶ
ἀκούσμασι, καὶ μάλιστα ὅταν τελείως τε ἐνεργῶμεν. καθὼς εἴρηται. καὶ
τὰ βέλτιστα ὁρῶμεν ἢ θεωρῶμεν ἢ ἄλλως αἰσθανώμεθα. τοιούτων γὰρ
ὄντων τῆς τε αἰσθήσεως καὶ τῶν αἰσθητῶν καὶ τῆς διανοίας καὶ τῶν δια-
νοητῶν, ἀεὶ ἔσται ἡδονή, ἕως ἂν ἡ διάνοια καὶ ἡ αἴσθησις πάσχῃ ὑπὸ
τῶν ἀντικειμένων. ἕπεται τοίνυν τῇ ἐνεργείᾳ ἡ ἡδονὴ καὶ τελειότης τίς
ἐστιν αὐτῆς. τελειοῖ δὲ οὐχ ὡς ἕξις τὸν ἔχοντα ἀπὸ τοῦ δυνάμει εἰς τὸ
ἐνεργείᾳ ἄγουσα· ὥσπερ τὸν δυνάμει οἰκοδόμον ἡ οἰκοδομικὴ τελειοῖ καὶ
ἐνεργείᾳ ποιεῖ οἰκοδόμον. καθάπερ οὐδὲ ἡ ὑγίεια καὶ ὁ ἰατρὸς ὁμοίως
αἴτιά εἰσι τοῦ ὑγιαίνειν· ἡ μὲν γὰρ αὐτὴ ποιεῖ μὴ οὖσαν τὴν τοῦ
ὑγιαίνειν ἐνέργειαν, ὁ δὲ συντηρεῖ καὶ φυλάττει, καὶ ὅπως παραμείνῃ ζη-
τεῖ. ἔτι δὲ οὐδ' ὥσπερ τὸ αἰσθητὸν τελειοῖ τὴν αἴσθησιν ἢ τὸ διανοητὸν
τὴν διάνοιαν, οὕτω καὶ ἡ ἡδονὴ τελειοῖ τὴν ἐνέργειαν αὐτῶν. ἡ μὲν γὰρ
ἕξις καὶ τὸ ἀντικείμενον ἀπὸ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ προάγουσι τὴν
ἐνέργειαν, ἡ δὲ ἡδονὴ τῇ ἐνεργείᾳ γενομένῃ συμπεφυκυῖα συντηρεῖ καὶ
φυλάττει. πείθει γὰρ ἐνεργεῖν ἡ ἐπ' αὐτῷ ἡδονή, καὶ ἔστι τῇ ἐνεργείᾳ
καθάπερ ἐπιγινόμενον τέλος, ὥσπερ ἡ ὥρα τοῖς ἐν ἀκμῇ· καὶ ἕπεται ἀεὶ 388
ταύτῃ ἕως ἂν ᾖ ἥ τε αἴσθησις καὶ ἡ διάνοια, καὶ περὶ τὸ αἰσθητὸν καὶ
διανοητὸν ἐνεργῇ, καὶ μάλιστα. ὅταν εὖ καὶ ἄριστα ἔχωσι καὶ περὶ τὸ ἄρι-
στον ἐνεργῶσιν. ἀπορήσειε δ' ἄν τις εἰ τοῦτο οὕτως ἔχει, πῶς οὐδεὶς
οὕτως ἐνεργῶν συνεχῶς ἥδεται. πρὸς ὃ ῥητέον, ὅτι κάμνει πάντα τὰ ἀν-
θρώπεια καὶ οὐ δύναται συνεχῶς ἐνεργεῖν. διὰ τοῦτο οὐδὲ ἥδεσθαι δύ-
ναται συνεχῶς, ἐπεὶ ἡ ἡδονὴ τῇ ἐνεργείᾳ ἀκολουθεῖ· ἔνια δὲ τέρπει μὲν

10. 11 ἡ ἐνέργεια ἢ h: om. D 11 γὰρ h: om. D 25 εἰσι Dh et Arist. cod. L^{b}: ἐστι Arist. vulg. οὖσαν D: οὖσα h 32 τοῖς h: τῆς D

νεωστὶ φανέντα. χρόνον δέ τινα συνεθισθέντα οὐχ οὕτως ἡδέα δοκεῖ. τὸ δὲ αἴτιον, ὅπερ ἔφην. τὸ μὲν γὰρ πρῶτον παρακέκλιται ἡ διάνοια καὶ ἐπιτεταμένως περὶ αὐτὰ ἐνεργεῖ, ὥσπερ κατὰ τὴν ὄψιν οἱ ἐμβλέποντες, μετέπειτα δὲ οὐ γίνεται τοιαύτη ἡ ἐνέργεια ἀλλὰ παρημελημένη· διὰ τοῦτο καὶ ἡ ἡδονὴ ἀμαυροῦται.

⟨Περὶ τοῦ ὅτι φύσει διωκτὸν ἡ ἡδονή· καὶ ἔτι περὶ τοῦ ὅτι εἴδει διαφέρουσιν αἱ ἡδοναί. κεφ. ε΄.⟩

Ἐπεὶ δὲ πᾶσαν ἐνέργειαν τελειοῖ ἡ ἡδονή, ἐνέργεια δὲ καὶ τὸ ζῆν, τὰ ἄρα ἐφιέμενα τοῦ ζῆν ὀρέγονται τῆς ἡδονῆς. ὅτι τελειότης ἐστὶν αὐτοῦ. πάντα δὲ ἐφίενται τοῦ ζῆν· ὥστε δόξειεν ἂν πάντα ἐφίεσθαι τῆς ἡδονῆς. πᾶσαν γὰρ ἐνέργειαν ἡ ἡδονὴ αἱρετωτέραν ποιεῖ· καὶ ἕκαστος περὶ ταῦτα καὶ τούτοις ἐνεργεῖ μάλιστα, οἷς μάλιστα ἥδεται, οἷον ὁ μουσικὸς τῇ ἀκοῇ περὶ τὰ μέλη καὶ ὁ φιλομαθὴς τῇ διανοίᾳ περὶ τὰ θεωρήματα καὶ τῶν ἄλλων ἕκαστος. ἐπεὶ οὖν οὕτω ποιεῖ τὴν ἐνέργειαν ἡ ἡδονὴ καλλίω καὶ αἱρετωτέραν, εἰκότως τὰ ὀρεγόμενά τινος ἐνεργείας καὶ τῆς κατ' αὐτὴν ὀρέγονται ἡδονῆς· τὰ ἄρα τοῦ ζῆν ἐφιέμενα | εὐλόγως 389 καὶ τῆς ἐκεῖθεν ἐφίενται ἡδονῆς, ὅτι τὸ αἱρετὸν καὶ ἐφετὸν αὐτοῖς τελειοῖ. τὸ δὲ ζητεῖν ἐπὶ τοῦ παρόντος, πότερον ποτέρου ἕνεκα αἱρετόν, ἡ ἡδονὴ διὰ τὸ ζῆν ἢ τὸ ζῆν διὰ τὴν ἡδονήν, ἀφείσθω. φαίνεται δὲ ὅτι ἀδιαίρετά εἰσι ταῦτα ἀλλήλων, καὶ οὔτε ἡδονὴν χωρὶς ἐνεργείας οὔτε ἐνέργειαν χωρὶς ἡδονῆς εὕροι τις ἄν· τελείωσις γὰρ ἐνεργείας ἡ ἡδονή, καὶ διὰ τοῦτο οὐ δύναται χωρὶς εἶναι. διὰ ταῦτα φαίνεται καὶ ὅτι αἱ ἡδοναὶ διαφέρουσιν ἀλλήλων τῷ εἴδει· καὶ γὰρ διαφόρων τῷ εἴδει ἐνεργειῶν τελειότητες οὖσαι καὶ αὐταὶ διάφοροί εἰσιν. αἱ γὰρ τελειότητες τῶν διαφόρων εἰδῶν οὐ δύνανται μὴ διάφοροι εἶναι τῷ εἴδει, οἷον αἱ τῆς διανοίας ἐνέργειαι τῶν τῆς αἰσθήσεως διαφέρουσι τῷ εἴδει καὶ ἔτι αὗται ἀλλήλων. ὥστε καὶ αἱ ἡδοναί. τοῦτο δέ ἐστι φανερὸν ἐκ τοῦ πάσῃ ἐνεργείᾳ οἰκείαν ἡδονὴν προσεῖναι. ὅτι δὲ οἰκεία, δῆλον· καὶ γὰρ συναύξει τὴν ἐνέργειαν ἡ οἰκεία ἡδονή. μάλιστα γάρ τις ἕκαστα γινώσκει καὶ ἐξακριβοῖ καὶ ὅλως ἐνεργεῖ, ὅταν μεθ' ἡδονῆς τοῦτο ποιῇ· καὶ γὰρ γεωμετρικοὶ γίνονται μάλιστα οἱ χαίροντες τῷ γεωμετρεῖν καὶ κατανοοῦσιν ἕκαστα μᾶλλον, καὶ ἕκαστον ἡ ἡδονὴ πρὸς τὸ οἰκεῖον ἔργον ἐπιδιδόναι ποιεῖ. εἰ τοίνυν τὰς ἐνεργείας συναύξουσιν αἱ ἡδοναί, τὰ δὲ συναύξοντα οἰκεῖα, τὰ δὲ οἰκεῖα τοῖς διαφόροις τῷ εἴδει καὶ αὐτὰ διάφορα κατὰ τὸ εἶδος, φανερὸν ὅτι αἱ ἡδοναὶ ἕτεραι τῷ εἴδει ἀλλήλων. ἔτι καὶ ἐκεῖθεν γίνεται δῆλον τὰς ἡδονὰς διαφόρους εἶναι τῷ εἴδει· καὶ γὰρ προσίστανται ταῖς ἐνεργείαις αἱ ἀλλότριαι ἡδοναί. καθάπερ αἱ οἰκεῖαι τελειοτέρας ποιοῦσιν· ἡ γὰρ τῆς αὐλητικῆς ἡδονὴ συγχέοι ἂν ῥᾳδίως τὴν ἐν τοῖς μαθήμασι θεωρίαν, ὅταν 390 μὴ ἕξιν μαθηματικὴν ὁ θεωρῶν ἔχῃ, ἀλλ' ἥδηται μᾶλλον αὐλοῦντος ἀκούων ἢ θεωρῶν. καὶ οὕτω φθείρῃ τὴν περὶ τὸν λόγον ἐνέργειαν ἡ τῆς αὐλητικῆς ἡδονή. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων συμβαίνει, ὅταν δύο ἐνεργείας

τις κατὰ ταὐτὸν ἐνεργῇ· καὶ γὰρ ἡ ἡδίων τὴν ἑτέραν ἐκκρούει, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ κατὰ τὴν ἡδονὴν διαφέρει. εἰ γὰρ σφόδρα ὑπερβάλλει τὴν ἐξ ἑτέρας ἡ τῆς ἑτέρας ἡδονή, καὶ παντελῶς ἀφανίζει τὴν ἀλλοτρίαν ἐνέργειαν, ὥστε μηδὲ ὅλως κατ' αὐτὴν ἐνεργεῖν· διὰ τοῦτο ἐπειδὰν χαίρωμέν τινι σφόδρα, οὐ πάνυ δρῶμεν ἕτερον· εἰ δὲ οὐ πάνυ ἡδόμεθα ὁτῳοῦν, καὶ ἄλλα ποιοῦμεν, οἷον ποιοῦσι καὶ οἱ ἐν τοῖς θεάτροις τραγηματίζοντες· ὅταν γὰρ φαῦλοι οἱ ἀγωνιζόμενοι ὦσι καὶ οὐ πάνυ χαίρωσι τῷ θεάματι, τότε μάλιστα αὐτὸ δρῶσιν. ἐπεὶ τοίνυν ἡ μὲν οἰκεία ἡδονὴ τὰς ἐνεργείας ἐξακριβοῖ καὶ χρονιωτέρας καὶ βελτίους ποιεῖ, ἡ δ' ἀλλοτρία λυμαίνεται, φανερὸν ὅτι πολὺ διαφέρουσιν ἀλλήλων· σχεδὸν γὰρ ὥσπερ αἱ οἰκεῖαι ταῖς ἐνεργείαις λῦπαι κώλυμα γίνονται καὶ προχωρεῖν οὐκ ἐῶσιν, οὕτω καὶ αἱ ἀλλότριαι ἡδοναί. φθείρουσι γὰρ αἱ οἰκεῖαι λῦπαι τὰς ἐνεργείας· εἰ γάρ τις ἐπὶ τῷ γράφειν λυποῖτο, οὐ γράψει, καὶ εἴ τῳ τὸ λογίζεσθαι ἀηδές, οὐ θεωρήσει· τοῦτο δὲ πείσεται, καθὼς εἴρηται, καὶ ἀπὸ τῆς ἀλλοτρίας ἡδονῆς. εἰ τοίνυν ἡ ἀλλοτρία ἡδονὴ παραπλήσιον ποιεῖ ταῖς οἰκείαις λύπαις, ἡ δὲ οἰκεία λύπη τῇ οἰκείᾳ ἡδονῇ ἐναντίως ἔχει, φανερὸν ὅτι ἡ ἀλλοτρία ἡδονὴ τῇ οἰκείᾳ ἐναντίως ἔχει· τὰ δὲ τοιαῦτα οὐ δύνανται τὰ αὐτὰ εἶναι τῷ εἴδει· ἡ ἄρα ἡδονὴ οὐκ ἔστι μία κατὰ τὸ εἶδος.

⟨Περὶ τοῦ ὅτι ἐπιεικείᾳ καὶ φαυλότητι καὶ ἔτι καθαρότητι διαφέρουσιν αἱ ἡδοναί· καὶ ὅτι ἑτέρων ζῴων καὶ ἕτεραι· καὶ τίς ἡ ἀληθής. κεφ. ϛ'.⟩ 391

Ἐπεὶ δὲ ἑκάστη ἡδονὴ τῇ ἐνεργείᾳ, ὅθεν ἐστίν, οἰκείως ἔχει, αἱ δὲ ἐνέργειαι διαφέρουσιν ἀλλήλων ἐπιεικείᾳ καὶ φαυλότητι, καὶ αἱ μὲν αἱρεταί εἰσιν, αἱ δὲ φευκταί, αἱ δὲ οὐδέτερον, τὸν αὐτὸν τρόπον καὶ τὰς ἡδονὰς ἔχειν ἀνάγκη, καὶ τὰς μὲν ἀγαθὰς εἶναι, τὰς δὲ φαύλας, τὰς δὲ οὐδέτερον τούτων· καὶ ἐπιεικὴς μὲν καὶ ἀγαθὴ ἡδονή ἐστιν ἡ οἰκεία τῇ ἐπιεικεῖ καὶ ἀγαθῇ καὶ σπουδαίᾳ ἐνεργείᾳ, φαύλη δὲ ἡ τῇ φαύλῃ ἐνεργείᾳ οἰκεία· καὶ γὰρ αἱ ἐπιθυμίαι τῶν μὲν καλῶν ἐπαινεταί, τῶν δὲ φαύλων ψεκταί· ἡ δὲ οἰκεία τῇ ἐνεργείᾳ, ᾗ οὔτε ἐπαινετή ἐστιν οὔτε ψεκτή, καὶ αὐτὴ οὐδέτερόν ἐστιν. ἐπεὶ δὲ τῇ ἐνεργείᾳ καὶ ὄρεξίς ἐστιν ὅθεν κινεῖταί τις ἐπὶ τὸ ἐνεργεῖν, ζητητέον πότερα μᾶλλόν ἐστιν οἰκεία, ἡ ἡδονὴ τῇ ἐνεργείᾳ ἢ τῇ ὀρέξει. φαίνεται δὲ ὅτι οἰκειοτέρα ἐστὶ τῇ ἐνεργείᾳ. τῇ μὲν γὰρ ὀρέξει ἡ ἡδονὴ οὔτε συμπέφυκεν οὔτε ἅμα γίνεται αὐτῇ κατὰ τὸν χρόνον ἀλλὰ διέστηκεν αὐτῆς καὶ τῷ χρόνῳ καὶ τῇ φύσει. προηγεῖται γὰρ ἡ ὄρεξις τῆς ἐνεργείας καὶ τῆς ἐπ' αὐτῇ ἡδονῆς· τῇ δὲ ἐνεργείᾳ οὕτω συμπέφυκεν ἡ ἡδονὴ καὶ οὕτως ἀχωρίστως ἔχει, ὥστε ἀμφισβητεῖται, εἰ ταὐτόν ἐστι τῇ ἐνεργείᾳ ἡ ἡδονή. φαίνεται μὲν οὖν, ὅτι τῇ ἐνεργείᾳ μᾶλλον ᾠκείωται ἡ ἡδονὴ ἢ τῇ ὀρέξει· ταὐτὸν δὲ οὐκ ἔστιν·

1. 2 τοσοῦτο μᾶλλον ὅσο D 2 ὑπερβάλλει Mullach: ὑπερβάλλῃ Dh 3 ἀφανίζει D: ἀφανίζῃ h 32 ὀρέξει γὰρ h

οὐ γὰρ ταὐτὸν ἡδονὴ διανοίᾳ οὐδὲ αἰσθήσει οὐδεμίᾳ· ἄτοπον γὰρ οὕτως οἴεσθαι. ἀλλὰ τῷ ἀχωρίστως ἀλλήλων ἔχειν δοκεῖ μηδὲν διαφέρειν ἐνεργείας. διάφοροι δέ εἰσι καὶ αὐταὶ αἱ ἡδοναὶ πρὸς ἀλλήλας, ὅτι καὶ αἱ 392 ἐνέργειαι. διαφέρει γὰρ ὄψις ἁφῆς καθαριότητι. καθόσον ἡ μὲν τοῦ εἴδους ἀντιλαμβάνεται μόνου, ἡ δὲ ἁφὴ τῇ ὕλῃ μᾶλλον προσάγει, καὶ ἡ ἀκοὴ ταύτῃ τῆς ὀσφρήσεως καὶ τῆς γεύσεως διαφέρει, ὅτι τῆς ὕλης ἅπτονται μᾶλλον· ὅθεν καὶ αἱ ἑπόμεναι ἡδοναὶ διοίσουσιν ἀλλήλων καὶ τῶν ἐκ τῆς διανοίας ἡδονῶν. ὅτι διάφοροι αἱ ἐνέργειαι. καὶ αὐταὶ δὲ αἱ τῆς διανοίας ἡδοναὶ οὐχ αἱ αὐταὶ ἔσονται ἀλλήλαις, ὅτι διάφοροι ἐνέργειαι διανοίας. φαίνεται δὲ ὅτι καὶ ἑκάστῳ ζῴῳ οἰκεία τίς ἐστιν ἡδονή, καθάπερ καὶ ἔργον ἐστὶν οἰκεῖον. εἰ γὰρ ταῖς ἐνεργείαις αἱ ἡδοναὶ ἀκολουθοῦσιν, ἑκάστῳ δὲ ζῴῳ οἰκεία τίς ἐστιν ἐνέργεια κατάλληλος τῇ φύσει, καὶ ἡδονὴ ἂν οἰκεία εἴη. τοῦτο δὲ καὶ καθ' ἕκαστον θεωροῦντι γίνεται δῆλον. ἑτέρα γὰρ ἵππου ἡδονὴ καὶ κυνὸς καὶ ἀνθρώπου, καθάπερ Ἡράκλειτός φησιν. ὄνον σύρματα ἂν ἑλέσθαι μᾶλλον ἢ χρυσόν· ἥδιον γὰρ χρυσοῦ τροφὴ ὄνοις. αἱ μὲν οὖν οἰκεῖαι ἡδοναὶ ταῖς διαφόροις ἐνεργείαις καὶ αὐταὶ διάφοροί εἰσι· τὰς δὲ τῶν αὐτῶν ἐνεργειῶν τὰς αὐτὰς εὔλογον εἶναι κατὰ τὸ εἶδος· διοίσουσι δὲ κατὰ τὸ μᾶλλον καὶ τὸ ἧττον. ὅτι γὰρ ταῖς αὐταῖς ἐνεργείαις οὐχ ὁμοίως ἥδονται πάντες, φανερόν, ἐπεὶ καὶ τοσαύτη γίνεται ἡ διαφορά, ὥστε τοῖς αὐτοῖς τοὺς μὲν ἥδεσθαι, τοὺς δὲ λυπεῖσθαι· καὶ γλυκέα οὐ πᾶσι τὰ αὐτά· οὐ γὰρ τὰ αὐτὰ δοκεῖ γλυκέα τῷ πυρέττοντι καὶ τῷ ὑγιαίνοντι. οὐδὲ θερμὰ τὰ αὐτὰ τῷ ἀσθενεῖ καὶ τῷ εὐεκτοῦντι. τοῦτο δὲ καὶ ἐφ' ἑτέρων συμβαίνει. καθάπερ δὲ ἐπὶ τῶν τοιούτων ἡδέων τὰ ἀληθῶς ἡδέα τῶν δοκούντων ἀπὸ τῶν ὑγιαινόντων 393 γνωσόμεθα διελεῖν· οὕτω καὶ τὰς ἐν τῷ ἤθει ἡδονὰς ἀπὸ τῶν εὖ ἐχόντων περὶ τὸ ἦθος, δηλαδὴ τῶν σπουδαίων, διορισόμεθα. εἰ δὲ τοῦτο καλῶς λέγεται καὶ ἑκάστου μέτρον ἡ ἀρετή, καὶ τὸ ἀγαθὸν εἶναι διὰ τὴν ἀρετήν ἐστιν ἑκάστῳ, καὶ ἡδοναὶ ἂν εἶεν ἀληθῶς αἱ τῷ σπουδαίῳ φαινόμεναι ἡδοναί, καὶ ἡδέα οἷς οὗτος χαίρει· πρὸς ἃ δὲ οὗτος ἀηδῶς ἔχει, οὐκ ἂν εὐλόγως ἡδέα λέγοιντο οὐδὲ ἡδοναί. εἰ δὲ τοῖς διεφθαρμένοις ἡδέα δοκεῖ ταῦτα, οὐδὲν θαυμαστόν. πολλαὶ γὰρ φθοραὶ καὶ λῦμαι ἀνθρώπων γίνονται καὶ ἡδεῖς εἰσιν, ἀλλ' οὐχ ἁπλῶς ἡδεῖς, ἀλλὰ τοῖς γε διεφθαρμένοις· τὰς μὲν οὖν ὁμολογουμένως αἰσχρὰς δῆλον ὡς οὐκ ἂν εἴη ῥητέον ἡδονὰς εἶναι, πλὴν τοῖς διεφθαρμένοις. τῶν δὲ ἐπιεικῶν ἡδονῶν τίνα ῥητέον κυρίως ἀνθρωπίνην ἡδονὴν εἶναι; καὶ τοῦτο δὲ φανερὸν ἐκ τῶν εἰρημένων. ἐπεὶ γὰρ οἰκεῖαι ταῖς ἐνεργείαις αἱ ἑπόμεναι ἡδοναί, ληπτέον τὴν ἀνθρωπίνην ἐνέργειαν, ἣ τοῦ ἀνθρώπου ἐστὶ καθό ἐστιν ἄνθρωπος. εἴτε μία ἐνέργειά ἐστιν εἴτε πλείους· καὶ δὴ ταύτας τὰς ἐνεργείας αἱ τελειοῦσαι ἡδοναὶ τὰς τοῦ τελείου καὶ μακαρίου ἀνδρός, αὗταί εἰσιν αἱ τοῦ ἀνθρώπου,

2. 3 ἐνεργείας Mullach: ἐνεργείᾳ Dh 3 καὶ alterum om. h 12 ἡδονὴ D: ἡ ἡδονὴ h 13 εἴη οἰκεία h 14 Heracliti fr. 51 Bywater 15 ὄνον h: ὅσον D 26 δηλαδὴ h: δὴ D

ἡ ἄνθρωπος. ἡδοναί· αἱ δὲ λοιπαὶ δευτέρως καὶ πολλοστῶς λέγοιντο ἂν ἀνθρώπιναι, καθάπερ καὶ αἱ ἐνέργειαι.

⟨Περὶ εὐδαιμονίας. κεφ. ζ'.⟩ 394

Ἐπεὶ δὲ περὶ τῶν ἀρετῶν εἴρηται καὶ τῆς φιλίας καὶ τῆς ἡδονῆς, λοιπὸν περὶ εὐδαιμονίας τύπῳ διελθεῖν. ἐπεὶ τέλος αὐτὴν εἶναι τῶν ἀνθρωπίνων πάντων φαμέν. γένοιτο δ' ἂν ἡμῖν σαφὴς καὶ ῥᾴδιος ὁ λόγος, τὰ προειρημένα περὶ τῆς εὐδαιμονίας ἀναλαβοῦσιν. εἴρηται τοίνυν περὶ αὐτῆς ἐν τῷ ιγ' κεφαλαίῳ τοῦ πρώτου βιβλίου, ὅτι οὐκ ἔστιν ἕξις· εὐδαίμων γὰρ ἂν εἴη καὶ ὁ διὰ βίου καθεύδων καὶ ὁ φυτῶν βίον ζῶν καὶ ἔτι ὁ τὰ μέγιστα δυστυχῶν· ἐνδέχεται γὰρ ἕξιν ἔχοντα ἀρετῆς οὕτω βιῶναι. εἰ δὲ τοῦτο ἄδοξον, εὐδαίμονα τὸν οὕτως ἔχοντα καλεῖν. ἐνέργειά τις ἂν εἴη ἡ εὐδαιμονία. ζητητέον δὴ τίς τῶν ἀνθρωπίνων ἐνεργειῶν ἐστιν. ἐπεὶ γὰρ αἱ μὲν τῶν ἐνεργειῶν ἀναγκαῖαί εἰσι καὶ πρὸς ἄλλα φέρουσι καὶ δι' ἄλλα ζητοῦνται, αἱ δὲ καθ' ἑαυτάς εἰσιν αἱρεταί, δῆλον ὅτι τὴν εὐδαιμονίαν θετέον εἶναι τῶν καθ' ἑαυτὰς αἱρετῶν· αὐτάρκης γὰρ ἡ εὐδαιμονία καὶ οὐδενός ἐστιν ἐνδεής· τὸ δὲ δι' ἄλλο αἱρετὸν ἐκείνου δεῖται, δι' ὃ ζητεῖται πρὸς τὸ αἱρετὸν εἶναι καὶ ἀγαθόν. καθ' ἑαυτὰς δέ εἰσιν αὐτάρκεις αἱ κατὰ τὰς ἀρετὰς ἐνέργειαι, ἃς οὐ δι' ἄλλο ζητοῦμεν ἀλλὰ δι' ἑαυτάς. τὸ γὰρ τὰ καλὰ καὶ σπουδαῖα πράττειν τῶν καθ' ἑαυτὰ αἱρετῶν· καὶ τῶν παιδιῶν δὲ αἱ ἡδεῖαι οὐ δι' ἄλλα ζητοῦνται· οἱ γὰρ αἱρούμενοι αὐτὰς οὐδὲν ἐξ αὐτῶν ὠφελοῦνται· βλάπτονται μὲν οὖν μᾶλλον, τῶν σωμάτων ἀμελοῦντες, καὶ τῆς κτήσεως τῶν ὑπὲρ τοῦ σώματος ζητουμένων. διὰ τοῦτο καὶ πολλοὶ τῶν εὐτυχῶν καὶ κατὰ τὸν βίον εὐθυμουμένων ἐπὶ τὸν παιδιώδη τρέχουσι βίον καὶ πολλοῦ τιμῶνται τοὺς εὐτραπέλους· καὶ οἱ παρὰ τοῖς τυράννοις παίζειν ἡδέως εἰδότες εὐδοκιμοῦσιν· ἡδεῖς γάρ εἰσιν, αὐτοῖς παρέχοντες ὧν ἐφίενται καὶ δέονται πρὸς τὴν νομιζομένην εὐδαιμονίαν. δοκεῖ μὲν οὖν τὰς παιδιὰς εὐδαιμονικὰς εἶναι διὰ τὸ τοὺς ἐν δυναστείαις ἐν τούτοις μάλιστα | διατρίβειν· οὐκ εἰσὶ δέ· οὐ γὰρ ἱκανὸν 395
σημεῖον τῶν τοιούτων ἀνδρῶν ἡ ψῆφος. οὐ γὰρ ἐν τῷ δυναστεύειν ἡ ἀρετὴ οὐδὲ ὁ ὑγιαίνων μάλιστα νοῦς, ἀφ' ὧν αἱ σπουδαῖαι ἐνέργειαι. οὐδὲ γὰρ ἐπεὶ τῆς ἐλευθερίου καὶ εἰλικρινοῦς ἡδονῆς ἄγευστοι καθάπαξ ὄντες ἐπὶ τὰς σωματικὰς καταφεύγουσιν ἡδονάς, διὰ τοῦτο ταύτας εὔλογον οἴεσθαι τῶν ὡς ἀληθῶς αἱρετωτέρας εἶναι. καὶ γὰρ οἱ παῖδες τὰ παρ' αὐτοῖς τιμώμενα κράτιστα οἴονται εἶναι· ἀλλ' οὔτε τοῖς ἀνδράσι τίμια τὰ τῶν παίδων δοκεῖ, οὔτε ἐπιεικεῖς οὐ θαυμάσουσιν ἅπερ οἱ φαῦλοι· ἀλλὰ τοὺς μὲν ἡ δοκοῦσα τοὺς δὲ ἡ ἀληθὴς ἡδονὴ μάλιστα τέρψει. καθάπερ οὖν ἐν ἀρχῇ εἴρηται, τὰ ὡς ἀληθῶς τίμια καὶ σπουδαῖά ἐστιν, ἃ θαυμάζει καὶ οἷς ἥδεται ὁ σπουδαῖος. ἐπεὶ δὲ ἀκολούθους ταῖς ἕξεσι ταῖς ἐν τῇ ψυχῇ καὶ τὰς ἐνεργείας ἕκαστος ἐπιζητεῖ, καὶ ταύτας οἴεται

23 εὐθυμουμένων Mullach: εὐθυνουμένων Dh 35 ἐπιεικεῖς οὐ Dh, fort. ortum ex οἱ ἐπιεικεῖς

μάλιστα αἱρετωτάτας εἶναι, ὁ δὲ σπουδαῖος κατὰ τὴν ἕξιν τῆς ἀρετῆς ζῇ. φανερόν. ὅτι ταῖς ἐνεργείαις ἡσθήσεται ταῖς κατὰ τὴν ἀρετήν. καὶ ταύτας τιμίας ἡγήσεται καὶ ἡδείας· τῶν δὲ παιδιῶν, ὡς ἀλλοτρίων τῆς ἕξεως, καταφρονήσει. ἐπεὶ δὲ ὀρθῶς καὶ ὑγιῶς οὗτος ψηφίζεται, οὐκ ἄρα τίμιον ἡ παιδιά, οὐδ' ἄρα ἐν αὐτῇ ἡ εὐδαιμονία. καὶ γὰρ ἄτοπον παιδιὰν εἶναι τῶν ἀνθρωπίνων τὸ τέλος καὶ πάντα πραγματεύεσθαι καὶ κακοπαθεῖν διὰ βίου τοῦ παίζειν χάριν. εἰ γάρ τις ὑπόθοιτο ταύτην εἶναι τὴν εὐδαιμονίαν, ἀκόλουθόν ἐστι καὶ ταῦτα δὴ συγχωρεῖν. τῆς γὰρ εὐδαιμονίας ἕνεκα πάντα ζητοῦμεν· τῆς παιδιᾶς δὲ χάριν πονεῖν διὰ βίου καὶ σπουδάζειν ἠλίθιόν τι δοκεῖ λίαν εἶναι, καὶ τοῦτο δὴ παιδικόν. τὸ ἀνάπαλιν μὲν οὖν ἕνεκα τοῦ δύνασθαι σπουδάζειν παίζειν αἱρεῖσθαι κατ' Ἀνάχαρσιν 396 καλῶς καὶ ὀρθῶς ἂν ἔχοι. καὶ γὰρ ἀνάπαυσίς τις ἡ παιδιὰ τοῖς ἀγωνιζομένοις, συνεχῶς οὐ δυναμένοις πονεῖν, ἢ τὴν δύναμιν αὐτοῖς ἀνακαινουμένη, τοῖς πόνοις ἀκμῆτας ἀποδίδωσιν. ὅθεν οὐ τέλος ἡ ἀνάπαυσις ἀλλ' ἀναπαύσεως ἐνέργεια τέλος. ἔτι πᾶσιν ὁμολογεῖται τὸν εὐδαίμονα βίον κατὰ τὴν ἀρετὴν εἶναι· οὗτος δὲ μετὰ σπουδῆς· καὶ ὁ σπουδαῖος οὐ παίζων ἀλλὰ σπουδάζων. ἔτι δὲ βελτίω λέγομεν εἶναι τὰ σπουδαῖα τῶν μετὰ παιδιᾶς καὶ γελοίων· καὶ τὴν ἐνέργειαν βελτίονος τῆς ψυχῆς μέρους σπουδαιοτάτην φαμέν· τὸ δὲ βέλτιον καὶ τοῦ βελτίονος μέρους μᾶλλον τῇ εὐδαιμονίᾳ προσήκει. ἔτι ἡ μὲν ἀπόλαυσις τῶν σωματικῶν ἡδονῶν κοινή ἐστι καὶ τοῖς τυχοῦσι καὶ τοῖς φαύλοις καὶ ἀνδραπόδοις καὶ τοῖς μοχθηροτάτοις ἔνεστιν οὐχ ἧττον ἢ τοῖς ἀρίστοις· ἡ δὲ εὐδαιμονία τῶν ἀρίστων λέγεται μόνον, καὶ οὐδεὶς ἂν εἴποι καὶ τοῖς φαύλοις προσεῖναι, καὶ γὰρ οὐδὲ βίον τὸν αὐτὸν ἀμφοτέρων εἶναι, ὅτι μὴ κατὰ τὴν φαύλην διαγωγὴν ἡ εὐδαιμονία, ἀλλ' ἐν ταῖς κατ' ἀρετὴν ἐνεργείαις, καθάπερ καὶ πρότερον εἴρηται.

⟨Περὶ τῆς θεωρητικῆς εὐδαιμονίας. κεφ. η'.⟩

Ἐπεὶ δὲ ἡ εὐδαιμονία ἐν ταῖς κατ' ἀρετὴν ἐνεργείαις δέδεικται οὖσα, εἴ τις εἴη κρατίστη τῶν τοιούτων ἐνεργειῶν, μάλιστα ἐν ταύτῃ ἂν εἴη. κράτιστον γὰρ καὶ ἄριστον ἡ εὐδαιμονία· κρατίστη δὲ ἐνέργεια ἡ τοῦ κρατίστου τῶν ἐν ἡμῖν ἐνεργούντων, ὃ κατὰ φύσιν ἄρχει | καὶ ἡγεῖται πρὸς 397 τὴν ἀλήθειαν, καὶ τὸ ἀγαθόν, εἴτε νοῦς τοῦτο ἂν καλοῖτο εἴτε ἄλλο τι. ὃ δὴ ἔννοιαν ἔχει περὶ καλῶν τε καὶ θείων, εἴτε θεῖον ὂν καὶ αὐτὸ εἴτε τῶν ἐν ἡμῖν τὸ θειότατον· ἡ δὴ τούτου ἐνέργεια εὖ καὶ καλῶς γινομένη καὶ κατὰ τὴν οἰκείαν ἀρετὴν εἴη ἂν ἡ τελεία εὐδαιμονία. καὶ ἔστι θεωρητική, καθὼς πρότερον εἴρηται· ὅτι δὲ ἐν ταύτῃ τῇ ἐνεργείᾳ ἐστὶν ἡ τελεία εὐδαιμονία, καὶ τὰ προειρημένα ἡμῖν περὶ τῶν ἀνθρωπίνων ἐνεργειῶν καὶ ἡ ἀλήθεια μαρτυρεῖ. καὶ γὰρ ὡς ἐν τῷ περὶ φιλίας εἴρηται, ὁ νοῦς

11 παίζειν om. h 13. 14 ἀνακαινουμένη D: ἀνακαλουμένη h 34 τούτου h: τούτων D 38 cf. p. 201, 18

ἐστι τὸ ἡμέτερον εἶναι. καὶ διὰ τοῦτο κρατίστη ἐστὶν ἡ αὐτοῦ ἐνέργεια. καὶ ἃ γινώσκει κράτιστά εἰσι τῶν αἰσθήσει γινωσκομένων· εἰ δὲ ἄριστον δεῖ εἶναι τὴν εὐδαιμονίαν, ἐν τῷ ἀρίστῳ εἶναι πᾶσα ἀνάγκη. ἔτι τὸ συνεχὲς ἀποδιδόναι δεῖ τῇ εὐδαιμονίᾳ. οὕτω γὰρ ἂν τελείως δύναιτό τις εὐδαιμονεῖν, μὴ διακοπτομένης αὐτῷ τῆς εὐδαιμονίας. τοῦτο δὲ θεωροῦσι μάλιστα δυνατόν· θεωρεῖν γὰρ δυνάμεθα συνεχῶς μᾶλλον ἢ ὁτιοῦν ἕτερον πράττειν. ἔτι καὶ ἡδονὴν οἰόμεθα δεῖν τῇ εὐδαιμονίᾳ παραμεμῖχθαι. ἡδίστη δὲ τῶν κατ᾽ ἀρετὴν ἐνεργειῶν ἡ κατὰ σοφίαν ὁμολογουμένως ἐστί· φαίνεται τοίνυν ἡ φιλοσοφία θαυμαστὰς ἔχουσα ἡδονὰς διά τε τὴν καθαριότητα καὶ τὸ ὕλης ἀπηλλαγμένη καθάπαξ εἶναι καὶ διὰ τὸ βέβαιον, ὅτι περὶ τὰ ἀκίνητα καὶ ὡσαύτως ἔχοντα ἐνεργεῖ. ἡ γὰρ πρακτικὴ τῆς τε ὕλης δεῖται περί τε τὰ ἐνδεχόμενά ἐστι· τοιαῦτα γὰρ τὰ πρακτά· ὅθεν οὐκ ἔνι τελείως κατὰ ταύτην εὐδαιμονεῖν. | ἔτι καὶ αὐ- 398
τάρκη τὸν εὐδαίμονα εἶναι δεῖ. τοῦτο δὲ τῆς θεωρητικῆς ἐστι μᾶλλον ἢ τῆς ἑτέρας· τῶν μὲν γὰρ πρὸς τὸ ζῆν ἀναγκαίων καὶ ὁ θεωρητικὸς δεῖται καὶ ὁ πρακτικός. πρὸς τούτοις δὲ ὁ μὲν πρακτικὸς καὶ ἄλλων δεῖται πρὸς τὸ τὴν ἀρετὴν ἐνεργῆσαι· καὶ γὰρ ὁ δίκαιος δεῖται πρὸς οὓς δικαιοπραγήσει καὶ μεθ᾽ ὧν καὶ ὁ σώφρων καὶ ὁ ἀνδρεῖος καὶ τῶν ἄλλων ἕκαστος, ὁ δὲ σοφὸς καὶ καθ᾽ ἑαυτὸν ὢν δύναται θεωρεῖν καὶ οὐδενὸς δεῖται πρὸς τοῦτο καὶ μᾶλλον ὅσῳ σοφώτερος· εἰ δὲ δεῖταί πως καὶ αὐτὸς ἄλλων, ὅτι μετ᾽ ἄλλων βέλτιον θεωρήσει, πρός γε τὸ τὴν ἐνέργειαν τελείως ἐνεργῆσαι καὶ καθ᾽ ἑαυτὸν αὐταρκέστατός ἐστιν. ἔτι καὶ δι᾽ ἑαυτὴν αἱρετὴν καὶ ἀγαπητὴν εἶναι δεῖ τὴν εὐδαιμονίαν. φαίνεται δὲ ἡ θεωρητικὴ ζωὴ αὐτὴ δι᾽ ἑαυτὴν φιλουμένη. καὶ γὰρ οὐδὲν ἀπ᾽ αὐτῆς ἄλλο ζητοῦμεν, οὐδέ τι γίνεται ἡμῖν ἕτερον παρὰ τὸ θεωρεῖν· ἀφ᾽ ἑκάστης δὲ τῶν πρακτικῶν ἀρετῶν ἔστι τι ἄλλο ἢ μικρὸν ἢ μεῖζον λαβεῖν. καὶ γὰρ ἀπὸ μὲν τῆς ἀνδρείας νίκη, ἀπὸ δὲ σωφροσύνης ἡ κατὰ ψυχὴν ἠρεμία, ἀπὸ δὲ φρονήσεως τὸ εὑρεῖν τὰ πρὸς τὸ ἔσχατον φέροντα τέλος, ἀπὸ δὲ πασῶν ἡ πολιτικὴ εὐδαιμονία, τῇ δὲ θεωρίᾳ οὐδὲν ἀκολουθεῖ, δι᾽ ὃ δοκεῖ δέον εἶναι ζητεῖσθαι. ἀλλὰ αὐτὴ δι᾽ ἑαυτὴν ἀγαπᾶται. φαίνεται ἄρα ταύτην εἶναι τὴν ἀνθρωπίνην εὐδαιμονίαν. ἔτι καὶ ἐν ἠρεμίᾳ τινὶ καὶ σχολῇ συνεστάναι δεῖ τὴν εὐδαιμονίαν. τέλος γάρ τί ἐστιν ἡ σχολή. καὶ ἀσχολούμεθα ἵνα δυνηθῶμεν σχολάσαι, καὶ πόλεμον αἱρούμεθα διὰ τὴν εἰρήνην. αἱ μὲν οὖν ἐνέργειαι τῶν πρακτικῶν ἀρετῶν ἐν τοῖς πολιτικοῖς εἰσι καὶ πολεμικοῖς· αἱ δὲ τοιαῦται πράξεις μάλιστα | δοκοῦσι πόρρω 399
πάσης ἠρεμίας καὶ σχολῆς εἶναι· αἱ μὲν πολεμικαὶ παντελῶς· οὐδὲν γὰρ ἐν αὐταῖς ἐστιν ἠρεμίας· εἰ γὰρ ἦν, δι᾽ ἑαυτὸ ἂν ὁ πόλεμος ἐζητεῖτο. οὐδεὶς δὲ αἱρεῖται τὸ πολεμεῖν τοῦ πολεμεῖν ἕνεκα. οὐδέ τις ἐθέλει δι᾽ ἑαυτὸν τὸν πόλεμον παρασκευάζειν· δόξειε γὰρ ἂν μιαιφόνος τις εἶναι, εἰ τοὺς φίλους πολεμίους ποιοῖτο, ἵνα μάχαι καὶ φόνοι γίνωνται.

5 αὐτῷ D: αὐτοῦ h   8 κατὰ σοφίαν Dh et Arist. cod. H^a: κατὰ τὴν σοφίαν Arist. vulg.   22 καὶ (prius) om. h   40 γίνωνται Dh et Arist. cod. M^b: γίγνοιντο Arist. vulg.

εἰσὶ δὲ καὶ αἱ τοῦ πολιτικοῦ πράξεις φανερῶς ἄσχολοι καὶ παρ' αὐτὸ τὸ πολιτεύεσθαι περιποιουμένου δυναστείας καὶ τιμὰς ἢ τήν γε εὐδαιμονίαν ἑαυτῷ καὶ τοῖς πολίταις· ἑτέρα γὰρ ἡ αὐτοῦ καὶ ἄλλη ἡ τῆς πόλεως εὐδαιμονία. καὶ δῆλον· εὐδαίμων γὰρ αὐτὸς γενόμενος οὐκ ἀγαπᾷ ἀλλὰ καὶ τὴν πολιτικὴν ζητεῖ, δῆλον ὡς ἑτέραν οὖσαν. ἐπεὶ τοίνυν τῶν μὲν κατὰ τὰς ἀρετὰς πράξεων αἱ πολιτικαὶ καὶ πολεμικαὶ κάλλει καὶ μεγέθει προέχουσιν, αὗται δὲ ἄσχολοι καὶ τέλους τινὸς ἐφίενται καὶ οὐ δι' ἑαυτάς εἰσιν αἱρεταί, ἡ δὲ τοῦ νοῦ ἐνέργεια σπουδαιοτέρα τέ ἐστιν, ὅτι τοῦ βελτίστου τῆς ψυχῆς ἐστι μέρους καὶ οὐδενὸς ἕνεκα ζητεῖται οὐδὲ ἄλλου παρ' αὐτὴν ἐφίεται τέλους ἔχει τε οἰκείαν ἡδονὴν μείζονα ἢ κατὰ τὰς πρακτικὰς ἐνεργείας, ἣ δὴ ἡδονὴ συναύξει τὴν ἐνέργειαν, ἔτι δὲ ἡ τοῦ νοῦ ἐνέργεια καὶ αὐτάρκης ἐστὶ μάλιστα καὶ ἠρεμαία, ὡς ἀνθρώποις δήπουθεν δυνατόν, καὶ ὅσα ἄλλα τῷ μακαρίῳ ἀπονέμονται, κατὰ ταύτην τὴν ἐνέργειαν φαίνεται ὄντα. φανερὸν ὅτι ἡ τελεία τοῦ ἀνθρώπου εὐδαιμονία αὕτη ἂν εἴη τέλειον μῆκος βίου λαβοῦσα· τῶν γὰρ τῆς εὐδαιμονίας οὐδὲν ἀτελές εἶναι προσήκει.

⟨Ὅτι μείζων ἢ κατ' ἄνθρωπον ἡ θεωρητικὴ εὐδαιμονία· καὶ ἔτι περὶ τῆς ἠθικῆς, ἤγουν τῆς κατ' ἄνθρωπον. κεφ. θ'.⟩ 400

Ἔστι δὲ ὁ τοιοῦτος βίος κρείττων ἢ κατὰ ἄνθρωπον. ὁ γὰρ οὕτω ζῶν οὐχ ᾗ ἄνθρωπος οὕτω βιοῖ, ἀλλὰ καθό τι θεῖον αὐτῷ ὑπάρχει· ὅσῳ δὴ διαφέρει τοῦτο δὴ τὸ θεῖον τοῦ καθ' ἡμᾶς συνθέτου, τοσοῦτον διοίσουσιν αἱ τούτου ἐνέργειαι τῶν ἄλλων ἀνθρωπίνων ἐνεργειῶν καὶ ἡ τούτου ἀρετὴ τῆς ἄλλης ἠθικῆς ἀρετῆς. εἰ γὰρ θεῖον ὁ νοῦς πρὸς τὸν ἄνθρωπον, καὶ ὁ κατὰ νοῦν βίος θεῖος πρὸς τὸν ἀνθρώπινον βίον. οὐ χρὴ δὲ ταῖς ἐνίων παραινέσεσιν ἑπομένους ἀνθρώπινα φρονεῖν ἀνθρώπους ὄντας καὶ θνητὰ θνητούς. ἀλλ' ἐφ' ὅσον ἐνδέχεται ἕκαστον ἑαυτὸν ἀπαθανατίζειν καὶ πάντα ποιεῖν πρὸς τὸ ζῆν κατὰ τὸ κράτιστον τῶν ἐν αὐτῷ. κράτιστον δὲ τῶν ἐν ἡμῖν ὁ νοῦς ἐστιν. εἰ γὰρ μεγέθει καὶ ὄγκῳ οὐδενὸς ὑπερέχει διὰ τὸ ὑπερβαίνειν τὴν ὕλην, ἀλλὰ τῇ γε δυνάμει καὶ τιμιότητι μέγιστόν ἐστιν ἁπάντων· ἐπεὶ καὶ δεινῶς ἄτοπον, εἴ τις ἑαυτῷ μὴ ζῴη μηδὲ τὸν ἑαυτοῦ βίον αἱροῖτο ἀλλὰ τόν τινος ἄλλου· καὶ γὰρ αὐτός ἐστιν ἕκαστος τὸ κυριώτατον καὶ ἄριστον τῶν ἐν αὐτῷ, καὶ ⟨κατὰ⟩ τοῦτο ζῶν, ἑαυτῷ ἂν βιῴη καὶ τὸν οἰκεῖον μάλιστα βίον. ἄλλως τε τὸ πρότερον λεχθὲν ἁρμόσει καὶ νῦν· τὸ γὰρ οἰκεῖον τῇ φύσει ἑκάστου, τοῦτο κράτιστον καὶ ἥδιστόν ἐστιν ἑκάστῳ· τῷ ἀνθρώπῳ δὲ οἰκεῖον μάλιστα πάντων τὸ κατὰ νοῦν ἐνεργεῖν, εἴπερ αὐτός ἐστιν ὁ νοῦς· οἰκεῖον δὲ τὸ καθ' ἑαυτὸν ἐνεργεῖν ἑκάστῳ τῶν ἐνεργούντων· κράτιστος ἄρα ⟨καὶ⟩ ἥδιστος ὁ κατὰ νοῦν

3 γε h (et Arist.): δὲ D 10 ἐφίενται h 15 φανερὸν D: φανερὸν οὖν h 20 ὅσο D 21 τοσοῦτο D 30 μὴ ζῴη D: om. h 32 κατὰ om. D 37 καὶ post ἄρα h: om. D

βίος ἀνθρώπῳ· οὗτος ἄρα καὶ | εὐδαιμονέστατος. καὶ αὕτη ἂν εἴη 401 πρώτως ἡ ἀνθρωπίνη εὐδαιμονία. δευτέρως δὲ ἡ κατὰ τὴν ἄλλην ἀρετήν. αἱ γὰρ κατ᾽ αὐτὴν ἐνέργειαι ἀνθρωπικαὶ ἐν ταῖς πρὸς ἀλλήλους τῶν ἀνθρώπων κοινωνίαις συνιστάμεναι. δίκαια γὰρ καὶ ἀνδρεῖα καὶ τὰ ἄλλα τὰ κατὰ τὰς ἀρετὰς πρὸς ἀλλήλους πράττομεν ἐν πράξεσι καὶ χρείαις καὶ συναλλάγμασι καὶ τὰ πάθη παιδαγωγοῦμεν. τὸ πρέπον τῷ πλησίον διατηροῦντες· ταῦτα δὲ πάντα τὴν σύνθετον ταύτην συντηροῦσι ζωήν. τὰ δὲ τοιαῦτα ἀνθρωπικά. ἔτι αἱ ἠθικαὶ ἀρεταὶ πολλὴν ἔχουσιν ἐνίοτε ἀπὸ τοῦ σώματος τὴν σκοπήν· καὶ γὰρ σωφρονικοί τινές εἰσι φύσει καὶ πρὸς ἀνδρείαν εὖ ἔχουσι καὶ πρὸς μεγαλοψυχίαν ἀπὸ τῆς κατὰ τὸ σῶμα διαθέσεως. καὶ ὅλως σφόδρα ᾠκείωται τοῖς πάθεσιν ἡ ἠθικὴ ἀρετή, καὶ αὐτῇ δὲ ἡ φρόνησις. συνέζευκται γὰρ τῇ τοῦ ἤθους ἀρετῇ, ⟨ὡς⟩ καὶ δέδεικται ἐν τοῖς ἔμπροσθεν, ἐπεὶ φρόνησις μὲν τὰς ἀρχὰς ἀπὸ τῶν ἠθικῶν ἀρετῶν ἔχει· τὸ γὰρ ὀρθοδοξεῖν περὶ τὸ τέλος ἐκεῖθεν. ἡ δὲ ἠθικὴ ἀρετή, πῶς δεῖ τοῦ τέλους τυχεῖν ἀπὸ τῆς φρονήσεως λαμβάνει, καθὼς ἐν τῷ ιγ′ κεφαλαίῳ τοῦ ϛ′ βιβλίου διείληπται. ἐπεὶ τοίνυν ἡ μὲν ἠθικὴ ἀρετὴ περὶ τὰ ἀνθρώπινά ἐστι πάθη καὶ τούτοις ἐστὶ συνημμένη. ταύτης δὲ ἀχώριστος ἡ φρόνησις εἶναι ἐδείχθη, φανερὸν ὅτι πᾶσα ἀρετὴ πρακτικὴ τοῖς πάθεσίν ἐστι συνημμένη· περὶ τὸ σύνθετον ἄρα καὶ τὴν ἐν τούτῳ ζωήν· αἱ δὲ τοῦ συνθέτου ἀρεταὶ ἀνθρωπικαί· ὁ γὰρ τοῦ ἀνθρώπου ὁρισμὸς ἀπὸ τοῦ συνθέτου· ὥστε καὶ ὁ βίος, ὁ κατὰ ταύτας τὰς ἐνεργείας, ἀνθρω|πικὸς καὶ ἡ εὐδαιμονία· ὁ δὲ κατὰ νοῦν βίος μόνος 402 ἐστὶ κεχωρισμένος τῶν ἀνθρωπίνων καὶ ἡ κατὰ τοῦτον εὐδαιμονία. πῶς δὲ κεχωρισμένος ἐστί. καὶ ὡς ἔχει. διακριβῶσαι, μεῖζόν ἐστι τοῦ προκειμένου καὶ θεολογίᾳ μᾶλλον προσῆκεν· τοσοῦτον δὲ μόνον εἰπεῖν ἀρκέσει ἐν τῷ παρόντι, ὅτι τὰ ἀνθρώπινα ὑπερβαίνει. τοῦτο δὲ καὶ ἐκεῖθεν γίνεται δῆλον. οὐ γὰρ δεῖται τῶν ἐκτὸς καὶ τῆς ἐκεῖθεν χορηγίας εἰς τὴν οἰκείαν ἐνέργειαν. δεῖται μὲν γὰρ ὁ θεωρῶν, ἄνθρωπος ὤν, τῶν πρὸς τὸ ζῆν ἀναγκαίων, εἰς δὲ αὐτὴν τὴν ἐνέργειαν οὐδενός· ὁ δὲ πρακτικὸς δεῖται μὲν καὶ ὧν ὁ θεωρητικός, καὶ μᾶλλον οὗτος. ὅσῳ καὶ μᾶλλον τῷ σώματι πρὸς τὰς ἐνεργείας χρῆται· δεῖται δὲ ἔτι πρὸς τὰς ἐνεργείας καὶ τῆς ἔξωθεν χορηγίας. ὁ μὲν γὰρ ἐλευθέριος χρημάτων πρὸς τὸ τὰ ἐλευθέρια πράττειν, ὁ δὲ δίκαιος, ἵνα ἀνταποδῷ. χωρὶς γὰρ τῶν ἔξωθεν τούτων οὐ πράξουσιν οὐδὲν τῶν κατὰ τὴν οἰκείαν ἀρετὴν ἕκαστος. δεῖ γὰρ τῷ μὲν ἀνδρείῳ καιροῦ τινος καταλλήλου καὶ τῆς ἐν σώματι δυνάμεως, ὅθεν ἐπιδείξεται τὴν τόλμαν καὶ τὴν καρτερίαν, καὶ τῷ σώφρονι ἐξουσίας καὶ τοῦ δύνασθαι. εἰ βούλοιτο. ταῖς ἡδοναῖς ἐφεῖναι· καὶ τῶν ἄλλων ἑκάστῳ χρεία τῶν καταλλήλων, ἐν οἷς δύναται πρᾶξαι τὴν ἀρετήν. ἄνευ γὰρ τοῦ πρᾶξαι κατὰ τὴν ἕξιν τῆς ἀρετῆς μάλιστα μὲν ἄδηλος ἡ βούλησις καὶ ἡ ἕξις. προσποιοῦνται γὰρ ἔνιοι μὴ δίκαιοι ὄντες βούλεσθαι δικαιοπραγεῖν. καὶ

5 τὰ ἄλλα τὰ Dh et Arist. Lb: ἄλλα τὰ Arist. vulg. 9 σκοπὴν h: ῥοπὴν D
13 ὡς h: om. D 23 τούτου h 25 τοσοῦτο D

ἐλευθέρια πράττειν, μὴ ὄντες ἐλευθέριοι. ἔπειτα οὐδὲ τελεία ἐστὶν ἡ ἀρετὴ ἐν μόνῃ τῇ προαιρέσει, ἀλλὰ δεῖ καὶ τῆς πράξεως· ἐν ἀμφοῖν γάρ ἐστι· καὶ οὕτως ἐν ἀμφοῖν ἐστιν, ὥστε ζητεῖται ἐν ποτέρᾳ μᾶλ|λόν ἐστιν ἡ 403 ἀρετή, ἐν τῇ προαιρέσει ἢ ἐν τῇ πράξει. τὸ γὰρ τέλειον δῆλον ὡς ἐν ἀμφοῖν ἂν εἴη. φανερὸν τοίνυν, ὅτι ἡ πρακτικὴ ἀρετὴ πρὸς τὸ τέλειον εἶναι τῆς ἔξωθεν χορηγίας δεῖται, καὶ τοσούτῳ πλείονος, ὅσῳ μείζων ἐστὶ καὶ καλλίων· αἱ γὰρ κατ' αὐτὴν πράξεις μεγάλαι καὶ ἀξιόλογοι οὖσαι καὶ πλειόνων δεήσονται τῶν ἔξωθεν. τῷ δὲ θεωρητικῷ οὐδενὸς τῶν τοιούτων πρός γε τὴν ἐνέργειαν χρεία· ἀλλ' ὡς εἰπεῖν, καὶ ἐμποδὼν ἵσταται ταῦτα τῇ θεωρίᾳ. δεήσεται δὲ οὐχ ὡς θεωρητικὸς ἀλλ' ὡς πρακτικός, ἐπεὶ ἄνθρωπος ὢν καὶ ἀνθρώποις συζῶν αἱρεῖται τὰ κατὰ τὴν πρακτικὴν ἀρετήν, ἵνα πρὸς τοὺς συνόντας τὰ ἀνθρώπινα σώζῃ.

Ἔτι περὶ τοῦ θεωρητικοῦ βίου καὶ ὅτι ἡ τελεία εὐδαιμονία ἐν αὐτῷ ἐστι. κεφ. ι΄.

Φαίνεται δὲ καὶ ἐκεῖθεν ἐν τῷ θεωρητικῷ βίῳ συνεστάναι τὴν τελείαν εὐδαιμονίαν. ἡ γὰρ θεωρία μόνον θεοῦ ἔργον ἐστίν, ὅς ἐστιν ἀληθῶς μακάριος καὶ εὐδαίμων. ποίας γὰρ ἄλλας πράξεις ἀποδοτέον αὐτῷ; τὰς δικαίας; ἢ γελοῖον συναλλάττειν αὐτὸν καὶ παρακαταθήκας ἀποδιδόναι καὶ ὅσα ἄλλα τοιαῦτα· ἀλλὰ τὰς ἀνδρείας; πῶς οὖν ὑπομενεῖ τὰ φοβερὰ καὶ περὶ τῆς ζωῆς κινδυνεύσει τοῦ καλοῦ ἕνεκα; καὶ γὰρ καὶ εἰπεῖν ἄτοπον· ἀλλὰ τὰς ἐλευθερίους; τίνι οὖν καὶ τί δώσει; ἄτοπον δὲ εἰ καὶ ἔσται αὐτῷ νόμισμα ἤ τι τοιοῦτον, οὗ δεόμενος αὐτὸς εἰς τὸν βίον, ἔπειτα ἄλλῳ δίδωσιν, ἕνεκα τοῦ ἀγαθοῦ· σώφρων δὲ πῶς ἂν εἴη φαύλας οὐκ ἔχων ἐπιθυμίας; πᾶσαι μὲν οὖν αἱ τοιαῦται πράξεις | μικραὶ καὶ ἀνάξιαι 404 θεοῦ· ἐπεὶ δὲ ζῆν πάντες ὑπειλήφασιν αὐτόν, ἀνάγκη καὶ ἐνεργεῖν· οὐ γὰρ δεῖ καθεύδειν ἐξηγρηγκότα, καθάπερ τὸν Ἐνδυμίωνα· ἐπεὶ δὲ ἐνεργῶν οὔτε πράττει, καθὼς δέδεικται, οὔτε πολλῷ μᾶλλον ποιεῖ (οὐ γὰρ συνεχῶς περὶ ἀποτελέσματά τινα διατρίβειν εὔλογον αὐτὸν κατὰ τοὺς δημιουργικοὺς τῶν τεχνιτῶν), τί λείπεται πλὴν θεωρεῖν; ἡ ἄρα τοῦ θεοῦ ἐνέργεια μακαριότητι διαφέρουσα θεωρητικὴ ἂν εἴη. ἐν ἄρα τῷ θεωρητικῷ βίῳ συνεστάναι πᾶσα ἀνάγκη τὴν τελείαν· συγγενεστάτη γάρ ἐστι τῇ τοῦ θεοῦ ἐνεργείᾳ. φαίνεται δὲ τοῦτο καὶ ἀπὸ τοῦ μηδὲν τῶν ἀλόγων εὐδαιμονίας μετέχειν. τῆς θεωρητικῆς ἐνεργείας ἐστερημένα τελείως. τῷ μὲν γὰρ θεῷ πᾶς ὁ βίος μακάριος, τοῖς δ' ἀνθρώποις ἐφ' ὅσον ἔοικε καὶ εἰκόνα φέρει τῆς τοῦ θεοῦ ἐνεργείας· τῶν δ' ἄλλων ζῴων οὐδὲν μακάριον, ἐπεὶ οὐδαμῶς κοινωνεῖ θεωρίας. ὅσα τοίνυν θεωρίας καὶ τῆς εὐδαιμονίας μετέχει καὶ ἃ μᾶλλον θεωρεῖ καὶ μᾶλλον εὐδαιμονεῖ καὶ ὅλως ἐφ' ὅσον ἡ θεωρία καὶ ἡ εὐδαιμονία διατείνει οὐ κατὰ συμβεβηκὸς ἀλλὰ κατ' αὐτὴν δήπου τὴν

5 τέλειον h: τελεία D 6 τοσοῦτο — ὅσο D 18 ἢ D: ᾗ h 19 ὅσα ἄλλα τοιαῦτα Dh et Arist. cod. Lb: ὅσα τοιαῦτα Arist. vulg. 35 οὐδαμῶς D: οὐδαμοῦ h 37 ὅσον Mullach: ὅσων Dh

θεωρίαν· αὕτη γὰρ τιμία δι' ἑαυτὴν ἡ θεωρία. ὥστ' εἴη ἂν ἡ εὐδαιμονία θεωρία τις, ἡ ἀρίστη δὴ καὶ τελειοτάτη. χρεία δὲ καὶ τῶν ἔξωθεν τῷ θεωροῦντι πρὸς τὸ συνεστάναι τὸ σῶμα καὶ ὑγίειαν· οὐκ εὔλογον γὰρ μὴ δεῖσθαι τῶν τοιούτων ἄνθρωπον ὄντα, οὐ γὰρ αὐτάρκης ἡ φύσις τὰ τοιαῦτα. δεήσεται δὲ οὐ τοσούτων ὅσων ὁ πρακτικός, οὐδὲ ἁπλῶς πολλῶν τινων καὶ μεγάλων, ἐπεί φαμεν χρείαν αὐτὸν | ἔχειν τῶν 405 ἀναγκαίων, ἀλλὰ μετρίων. οὐ γὰρ ἡ περιβολὴ τοῦ πλούτου καὶ τῶν ἄλλων τῶν ἔξωθεν ἀγαθῶν αὐτάρκη ποιεῖ τὸν εὐδαίμονα ἢ πείθει κρίνειν ὀρθῶς περὶ τῶν πρακτῶν ἢ πράττειν τὰ δέοντα. δυνατὸν γὰρ καὶ μὴ ἄρχοντα γῆς καὶ θαλάττης πράττειν τὰ καλὰ καὶ ἀπὸ μετρίων τινῶν ποιεῖν ἃ προσήκει τοῖς μεγάλην περιβεβλημένοις ἀρχήν. τοῦτο δὲ ὁρᾶν ἔστιν ἐναργῶς· οἱ γὰρ ἰδιῶται τῶν μέγα δυναμένων οὐχ ἧττον, εἰ μὴ καὶ μᾶλλον, τὰ ἐπιεικῆ φαίνονται πράττοντες. τοσούτων τοίνυν εὐπορεῖν τὸν εὐδαίμονα ἱκανὸν πρὸς εὐδαιμονίαν· ἐνεργήσει γὰρ τὴν ἀρετὴν ἀκωλύτως καὶ τὸν εὐδαίμονα βιώσεται βίον· μαρτυρεῖ δὲ τοῖς λόγοις καὶ Σόλων, οὐ τοῖς ἐκτὸς ἀγαθοῖς τὴν εὐδαιμονίαν ὁρίζων ἀλλ' εὐδαίμονας ἀποφαινόμενος εἶναι τοῖς ἐκτὸς ἀγαθοῖς κεχορηγημένους, πεπραγότας τε τὰ κάλλιστα καὶ βεβιωκότας σωφρόνως· ἐνδέχεται γὰρ μέτρια κεκτημένους πράττειν ἃ δεῖ. δοκεῖ δὲ καὶ Ἀναξαγόρας οὐ πλούσιον οὐδὲ δυνάστην ὑπολαβεῖν τὸν εὐδαίμονα εἶναι· φησὶ γάρ, οὐδὲν θαυμαστὸν εἰ δόξειέ τις τοῖς πολλοῖς ἄτοπος εἶναι· δυνατὸν γὰρ ἀγαθὸν καὶ εὐδαίμονα ὄντα, πονηρὸν καὶ ἄθλιον νομισθῆναι τοῖς πολλοῖς, οἳ τοῖς ἐκτὸς καὶ φαινομένοις κρίνουσι, τούτων αἰσθανόμενοι μόνον. ὥστε τοῖς ἡμετέροις λόγοις καὶ αἱ τῶν σοφῶν συμφωνοῦσι δόξαι· καί τις καὶ ἀπὸ τούτων τοῖς εἰρημένοις γίνεται πίστις μετρία· τὸ γὰρ ἐν τοῖς πρακτοῖς ἀληθὲς ἀπὸ τῶν ἔργων καὶ τοῦ βίου φαίνεται· καὶ τούτοις ἐλέγχεται τὸ ψεῦδος, ὅταν οἱ λόγοι μὴ φαίνωνται τοῖς πράγμασιν ἐξακολουθοῦντες· ἐν γὰρ ταῖς πράξεσι τὸ κύριον· δεῖ τοίνυν σκοπεῖν τὰ | προειρημένα καὶ ταῖς ἀνθρωπίναις πράξεσι καὶ τῷ βίῳ φέροντας 406 ἐφαρμόζειν. καὶ συνᾴδοντα μὲν ἀποδεκτέον, διαφωνοῦντα δὲ λόγους κενοὺς ὑποληπτέον. ἔτι δὲ καὶ ἐκεῖθεν γίνεται δῆλον, εὐδαιμονέστατον εἶναι τὸν κατὰ νοῦν ἐνεργοῦντα· καὶ γὰρ θεοφιλέστατός ἐστιν· οὗ τί γένοιτ' ἂν εὐδαιμονέστερον; εἰ γάρ τι τῷ θεῷ μέλει τῶν ἀνθρωπίνων καὶ τίς ἐστιν αὐτῶν ἐπιμέλεια παρ' ἐκείνου, καθάπερ πᾶσι δοκεῖ καὶ εἴη γε, τίνι τῶν ἐν ἀνθρώποις χαίρειν τὸν θεὸν μᾶλλον εἰκὸς ἢ τῷ ἀρίστῳ καὶ συγγενεστάτῳ; τοῦτο δὲ ὁ νοῦς ἐστιν. εἰ δὲ τῷ νῷ μάλιστα χαίρει καὶ ἀγαπῶντας μάλιστα τοῦτον καὶ τιμῶντας καὶ κατ' αὐτὸν ἐνεργοῦντας, ἀντευποιήσει πάντως, ὡς τῶν φίλων αὐτῷ καὶ συγγενῶν ἐπιμελουμένους, καὶ ἄλλως ὡς ὀρθῶς καὶ καλῶς πράττοντας· οὗτος δὲ ὁ σοφός ἐστι καὶ κατὰ νοῦν ἐνεργῶν· θεοφιλέστατος ἄρα· τὸν αὐτὸν δὲ εἰκὸς καὶ εὐδαι-

3 θεωροῦντι D: θεωρήματι h   7 περιβολὴ] fort. ὑπερβολὴ scribendum quod Heinsius Aristoteli restituere voluit   16 εὐδαίμονας D: εὐδαιμονίας h   19 Ἀναξαγόρας D: Ἀναξαγόραν h   20 φασὶ h   37 αὐτῷ h: αὐτῶν D

μονέστατον εἶναι· καὶ διὰ τοῦτο ἄρα ὁ σοφὸς μάλιστα εὐδαίμων. ἡ ἄρα τελεία εὐδαιμονία ἐν τῷ θεωρητικῷ συνίσταται βίῳ.

⟨Ὅτι περὶ ἀρετῆς οὐχ ἱκανὸν τὸ εἰδέναι ἀλλ' ἔχειν καὶ χρῆσθαι πειρατέον. κεφ. ια'.⟩

Ἃ μὲν οὖν προσῆκε περὶ τῶν ἀρετῶν ὡς ἐν τύπῳ διαλαβεῖν, ἔτι τε φιλίας καὶ ἡδονῆς καὶ τῆς εὐδαιμονίας ἱκανῶς εἴρηται· καὶ οὐδενὸς ἴσως ἔτι δεήσει τῇ πραγματείᾳ πρός γε τὸν περὶ αὐτῶν λόγον. τί οὖν; ἤνυσται τὸ προτεθὲν ἡμῖν ἤδη καὶ τὸ προσῆκον τέλος ἔλαβεν ἡ σπουδή; καὶ μὴν πρακτική τίς ἐστιν ἡ φιλοσοφία καὶ δεῖ καταλλήλου | τέλους 407 αὐτῇ· τὸ δὲ εἰδέναι τί ἐστιν ἀρετὴ καὶ τῶν ἄλλων ἕκαστον, θεωρία τίς ἐστι μόνον. οὐκοῦν καθάπερ τῷ πρὸς ἀρετὴν ἐπειγομένῳ οὐ μέχρι τούτου στῆναι δεῖ τὴν σπουδήν, μαθόντι τίνα δεῖ πράττειν καὶ τίνων ἀπέχεσθαι, τί τέ ἐστιν ἡ ἀρετὴ καὶ τίς ἡ κακία καὶ τί τὸ τῶν ἀνθρωπίνων ἔσχατον τέλος, ἀλλὰ καὶ πράξεων ἅπτεσθαι καὶ τὴν μὲν φεύγειν τὴν δὲ διώκειν, ὑπὲρ δὲ τοῦ τῆς εὐδαιμονίας τυγχάνειν πάντα ποιεῖν· τὸν ἴσον δὴ τρόπον καὶ τὸν τῆς ἀρετῆς ἀλείπτην ἀνάγκη μὴ τούτοις ἀγαπᾶν μόνον τοῖς λόγοις, ὅθεν ἔνι μαθεῖν ἕκαστα τί ἐστιν, ἀλλὰ καὶ ὅπως ἂν γένοιτο κατορθῶσαι· καὶ τοῦτο διδάσκειν, οἰόμενον οὕτως ἂν ἀληθῶς γενέσθαι διδάσκαλον ἀρετῆς. πρὸς γὰρ τὴν τελείωσιν τοῦ γυμναζομένου τὸν παιδευτὴν προσήκει τάττειν τοὺς λόγους· τελείωσις δ' ἂν εἴη τοῦ τῆς ἀρετῆς ἀθλητοῦ τὸ ἀγαθὸν αὐτὸν γενέσθαι καὶ πρακτικὸν τῶν καλῶν· φανερὸν τοίνυν, ὡς ἄρα τοῖς περὶ τῶν ἀρετῶν εἰρημένοις ἐκεῖνα προσθεῖναι δεῖ, τί ποιῶν ἕκαστος ἢ πῶς ἔχων οἰκείως εἰς ἀρετὴν καὶ τὸ ἀγαθὸν ἕξει καὶ τῶν περὶ αὐτῆς ἡδέως ἀκούσεται λόγων καὶ βιῶναι δυνήσεται κατ' αὐτήν· οὕτω γὰρ ἂν ὁ περὶ τῆς ἀρετῆς αὐτάρκης γένοιτο λόγος, διὰ πάντων τὸ γινόμενον σώζων. πειρατέον δὴ ταύτην τὴν μέθοδον ἀποδοῦναι. εἰ μὲν οὖν ἱκανὸς ἦν ὁ περὶ τῆς ἀρετῆς λόγος πεῖσαι γενέσθαι χρηστούς, πολλοὺς ἂν μισθοὺς καὶ μεγάλους δικαίως κατὰ τὸν Θέογνιν ἔφερον, καὶ πολλῶν ἔδει τοῦτον ὠνεῖσθαι καὶ ζητεῖν ἐκ παντὸς τρόπου λαβεῖν. νῦν δὲ τοὺς μὲν ἀγαθοὺς καὶ ἐλευθερίους τῶν νέων καὶ οἷς εὐγενὲς καὶ φιλόκαλον ἦθος φαίνονται δυνάμενοι | πείθειν καὶ πρὸς τὴν ἀρετὴν καὶ τὴν ταύτης 408 πρᾶξιν καὶ τὴν ἕξιν παρακαλεῖν. τοὺς πολλοὺς δὲ οὐκέτι· δύναται γὰρ οὐδεὶς τῶν τοιούτων λόγῳ τινὶ καὶ πειθοῖ τὴν καλοκαγαθίαν ἑλέσθαι καὶ τὴν κακίαν φυγεῖν· οὐ γὰρ αἰδὼς αὐτοὺς ἄγει δεινὸν ἡγουμένους αὐτὸ τὸ δόξαι κακοὺς ἀλλὰ φόβος, οὐδ' ἀπέχονται τῶν φαύλων, διότι φαῦλα καὶ ὅτι τὸ ταῦτα πράττειν αἰσχρόν, ἀλλὰ διὰ τὰς τιμωρίας· τὸ δὲ αἴτιον, ὅτι λόγῳ μὲν οὐ ζῶσιν, ὅθεν αἰδεῖσθαι συμβαίνει, πάθεσι δὲ ἀκολουθοῦντες τὰς ἑπομένας τοῖς πάθεσι διώκουσιν ἡδονὰς καὶ διὰ τοῦτο τὰς ἀντικειμένας φεύγουσι λύπας· τὸ δὲ φεύγειν τὰς λύπας, τοῦτό ἐστι τὸ φοβεῖσθαι·

25 γένοιτο h: γένηται D 28 Theogn. v. 434 ἔφερον D: ἐφερόμην h 39 φοβεῖσθαι D: σοβεῖσθαι h

τοὺς δὴ οὕτως ἔχοντας καὶ τῷ μὴ γεύσασθαι τῶν ὡς ἀληθῶς καλῶν καὶ σπουδαίων μηδὲ εἰς ἔννοιαν τούτων δυνηθέντας ἐλθεῖν, τίς ἂν λόγος μεταρρυθμίσαι; καὶ γὰρ ἀδύνατον ἢ οὐ ῥᾴδιον, τὰ χρόνῳ πολλῷ τοῖς ἤθεσιν ἐμπαγέντα καὶ βεβαιωθέντα λόγῳ κινῆσαι μόνῳ. δεῖ γὰρ καὶ ἑτέρων. ὧν παρόντων ἀγαπητὸν εἴ τις ἀρετῆς καὶ χρηστῶν ἠθῶν μεταλάβοι. ἐπεὶ τοίνυν οὐκ αὐτάρκεις οἱ λόγοι πρὸς τὸ προκείμενον, ζητητέον τίνα ἐστίν, ὧν προϋποκειμένων καὶ ὁ λόγος τὸ ἀγαθὸν δύναται πείθειν.

⟨Πῶς ἔστι καλὸν καὶ ἀγαθόν τινα γενέσθαι· καὶ ὅτι δεῖ πρὸς τοῦτο τοῦ νόμου. κεφ. ιβʹ.⟩

Τὰ τοίνυν αἴτια τῆς ἀρετῆς τοῖς ἀνθρώποις τρία πᾶσι δοκεῖ, φύσις καὶ διδασκαλία καὶ ἔθος. ἡ μὲν οὖν φύσις, ὅτι ἐφ' ἡμῖν οὐκ ἔστι, φανερόν· τὸ γὰρ πεφυκέναι πρὸς | ἀρετὴν διά τινος γίνεται θείας αἰτίας τοῖς 409
ὡς ἀληθῶς εὐτυχέσιν, ἡ δὲ διδασκαλία καὶ ὁ περὶ τῶν ἀρετῶν λόγος δῆλον ἐκ τῶν εἰρημένων ὡς οὐ πάντας δύναται πείθειν, ἀλλ' ἀνάγκη τὴν τοῦ ἀκροατοῦ ψυχὴν ἔθεσί τισιν ἀγαθοῖς παρεσκευασμένην εἶναι πρὸς τὸ χαίρειν οἷς δεῖ καὶ μισεῖν ἃ δέον ἐστίν· οὕτω γὰρ ἂν καλῶς ὑποδέξαιτο τὴν διδασκαλίαν. καθάπερ ἡ τὸ σπέρμα θρέψαι δυναμένη γῆ· χωρὶς δὲ τούτου πῶς ἂν ἀκούσειε λόγου τῶν ἡδονῶν ἀφιστάντος; πῶς δ' ἂν ὅλως καὶ δυνηθείη συνεῖναι ζῶν κατὰ πάθος; τὸν δὲ οὕτως ἔχοντα πῶς οἷόν τε μεταπεῖσαι; δῆλον γάρ, ὡς οὐ λόγῳ δύναται τὸ πάθος ὑπείκειν ἀλλὰ βίᾳ τινί. διὰ τοῦτο οὐχ ἱκανὸς ὁ λόγος ποιῆσαι χρηστούς, τὸ δὲ ἔθος προϋποκεῖσθαι δεῖ τῆς διδασκαλίας, δι' οὗ τὸ ἦθος τοῦ ἀκροατοῦ πρὸς ἀρετὴν οἰκείως ἂν ἔχοι, στέργον μὲν τὸ καλόν, δυσχεραῖνον δὲ τὸ αἰσχρόν. ὅτι μὲν οὖν τὸ ἀγαθὸν ἔθος δεῖ προϋπάρχειν καὶ τὴν ψυχὴν προδιατιθέναι, δῆλόν ἐστιν ἐκ τῶν εἰρημένων· ἐθισθῆναι δὲ πρὸς τὸ ἀγαθὸν καὶ τυχεῖν ἀγωγῆς ὀρθῆς καὶ πρὸς ἀρετὴν φερούσης διαίτης, πῶς ἂν γένοιτο χωρὶς τῶν ὀρθῶν καὶ δικαίων καὶ ὅλως καταλλήλων ἀρετῇ νόμων; δεῖ γὰρ ὑπὸ νόμοις τοιούτοις ἔτι νέον ὄντα τραφῆναι. τὸ γὰρ σωφρόνως ζῆν καὶ καρτερικῶς οὐχ ἡδὺ τοῖς πολλοῖς καὶ μάλιστα νέοις οὖσι· καὶ διὰ τοῦτο προσήκει νόμοις τετάχθαι αὐτοῖς τὰ ἐπιτηδεύματα καὶ τὴν τροφὴν καὶ τἄλλα. δι' ὧν ὁ βίος· καὶ οὕτως οὐκ ἂν εἴη λυπηρὰ αὐτοῖς, διὰ τὸ συνήθη γενέσθαι. οὐ μόνον δὲ νέοις οὖσιν ἀλλὰ καὶ ἀνδράσι χρεία τῶν νόμων· οὐ γὰρ ἱκανὸν πρὸς τὸ γενέσθαι χρηστοὺς τὸ νέους ὄντας | μόνον τροφῆς 410
ὀρθῆς καὶ ἐπιμελείας τυγχάνειν, ἀλλ' ἐπειδὴ καὶ ἀνδρωθέντας ἐπιτηδεύειν δεῖ τὰ καλὰ καὶ πρὸς ἀρετὴν ἑαυτοὺς ἐθίζειν, καὶ τηνικαῦτα δεησόμεθα νόμων καὶ ὅλως περὶ πάντα τὸν βίον. οἱ γὰρ πολλοὶ ἀνάγκῃ πειθαρχοῦσι μᾶλλον ἢ λόγῳ, καὶ ταῖς ζημίαις ἢ τῷ καλῷ. διὰ τοῦτο καί τινες οἴονται δεῖν τοὺς νομοθέτας πρῶτα μὲν λόγοις ἐπὶ τὴν ἀρετὴν καὶ τὸ ἀγαθὸν

4 κινῆσαι D: κοινῆσαι h   23 στέργον D: στέργων h   δυσχεραῖνον Mullach: δυσχεραίνων Dh

ἐνάγειν, προτρεπομένους τοῦ καλοῦ χάριν (οὕτω γὰρ ἂν τοὺς ἐπιεικεῖς ἀμείνους γενέσθαι, πρὸς τὸ ἀγαθὸν ἐθισθέντας), ἔπειτα τοῖς ἀπειθοῦσι καὶ ἀφυῶς ἔχουσι κολάσεις καὶ τιμωρίας ἐπιτιθέναι, τοὺς δ' ἀνιάτους ἐξορίζειν τοῦ χοροῦ τῶν ὑγιαινόντων ἢ δυναμένων· προσήκει γὰρ τὸν μὲν ἐπιεικῆ καὶ πρὸς τὸ καλὸν ζῶντα τῷ λόγῳ πειθαρχήσειν, τὸν δὲ φαῦλον ἡδονῆς ὀρεγόμενον καὶ πάθεσιν ἀλόγοις ἀκολουθοῦντα λόγῳ μὲν οὐκ ἂν βελτίω γενέσθαι, λύπῃ δὲ κολαζόμενον ὥσπερ ὑποζύγιον. ὅθεν καί φασι δέον εἶναι τοὺς ἀλογωτέρους ἐκείναις ταῖς λύπαις κολάζειν, αἳ πρὸς τὰς ἀγαπωμένας ὑπ' αὐτῶν ἡδονὰς ἐναντίως ἔχουσιν, οἷον τὸν μὲν πλεονέκτην ἀπογυμνῶσαι τῶν ὑπαρχόντων, τὸν δὲ ἀλαζόνα καὶ ὑβριστὴν ἀτιμάσαι, τυπτῆσαι δὲ τὸν ἀκόλαστον. εἰ δὲ ταῦτα σκληρὰ καὶ ἀηδῆ καὶ ἀγαθὸν εἶναι δεῖ καὶ ἐπιεικῆ τῶν ἀνθρώπων ἕκαστον, ἐκ παιδὸς καλῶς καὶ ὀρθῶς προσήκει τραφῆναι καὶ παιδευθῆναι καὶ τὴν ἐπιείκειαν ἐθισθῆναι, καὶ οὕτως ἔπειτα ζῆν ἐν ἐπιτηδεύμασιν ἀγαθοῖς καὶ μήτε ἄκοντα μήτε ἑκόντα πράττειν τὰ φαῦλα· τοῦτο δὲ δύναται γενέσθαι διαιτωμένοις κατά τινα τάξιν καὶ λόγους ὡρισμένους, κῦρος ἔχοντας καὶ ἰσχύν. τὰ μὲν οὖν | τῶν πατέρων πρὸς τοὺς παῖδας προστάγματα τὴν ἰσχὺν οὐχ 411 οὕτω μεγάλην ἔχει ὥστε βιάζεσθαι. οὐδέ τινος ἑνὸς ἀνδρός, μὴ τυράννου ὄντος ἢ βασιλέως, οἱ λόγοι δύνανται τοσοῦτον, ὥστε μὴ βουλομένους ἐνάγειν ἐπὶ τὰ καλὰ τοὺς πολλούς· μόνος δὲ ὁ νόμος ἀναγκαστικήν τινα δύναμιν ἔχει. πιστεύεται γὰρ ἀπό τινος νοῦ καὶ φρονήσεως τεθῆναι τὸ ἐξ ἀρχῆς· ὅθεν τοῖς μὲν ἀνθρώποις ἐχθαίρουσιν οἱ πολλοὶ ταῖς ὁρμαῖς αὐτῶν ἐναντιουμένοις, κἂν ὀρθῶς αὐτὸ δρῶσι, τῷ νόμῳ δὲ οὐδεὶς ἄχθεται τάττοντι τὸ ἐπιεικὲς καὶ τῶν πονηρῶν ἀφιστάντι· τοὺς μὲν γὰρ ζῶντας τῶν παιδευτῶν ἴσως ἐστὶ νομίσαι μίσει τινὶ ἢ φθόνῳ κινουμένους λυπεῖν, τοῖς νόμοις δὲ οὐ τοῦτο συμβαίνει. φανερὸν μὲν οὖν, ὡς ἄρα δεῖ νόμων ῥυθμιζόντων καὶ διατιθέντων πρὸς τὴν ἀρετὴν εὐθὺς ἐκ παιδός. τοιοῦτοι δὲ νόμοι μόνῃ τῇ Λακεδαιμονίων ἐγένοντο πόλει καί τισιν ἄλλαις ὀλίγαις κομιδῇ· ταῖς δὲ πλείσταις πόλεσιν οὐκ ἐμέλησε περὶ τῶν τοιούτων, ἀλλ' ἕκαστος ὡς βούλεται τάττει τὸν βίον καὶ τὴν οἰκίαν, κυκλωπικῶς θεμιστεύων 'παίδων ἠδ' ἀλόχου'. κράτιστον μὲν οὖν τὸ γίνεσθαι κοινὴν ἐπιμέλειαν καὶ ὀρθήν, καὶ πάντας ζῆν δύνασθαι τεταγμένως καὶ ὡς ὁ ὀρθὸς ἀπαιτεῖ λόγος· εἰ δὲ μὴ τοῦτο γένοιτο καὶ τὸ κοινὸν ἀμέλοιτο, προσήκειν ἑκάστῳ δόξειεν ἂν τοῖς ἑαυτοῦ τέκνοις καὶ φίλοις εἰς ἀρετὴν βοηθεῖν ἢ βοηθεῖν προθυμεῖσθαι· δυνηθείη δ' ἂν ἕκαστος ταῦτα τοὺς οἰκείους εὐεργετεῖν νομοθετικὸς γενόμενος, ὡς φανερὸν ἐκ τῶν εἰρημένων. γίνεται γὰρ πᾶσα ἐπιμέλεια διὰ νόμων· καὶ αἱ μὲν κοιναὶ ἐπιμέλειαι διὰ τῶν κοινῶν νό|μων, αἱ δὲ σπουδαῖαι καὶ ἐπιεικεῖς ἐπιμέλειαι καὶ παιδεῖαι 412 διὰ τῶν καταλλήλων. τῶν σπουδαίων καὶ ἐπιεικῶν φημι νόμων. γεγραμμένους δὲ ἢ ἀγράφους εἶναι τοὺς νόμους, οὐδὲν διαφέρει· οὐδὲ τὸ πολλοὺς παιδεύειν ἢ ἕνα ῥυθμίζειν εἰσάγοι ἂν τοῖς νόμοις διαφοράν, ὥσπερ ἐπὶ τῆς

31 cf. Homer. Od. ι 115 41 εἰσάγοι D: εἰσαγάγοι h

μουσικῆς καὶ γυμναστικῆς καὶ τῶν ἄλλων ἐπιτηδευμάτων συμβαίνει· καὶ γὰρ ἃ τὸν ἕνα δύναται γυμνάσαι καὶ τοὺς πολλοὺς καὶ δι' ὧν εἷς μουσικός, καὶ πολλοὺς οὐδὲν κωλύει γενέσθαι καὶ τὸ ἀνάπαλιν. διὰ τοῦτο καὶ τὸν οἰκίαν διατιθέντα μίαν καὶ ῥυθμίζοντα ἢ ἕνα ἄνδρα παιδεύοντα 10 οὐδὲν κωλύει νόμους τιθέναι καὶ εἶναι νομοθετικόν, οὐδὲν ἧττον τοῦ πόλιν ὅλην ἢ ἔθνος διατιθέντος. καὶ γὰρ ὥσπερ ἐν ταῖς πόλεσιν ἰσχύει τὰ νόμιμα καὶ τὰ ἔθη, οὕτω καὶ ἐν τῇ οἰκίᾳ μιᾷ οἱ πατρικοὶ λόγοι καὶ τὰ ἔθη, οἷς φαίνεται χαίρων, μεγάλην ἐν τοῖς παισὶ καὶ τοῖς ἄλλως οἰκείοις δύναμιν ἔχει, καὶ πολλῷ πλέον διὰ τὴν συγγένειαν καὶ τὰς εὐεργεσίας· εὖνοι γάρ εἰσι διὰ ταῦτα τῷ πατρὶ μᾶλλον οἱ παῖδες ἢ οἱ πολῖται τῷ νομοθέτῃ· καὶ διὰ τοῦτο ῥᾷον ἄγονται καὶ τοῖς νόμοις πείθονται μᾶλλον, κἂν ἄλλως ἀπειθεῖς ὦσι, φύσει τινὶ στέρξαντες ἐξ ἀρχῆς· ἔτι δὲ καὶ ἀκριβέστεροι 20 γίνοιντο ἂν τῶν κοινῶν οἱ καθ' ἕκαστον νόμοι καὶ διὰ τοῦτο λυσιτελέστεροι, καθάπερ καὶ ἐπὶ τῆς ἰατρικῆς ἔχει. καὶ γὰρ οἱ μερικοὶ ἰατρικοὶ λόγοι, οἱ ἑνὶ ἐφαρμόζοντες σώματος ἕξει, βέλτιον ἰάσονται τῶν καθόλου· καθόλου μὲν γὰρ τῷ πυρέττοντι συμφέρει ἀσιτία καὶ ἡσυχία, τινὶ δὲ ἴσως οὐ ταῦτα ἀλλὰ τἀναντία λυσιτελήσει, καὶ διὰ τοῦτο ὁ ἑνὶ σώματι νομοθετῶν ἀκριβέστερον νομοθετήσει τοῦ πᾶσιν ἁπλῶς διαιτῶντος· καὶ ὁ πυκτικὸς δέ, | ἐὰν ἀπὸ τοῦ ἀεὶ παρόντος ἀνταγωνιστοῦ τὸν ἀγῶνα 413 διατιθῇ, καὶ τὴν μάχην οὐχ ὁμοίαν ἀεὶ τὴν αὐτήν, ἀλλὰ προσήκουσαν ἑκάστῳ ποιῆται, ἄμεινον ἀγωνιεῖται· καὶ ὅλως ἀκριβέστερον ἕκαστον ὠφεληθήσεται, τῆς ἐπιμελείας ἰδίας καὶ καθ' ἕκαστον γινομένης· οὕτω γὰρ ἑκάστῳ γένοιτο τοῦ προσήκοντος τυχεῖν. φανερὸν τοίνυν, ὅτι ἐπιμεληθείη μὲν ἄριστα καὶ ἑνός τινος καὶ ὀλίγων, ὁ τὸ καθόλου γινώσκων ἢ ἰατρὸς ἢ γυμναστὴς ἢ νομοθέτης, ἐπειδὰν τὸν καθόλου λόγον τῆς ἐπιστήμης συνάψῃ τῷ μερικῷ· καὶ γὰρ οἶδεν ἃ πᾶσιν ἢ τοῖσδε ἢ οὕτως ἢ οὕτως ἔχουσι 10 λυσιτελεῖ· τοῦ κοινοῦ γὰρ αἱ ἐπιστῆμαι λέγονταί τε καὶ εἰσίν. οὐδὲν δὲ κωλύει καὶ τὸν μὴ τὸ καθόλου εἰδότα, τεθεαμένον δὲ ἀκριβῶς τὰ συμβαίνοντα ἑκάστῳ δι' ἐμπειρίαν, ἑνός τινος καλῶς ἐπιμεληθῆναι· καὶ γὰρ ἰατροί τινές εἰσι τῶν σωμάτων τῶν ἑαυτῶν, ἄλλοις ταῦτα μὴ δυνάμενοι βοηθεῖν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἐπιτηδευμάτων συμβαίνει. καὶ οὕτω δὲ τῆς ἐμπειρίας ἀρκούσης πρὸς τὴν ὠφέλειαν τῶν ἐπιτηδευμάτων ἑκάστου, τήν γε ἐπιστήμην ζητητέον πάσῃ σπουδῇ καὶ βαδιστέον ἐπὶ τὸ καθόλου τῷ τεχνικῷ καὶ θεωρητικῷ βουλομένῳ γενέσθαι. περὶ 20 γὰρ τὸ καθόλου ἡ ἐπιστήμη· γινώσκειν δὲ οὕτω χρὴ τὸ καθόλου, τό γε τῆς ἰατρικῆς ἢ νομοθετικῆς ἢ ἄλλης τοιαύτης ἐπιστήμης οὐχ ὡς ἀκίνητον καὶ ἀεὶ ὡσαύτως ἔχον ἀλλ' ὡς μάλιστα ἐνδεχόμενον· τῶν ἐνδεχομένων γὰρ καὶ οὐ τῶν ἀκινήτων αἱ τοιαῦταί εἰσιν ἐπιστῆμαι. ζητητέον τοίνυν ἐφ' ἑκάστου τὴν ἐπιστήμην· καὶ τὸν βουλόμενον δι' ἐπιμελείας βελτίους ποιεῖν, εἴτε πολλοὺς εἴτε ὀλίγους, νομοθετικὸν | πειρατέον γενέσθαι· 414

---

7 τῇ om. h   ἔθη (alterum) h: ἤθη D   16 ἀσιτία καὶ ἡσυχία Dh, ut Arist. cod. Lb: ἡσυχία καὶ ἀσιτία Arist. vulg.   26 τοῖσδε D: τοιῶσδε h   ἢ οὕτως alterum om. h   33 ἑκάστου D: ἑκάστων h

καὶ γὰρ διὰ τῶν νόμων πρὸς τὸ ἀγαθὸν κινούμεθα καὶ τὴν ἀρετήν. οὐ γὰρ ἔστι τοῦ τυχόντος ἢ πολλοὺς ἢ ἕνα τινὰ καλῶς διαθεῖναι, καὶ παιδεῦσαι πρὸς ἀρετὴν ἔχειν οἰκείως· ἀλλ' εἴ γε τοῦτο δυνατὸν ἐν ἀνθρώποις, ἐκεῖνος ἂν δυνηθείη μόνος, ὃς οἶδε τοὺς νόμους τοὺς μὲν κρίνειν τοὺς δὲ τιθέναι.

⟨Περὶ τῶν σοφιστῶν τε καὶ τῶν τὰ πολιτικὰ διδάσκειν ἐπαγγελ-
λομένων· καὶ ὅτι τὸ περὶ τῆς νομοθεσίας ἐπισκέψασθαι πρὸς
τὴν τῆς πρακτικῆς φιλοσοφίας τελείωσιν ἔτι λοιπόν ἐστι. 10
κεφ. ιγ΄.⟩

Ὅτι μὲν οὖν νομοθετικὸν εἶναι δεῖ τὸν τῆς ἀρετῆς ἀλείπτην, φανερὸν
ἐκ τῶν εἰρημένων· ὅπως δὲ δυνηθείη τις ἂν νομοθετικὸς γενέσθαι, ζητη-
τέον ἐστίν. ἢ φανερόν ἐστιν, ὅτι καθάπερ ἀπὸ τοῦ εἰδότος τὰ γραμματικὰ
ἢ τὰ μουσικὰ γραμματικός τις γένοιτ' ἂν ἢ μουσικός, οὕτω καὶ νομοθετι-
κὸς ἀπὸ τοῦ εἰδότος νομοθετεῖν, ὅς ἐστιν ὁ πολιτικός· τῆς γὰρ πολιτικῆς ἡ
νομοθετικὴ μέρος. καίτοι δοκεῖ οὐ τὰ αὐτὰ συμβαίνειν τῇ πολιτικῇ καὶ
ταῖς ἄλλαις δυνάμεσι καὶ ἐπιστήμαις. ἐν μὲν γὰρ ταῖς ἄλλαις οἱ αὐτοὶ 20
φαίνονται τάς τε μεθόδους τῶν ἐπιστημῶν παραδιδόντες καὶ κατ' αὐτὰς
ἐνεργοῦντες· ἰατρὸς γὰρ καὶ ζωγράφος τήν τε τέχνην ἕκαστος διδάσκει
καὶ ὁ αὐτὸς καὶ γράφει ἢ ἰατρεύει· περὶ δὲ τὴν πολιτικὴν ἑτέρως φαίνεται
ἔχον· οἱ μὲν γὰρ σοφισταὶ τὰ πολιτικὰ διδάσκειν ἐπαγγέλλονται, μηδὲν
πράττοντες πολιτικόν, οἱ δὲ πολιτευόμενοι πράττουσι μέν, διδάσκουσι δὲ
οὐδέν· οὐ γὰρ δύνανται. | οὐ γὰρ μεθόδῳ τινὶ πράττουσι καὶ ἐπιστήμῃ 415
πολιτικῇ ἀλλὰ φυσικῇ τινὶ ἐπιτηδειότητι καὶ ἐμπειρίᾳ μᾶλλον ἢ διανοίᾳ.
ὅτι δὲ οὐ δύνανταί τι περὶ τῆς πολιτικῆς διδάσκειν, φανερόν· οὐ γὰρ δι-
δάσκουσιν οὐδέ τι γράφουσιν ἢ λέγουσι περὶ τῶν τοιούτων. εἰπόντες ἄν,
εἴπερ ἐδύναντο· μεῖζον γὰρ ἂν ἦν αὐτοῖς εἰς φιλοτιμίαν τοιούτους συντι-
θέναι λόγους ἢ δικανικούς τε καὶ δημηγορικούς· ἄλλως τε καὶ τοὺς σφε-
τέρους υἱοὺς πολιτικοὺς ἐποίησαν ἂν ἤ τινας ἄλλους τῶν φίλων, εἴπερ ἐδύ-
ναντο· οὐ γὰρ εὔλογον δυναμένους μὴ τοιαῦτα τοὺς φίλους καὶ τοὺς φιλ- 10
τάτους εὐεργετεῖν· οὔτε γὰρ εἶχον μεῖζον ἀγαθὸν καὶ συμφορώτερον τῇ
πόλει καταλιπεῖν ἢ ταῦτα συγγραψάμενοι καὶ διδάξαντες οὔτε ἑαυτοῖς ἢ
τοῖς υἱέσιν ἢ τοῖς ἑταίροις μεῖζον ἂν ἐθέλησαν ἀγαθὸν τοῦ τοιαῦτα δύνα-
σθαι. φανερὸν τοίνυν, εἴπερ ἐδύναντο διδάσκειν τὰ πολιτικά, ὅτι καὶ ἐβου-
λήθησαν ἂν καὶ ἐδίδασκον· ἐπεὶ δὲ οὐ φαίνονται διδάσκοντες, φανερὸν ὅτι
οὔτε ἐδύναντο διδάσκειν οὔτε αὐτοὶ λόγῳ τινὶ τὰ πολιτικὰ ποιοῦσιν ἢ ἐπι-
στήμῃ ἀλλὰ ἐμπειρίᾳ· καὶ γὰρ οὐ μικρὸν ἡ ἐμπειρία πρὸς τὸ πράττειν
συμβάλλεται· γίνονται γὰρ διὰ τῆς πολιτικῆς συνηθείας μᾶλλον πολιτικοί. 20
διὰ τοῦτο τοῖς ἐφιεμένοις περὶ τῆς πολιτικῆς εἰδέναι καὶ ἐμπειρίας τινὸς
χρεία καὶ συνηθείας. καὶ αὐτοὶ δὲ οἱ σοφισταὶ διδάσκειν μὲν ἐπαγγέλ-

2 ἐστι D: ἔτι h   4 τοὺς om. h   14 ἀπὸ h: ἐπὶ D   31 ἢ (prius) h: μὴ D

λονται τὴν νομοθετικήν, διδάσκουσι δὲ οὐδὲν μᾶλλον, ἀλλὰ τοσοῦτον ἀπέχουσι τοῦ περὶ ταύτης ἃ προσήκει δύνασθαι λέγειν, ὥστε οὐδὲ τίς ἐστιν ἡ νομοθετικὴ ἢ ποῖόν τί ἐστιν, ἴσασι· καὶ γὰρ ταὐτὸν ἢ χεῖρον ἡγοῦνται εἶναι τῆς ῥητορικῆς· εἶτα καὶ τὸ νομοθετεῖν οὕτω ῥᾴδιον, ὡς παντὸς εἶναι. νομίζουσι γὰρ τὸ | συναγαγεῖν νόμους τοὺς εὐδοκιμωτάτους καὶ τούτων 416
ἐκλέξασθαι τοὺς ἀρίστους, τοῦτο εἶναι τὸ νομοθετεῖν, τὸ δὲ κρῖναι νόμους καὶ τὸν ἄριστον λαβεῖν, μὴ πάνυ χαλεπὸν εἶναι. καίτοι πρῶτον μὲν οὐ ῥᾴδιον καὶ τοῦ βουλομένου τὸ δύνασθαι κρίνειν ὀρθῶς περὶ τῶν προτεθέντων ἑκάστου ἀλλὰ θαυμαστῆς δεῖ συνέσεως καὶ διανοίας πρὸς τὴν τοιαύτην δύναμιν· οἱ γὰρ ἔμπειροι περὶ ἕκαστα καὶ δύνανται κρίνειν περὶ αὐτῶν, ὥσπερ ὁ τῶν μουσικῶν ἔμπειρος τὰ μουσικὰ δύναται κρίνειν καὶ ὁ τῶν γραμματικῶν τὰ γραμματικά, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως· οὗτοι γὰρ ἴσασι δι' ὧν ταῦτα ἢ ἐκεῖνα γίνονται, καὶ ποῖα ποίοις συνᾴδει, καὶ πῶς ἕκαστον ἔχει· οἱ δὲ ἄπειροι οὐδὲν τούτων εἰδότες οὐκ ἐκλέξονται τὰ καλλίω καὶ τὰ ἄριστα. καὶ γὰρ ἀγαπητόν, εἰ τοῦτο μόνον γνώσονται ἁπλῶς, ὅτι καλῶς ἢ κακῶς πεποίηται τὸ ἔργον ὥσπερ καὶ ἐπὶ τῆς γραφικῆς ἔχει· καὶ γὰρ τὸ μὲν τὴν ἀρίστην εἰκόνα γινώσκειν ὅτι καλῶς γέγραπται, καὶ τῶν μὴ ζωγράφων ἂν εἴη, τὸ δὲ εἰδέναι ὅτι ἀρίστη καὶ ὅπῃ τῶν ἄλλων διαφέρει, μόνον ἐστὶ τοῦ γράφειν εἰδότος ἢ ἐμπειρίαν τινὰ κεκτημένου περὶ αὐτό. οὔτε τοίνυν τὸ ζωγράφου ἔργον ἢ τὸ τοῦ μουσικοῦ ἢ τοῦ γραμματικοῦ χωρὶς τῆς περὶ αὐτὰ ἐπιστήμης οὐδεὶς ὀρθῶς δύναται κρίνειν οὔτε τὸ τοῦ πολιτικοῦ ἔργον ἄνευ τοῦ τὴν πολιτικὴν ἐπιστήμην εἰδέναι, κρῖναι δυνατόν. ἔργον δὲ τοῦ πολιτικοῦ ὁ νόμος ἐστί. πρῶτον μὲν οὖν τὸ συναγαγεῖν νόμους καὶ ἐκλέξασθαι τοὺς ἀρίστους ἄνευ τῆς περὶ τὰ πολιτικὰ ἐμπειρίας οὐ δυνατόν, ἔπειτα, εἰ καὶ τοῦτο δώσομεν, ὡς ἄρα δυνατὸν ἄνευ τοῦ πολιτικὸν εἶναι νόμους κρίνειν εἰδέναι καὶ συναγαγεῖν τοὺς | ἀρίστους, 417
οὐδὲ τοῦτο ἀρκέσει πρὸς τὸ γενέσθαι πολιτικὸν καὶ νομοθετικόν, ἐπεὶ οὐδὲ ἰατροὶ γένοιντο ἂν ἀπὸ τοῦ τὰ ἰατρικὰ συγγράμματα συναγαγεῖν καὶ ἀναγνῶναι· καίτοι οἱ τοιοῦτοι καὶ πειρῶνται λέγειν οὐ μόνον τὰ θεραπεύματα ἀλλὰ καὶ ὡς ἰάθησαν οἱ τούτοις χρησάμενοι καὶ ὅπως προσήκει τῶν νοσημάτων ἕκαστον θεραπεύειν, καὶ διαιροῦσί γε τὰς ἕξεις τῶν νοσημάτων καὶ τῶν σωμάτων, ἀλλ' ὅμως οὐκ εἰσὶν ἰατροί· δεῖ γὰρ καὶ ἐμπειρίας καὶ συνηθείας τινός· τὰ δὲ συγγράμματα καὶ αἱ τοιαῦται θεωρίαι τοὺς μὲν ἐμπείρους καλλίους ποιοῦσι, τοὺς δὲ ἀπείρους οὐδὲν ὤνησαν πρός γε τὸ δύνασθαι θεραπεύειν· τὸν αὐτὸν δὴ τρόπον καὶ ἐπὶ τῶν νόμων ἂν ἔχοι καὶ τῆς πολιτείας. τὸ γὰρ συναγαγεῖν νόμους καὶ διερευνήσασθαι τὰς ἑκασταχοῦ πολιτείας, τοὺς μὲν ἀπὸ τῆς ἐμπειρίας δυναμένους ἕκαστα καλῶς θεωρῆσαι καὶ συνιδεῖν ἅ τε ὀρθῶς καὶ ἃ φαύλως ἔχουσι καὶ ποῖα ποίοις ἁρμόττει, πάνυ ἂν ὠφελήσειε· γένοιντο γὰρ ἂν ἑαυτῶν τὰ πολιτικὰ καλλίους· τοῖς δὲ ἄνευ τῆς τοιαύτης ἕξεως καὶ πείρας τὰ τοιαῦτα διεξιοῦσιν

---

13 ποίοις D: ποιεῖν h 18 ὅπῃ Mullach: ὅποι Dh 29 καὶ om. h 32 καὶ τῶν σωμάτων om. h

ἀνόνητος ἡ σπουδὴ πρός γε τὸ νομοθετικοὺς γενέσθαι· οὐ γὰρ δυνήσονται κρίνειν ὀρθῶς περὶ αὐτῶν, εἰ μὴ ἄρα τύχῃ τινί· γίνοιντο δ' ἂν ἴσως εὐσυνετώτεροι πρὸς ταῦτα τρόπον τινά, μαθόντες περὶ τῶν πολιτικῶν. φαίνεται μὲν οὖν, ὅτι οὔτε οἱ σοφισταὶ οὔτε οἱ πολιτευόμενοι περὶ τῆς πολιτικῆς καὶ νομοθετικῆς οἷοί τε ἐγένοντο διδάσκειν. ἐπεὶ δὲ ἀκόλουθόν ἐστιν, ὡς ἐν τοῖς ἔμπροσθεν ἐδείχθη, τὸν τῆς ἀρετῆς διδάσκαλον καὶ περὶ τούτων διεξιέναι, τῶν προτέρων οὐ πάνυ περὶ νόμων καὶ πολιτείας διερευνησαμένων, βέλτιον ἴσως ἡμᾶς ἐπισκέψασθαι περὶ τούτων, ὡς ἂν | ἡ προ- 418 κειμένη ἡμῖν φιλοσοφία, περὶ τῶν ἀνθρωπίνων οὖσα παθῶν καὶ πράξεων τοῦ προσήκοντος τυχοῦσα τέλους, μηδενὸς ἐλλείπῃ τῶν εἰς ταῦτα φερόντων. πρῶτον μὲν οὖν εἴ τι καλῶς περὶ αὐτῶν εἴρηται τοῖς προγενεστέροις, κατὰ μέρος ἐπελθεῖν πειραθῶμεν, εἶτα συναγαγόντες τὰς πολιτείας θεωρῶμεν ἐν αὐταῖς, ἅ τε φθείρει καὶ ἃ σώζει τὰς πόλεις, ἔτι τε τῶν πολιτειῶν ἑκάστην ἃ συνίστησι καὶ ἃ διαλύει, καὶ τίνα μὲν βασιλείαν συνέχει, τίνα δὲ δημοκρατίαν καὶ τῶν ἄλλων ἑκάστην, καὶ τίνα πέφυκε λύειν· καὶ μὴν κἀκεῖνο σκοπῶμεν, διὰ ποίας αἰτίας αἱ μὲν τῶν πολιτειῶν καλῶς πολιτεύονται, αἱ δὲ ἐναντίως ἔχουσι. τούτων γὰρ δὴ πάντων θεωρηθέντων συνίδοιμεν ἂν καὶ ποία πολιτεία ἀρίστη καὶ πῶς ἑκάστη ταχθεῖσα καὶ τίσι νόμοις καὶ ἔθεσι χρωμένη τοῖς πολιτευομένοις λυσιτελήσει· λέγομεν οὖν ἀρξάμενοι.

---

4 οἱ ante πολιτευόμενοι om. h 14 συνίστησι D: συνίζησι h 20 λέγομεν D et Arist. cod. Kb: λέγωμεν h et Arist. vulg. in fine τῶν εἰς τὰ τοῦ Ἀριστοτέλους Νικομάχεια τέλος h

INDICES

I INDEX VERBORUM

II INDEX NOMINUM ET AUCTORUM

HELIODORI
IN ETHICA NICOMACHEA
PARAPHRASIS